ВЮЗА
НАА
ПАТ
ГРНГ
ΘΕΟΛ
ОЕР

Printed in Greece
Athens 1980

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΞΗΚΟΣΤΟΣ

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ

(ΜΕΡΟΣ Γ')

Γενικὴ Ἐπιστασία
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΜΠΟΝΗ Δ. Θ. καὶ Φ.
Ὁμοτίμου Καθηγητοῦ τοῦ Παν/μίου Ἀθηνῶν - Ἀκαδημαϊκοῦ

Ἐπιμελητὴς ἐκδόσεως
ΗΛΙΑΣ Δ. ΜΟΥΤΣΟΥΛΑΣ
Καθηγητὴς τοῦ Παν/μίου Ἀθηνῶν

Ἐπιμελητὴς τόμου
ΚΙΜΩΝ Γ. ΠΑΠΑΧΡΙΣΤΟΠΟΥΛΟΣ
Θεολόγος - Καθηγητὴς

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1980

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ

(ΜΕΡΟΣ Γ')

Σελ.

ΚΕΙΜΕΝΑ. — ΛΟΓΟΙ (Κατὰ τὴν ἔκδοσιν τοῦ J.—P. Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 36 στ. 173-212).

Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας καὶ ὅτι οὐ παντὸς ἀνθρώπου οὔτε παντὸς καιροῦ τὸ περὶ Θεοῦ διαλέγεσθαι (ΛΒ') 11

Πρὸς 'Αρειανοὺς καὶ εἰς ἑαυτὸν (ΛΓ') 28

Εἰς τοὺς Αἰγύπτου ἐπιδημήσαντας (ΛΔ') 37

Εἰς τοὺς μάρτυρας καὶ κατὰ 'Αρειανῶν (ΛΕ') 43

Εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας ἐπιθυμεῖν αὐτὸν τῆς καθέδρας Κωνσταντινουπόλεως καὶ εἰς τὴν τοῦ λαοῦ προθυμίαν ἣν ἐπεδείξατο εἰς αὐτὸν (ΛΣ') 46

Εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου· «Ὅτε ἐτέλεσεν ὁ 'Ιησοῦς τοὺς λόγους τούτους» καὶ τὰ ἑξῆς (ΛΖ') 53

Εἰς τὰ Θεοφάνια, εἴτουν γενέθλια τοῦ Σωτῆρος (ΛΗ') 64

Εἰς τὰ ἅγια Φῶτα (ΛΘ') 73

Εἰς τὸ ἅγιον Βάπτισμα (Μ') 84

Εἰς τὴν Πεντηκοστὴν (ΜΑ') 110

Συνταχτήριον εἰς τὴν ΡΝ' ἐπισκόπων παρουσίαν (ΜΒ') 121

Εἰς τὸν Μέγαν Βασίλειον ἐπίσκοπον Καισαρείας Καππαδοκίας ἐπιτάφιος (κατὰ τὴν ἔκδοσιν τοῦ F. Boulenger. Grégoire de Nazianze. Discours funèbres en l' honneur de son frère Césaire et de Basile de Césarée, Paris 1908 pp. 58-230 (ΜΓ') 136

Εἰς τὴν καινὴν Κυριακὴν (ΜΔ') 180

Εἰς τὸ ἅγιον Πάσχα (ΜΕ') 186

ΕΠΙΣΤΟΛΑΙ Α'. 1-100, 103-201, 203-248. (Κατὰ τὴν ἔκδοσιν τοῦ Paul Gallay, Gregor von Nazianz Briefe. Berlin 1969 . .
ΕΠΙΣΤΟΛΑΙ Β' (Θεολογικαὶ) 101, 102, καὶ 202 (κατὰ τὴν ἔκδοσιν τοῦ Paul Gallay, Grégoire de Nazianze, Lettres Théologiques, Sources Chrétiennes No 208, Paris 1974) 261

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 353

ΠΙΝΑΞ ΤΩΝ ΕΞΩΒΙΒΛΙΚΩΝ ΧΩΡΙΩΝ 365

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ 369

ΠΙΝΑΞ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ 393

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Γ Ρ Η Γ Ο Ρ Ι Ο Υ Τ Ο Υ Θ Ε Ο Λ Ο Γ Ο Υ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Λ Ο Γ Ο Σ Λ Β′ *

ΠΕΡΙ ΤΗΣ ΕΝ ΔΙΑΛΕΞΕΣΙΝ ΕΥΤΑΞΙΑΣ ΚΑΙ ΟΤΙ ΟΥ ΠΑΝΤΟΣ ΑΝΘΡΩΠΟΥ ΟΥΤΕ ΠΑΝΤΟΣ ΚΑΙΡΟΥ ΤΟ ΠΕΡΙ ΘΕΟΥ ΔΙΑΛΕΓΕΣΘΑΙ

[173] Α′. Ἐπειδὴ συνεληλύθατε προθύμως καὶ πολυάνθρωπος ἡ πανήγυρις καὶ διὰ τοῦτο μάλιστα καιρὸς ἐργασίας, φέρε τι δῶμεν ὑμῖν ἐμπόρευμα, εἰ καὶ μὴ τῆς προθυμίας ἄξιον τῆς κοινῆς, ἀλλά γε τῆς δυνάμεως τῆς ἡμετέρας μὴ ἐνδεέστερον. Ἡ μὲν γὰρ ἀπαιτεῖ τὰ μείζω, ἡ δὲ εἰσφέρει τὰ μέτρια· καὶ κρεῖσσον τὸ κατὰ δύναμιν εἰσενεγκεῖν ἢ τὸ πᾶν ἐλλείπειν. Οὐ γὰρ ὁ μὴ δυνηθεὶς τὰ τοιαῦτα ὑπεύθυνος, ἀλλ' ὁ μὴ βουληθεὶς ὑπαίτιος, κἂν τοῖς θείοις ὁμοίως, κἂν τοῖς ἀνθρωπίνοις πράγμασιν. Εἰμὶ μὲν ποιμὴν ὀλίγος καὶ πένης καὶ οὔπω τοῖς ἄλλοις ἀρέσκων ποιμέσιν· οὕτω γὰρ εἰπεῖν μέτριον, εἴτε τὴν εὐδοκίαν καὶ τὸν ὀρθὸν λόγον, εἴτε διὰ μικροψυχίαν καὶ ἔριν, οὐκ οἶδα τοῦτο· «Ὁ Θεὸς οἶδε»[1], **[176]** φησὶν ὁ θεῖος Ἀπόστολος, καὶ δηλώσει σαφῶς ἡ τῆς ἀποκαλύψεως ἡμέρα καὶ τὸ τελευταῖον πῦρ[2], ᾧ πάντα κρίνεται ἢ καθαίρεται τὰ ἡμέτερα. Πειράσομαι δ' ὅμως εἰς δύναμιν μὴ καταχρύπτειν τὸ χάρισμα, μηδ' ὑπὸ τὸν μόδιον τιθέναι τὸν λύχνον[3], μηδὲ καταχωννύειν τὸ τάλαντον[4] (ἃ πολλάκις ἤκουσα παρ' ὑμῶν τὴν ἀργίαν ὀνειδιζόντων καὶ δυσχεραινόντων τὴν σιωπήν), ἀλλὰ λόγοις ἀληθείας ἐκπαιδεύειν καὶ συναρμόζειν τῷ Πνεύματι.

Β′. Πόθεν οὖν ἄρξομαι καταρτίζειν ὑμᾶς, ἀδελφοί; Καὶ τίσι λόγοις τιμήσω τοὺς ἀθλητάς, ὧν ἡ παροῦσα πανήγυρις; Τί πρῶτον εἴπω ἢ τί μέγιστον; Τί μάλιστα συμφέρον ταῖς ὑμετέραις ψυχαῖς; Ἢ τί τῷ παρόντι καιρῷ χρησιμώτατον; Γνοίημεν δ' ἂν οὕτω· τί τοῦ ἡμετέρου λόγου τὸ κάλλιστον; Ἡ εἰρήνη· προσθήσω δ' ὅτι καὶ τὸ λυσιτελέστατον. Τί δὲ τὸ αἴσχιστον καὶ τὸ βλαβερώτατον; Ἡ διχόνοια. Ἐπεὶ δὲ τοῦτο ἠρώτησα καὶ ἀπεκρινάμην, προσερήσομαι

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 36 στ. 173-212.

1. Β′ Κορ. 12,2. 2. Πρβλ. Α′ Κορ. 3,13. 3. Πρβλ. Ματθ. 5,15. 4. Πρβλ. Ματθ. 25,18.

καὶ τὸ δεύτερον· τί τὸ μάλιστα λῦσαν ἐκείνην; καὶ τί τὸ ταύτην εἰσαγαγόν; Ἵν', ὥσπερ ἐν τοῖς νοσήμασι, τὰ αἴτια περικόψαντες καὶ τὰς πηγὰς τῶν παθῶν ἐμφράξαντες ἢ ἀποξηράναντες, οὕτω καὶ τὰ ἐκεῖθεν ῥεύματα καὶ ἀποτελέσματα συνεκκόψωμεν. Οὐδὲ γὰρ οἷόν τε γνῶναί τι περὶ τῆς τελευτῆς καλῶς, μὴ περὶ τῆς ἀρχῆς ὀρθῶς σκεψαμένους. Βούλεσθε οὖν ὑμεῖς τὴν αἰτίαν εἰπεῖν καὶ γνωρίσαι; Ἢ ἐμοὶ τῷ θεραπευτῇ παραχωρεῖτε καὶ δηλῶσαι ταύτην καὶ διορθώσασθαι; Καὶ γὰρ εἰπεῖν βουλομένων ἕτοιμος καὶ ἀκούειν λεγόντων ἑτοιμότερος. Παραχωρεῖτε μέν, εὖ οἶδ' ὅτι· καὶ γὰρ οὐ φαύλους ἰατροὺς ἡμᾶς τῶν τοιούτων ἴσως ὑπολαμβάνετε, οὐδ' ἀμαθεῖς θεραπείας ψυχῶν· εἴτε οὖν φαύλως, εἴτε ὀρθῶς τοῦτο ὑπολαμβάνοντες. Μὴ θαυμάσητε δέ, εἰ παράδοξον ἐρῶ λόγον· καὶ γάρ ἐστι παράδοξος μέν, ἀληθὴς δέ, ὡς ἔγωγέ φημι καὶ ὑμεῖς συμφήσετε, ἂν διὰ τέλους μαθεῖν ἀναμείνητε, ἀλλὰ μή, ὃ ἐγκαλῶ, πάθητε καὶ προεξαναστῆτε τοῦ λόγου διὰ θερμότητα.

Γ'. Φύσεις θερμαὶ καὶ μεγάλαι τῆς ταραχῆς ταύτης αἴτιον· οὔτεγε ἁπλῶς διάπυροι καὶ μεγάλαι (μήπω γὰρ καταγινώσκομεν τῆς θερμότητος, ἧς δίχα μέγα τι κατορθωθῆναι πρὸς εὐσέβειαν ἢ ἀρετὴν ἄλλην ἀμήχανον), ἀλλὰ γενναῖαι σὺν ἀλογίᾳ καὶ **[177]** ἀμαθίᾳ καί, τῷ ταύτης ἐκγόνῳ κακῷ, θράσει· θράσος γὰρ ἀμαθίας ἔκγονον. Αἱ μὲν γὰρ ἀσθενεῖς καὶ πρὸς ἀρετὴν καὶ πρὸς κακίαν ὁμοίως νωθεῖς καὶ δυσκίνητοι καὶ οὐδ' ἑτέρωσε μέγα νεύουσαι, οἷα τὰ τῶν ναρκώντων κινήματα. Αἱ γενναῖαι δέ, λόγου μὲν αὐτὰς παιδαγωγοῦντος καὶ διευθύνοντος, μέγα τι χρῆμα πρὸς ἀρετήν· ἐπιλειπούσης δὲ ἐπιστήμης καὶ λόγου, τὸ ἴσον εἰς κακίαν εὑρίσκονται. Ἐπεὶ καὶ ἵππον θυμοειδῆ μὲν εἶναι χρὴ καὶ γενναῖον, τὸν ἐσόμενον νικηφόρον, εἴτε πολεμιστήριον, εἴτε ἁμιλλητήριον· εἴη δ' ἂν ὁ αὐτὸς οὐδὲν ἀγαθοῦ, μὴ χαλινῷ παιδευθεὶς καὶ γυμνασίᾳ φιλοπονωτέρᾳ μαθὼν ἡμερότητα.

Δ'. Καὶ τοῦτό ἐστιν, ὡς ἐπὶ τὸ πλεῖστον, ὃ διέσπασε μέλη, διέστησεν ἀδελφούς, πόλεις ἐτάραξε, δήμους ἐξέμηνεν, ὥπλισεν ἔθνη, βασιλεῖς ἐπανέστησεν, ἱερεῖς λαῷ καὶ ἀλλήλοις, λαὸν ἑαυτῷ καὶ ἱερεῦσι, γονεῖς τέκνοις, τέκνα γονεῦσιν, ἄνδρας γυναιξί, γυναῖκας ἀνδράσι. Πάντα τὰ τῆς εὐνοίας ὀνόματα, δούλους καὶ δεσπότας ἀλλήλους, ἀλλήλους διδασκάλους καὶ μαθητάς, πρεσβύτας καὶ νέους καὶ τὸν τῆς αἰδοῦς ἀτιμάσαν νόμον, τοῦ μεγίστου πρὸς ἀρετὴν βοηθήματος, τὸν τῆς αὐθαδείας εἰσήνεγκεν· καὶ γεγόναμεν οὐ φυλή, καὶ φυλὴ καθ' ἑαυτήν, ὃ πάλαι ὁ Ἰσραὴλ ὠνειδίζετο· οὐδὲ Ἰσραὴλ καὶ Ἰούδας, τὰ δύο καὶ ἑνὸς ἔθνους καὶ μικροῦ τούτου τμήματα, κατ' οἴκους δὲ καὶ συζυγίας τὰς ἀναγκαίας καὶ οἷον πρὸς ἑαυτὸν ἕκαστος, ἐμερίσθημεν ἡ οἰκουμένη πᾶσα καὶ γένος ἅπαν ἀνθρώπων, ὅσον ὁ θεῖος λόγος ἐπέδραμεν· καὶ γέγονεν ἀναρχία ἡ πολυαρχία καὶ «διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην»[1]· καὶ ἐχρῆν, ἐπειδὴ τῶν ἐκτὸς

1. Ψαλ. 140,7.

ἐχθρῶν ἐκρατήσαμεν, ὑπ᾽ ἀλλήλων ἡμᾶς καταλυθῆναι καί, καθάπερ τοὺς μαινομένους, τῶν ἰδίων σαρκῶν ἁπτομένους, μηδὲ αἰσθάνεσθαι, ἀλλὰ καὶ χαίρειν τῷ κακῷ πλέον ἢ εἰρηνεύοντες ἕτεροι καὶ κέρδος ποιεῖσθαι τὴν συμφορὰν καὶ ἡγεῖσθαι λατρείαν εἰσφέρειν τῷ Θεῷ[1] τὴν κατάλυσιν, καὶ διαιρεθῆναι καὶ ἐμπρησθῆναι, οὐ τὴν ἐπαινετὴν διαίρεσιν, ἀλλὰ τὴν ψεκτήν, οὐδὲ τὸν καθάρσιον ἐμπρησμόν, ἀλλὰ τὸν ὀλέθριον. Οὐ γὰρ ὁ τομὸς διαιρεῖ λόγος[2], ἡ Χριστοῦ μάχαιρα, τοὺς πιστεύοντας ἀπὸ τῶν ἀπίστων, οὐδὲ πῦρ βάλλεται καὶ ἀνάπτεται[3], ἡ δαπανῶσα τὴν ὕλην καὶ ἐσθίουσα πίστις καὶ ἡ ζέσις τοῦ Πνεύματος· ἀλλ᾽ ἐναντίως ἢ πρότερον, δαπανώμεθα καὶ τεμνόμεθα.

[180] Ε′. Τοῦτο ἐστὶν ὃ πολλὰ εἶναι μέρη τὴν μίαν Ἐκκλησίαν πεποίηκε καὶ διέστησεν, οὐκ εἰς ἕνα Παῦλον ἢ Κηφᾶν ἢ Ἀπολλῶ[4], ἢ τὸν δεῖνα φυτευτὴν ἢ τὸν δεῖνα ποτιστήν· πολλοὺς δὲ ἀνέδειξε Παύλους καὶ Ἀπολλῶς καὶ Κηφᾶς, ἀφ᾽ ὧν ἀντὶ Χριστοῦ καλούμεθα, τὸ μέγα καὶ καινὸν ὄνομα, καὶ ὧν εἶναι λεγόμεθα· καὶ εἴθε τοσοῦτον εἶχον εἰπεῖν· ἀλλὰ καὶ πολλοὺς (ὃ φρίττω λέγων) Χριστοὺς ἀνθ᾽ ἑνός, τὸν γεννώμενον, τὸν κτιζόμενον καὶ τὸν ἀπὸ Μαρίας ἀρχόμενον καὶ τὸν ἀναλύοντα ὅθεν εἰς τὸ εἶναι προῆλθε καὶ τὸν ἄνουν ἄνθρωπον καὶ τὸν ὄντα καὶ τὸν φαινόμενον. Ὡς δὲ καὶ πολλὰ Πνεύματα, τὸ ἄκτιστον καὶ τὸ κτίσμα καὶ τὸ ὁμότιμον καὶ τὸ ἐνέργημα καὶ τὸ ψιλὸν ὄνομα. Δέον ἕνα Θεὸν Πατέρα γινώσκειν, ἄναρχον καὶ ἀγέννητον, καὶ Υἱὸν ἕνα γεγεννημένον ἐκ τοῦ Πατρός, καὶ Πνεῦμα ἓν ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, παραχωροῦν Πατρὶ μὲν ἀγεννησίας, Υἱῷ δὲ γεννήσεως· τὰ δὲ ἄλλα συμφυὲς καὶ σύνθρονον καὶ ὁμόδοξον καὶ ὁμότιμον· ταῦτα εἰδέναι, ταῦτα ὁμολογεῖν, μέχρι τούτων ἵστασθαι, τὴν δὲ πολλὴν φλυαρίαν καὶ «τὰς βεβήλους κενοφωνίας»[5] τῶν λόγων, τοῖς σχολὴν ἄγουσιν ἀποπέμπεσθαι. Τί τὸ ταῦτα πάντα κεκινηκός; Θερμότης χωρὶς λόγου καὶ ἐπιστήμης ἄσχετος καὶ πίστεως πλοῦς ἀκυβέρνητος.

Ϛ′. Τοῦτο οὖν εἰδότες, ἀδελφοί, μήτε νωθεῖς ὦμεν πρὸς τὸ καλόν, ἀλλὰ τῷ Πνεύματι ζέωμεν, μήποτε ὑπνώσωμεν κατ᾽ ὀλίγον εἰς θάνατον ἤ, καθεύδουσιν ἡμῖν, ἐπισπείρῃ τὰ πονηρὰ σπέρματα ὁ ἐχθρός[6]· νωθεία γὰρ ὕπνῳ σύζυγος· μήτε διάπυροι σὺν ἀλογίᾳ καὶ φιλαυτίᾳ, ἵνα μὴ ἐκφερώμεθα, μηδὲ τῆς ὁδοῦ τῆς βασιλικῆς ἔξω πίπτωμεν· ἕν γέ τι πταίοντες πάντως, ἢ κέντρων δεόμενοι διὰ τὴν νωθείαν ἢ κρημνιζόμενοι διὰ τὴν θερμότητα. Ἀμφοτέρων δὲ ὅσον χρήσιμόν ἐστι λαβόντες, τῆς μὲν τὸ πρᾶον, τῆς δὲ τὸν ζῆλον· ἀμφοτέρων ὅσον ἐστὶ βλαβερὸν διαφύγωμεν, τῆς μὲν τὸν ὄκνον, τῆς δὲ τὸ θράσος· ἵνα μήτε τῷ ἐλλείποντι ὦμεν ἄκαρποι, μήτε τῷ περιττεύοντι κινδυνεύωμεν. Ὁμοίως γὰρ ἄχρηστα καὶ νωθρότης ἄπρακτος

---

1. Πρβλ. Ἰω. 16,2. 2. Πρβλ. Ἑβρ. 4,12. 3. Πρβλ. Λουκ. 12,49. 4. Πρβλ. Α′ Κορ. 3,4. 5. Α′ Τιμ. 6,26. 6. Πρβλ. Ματθ. 13,25.

καὶ θερμότης ἀπαίδευτος· ἡ μὲν οὐκ ἐγγίζουσα τῷ καλῷ, ἡ δὲ ὑπερπίπτουσα καὶ τοῦ δεξιοῦ ποιουμένη τι δεξιώτερον. Ὅπερ καὶ ὁ θεῖος Σολομὼν καλῶς ἐπιστάμενος, «Μὴ ἐκκλίνῃς», φησίν, «εἰς τὰ δεξιά, μηδ' εἰς τὰ ἀριστερά»[1]· μηδὲ διὰ τῶν ἐναντίων εἰς κακὸν ἴσον ἐμπέσῃς, τὴν ἁμαρτίαν. Καίτοιγε τὸ φύσει δεξιὸν ἐπαινῶν, «Ὁδοὺς γάρ», φησί, «τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεός· **[181]** διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν»[2]. Πῶς οὖν ἐπαινεῖ τὸ δεξιὸν καὶ ἀπάγει πάλιν τοῦ δεξιοῦ[3]; Τούτου δηλαδὴ τοῦ φαινομένου δεξιοῦ, καὶ οὐκ ὄντος. Πρὸς ὃ βλέπων ἑτέρωθι, «Μὴ γίνου δίκαιος πολύ» φησὶ «μηδὲ σοφίζου περισσά»[4]. Τὸ γὰρ αὐτὸ καὶ περὶ δικαιοσύνην καὶ περὶ σοφίαν πάθος, θερμότης περὶ πρᾶξιν καὶ λόγον, ἔξω τοῦ καλοῦ καὶ τῆς ἀρετῆς δι' ὑπερβολὴν πίπτουσα. Ἢ καὶ τὸ ἐνδέον καὶ τὸ ὑπερβάλλον ὁμοίως λυμαίνεται, ὥσπερ καὶ τῷ κανόνι πρόσθεσις ἢ ὑφαίρεσις.

Ζ'. Μηδεὶς οὖν ἔστω πλέον ἢ καλῶς ἔχει σοφός, μηδὲ τοῦ νόμου νομιμώτερος, μηδὲ λαμπρότερος τοῦ φωτός, μηδὲ τοῦ κανόνος εὐθύτερος, μηδὲ τῆς ἐντολῆς ὑψηλότερος. Ἔσται δὲ τοῦτο πῶς; Ἐὰν εἰδῶμεν κόσμον καὶ ἐπαινῶμεν φύσεως νόμον καὶ ἐπώμεθα λόγῳ καὶ μὴ ἀτιμάζωμεν εὐταξίαν. Ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω καὶ εἰς τὴν γῆν κάτω[5] καὶ ἐννοήσατε, πῶς συνέστη τὸ πᾶν καὶ ὅθεν καὶ τί πρὸ τῆς διακοσμήσεως ἦν καὶ τί νῦν ὄνομα τῷ παντί. Τάξει τὰ πάντα διεκοσμήθη καὶ ὁ διακοσμήσας Λόγος· καίτοιγε ὡς ἓν τὰ πάντα καὶ ἀθρόως ὑποστῆναι δυνατὸν ἦν (ὁ γὰρ τοῖς οὐκ οὖσι τὸ εἶναι δοὺς καὶ τοῖς γενομένοις τὰς ἰδέας καὶ τὰ σχήματα, οὐδ' ὁμοῦ τὸ πᾶν ἀναδεῖξαι καὶ διακοσμῆσαι ἀσθενὴς ἦν)· ἀλλὰ διὰ τοῦτο πρῶτόν τι καὶ δεύτερον ἀριθμεῖται, καὶ τρίτον καὶ τὰ ἑξῆς, ἵνα τάξις εὐθὺς συνεισέλθῃ τοῖς κτίσμασι.

Η'. Τάξις οὖν τὸ πᾶν συνεστήσατο. Τάξις συνέχει καὶ τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια· τάξις ἐν νοητοῖς· τάξις ἐν αἰσθητοῖς· τάξις ἐν ἀγγέλοις· τάξις ἐν ἄστροις καὶ κινήσει καὶ μεγέθει καὶ σχέσει τῇ πρὸς ἄλληλα καὶ λαμπρότητι. «Ἄλλη δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ»[6]· τάξις ἐν ὥραις καὶ καιροῖς, ἐν κόσμῳ προϊοῦσί τε καὶ ὑπαπιοῦσι καὶ διὰ τῆς μεσότητος τὸ αὐστηρὸν τιθασσεύουσι· τάξις ἐν ἡμέρας καὶ νυκτὸς μέτροις καὶ διαστήμασι. Τάξις ἐν στοιχείοις, ἐξ ὧν τὰ σώματα· τάξις περιήγαγεν οὐρανόν, ἤπλωσεν ἀέρα, γῆν ὑπέθηκεν ἢ καὶ ὑπερέθηκε, φύσιν ὑγρὰν ἔχεε καὶ συνήγαγεν, ἀνέμους ἀφῆκε καὶ οὐκ ἀπαφῆκεν, ὕδωρ ἔδησεν ἐν νεφέλαις καὶ οὐ κατέσχεν, ἀλλ' ἔσπειρεν ἐπὶ πρόσωπον πάσης τῆς **[184]** γῆς, εὐτάκτως καὶ ὁμοτίμως· καὶ ταῦτα οὐκ ἐπ' ὀλίγον, οὐδὲ εἰς ἕνα καιρὸν ἢ χρόνον, ἀλλ' ἀπ' ἀρχῆς εἰς τέλος, τὴν αὐτὴν ὁδὸν εὐθυνόμενα καὶ περιπορευόμενα,

---

1. Παρμ. 4,27. 2. Παρμ. 4,27α. 3. Πρβλ. ἔνθ' ἀν. 4. Ἐκκλ. 7,16. 5. Πρβλ. Ἡσ. 51,6. 6. Α' Κορ. 15,41.

πεπηγότα τε καὶ κινούμενα, τὸ μὲν τῷ Λόγῳ, τὸ δὲ τῇ ῥεύσει· «Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσεται»[1]. Τοῦτο τῆς πήξεως· καὶ εἴ τι γέγονεν ἢ γενήσεται, τοῦτο τοῦ ῥήματος. Καὶ τάξεως μὲν ἐπικρατούσης, κόσμος τὸ πᾶν καὶ τὸ κάλλος ἀκίνητον. Ἀταξία δὲ καὶ ἀκοσμία, ἐν μὲν ἀέρι τοὺς σκηπτούς, ἐν δὲ γῇ τοὺς σεισμούς, ἐν δὲ θαλάσσῃ τὰς ἐπικλύσεις, ἐν δὲ πόλεσι καὶ οἴκοις πολέμους, ἐν δὲ τοῖς σώμασι τὰς ἀρρωστίας, ἐν δὲ ταῖς ψυχαῖς τὰς ἁμαρτίας ἐκαινοτόμησεν. Ταῦτα πάντα οὐ τάξεως, οὐδὲ εἰρήνης, ἀλλὰ ταραχῆς καὶ ἀταξίας ὀνόματα. Καὶ τὴν θρυλλουμένην δὲ φθορὰν καὶ προσδοκωμένην, μὴ ἄλλο τι, ἀδελφοί, ἢ πλεονασμὸν ἀταξίας εἶναι νομίζωμεν. Συνδεῖ μὲν γὰρ τάξις, λύει δὲ ἀταξία, ὅταν λῦσαι τὸ πᾶν ἢ μεταποιῆσαι παραστῇ τῷ συνδήσαντι.

Θ΄. Τάξις καὶ τοῖς ζῴοις ἅπασι γένεσιν καὶ τροφὴν καὶ τὰς καταλλήλους ἑκάστῳ χώρας ἐνομοθέτησε. Καὶ οὔτε δελφῖνά τις εἶδεν αὔλακα τέμνοντα, οὔτε βοῦν δι' ὕδατος ὀλισθαίνοντα· ὥσπερ οὐδ' ἥλιον ἐν νυκτὶ μειούμενον ἢ πληρούμενον, οὔτε σελήνην ἐν ἡμέρᾳ πυρσεύουσαν· «ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ»[2]. Νὺξ καὶ ἄνθρωπος ὕπνῳ συστέλλεται καὶ τὰ θηρία παρρησιάζεται καὶ ζητεῖ τροφὴν ἕκαστον τὴν διδομένην παρὰ τοῦ κτίσαντος· ἡμέρα καὶ τὰ θηρία συνάγεται καὶ ἄνθρωπος ἐπὶ τὴν ἐργασίαν ἐπείγεται· καὶ ἀλλήλοις ὑποχωροῦμεν ἐν τάξει, νόμῳ καὶ λόγῳ φύσεως. Προσθήσω τὸ μέγιστόν τε καὶ οἰκειότατον. Τάξις ἐκ λογικοῦ τε καὶ ἀλόγου κράματος, τὸν ἄνθρωπον ζῷον λογικὸν συνεστήσατο· καὶ συνέδησε μυστικῶς τε καὶ ἀρρήτως τὸν χοῦν τῷ νοΐ καὶ τὸν νοῦν τῷ πνεύματι. Καὶ ἵνα θαυματουργήσῃ τις μεῖζον ἐν τῷ ἑαυτοῦ πλάσματι, τὸ αὐτὸ καὶ διεσώσατο καὶ διέλυσε. Τὸ μὲν γὰρ ἐπεισήγαγε, τὸ δὲ ὑπεξήγαγεν, ὥσπερ ἐν ῥεύματι καὶ τῷ θνητῷ τὴν ἀθανασίαν ἐπραγματεύσατο διὰ λύσεως. Αὕτη καὶ τῶν ἀλόγων ἡμᾶς **[185]** διέστησε καὶ πόλεις ᾤκισε καὶ νόμους ἔθετο καὶ ἀρετὴν ἐτίμησε καὶ κακίαν ἐκόλασε καὶ τέχνας εὗρατο καὶ συζυγίαν ἡρμόσατο καὶ τῷ περὶ τὰ γεννώμενα φίλτρῳ τὸν βίον ἡμέρωσε καὶ μεῖζόν τι τοῦ κάτω πόθου καὶ τοῦ σαρκικοῦ τὸν περὶ Θεὸν ἐνιδρύσατο.

Ι΄. Καὶ τί δεῖ καθ' ἕκαστον λέγειν; Τάξις τῶν ὄντων ἐστὶ μήτηρ καὶ ἀσφάλεια· καὶ τὸ τοῦ Λόγου, μόνη καλῶς ἂν εἴποι, τοῦ πάντα δημιουργήσαντος, εἴ γε λάβοι φωνήν. Ὅτε τὸ πᾶν οὐσιοῦτο τῷ Θεῷ καὶ ὑφίστατο, ἐγὼ «ἤμην παρ' αὐτῷ ἁρμόζουσα»[3]· ἡνίκα ἡτοίμαζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων καὶ ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη· ἡνίκα ἐθεμελίου τὴν γῆν καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τὰς ὑπ' οὐρανόν[4], καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαν δύ-

1. Ψαλ. 148,6. 2. Ψαλ. 103,18,19. 3. Παρμ. 8,30. 4. Πρβλ. Παρμ. 27,29.

ναμιν ἐχαρίσατο[1]. Ἀλλ' (οὗ χάριν ταῦτα πάντα διῆλθον καὶ πρὸς ὃ πάλαι ὁ λόγος ἠπείγετο), τάξις κἀν ταῖς Ἐκκλησίαις, τὸ μὲν εἶναί τι ποίμνιον, τὸ δὲ ποιμένας διώρισε· καὶ τὸ μὲν ἄρχειν, τὸ δὲ ἄρχεσθαι· καὶ τὸ μὲν οἷον εἶναι κεφαλήν, τὸ δὲ πόδας, τὸ δὲ χεῖρας, τὸ δὲ ὀφθαλμόν, τὸ δὲ ἄλλο τι τῶν μελῶν τοῦ σώματος, πρὸς τὴν τοῦ παντὸς εὐαρμοστίαν καὶ τὸ συμφέρον, ἢ προεχομένων ἢ προεχόντων· καί, ὥσπερ ἐν τοῖς σώμασιν, οὔτε ἀπέρρηκται ἀλλήλων τὰ μέλη, ἀλλ' ἓν σῶμα τὸ πᾶν ἐστιν ἐκ διαφόρων συγκείμενον· οὔτε ταὐτὸ πάντων ἐνέργημα, εἰ καὶ ταὐτὸ τὸ χρήζειν ἀλλήλων εἰς ἀνάγκην εὐνοίας τε καὶ συννεύσεως καὶ οὔτε ὀφθαλμὸς βαδίζει, ἀλλ' ὁδηγεῖ· οὔτε πρὸς προβλέπει, ἀλλὰ μεταβαίνει καὶ μετατίθησιν· οὔτε γλῶσσα δέχεται φωνάς, ἀκοῆς γάρ· οὔτε ἀκοὴ φθέγγεται, γλώσσης γάρ· καὶ ῥὶς μὲν ὀσμῶν αἰσθητήριον· λάρυγξ δὲ σῖτα γεύεται, φησὶν ὁ Ἰώβ[2]· χεὶρ δὲ τοῦ διδόναι καὶ τοῦ λαμβάνειν ὄργανον· νοῦς δὲ τοῖς πᾶσιν ἡγεμών, παρ' οὗ τὸ αἰσθάνεσθαι καὶ εἰς ὃν ἡ αἴσθησις. Οὕτω καὶ παρ' ἡμῖν, τῷ κοινῷ Χριστοῦ σώματι.

ΙΑ'. Οἱ γὰρ πάντες ἓν σῶμά ἐσμεν ἐν Χριστῷ· οἱ δὲ καθ' ἕνα Χριστοῦ καὶ ἀλλήλων μέλη[3]. Τὸ μὲν γὰρ ἄρχει καὶ προκαθέζεται, τὸ δὲ ἄγεται καὶ εὐθύνεται καὶ οὔτε ταὐτὸν ἀμφότερα ἐνεργεῖ, εἴπερ μὴ ταὐτὸν ἄρχειν καὶ ἄρχεσθαι· καὶ γίνεται ἀμφότερα ἓν εἰς ἕνα Χριστόν, ὑπὸ τοῦ αὐτοῦ συναρμολογούμενα καὶ συντιθέμενα Πνεύματος. Κἀν τοῖς ἀρχομένοις πάλιν, ὅσον τὸ μέσον καὶ παιδεύσει καὶ ἀσκήσει καὶ ἡλι[188]κίᾳ διεστηκόσι· κἀν τοῖς ἄγουσι τὸ διάφορον ὅσον· «καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται»[4], Παύλου λέγοντος, μὴ ἀμφίβαλλε. «Καὶ οὓς μὲν ἔθετο, φησίν, ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκάλους»[5]· πρῶτον διὰ τὴν ἀλήθειαν, δεύτερον διὰ τὴν σκιάν, τρίτον διὰ τὸ μέτρον τῆς ὠφελείας καὶ τῆς ἐλλάμψεως. Καὶ τὸ μὲν Πνεῦμα ἕν, τὰ χαρίσματα δὲ οὐκ ἴσα, ὅτι μηδὲ τὰ δοχεῖα τοῦ Πνεύματος. Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας καὶ θεωρίας, ἄλλῳ δὲ λόγος γνώσεως ἢ ἀποκαλύψεως, ἄλλῳ πίστις[6] βεβαία καὶ ἀνενδοίαστος, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων καὶ θαυμάτων ὑψηλοτέρων, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἀντιλήψεις, εἴτουν προστασίαι, κυβερνήσεις, εἴτουν παιδαγωγίαι σαρκός, γένη γλωσσῶν, ἑρμηνεῖαι γλωσσῶν[7], τὰ μείζω χαρίσματα καὶ τὰ δεύτερα, κατὰ τὴν ἀναλογία τῆς πίστεως.

ΙΒ'. Ταύτην αἰδώμεθα τὴν τάξιν, ἀδελφοί· ταύτην φυλάττωμεν. Ὁ μὲν ἔστω τις ἀκοή, ὁ δὲ γλῶττα, ὁ δὲ χείρ, ὁ δὲ ἄλλο τι τούτων. Ὁ μὲν διδασκέτω, ὁ δὲ μανθανέτω· ὁ δὲ ἐργαζέσθω τὸ ἀγαθὸν ταῖς ἰδίαις χερσὶν εἰς μετάδοσιν τοῦ δεομένου καὶ χρήζοντος[8]. Ὁ μὲν ἀρ-

1. Πρβλ. Ψαλ. 32,6. 2. Πρβλ. Ἰώβ 34,3. 3. Πρβλ. Ρωμ. 12,5. 4. Α' Κορ. 14,32. 5. Α' Κορ. 12,28. 6. Πρβλ. Α' Κορ. 12,8. 7. Πρβλ. Α' Κορ. 12,28. 8. Πρβλ. Ἐφ. 4,28.

χέτω καὶ προβεβλήσθω· ὁ δὲ δικαιούσθω διὰ τῆς ὑπουργίας· καὶ ὁ διδάσκων ἐγκόσμως. Προφῆται γὰρ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ ἀνὰ μέρος καὶ εἷς διερμηνευέτω. Ἄλλου δὲ τρανωθέντος, ὁ πρῶτος ὑποχωρείτω[1]. Καὶ ὁ μανθάνων, ἐν εὐπειθείᾳ· καὶ ὁ χορηγῶν, ἐν ἱλαρότητι[2]· καὶ ὁ ὑπουργῶν, ἐν προθυμίᾳ. Μὴ πάντες ὦμεν γλῶσσα, τὸ ἑτοιμότατον· «μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται»[3], μὴ πάντες διερμενεύωμεν[4]. Μέγα τὸ περὶ Θεοῦ λαλεῖν; Ἀλλὰ μεῖζον τὸ ἑαυτὸν καθαίρειν Θεῷ· ἐπειδὴ «εἰς κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύσεται»[5]. Καὶ σπείρειν ἐκελεύσθημεν εἰς δικαιοσύνην καὶ τρυγᾶν καρπὸν ζωῆς, ἵνα καὶ φωτισθῶμεν τῷ φωτὶ τῆς γνώσεως[6]. Καὶ Παῦλος, διὰ τοῦ ἀγαπᾶν ἡμᾶς τὸν Κύριον, ὑπὸ Κυρίου γινώσκεσθαι βούλεται[7], διὰ δὲ τοῦ γιγνώσκεσθαι, τὸ διδάσκεσθαι καὶ ταύτην ὁδὸν βελτίονα οἶδεν εἰς γνῶσιν, τῆς φυσιούσης οἰήσεως.

ΙΓ′. Μέγα τὸ διδάσκειν; Ἀλλὰ τὸ μανθάνειν ἀκίνδυνον. Τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; τί γίνῃ κεφαλή, πούς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις; τί τὰ μεγάλα καὶ οὐκ ἀσφαλῆ κέρδη τῆς θαλάσσης ἐπιδιώκεις, ἐνὸν ἀκινδύνως γεωργεῖν γῆν, εἰ καὶ κερδαίνοις **[189]** ἐλάσσονα; Καὶ εἰ μὲν ἀνὴρ εἶ κατὰ Χριστὸν καὶ γεγύμνασταί σοι τὰ αἰσθητήρια[8] καὶ λαμπρόν σοι τὸ φῶς τῆς γνώσεως, λάλει Θεοῦ σοφίαν τὴν λαλουμένην ἐν τοῖς τελείοις[9] καὶ τὴν ἀποκεκρυμμένην ἐν μυστηρίῳ· καὶ ταύτην, ὅταν καιρὸν λάβῃς καὶ πιστευθῇς. Τί γὰρ ἔχεις παρὰ σεαυτοῦ, ὃ μὴ δέδοται, μηδὲ εἴληφας[10]; Εἰ δὲ ἔτι νήπιος εἶ καὶ χαμερπὴς τὴν διάνοιαν καὶ τοῖς ὑψηλοτέροις προσβαίνειν οὐχ ἱκανός, γενοῦ Κορίνθιος, γάλακτι τράφηθι[11]. Τί χρήζεις στερεωτέρας τροφῆς, ἣν οὐκ ἀναλίσκει τὰ μέλη καὶ ποιεῖ τροφὴν δι' ἀσθένειαν; Φθέγγου μέν, εἴ τι κρεῖττον σιωπῆς ἔχεις (καὶ γὰρ τὸ τάξιν στείλασθαι χείλεσιν ἐπαινούμενον, ἔγνως)[12]· ἀγάπα δὲ ἡσυχίαν, ἔνθα κρεῖττον λόγου τὸ σιωπᾶν· καὶ τὰ μὲν εἰπεῖν, τὰ δὲ ἀκοῦσαι· καὶ τὰ μὲν ἐπαινέσαι, τὰ δὲ μὴ πικρῶς ἀποπέμψασθαι.

ΙΔ′. Οὐκ ἴστε τὸν ἀγῶνα τὸν ἡμέτερον, ἀδελφοί, τῶν σοβαρῶς ἐνταῦθα προκαθεζομένων καὶ ταῦτα νομοθετούντων ὑμῖν τοῖς πολλοῖς. Τάχα δὲ οὐδὲ ἡμῶν αὐτῶν οἱ πλείους γιγνώσκομεν (ὃ καὶ δακρύειν ἄξιον), ὅπως παρὰ Θεῷ ταλαντεύεται καὶ νόημα πᾶν καὶ λόγος καὶ πρᾶξις· καὶ οὐ παρὰ Θεῷ μόνον, ἀλλὰ καὶ τῶν ἀνθρώπων τοῖς πλείστοις· οἳ βραδεῖς μέν εἰσι τῶν ἰδίων κριταί, ταχεῖς δὲ τῶν ἀλλοτρίων ἐξετασταὶ καὶ ῥᾷον ἂν ἄλλοις τὰ μέγιστα ἢ τὰ ἐλάχιστα ἡμῖν συγχωρήσαιεν· κἂν ὦσιν ἀμαθέστεροι, θᾶττον ἂν ἡμῶν ἀσέβειαν καταγνοῖεν ἢ μετρίαν ἑαυτῶν ἄγνοιαν. Οὐκ ἴστε πηλίκον ἐκ Θεοῦ

---

1. Πρβλ. Α′ Κορ. 14,29 ἑξ. 2. Πρβλ. Ρωμ. 12,8. 3. Α′ Κορ. 12,29. 4. Πρβλ. Α′ Κορ. 12,30. 5. Σ. Σολ. 1,4. 6. Πρβλ. Ὡσ. 10,12. 7. Πρβλ. Α′ Κορ. 8,3. 8. Πρβλ. Ἑβρ. 5,14. 9. Πρβλ. Α′ Κορ. 2,6. 10. Πρβλ. Α′ Κορ. 4,7. 11. Πρβλ. Α′ Κορ. 3,2. 12. Πρβλ. Παρμ. 10,19.

δῶρον ἡ σιωπὴ καὶ τὸ μὴ ἀνάγκην ἔχειν λόγου παντός, ὥστε κατ' ἐξουσίαν, τὸν μὲν αἱρεῖσθαι, τὸν δὲ ἀποδιδράσκειν καὶ ταμιεύειν ἑαυτῷ καὶ λόγον καὶ σιωπήν. Φύσει μὲν γὰρ ἅπας λόγος σαθρὸς καὶ εὐκίνητος καὶ διὰ τὸν ἀντιμαχόμενον λόγον ἐλευθερίαν οὐκ ἔχων· ὁ δὲ περὶ Θεοῦ, τοσούτῳ μᾶλλον, ὅσῳ μεῖζον τὸ ὑποκείμενον καὶ ὁ ζῆλος πλείων καὶ ὁ κίνδυνος χαλεπώτερος. Καὶ τί φοβηθέντες, τί θαρρήσομεν; Νοῦν ἢ λόγον ἢ ἀκοήν, ἐν τρισὶ τούτοις τοῦ κινδύνου σαλεύοντος; Καὶ γὰρ νοῆσαι χαλεπὸν καὶ ἑρμηνεῦσαι ἀμήχανον καὶ ἀκοῆς κεκαθαρμένης ἐπιτυχεῖν ἐργωδέστερον.

ΙΕ'. Φῶς μὲν ὁ Θεός, καὶ φῶς τὸ ἀκρότατον· οὐ βραχεῖά τις ἀπορροὴ καὶ ἀπαύγασμα κάτω **[192]** φθάνον, φῶς ἅπαν, κἂν ὑπέρλαμπρον φαίνηται· ἀλλ' ὁρᾷς, γνόφον πατεῖ τὸν ἡμέτερον «καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ»[1], μέσον αὐτοῦ τε καὶ ἡμῶν θείς, ὥσπερ καὶ Μωυσῆς πάλαι τὸ κάλυμμα[2] ἑαυτοῦ τε καὶ τῆς πωρώσεως Ἰσραήλ, ἵνα μὴ ῥᾳδίως ἴδῃ σκοτεινὴ φύσις τὸ ἀπόθετον κάλλος καὶ ὀλίγων ἄξιον, μηδὲ ῥᾳδίως ἐπιτυχὸν, ῥᾳδίως καὶ ἀποβάλῃ διὰ τὴν εὐκολίαν τῆς κτήσεως· φῶς δὲ ὁμιλήσῃ φωτί, ἀεὶ πρὸς τὸ ὕψος ἕλκοντι διὰ τῆς ἐφέσεως καὶ νοῦς πλησιάσῃ τῷ καθαρωτάτῳ κεκαθαρμένος, καὶ τὸ μὲν ἄρτι φανῇ, τὸ δὲ ὕστερον, ἆθλον ἀρετῆς καὶ τῆς ἐντεῦθεν πρὸς αὐτὸ νεύσεως, εἴτουν ἐξομοιώσεως. «Βλέπομεν γὰρ ἄρτι», φησί, «δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην»[3]. Καὶ τὸ ταπεινὸν ἡμῶν ὅσον! καὶ ἡ ἐπαγγελία πηλίκη! γνῶναι Θεοῦ τοσοῦτον, ὅσον ἐγνώσμεθα. Ταῦτα Παῦλος, ὁ μέγας κῆρυξ τῆς ἀληθείας, ὁ τῶν ἐθνῶν ἐν πίστει διδάσκαλος[4], ὁ τὸν πολὺν κύκλον τοῦ Εὐαγγελίου πληρώσας[5], ὁ μὴ ἄλλῳ τινὶ ζῶν ἢ Χριστῷ[6], ὁ μέχρι οὐρανοῦ τρίτου φθάσας[7], ὁ τοῦ παραδείσου θεατής[8], ὁ ποθῶν διὰ τὴν τελειότητα τὴν ἀνάλυσιν[9].

ΙϚ'. Καὶ Μωυσῆς μὲν μόλις εἶδε Θεοῦ τὰ ὀπίσθια διὰ τῆς πέτρας[10] (ἄτινα ταῦτά ἐστι καὶ ἥτις ἡ πέτρα) καὶ ταῦτα πολλὰ δεηθεὶς καὶ τυχὼν ὑποσχέσεως· πλὴν ὅτι μή, ὅσον ἐπόθησεν, εἶδεν, ἀλλὰ πλέον τοῦ φαντασθέντος ἦν ὃ διέφυγεν· Μωυσῆς, ὁ τοῦ Φαραὼ Θεός, ὁ τοσοῦτον ἄγων λαόν, ὁ τηλικαύτην σημείων ἐπιδειξάμενος δύναμιν. Σὺ δέ, τίνας ἔθρεψας ἐξ οὐρανοῦ[11]; ποῖον ὕδωρ ἐκ πέτρας δέδωκας[12]; ποίαν ἔρρηξας θάλασσαν ῥάβδῳ; τίνα λαὸν διήγαγες ὡς διὰ ξηρᾶς τῆς ὑγρᾶς; τίνας ἐχθροὺς κατεπόντισας[13]; Τίνας στύλῳ πυρὸς καὶ νεφέλης ὡδήγησας[14]; τίνα κατεπολέμησας Ἀμαλὴκ εὐχῇ καὶ χειρῶν ἐκτάσει[15] καὶ τῷ σταυρῷ προτυπουμένῳ πόρρωθεν

---

1. Ψαλ. 17,12. 2. Πρβλ. Ἐξ. 34,33. 3. Α' Κορ. 13,12. 4. Πρβλ. Β' Τιμ. 1,11. 5. Πρβλ. Ρωμ. 15,19. 6. Πρβλ. Γαλ. 2,20. 7. Πρβλ. Β' Κορ. 12,2. 8. Πρβλ. Β' Κορ. 12,4. 9. Πρβλ. Φιλιπ. 1,23. 10. Πρβλ. Ἐξ. 33,22 ἑξ. 11. Πρβλ. Ἐξ. 16,13-14. 12. Πρβλ. Ἐξ. 17,6 ἑξ. 13. Πρβλ. Ἐξ. 14,16. 14. Πρβλ. Ἐξ. 13,21. 15. Πρβλ. Ἐξ. 17,10.

μυστικῶς, ἵν' ᾖ σοι συμφορὰ τὸ μὴ τελείως καταλαβεῖν Θεὸν καὶ διὰ τοῦτο πάντα δονῆται καὶ ἄνω καὶ κάτω φέρηται; Ἐπεὶ δὲ Μωυσέως ἐμνήσθην, οὐκ ἔμαθες ἐντεῦθεν χαρίσματος ἀκολουθίαν καὶ νόμον τάξεως; Εἰ μὲν εἶ Μωυσῆς, καὶ τῆς νεφέλης εἴσω χώρησον καὶ λάλει Θεῷ καὶ φωνῆς ἄκουε καὶ δέξαι νόμον καὶ νομοθέ**[193]**τησον[1]. Εἰ δὲ Ἀαρών, συνανάβηθι μέν, ἀλλὰ τῆς νεφέλης ἔξω στῆθι πλησίον[2]. Εἰ δὲ Ἰθάμαρ τις ἢ Ἐλεάζαρ[3] καὶ τρίτος ἀπὸ Μωυσέως, ἢ τῆς γερουσίας τις καὶ τῶν Ἑβδομήκοντα, ἔτι πόρρωθεν στῆθι, κἂν τῇ στάσει τὸ τρίτον ἔχων. Εἰ δὲ τοῦ λαοῦ καὶ τῶν πολλῶν εἷς, οὐ προσίεταί σε τὸ ὄρος, οὗ κἂν θηρίον θίγῃ, λιθοβοληθήσεται. Κάτω μεῖνον καὶ μόνης ἄκουε τῆς φωνῆς καὶ ταύτης ἁγνίσας σεαυτὸν καὶ καθάρας, ὡς διατέταξαι.

ΙΖ′. Καὶ ἵνα σε παιδεύσω διὰ πλειόνων, τίς τῶν ἱερέων ἐτελείου τὰς χεῖρας; Μωυσῆς. Τίς τῶν τελειουμένων ὁ πρῶτος; Ἀαρών. Καὶ ἔτι πρὸ τούτων, τίς τὰ πρὸς Θεὸν ἦν; Καὶ τίς ἀντὶ φωνῆς τῷ λαῷ[4]; Εἰς δὲ τὰ Ἅγια τῶν ἁγίων εἰσήει τίς, πλὴν ἑνός; Ἀεὶ δὲ οὗτος; Οὐδαμῶς· ἀλλ' ἅπαξ τοῦ ἐνιαυτοῦ, καὶ ἦν ὅτε. Ἔφερον δὲ τὴν σκηνὴν τίνες, πλὴν τῶν Λευϊτῶν; Καὶ οὗτοι, καθὼς διετέτακτο, οἱ μὲν τὰ τιμιώτερα ταύτης, οἱ δὲ τὰ δεύτερα, καθὼς ἡ τῶν φερόντων ἀξία; Ἐπεὶ δὲ φυλάσσεσθαι ταύτην ἔδει, ἐφύλασσον τίνες καὶ πῶς; Οἱ μὲν τόδε τὸ κλίτος, οἱ δὲ τόδε· καὶ οὐδὲ ἀόριστον, οὐδὲ ἄτακτον, οὐδὲ τῶν ἐλαχίστων. Ἡμεῖς δὲ ἂν μικροῦ δοξαρίου τύχωμεν ἢ οὐδὲ τούτου πολλάκις, ἀλλ' ὡς ἔτυχεν, ἢ δύο ἢ τρία ῥήματα τῆς Γραφῆς ἐκμελετήσωμεν καὶ ταῦτα περικεκομμένως καὶ ἀνοήτως (τοῦτο ἐκεῖνο, ἡ αὐθημερινὴ σοφία καὶ ὁ ἐν Χαλάνῃ πύργος, ὃς καλῶς τὰς γλώσσας ἐμέρισεν)· καὶ ἀπονοηθῆναι δεῖ κατὰ Μωυσέως καὶ γενέσθαι Δαθὰν καὶ Ἀβειρὼν τοὺς ὑβριστὰς καὶ ἀθέους. Ὧν φύγωμεν τὴν αὐθάδειαν καὶ μηδὲ τὴν ἀπόνοιαν μιμησώμεθα, μηδὲ τὸ τέλος δεξώμεθα.

ΙΗ′. Βούλει δὲ καὶ ἄλλην σοι παραστήσω τάξιν, καὶ ταύτην ἐπαινετὴν καὶ ταύτην ἀξίαν τῆς εἰς τὸ παρὸν μνήμης καὶ νουθεσίας; Ὁρᾷς τῶν Χριστοῦ μαθητῶν, πάντων ὄντων ὑψηλῶν καὶ τῆς ἐκλογῆς ἀξίων, ὁ μὲν Πέτρα καλεῖται[5] καὶ τοὺς θεμελίους τῆς Ἐκκλησίας πιστεύεται, ὁ δὲ ἀγαπᾶται πλέον καὶ ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ ἀναπαύεται[6] καὶ φέρουσιν οἱ λοιποὶ τὴν προτίμησιν. Ἀναβῆναι δὲ εἰς τὸ ὄρος δεῆσαν, ἵνα τῇ μορφῇ λάμψῃ καὶ τὴν θεότητα παραδείξῃ καὶ γυμνώσῃ τὸν ἐν τῇ σαρκὶ κρυπτόμενον[7], τίνες συναναβαίνουσιν (οὐ γὰρ πάντες ἐπόπται τοῦ θαύματος); Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ πρὸ τῶν ἄλλων καὶ ὄντες καὶ ἀριθμούμενοι. Παρεῖναι δὲ

---

1. Πρβλ. Ἐξ. 19,3 ἑξ. 2. Πρβλ. Ἐξ. 24,1 ἑξ. 3. Πρβλ. Ἐξ. 28,1 ἑξ. 4. Πρβλ. Λευϊτ. 16,2. Ἑβρ. 9,7. 5. Πρβλ. Ματθ. 16,18. 6. Πρβλ. Ἰω. 13,25. 7. Πρβλ. Ματθ. 17,1 ἑξ.

ἀγωνιόντι καὶ ἀναχωροῦντι μι[196]κρὸν πρὸ τοῦ πάθους καὶ εὐχομένῳ[1], τίνες; Οἱ αὐτοὶ πάλιν. Αὕτη μὲν ἡ τοῦ Χριστοῦ προτίμησις. Ἡ λοιπὴ δὲ εὐκοσμία καὶ τάξις, ὅση; Τὸ μὲν Πέτρος ἐρωτᾷ[2], τὸ δὲ Φίλιππος[3], τὸ δὲ Ἰούδας[4], τὸ δὲ Θωμᾶς[5], τὸ δὲ ἄλλος τις καὶ οὐδὲ τὸ αὐτὸ πάντες, οὐδὲ τὰ πάντα εἷς, ἀλλ' ἕκαστος ἐν μέρει καὶ καθ' ἕν. Οὗπερ ἕκαστος ἔχρηζεν, εἴποις ἄν; Ἀλλ' ἐκείνῳ γε, τί σοι φαίνεται; Βούλεταί τι Φίλιππος εἰπεῖν καὶ οὐ θαρρεῖ μόνος, ἀλλὰ καὶ Ἀνδρέαν προσλαμβάνει[6]. Χρήζει πυθέσθαι τι Πέτρος καὶ Ἰωάννην προβάλλεται διὰ νεύματος[7]. Ποῦ τὸ αὐστηρὸν ἐνταῦθα; Ποῦ δὲ τὸ φίλαρχον; Πῶς ἂν μᾶλλον ἔδειξαν ὄντες μαθηταὶ Χριστοῦ, τοῦ πράου καὶ ταπεινοῦ τὴν καρδίαν[8] καὶ δούλου δι' ἡμᾶς τοὺς αὐτοῦ δούλους καὶ πᾶσαν τῷ Πατρὶ τὴν δόξαν ἐν πᾶσιν ἀναπέμποντος, ἵν' ἡμῖν δῷ τύπον εὐταξίας καὶ μετριότητος; Ἦν τοσοῦτον τιμᾶν ἀπέχομεν, ὥστε ἀγαπῴην ἄν, εἰ μὴ καὶ θρασύτεροι πάντων εἴημεν, οἵ γε περὶ μεγίστων κἀν τοῖς μεγίστοις ταύτην ἐπιδεικνύμεθα.

ΙΘ'. Οὐκ οἶσθα, ὅτι τὸ ταπεινόν, οὐκ ἐν τοῖς μικροῖς κρίνεται τοσοῦτον (γένοιτο γὰρ ἂν καὶ δι' ἔνδειξιν καὶ ψευδῆ μόρφωσιν ἀρετῆς), ὅσον ἐν τοῖς μείζοσι δοκιμάζεται; Καὶ ταπεινόφρων ἐμοὶ οὐχ ὅστις περὶ ἑαυτοῦ μικρὰ διαλέγεται, καὶ τοῦτο πρὸς ὀλίγους καὶ ὀλιγάκις, οὐδ' ὅστις ταπεινῶς προσαγορεύει τὸν ἀτιμότερον, ἀλλ' ὅστις μετρίως περὶ Θεοῦ φθέγγεται· καὶ τὰ μὲν εἰπεῖν οἶδε, τὰ δὲ κατέχειν, τῶν δὲ ὁμολογεῖν τὴν ἄγνοιαν καὶ παραχωρεῖ τοῦ λόγου τῷ πιστευθέντι καὶ εἶναί τινα πνευματικώτερον δέχεται καὶ διαβεβηκότα μᾶλλον ἐν θεωρίᾳ. Αἰσχρὸν γὰρ ἐσθῆτος μὲν καὶ διαίτης, μὴ τὴν ὑψηλοτέραν αἱρεῖσθαι, ἀλλὰ τὴν εὐτελεστέραν καὶ τύλοις γονάτων καὶ δακρύων πηγαῖς, ἔτι δὲ νηστείαις καὶ ἀγρυπνίαις καὶ χαμευνίαις, κόπῳ καὶ πᾶσιν ὑπωπιασμοῖς τὸ ταπεινὸν ἐπιδείκνυσθαι καὶ τὴν τῆς ἰδίας ἀσθενείας συναίσθησιν· αὐτοκράτορα δὲ εἶναι καὶ τύραννον ἐν τοῖς περὶ Θεοῦ λόγοις καὶ μηδενὶ τὸ παράπαν ὑφίεσθαι καὶ τὴν ὀφρὺν αἴρειν ὑπὲρ πάντα νομοδιδάσκαλον· ἔνθα τὸ ταπεινὸν μετὰ τῆς εὐδοξίας ἔχει καὶ τὴν ἀσφάλειαν.

Κ'. Τί οὖν; σιωπησόμεθα περὶ Θεοῦ καὶ τοῦτο κελεύεις (ὑπέκρουέ τις τῶν θερμοτέρων); Καὶ περὶ τίνος μᾶλλον ἢ τούτου φθεγξόμεθα; Καὶ ποῦ θήσομεν τό, «Διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου»[9]· καί, «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ [197] καιρῷ»[10]· καί, «Ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου»[11]· καί, «Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω»[12]; καὶ τοιαῦτα ἐρεῖ μεμελετημένα καὶ ὡρισμένα ῥήματα; Πρὸς ὃν δεῖ πράως καὶ μὴ χαλεπῶς ἀπαντῆσαι τοῖς λόγοις, ἐντεῦθεν διδάσκοντας εὐταξίαν. Οὐ σιωπᾶν διακελεύομαι, ὦ σοφώτατε, ἀλλὰ

---

1. Πρβλ. Ματθ. 16,37. 2. Πρβλ. Ἰω. 13,6. 3. Πρβλ. Ἰω. 14,8. 4. Πρβλ. Ἰω. 14,22. 5. Πρβλ. Ἰω. 14,5. 6. Πρβλ. Ἰω. 12,22. 7. Πρβλ. Ἰω. 13,24. 8. Πρβλ. Ματθ. 11,29. 9. Ψαλ. 33,2. 10. Ἔνθ' ἀν. 11. Παρμ. 8,7. 12. Ψαλ. 39,10.

μὴ φιλονείκως ἵστασθαι· οὐ κρύπτειν τὴν ἀλήθειαν, ἀλλὰ μὴ διδάσκειν παρὰ τὸν νόμον. Ἐγὼ πρῶτος τῶν ἐπαινούντων εἰμὶ σοφίαν, κἂν τοῖς θείοις λόγοις ἀσχολουμένων ἢ ἀσχολεῖσθαί γε βουλομένων· καὶ μή ποτε πρὸ ταύτης τιθείην τῆς ἀσχολίας, μηδὲ ταλαίπωρος ὑπ' αὐτῆς ἀκούσαιμι τῆς Σοφίας, ὡς σοφίαν καὶ παιδείαν ἐξουθενῶν[1]. Φεύγω δ' ὅμως τὸ ἄμετρον καὶ κολάζω τὴν ἀπληστίαν· καὶ ἀργὸς εἶναι μᾶλλον τοῦ δέοντος ἢ περίεργος δέχομαι, ἂν μὴ ἀμφότερα διαφεύγειν ἐξῇ καὶ τοῦ μετρίου τυγχάνειν· καὶ δειλότερος μᾶλλον τοῦ δέοντος ἢ θρασύτερος. Σὺ δὲ ποιεῖς παραπλήσιον, ὥσπερ ἂν εἰ κωλύοντά με τροφῆς ἀμετρίαν καὶ καθόλου τροφὴν κωλύειν κατηγορῶ· ἢ καὶ τυφλότητα ἐπαινεῖν, σωφρόνως ὁρᾶν εἰσηγούμενον.

ΚΑ′. Εἰ ἔστι σοι λόγος συνέσεως, ἀποκρίθητι, φησί, καὶ οὐδεὶς ὁ κωλύσων· εἰ δὲ μή, δεσμὸς κείσθω σοῖς χείλεσι[2]. Πόσῳ μᾶλλον ἁρμόζει τοῦτο τοῖς εἰς τὸ διδάσκειν ἑτοίμοις; Εἰ μὲν ἔστι σοι καιρός, δίδαξον· εἰ δὲ μή, τὴν γλῶσσαν πεδήσας, λῦσον τὴν ἀκοήν. Μελέτα μὲν ἐν τοῖς θείοις, ἀλλ' εἴσω τῶν ὅρων μένων. Φθέγγου μὲν τὰ τοῦ Πνεύματος καί, εἰ δυνατόν, μηδ' ἄλλο τι· καὶ φθέγγου μᾶλλον ἢ ἀνάπνει (καλὸν γὰρ τοῦτο καὶ ἔνθεον, τῇ μνήμῃ τῶν θείων ἀεὶ κεντρίζεσθαι πρὸς Θεόν), ἀλλ' ἃ πρασετάχθης διανοούμενος. Μὴ περιεργάζου Πατρὸς φύσιν, Υἱοῦ μονογενοῦς οὐσίωσιν, Πνεύματος δόξαν καὶ δύναμιν, τὴν μίαν ἐν τοῖς τρισὶ θεότητα καὶ λαμπρότητα, τὴν ἀμέριστον καὶ φύσιν καὶ ὁμολογίαν καὶ δόξαν καὶ τῶν πεπιστευκότων ἐλπίδα. Ἔχου τῶν συντρόφων ῥημάτων· ὁ λόγος ἔστω τῶν σοφωτέρων. Ἀρκεῖ σοι τὸν θεμέλιον ἔχειν· ἐποικοδομείτω δὲ ὁ τεχνίτης. Ἀρκεῖ τῷ ἄρτῳ τὴν καρδίαν στηρίζεσθαι· τὰ ὄψα δὲ τοῖς πλουσίοις συγχώρησον. Οὐδεὶς κρίνει σε μὴ τρέφοντα πολυτελῶς, τῶν νοῦν ἐχόντων· ἀλλ' ἐὰν μὴ παραθῇς ἄρτον, μηδὲ ποτίσῃς ὕδωρ, εἴτουν μαθητὴν Χριστοῦ, εἴτε ἄλλον τινὰ μέχρι τούτων δυνάμενος. Μὴ ἴσθι ταχὺς ἐν λόγοις[3], ἡ σοφία διακελεύεταί σοι· μὴ συμπαρεκτείνου, πένης ὤν, πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν **[200]** εἶναι σοφώτερος. Σοφία καὶ τὸ γινώσκειν ἑαυτόν, ἀλλὰ μὴ ὑπεραίρεσθαι, μηδὲ ταὐτὸν ταῖς φωναῖς πάσχειν, αἳ παντελῶς ἐκλείπουσιν, ἐὰν ὑπερφωνῶνται δι' ἀμετρίαν. Κρεῖττον ὄντα σοφόν, ὑφίεσθαι δι' ἐπιείκειαν ἢ ἀμαθῶς ἔχοντα διὰ θράσος ὑπερεκτείνεσθαι. Τὸ τάχος ἔστω σοι μέχρι τῆς ὁμολογίας, εἴ ποτε ταύτην ἀπαιτηθείης· τὸ δὲ ὑπὲρ ταύτην εἶναι δειλότερος. Ἐκεῖ μὲν γὰρ ἡ βραδύτης, ἐνταῦθα δὲ ἡ ταχύτης ἔχει τὸν κίνδυνον.

ΚΒ′. Τί σοι δεινόν, ἐὰν μὴ πᾶσι λόγοις ἐνδυναστεύσῃς καὶ τὴν προεδρίαν ἔχῃς ἐπὶ παντὸς προβλήματος ἢ ζητήματος, ἀλλ' ἕτεροί σου φανῶσιν ἢ σοφώτεροι ἢ θρασύτεροι; Τῷ Θεῷ χάρις, ὅτι καὶ τὰ ἐξαίρετα δίδωσι καὶ διὰ τῶν κοινῶν σῴζειν ἐπίσταται. Καὶ τοῦτο,

---

1. Πρβλ. Σ. Σολ. 3,11. 2. Πρβλ. Σ. Σειρ. 5,12. 3. Πρβλ. Σ. Σειρ. 4,29.

οὐ περὶ λόγους μόνον τὸ θαῦμα, ἀλλὰ καὶ περὶ τὴν δημιουργίαν αὐτήν, εἴ ποτε κατενόησας. Οὔτε ἐν τοῖς κτίσμασι τὰ πρωτεῖά τινών ἐστιν, ἀλλὰ πάντων καὶ κοινὴ χάρις τοῦ ἑνὸς πλάσματος· οὔτε ἐν τῇ πίστει τὰ σῴζοντα τῶν δυνατωτέρων, ἀλλὰ τῶν βουλομένων. Τί κάλλιον ἀέρος, πυρός, ὕδατος, γῆς, ὑετῶν, καρπῶν ἡμέρων τε καὶ ἀγρίων, στέγης, ἐνδύματος; Τούτων ἡ μετουσία κοινή, τῶν μὲν καὶ παντάπασι, τῶν δὲ μετρίως· καὶ οὐδεὶς οὕτω τύραννος, ὥστε μόνος ἀπολαῦσαι τῆς κοινῆς χάριτος. Ἀνατέλλει τὸν ἥλιον ὁμοτίμως, βρέχει πλουσίοις καὶ πένησι[1]· κοινὴ νυκτὸς καὶ ἡμέρας ἐναλλαγή, κοινὸν δῶρον ὑγίεια, κοινὸς ὅρος ζωῆς, κοινὸν μέτρον καὶ χάρις σώματος, κοινὸν αἰσθήσεων δύναμις· τάχα δὲ καὶ πλεῖον ὁ πένης ἔχει, τὸ ἐπὶ τούτοις πλεῖον εὐχαριστεῖν καὶ ἀπολαύειν ἥδιον τῶν κοινῶν ἢ τῶν ἐκ περιουσίας οἱ δυνατώτεροι. Ταῦτα μὲν οὖν κοινὰ καὶ ὁμότιμα καὶ Θεοῦ δικαιοσύνης γνωρίσματα· ὁ χρυσὸς δὲ καὶ οἱ διαφανεῖς λίθοι καὶ ἀγαπώμενοι καὶ τῆς ἐσθῆτος ὅση μαλακὴ καὶ περίεργος καὶ ἡ φλεγμαίνουσα καὶ ἐκμαίνουσα τράπεζα καὶ τὰ περιττὰ τῆς κτήσεως, ὁ πόνος τῶν κεκτημένων, ὀλίγων ἐστὶν ἐγκαλλωπίσματα.

ΚΓ′. Τοῦτο καὶ περὶ τὴν πίστιν ἐγὼ θεωρῶ. Κοινὰ νόμος, προφῆται, Διαθῆκαι, λόγια Διαθηκῶν, χάρις, παιδαγωγία, τελείωσις, πάθη Χριστοῦ, καινὴ κτίσις, ἀπόστολοι, Εὐαγγέλια, διανομὴ Πνεύματος, **[201]** πίστις, ἐλπίς, ἀγάπη εἰς Θεόν τε καὶ ἐκ Θεοῦ καὶ οὐ πρὸς μέτρον, ὡς ἡ τοῦ μάννα ποτὲ δωρεὰ τῷ ἀχαρίστῳ Ἰσραὴλ καὶ ἀγνώμονι[2]· ἀλλὰ καθ' ὅσον ἕκαστος βούλεται, ἀνάβασις, ἔλλαμψις, ὀλίγη μὲν ἡ ἐντεῦθεν, τρανοτέρα δὲ ἡ ἐλπιζομένη· τὸ μέγιστον, ἡ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἐπίγνωσις καὶ ὁμολογία τῆς πρώτης ἡμῶν ἐλπίδος. Τούτων τί μεῖζον; τί δὲ κοινότερον; Τὰ δὲ ὑπὲρ ταῦτα, κἂν τῷ σπανίῳ τὸ τιμιώτερον ἔχῃ, ἄλλα τῷ γε ἀναγκαίῳ τὸ δεύτερον· ὧν γὰρ ἄνευ τὸ εἶναι Χριστιανὸν οὐχ οἷόν τε, ταῦτα τῶν ὀλίγοις ἐφικτῶν χρησιμώτερα.

ΚΔ′. Ὁ μέν τις πλουτεῖ θεωρίᾳ καὶ ὑπὲρ τοὺς πολλοὺς αἴρεται καὶ πνευματικὰ συγκρίνει πνευματικοῖς καὶ ἀπογράφεται τρισσῶς, ἐπὶ τὸ πλάτος τῆς καρδίας[3], τὸν πάντας οἰκοδομοῦντα λόγον καὶ τὸν πολλοὺς καὶ τόν τινας ἀντὶ πλειόνων ἢ πάντων καὶ οὐκ ἀνέχεται πένης ὢν καὶ ἐμβατεύει τοῖς βάθεσιν. Ἀνίτω καὶ ὁδηγείσθω καὶ ὑπὸ τοῦ νοῦ φερέσθω καί, εἰ βούλεται, μέχρις οὐρανοῦ τρίτου, κατὰ τὸν Παῦλον[4]· μόνον σὺν λόγῳ καὶ ἐπιστήμῃ καὶ μὴ καταπιπτέτω διὰ τὴν ἔπαρσιν, μηδὲ πτερορρυείτω διὰ τὸ ὕψος τῆς πτήσεως. Τίς φθόνος ἐπαινετῆς ἀναβάσεως; Καὶ τί πτῶμα τοιοῦτο, οἷον ἐπάρσει περιπαρῆναι καὶ μὴ γνῶναι τῆς ἀνθρωπίνης ἀνανεύσεως τὴν ταπείνωσιν καὶ ὅσον ἔτι λείπεται τοῦ ἀληθινοῦ ὕψους ὁ πάντων ἀνώτατος;

---

1. Πρβλ. Ματθ. 5,45. 2. Πρβλ. Ἐξ. 16,14 ἑξ. 3. Πρβλ. Παρμ. 22,20. 4. Πρβλ. Β′ Κορ. 12,2.

ΚΕ′. Ὁ δὲ ὀλίγος ἐστὶ τὴν διάνοιαν καὶ πένης τὴν γλῶτταν καὶ οὐκ οἶδε λόγων στροφάς, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα καὶ τὰς Πύρρωνος ἐνστάσεις ἢ ἐφέξεις ἢ ἀντιθέσεις καὶ τῶν Χρυσίππου συλλογισμῶν τὰς διαλύσεις, ἢ τῶν Ἀριστοτέλους τεχνῶν τὴν κακοτεχνίαν ἢ τῆς Πλάτωνος εὐγλωττίας τὰ γοητεύματα, οἳ κακῶς εἰς τὴν Ἐκκλησίαν ἡμῶν εἰσέφησαν, ὥσπερ Αἰγυπτιακαί τινες μάστιγες. Ἔχει καὶ οὗτος ὅθεν σωθῇ. Καὶ διὰ τίνων ῥημάτων; Οὐδὲν τῆς χάριτος πλουσιώτερον. Οὐδέν σοι, φησίν, εἰς τὸν οὐρανὸν ἀνελθεῖν, ἵν' ἐκεῖθεν ἑλκύσῃς Χριστόν· οὐδὲ εἰς τὴν ἄβυσσον κατελθεῖν[1], ἵν' ἐντεῦθεν αὐτὸν ἐκ νεκρῶν ἀναστάσῃς, ἢ τὴν πρώτην πολυπραγμονῶν φύσιν ἢ τὴν τελευταίαν οἰκονομίαν. «Ἐγγύς σου, φησί, τὸ ῥῆμά ἐστιν»[2]· ἡ διάνοια τοῦτον ἔχει τὸν θησαυρόν, καὶ ἡ γλῶσσα· ἡ μὲν πιστεύουσα, ἡ δὲ ὁμολογοῦσα. **[204]** Τί τούτου συντομώτερον τοῦ πλούτου; τί ταύτης τῆς δωρεᾶς εὐκολώτερον; Ὁμολόγησον Ἰησοῦν Χριστὸν καὶ πίστευσον, ὅτι ἐκ νεκρῶν ἐγήγερται καὶ σωθήσῃ. Δικαιοσύνη μὲν γὰρ καὶ τὸ πιστεῦσαι μόνον· σωτηρία δὲ παντελής, τὸ καὶ ὁμολογῆσαι καὶ προσθεῖναι τῇ ἐπιγνώσει τὴν παρρησίαν. Σὺ μεῖζόν τι σωτηρίας ζητεῖς, τὴν ἐκεῖθεν δόξαν τε καὶ λαμπρότητα· ἐμοὶ καὶ τὸ σωθῆναι μέγιστον καὶ τὰς ἐκεῖθεν φυγεῖν βασάνους. Σὺ βαδίζεις τὴν ἀτριβῆ καὶ ἀπρόσιτον· ἐγὼ τὴν τετριμμένην καὶ ἣ πολλοὺς ἔσωσεν.

ΚΣ′. Οὐδὲν ἂν ἦν τῆς πίστεως ἡμῶν, ἀδελφοί, ἀδικώτερον, εἴ γε εἰς τοὺς σοφοὺς ἔπιπτε μόνον καὶ τοὺς περιττοὺς ἐν λόγῳ καὶ ταῖς λογικαῖς ἀποδείξεσι· τοὺς πολλοὺς δὲ ἔδει, καθάπερ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων, ὁπόσα τίμια κάτω καὶ περισπούδαστα τοῖς πολλοῖς, οὕτω δὴ καὶ ταύτης ἀποτυγχάνειν· καὶ τὸ μὲν ὑψηλόν τε καὶ εἰς ὀλίγους φθάνον, φίλον ἦν Θεῷ καὶ οἰκεῖον· τὸ δὲ ἐγγυτέρω καὶ τοῖς πολλοῖς ἐφικτόν, ἀπόπτυστον καὶ ἀπόβλητον. Οὐδὲ γὰρ τῶν ἀνθρώπων οἱ μετριώτεροι τοῦτο πάθοιεν ἄν, ὥστε μὴ τὰς κατὰ δύναμιν ἀπαιτεῖν τιμάς, ἀλλὰ χαίρειν μόνον ταῖς προεχούσαις, μήτιγε δὴ Θεός· οὗ πολλῶν ὄντων ἐφ' οἷς θαυμάζεται, οὐδὲν οὕτως, ὡς τὸ πάντας εὐεργετεῖν, ἰδιώτατον. Μὴ ἀτίμαζε τὸ εἰωθός, μὴ θήρευε τὸ καινόν, ἵν' εὐδοκιμήσῃς ἐν τοῖς πλείοσι. Κρείσσων μικρὰ μερὶς μετὰ ἀσφαλείας ἢ μεγάλη μετὰ σαθρότητος[3], παιδευέτω σε τῇ συμβουλῇ Σολομών· καί, Κρείσσων ἄπορος πορευόμενος ἐν ἁπλότητι αὐτοῦ[4] (μία καὶ αὕτη τῶν παροιμιῶν σοφῶς ἔχουσα), ὁ πένης ἐν λόγῳ καὶ γνώσει καὶ τοῖς ἁπλοῖς ῥήμασιν ἐπερειδόμενος, καὶ ἐπὶ τούτων ὥσπερ ἐπὶ λεπτῆς σχεδίας διασῳζόμενος, ὑπὲρ στρεβλόχειλον ἄφρονα, τὸν ἀποδείξει λόγου θαρροῦντα σὺν ἀμαθίᾳ καὶ κενοῦντα τὸν σταυρὸν τοῦ Χριστοῦ, πρᾶγμά τι λόγου κρεῖττον, διὰ τῆς ἐν λόγοις δυνά-

---

1. Πρβλ. Ρωμ. 10,6,7. 2. Ρωμ. 10,8. 3. Πρβλ. Παρμ. 15,16.
4. Πρβλ. Παρμ. 28,6.

μεως, ἔνθα τὸ ἀσθενὲς τῆς ἀποδείξεως τῆς ἀληθείας ἐστιν ἐλάττωσις.

ΚΖ′. Τί πρὸς οὐρανὸν ἀνίπτασαι, πεζὸς ὤν; Τί πύργον οἰκοδομεῖς, τὰ πρὸς ἀπαρτισμὸν οὐκ ἔχων[1]; Τί καὶ σὺ μετρεῖς τῇ χειρὶ τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί[2], στοιχεῖα μεγάλα καὶ μόνῳ μετρητὰ τῷ ποιήσαντι; Γνῶθι σαὐτὸν πρῶτον· τὰ ἐν χερσὶ κατανόησον· τίς εἶ καὶ πῶς ἐπλάσθης καὶ πῶς συνέστης, ἵν' εἰκὼν ἧς **[205]** Θεοῦ καὶ τῷ χείρονι συνδεθῇς καὶ τί τὸ κινῆσάν σε, τίς ἡ περὶ σὲ σοφία καὶ τί τῆς φύσεως τὸ μυστήριον· πῶς μετρῇ τόπῳ καὶ νοῦς οὐχ ὁρίζεται, ἀλλ' ἐν ταὐτῷ μένων πάντα ἐπέρχεται· πῶς ὄψις ὀλίγη καὶ ἐπιπλεῖστον φθάνουσα καὶ πότερον παραδοχὴ τίς ἐστι τοῦ ὀφθέντος ἢ πρὸς ἐκεῖνο διάβασις· πῶς τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται, διὰ βουλήσεως κυβερνώμενον· τίς δὲ παῦλα κινήσεως· τίς ὁ τῶν αἰσθήσεων μερισμὸς καὶ πῶς διὰ τούτων ὁ νοῦς ὁμιλεῖ τοῖς ἔξω καὶ τὰ ἔξωθεν παραδέχεται· πῶς ἀναλαμβάνει τὰ εἴδη· καὶ τίς ἡ τήρησις τοῦ ἀναληφθέντος ἢ μνήμη· καὶ τίς ἡ τοῦ ἀπελθόντος ἀνάληψις ἢ ἀνάμνησις· πῶς λόγος νοῦ γέννημα καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ καὶ πῶς λόγῳ νόημα διαδίδοται· πῶς τρέφεται διὰ ψυχῆς σῶμα καὶ πῶς ψυχὴ διὰ σώματος κοινωνεῖ πάθους· πῶς πήγνυσι φόβος καὶ λύει θάρσος καὶ συστέλλει λύπη καὶ διαχεῖ ἡδονὴ καὶ τήκει φθόνος καὶ μετεωρίζει τῦφος καὶ κουφίζει ἐλπίς· πῶς ἐκμαίνει θυμός, καὶ αἰδὼς ἐρυθραίνει δι' αἵματος, ὁ μὲν ζέσαντος, ἡ δὲ ἀναχωρήσαντος· καὶ πῶς οἱ χαρακτῆρες τῶν παθῶν ἐν τοῖς σώμασι· τίς ἡ τοῦ λογισμοῦ προεδρία καὶ πῶς πᾶσι τούτοις ἐπιστατεῖ καὶ ἡμεροῖ τὰ τῶν παθῶν κινήματα· πῶς αἵματι κρατεῖται καὶ πνοῇ τὸ ἀσώματον· καὶ πῶς ἡ τούτων ἔκλειψις ψυχῆς ἐστιν ἀναχώρησις. Ταῦτα ἢ τούτων τι κατανόησον, ὦ ἄνθρωπε· οὔπω γὰρ λέγω φύσιν ἢ κίνησιν οὐρανοῦ καὶ τάξιν ἀστέρων καὶ μῖξιν στοιχείων καὶ ζῴων διαφορὰς καὶ δυνάμεων οὐρανίων ὑποβάσεις καὶ ὑπερθέσεις καὶ πάντα εἰς ὅσα ὁ δημιουργικὸς λόγος καταμερίζεται καὶ λόγους προνοίας καὶ διοικήσεως· καὶ τότε οὔπω λέγω, Θάρρησον· ἀλλ', Ἔτι φοβήθητι προσβῆναι τοῖς ὑψηλοτέροις καὶ τοῖς μᾶλλον ὑπὲρ τὴν σὴν δύναμιν.

ΚΗ′. Μάλιστα μὲν γάρ, γυμνασία τῆς περὶ τὰ μείζω φιλονεικίας, ἅπας λόγος δύσερις καὶ φιλότιμος· καὶ δεῖ, καθάπερ τοὺς παῖδας πλάττομεν ἐν τοῖς πρώτοις ἤθεσιν, ἵνα τὴν ὕστερον μοχθηρίαν φύγωσιν· οὕτω δὴ καὶ τῷ λόγῳ, μηδὲ περὶ τὰ μικρὰ φαίνεσθαι θρασὺν καὶ ἀπαίδευτον, ἵνα μὴ περὶ τὰ μείζω τῇ μελέτῃ καταχρησώμεθα. Ῥᾷον γὰρ ἀπ' ἀρχῆς μὴ ἐνδοῦναι κακίᾳ καὶ προσιοῦσαν διαφυγεῖν ἢ προβαίνουσαν ἀνακόψαι καὶ φανῆναι ταύτης ἀνώτερον· ὥσπερ καὶ πέτραν ἀπ' ἀρχῆς ἐρεῖσαι καὶ κατασχεῖν ἢ φερομένην ἀνώσασθαι. Εἰ δὲ ἁπλοστότερος εἶ καὶ κατέχειν τὴν **[208]** νόσον ἀδυνατεῖς, «ταῦτα μελέτα, ἐν τούτοις ἴσθι»[3]· κενούσθω σοι τὸ φιλότιμον ἐν τοῖς ἀκινδύνοις.

---

1. Πρβλ. Λουκ. 14,28. 2. Πρβλ. Ἡσ. 40,12. 3. Α′ Τιμ. 4,15.

ΚΘ′. Οὐ δέχῃ τοῦτο, οὐδὲ ἡ γλῶσσά σου χαλινὸν ἔχει, οὐδὲ κρείττων εἶ τῆς φορᾶς, δεῖ δὲ ἀπονοεῖσθαι πάντως καὶ ταῖς πρώταις δυνάμεσι μὴ ὑφίεσθαι, εἴπερ μὴ κἀκείναις μέτρον ἐστὶ τῆς γνώσεως καὶ πλέον εἶναι μέγαν ἢ ὅσον συμφέρον· σὺ δὲ μὴ κατακρίνῃς τὸν ἀδελφόν, μηδὲ τὴν δειλίαν ἀσέβειαν ὀνομάσῃς, μηδὲ ἀπέλθῃς προπετῶς καταγνοὺς ἢ ἀπογνούς, ὁ τὴν ἐπιείκειαν ὑπισχνούμενος. Ἀλλ' ἐνταῦθά μοι φάνηθι ταπεινός, ἕως ἔξεστιν· ἐνταῦθα τὸν ἀδελφὸν προτίμησον, μὴ μετὰ τῆς σεαυτοῦ βλάβης, ἔνθα τὸ κατακρῖναι καὶ ἀτιμάσαι, ἐκβαλεῖν ἐστι Χριστοῦ καὶ τῆς μόνης ἐλπίδος καὶ τὸν λανθάνοντα σῖτον, καὶ σῖτον ἴσως σου τιμιώτερον, συνεκκόψαι τοῖς ζιζανίοις[1]. Ἀλλὰ τὸ μὲν ἐκεῖνον διόρθωσαι καὶ τοῦτο πράως καὶ φιλανθρώπως, μὴ ὡς ἐχθρός, μηδὲ ὡς ἀπότομος ἰατρός, μηδὲ ὡς ἓν τοῦτο μόνον εἰδώς, τὴν καῦσιν καὶ τὴν τομήν· τὸ δέ, σεαυτοῦ κατάγνωθι καὶ τῆς ἀσθενείας τῆς σῆς. Τί γὰρ εἰ λημῶν ἢ ἄλλο τι πάσχων τὰς ὄψεις, ἀμυδρὸν βλέπεις τὸν ἥλιον; Τί δὲ εἰ στρέφεσθαί σοι τὸ πᾶν δοκεῖ, ναυτιῶντι τυχὸν ἢ μεθύοντι καὶ τὴν σὴν ἄγνοιαν ἑτέρων ὑπολαμβάνεις; Πολλὰ δεῖ στραφῆναι καὶ παθεῖν, πρὶν ἄλλου καταγνῶναι δυσσέβειαν.

Λ′. Οὐκ ἔστιν ἴσον φυτὸν ἐκτεμεῖν ἢ ἄνθος τι τῶν προσκαίρων καὶ ἄνθρωπον. Εἰκὼν εἶ Θεοῦ καὶ εἰκόνι Θεοῦ διαλέγῃ καὶ κρίνῃ αὐτὸς ὁ κρίνων[2]· καὶ κρίνεις ἀλλότριον οἰκέτην[3] καὶ ὃν ὁ ἄλλος οἰκονομεῖ. Οὕτω δοκίμαζε τὸν ἀδελφόν σου, ὡς καὶ αὐτὸς ἐν τοῖς αὐτοῖς μέτροις κρινόμενος. Διὰ τοῦτο μὴ ταχέως τέμῃς, μηδὲ ἀλλοτριώσῃς τὸ μέλος, ἄδηλον εἰ μὴ διὰ τούτου προσλυμανῇ τι τῷ ὑγιαίνοντι· ἀλλὰ νουθέτησον, «ἐπιτίμησον, παρακάλεσον»[4]. Ἔχεις ἰατρείας κανόνα. Χριστοῦ μαθητὴς εἶ, τοῦ πράου καὶ φιλανθρώπου[5] καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντος[6]. Κἂν τὸ πρῶτον ἀντιβῇ, μακροθύμησον· κἂν τὸ δεύτερον, μὴ ἀπελπίσῃς, ἔτι καιρὸς θεραπείας· κἂν τὸ τρίτον, γενοῦ φιλάνθρωπος γεωργός· ἔτι τοῦ Δεσπότου δεήθητι, μὴ ἐκκόψαι, **[209]** μηδὲ μισῆσαι τὴν ἄκαρπον συκῆν[7] καὶ ἀνόνητον, ἀλλ' ἐπιστρέψαι καὶ θεραπεῦσαι καὶ περιβαλεῖν κόπρια, τὴν δι' ἐξαγορεύσεως καὶ τῆς εἰς τὸ φανερὸν αἰσχύνης καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν. Τίς οἶδεν, εἰ μεταβαλεῖ καὶ καρποφορήσει καὶ θρέψει τὸν Ἰησοῦν ἀπὸ Βηθανίας ἐπανερχόμενον;

ΛΑ′. Ἐνεγκέ τι τῆς τοῦ ἀδελφοῦ δυσωδίας, ἢ οὔσης ἢ δοκούσης, ὁ τῷ πνευματικῷ μύρῳ συγκεχρισμένος, τῷ συντεθειμένῳ τέχνῃ μυρεψικῇ, ἵνα μεταδῷς τούτῳ τῆς σῆς εὐωδίας. Οὐκ ἔστιν ἐχίδνης ἰὸς ἡ κακία, ἵν' ὁμοῦ τῷ πληγῆναι περιβληθῇς ὀδίναις ἢ καὶ διαφθαρῇς καὶ διὰ τοῦτο ἧ σοι συγγνώμη φεύγοντι τὸ θηρίον, ἢ ἀπο-

---

1. Πρβλ. Ματθ. 13,27. 2. Πρβλ. Ματθ. 7,1. 3. Πρβλ. Ρωμ. 14,4. 4. Β′ Τιμ. 4,2. 5. Πρβλ. Ματθ. 11,29. 6. Πρβλ. Ἡσ. 53,4. Α′ Πέτρ. 2,24. 7. Πρβλ. Λουκ. 13,8.

κτείνοντι. Ἀλλ' εἰ μὲν εἶ δυνατός, κἀκεῖνον θεράπευσον· εἰ δὲ μή, τό γε ἀσφαλὲς ἔχεις, ἐν τῷ μηδὲν αὐτὸς τῆς μοχθηρίας μεταλαβεῖν. Ὀσμή τίς ἐστιν ἀηδὴς τὸ ἐκείνου πάθος, ἣν ἀπελάσει τυχὸν τὸ σὸν εὐῶδες ὑπερνικῆσαν. Ταχὺ ἂν ἐδέξω τι τοιοῦτον ὑπὲρ τοῦ ὁμοδούλου καὶ συγγενοῦς, οἷον Παῦλος ὁ ζηλωτής, καὶ διανοηθῆναι καὶ εἰπεῖν ἐτόλμησεν ἑαυτοῦ, εἰ οἷόν τε τὸν Ἰσραὴλ ἀντεισαχθῆναι Χριστῷ, διὰ τὸ συμπαθές[1]· ὅς γε καὶ ἐξ ὑπονοίας πολλάκις μόνης ἀποτέμνεις τὸν ἀδελφόν. Ὃν ἴσως ἐκέρδανας ἂν τῇ χρηστότητι, τοῦτον ἀπολλύεις τῇ θρασύτητι, τὸ σὸν μέλος, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν[2]. Εἰ τοίνυν καὶ ἰσχυρὸς εἶ, φησὶν ὁ Παῦλος περὶ βρωμάτων διαλεγόμενος[3], καὶ θαρρεῖς τῷ λόγῳ καὶ τῷ γενναίῳ τῆς πίστεως, ἀλλὰ καὶ τὸν ἀδελφὸν οἰκοδόμησον. Μὴ τῷ βρώματί σου κατάλυε τὸν ὑπὸ Χριστοῦ τῷ κοινῷ πάθει τετιμημένον. Καὶ γὰρ εἰ τὸ πρᾶγμα ἕτερον, ἀλλ' ὅ γε τῆς παραινέσεως λόγος ὁμοίως χρήσιμος.

ΛΒ'. Χρῆν δὲ καὶ νόμον κεῖσθαι παρ' ἡμῖν, καθάπερ τοῖς πάλαι σοφοῖς Ἑβραίων, ἔστιν ἃς τῶν ἱερῶν βίβλων μὴ ἀνεῖσθαι τοῖς νέοις, ὡς οὐ λυσιτελούσας ταῖς ἀστηρίκτοις ἔτι καὶ ἀπαλωτέραις ψυχαῖς· οὕτω καὶ μηδὲ παντί, μηδὲ πάντοτε, ἀλλ' ἔστιν ὅτε, καὶ οἷς, τὸν περὶ πίστεως συγχωρεῖσθαι λόγον, τοῖς μὴ παντελῶς ὀλιγώροις λέγω καὶ νωθροῖς τὴν διάνοιαν ἢ τοῖς μὴ λίαν ἀπλήστοις καὶ φιλοτίμοις καὶ θερμοτέροις τοῦ δέοντος εἰς εὐσέβειαν· καὶ τοὺς μὲν τάττειν ἐνταῦθα, οὗ μήτε **[212]** ἑαυτοὺς βλάψωσι, μήτε ἄλλους ταττόμενοι· καὶ τὴν ἐν λόγοις ἐλευθερίαν ἔχειν τοὺς μετρίους ἐν λόγῳ καὶ ὡς ἀληθῶς κοσμίους καὶ σώφρονας· τοὺς πολλοὺς δὲ ἀπάγειν τῆς ὁδοῦ ταύτης καὶ τῆς νῦν κατεχούσης φιλολαλιᾶς καὶ ἀρρωστίας καὶ ἐπ' ἄλλο τι τρέπειν ἀρετῆς εἶδος ἀκινδυνότερον, ἔνθα καὶ τὸ ὀλίγωρον ἧττον βλαβερὸν καὶ τὸ ἄπληστον εὐσεβέστερον.

ΛΓ'. Εἰ μὲν γάρ, ὥσπερ «εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεός, ὁ Πατὴρ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν»[4], οὕτω καὶ μία τις ἦν σωτηρίας ὁδός, ἢ διὰ λόγου καὶ θεωρίας, καὶ ταύτης ἐκπεσόντας, ἔδει τοῦ παντὸς ἁμαρτεῖν καὶ ἀπορριφθῆναι Θεοῦ καὶ τῆς ἐκεῖθεν ἐλπίδος· οὐδὲν ἂν ἦν, οὔτε τοῦ συμβουλεύειν τὰ τοιαῦτα, οὔτε τοῦ πείθεσθαι σφαλερώτερον. Εἰ δέ, ὥσπερ ἐν τοῖς ἀνθρωπίνοις, πολλαὶ διαφοραὶ βίων καὶ προαιρέσεων, μειζόνων τε καὶ ἡττόνων, λαμπροτέρων καὶ ἀφανεστέρων, οὕτω κἀν τοῖς θείοις οὐχ ἕν τι τὸ σῴζόν ἐστιν, οὐδὲ μία τῆς ἀρετῆς ὁδός, ἀλλὰ πλείονες καὶ τοῦ πολλὰς εἶναι μονὰς παρὰ τῷ Θεῷ[5], τούτου δὲ τοῦ θρυλλουμένου, κἀν ταῖς πάντων κειμένου γλώσσαις, οὐκ ἄλλο τι ἢ τοῦτο αἴτιον, τὸ πολλὰς εἶναι τὰς ἐκεῖσε φερούσας ὁδούς, τὰς μὲν ἐπικινδυνοτέρας τε καὶ λαμπροτέρας, τὰς δὲ ταπεινοτέρας τε καὶ ἀσφαλεστέρας· τί τὰς ἀσφα-

---

1. Πρβλ. Ρωμ. 9,3. 2. Πρβλ. Α' Κορ. 8,11. 3. Πρβλ. Ρωμ 14,15. 4. Ἐφ. 4,5-6. 5. Πρβλ. Ἰω. 14,2.

λεστέρας ἀφέντες, ἐπὶ μίαν ταύτην τρεπόμεθα, τὴν οὕτως ἐπισφαλῆ καὶ ὀλισθηρὰν καὶ οὐκ οἶδ' ὅποι φέρουσαν; Ἡ τροφὴ μὲν οὐχ ἡ αὐτὴ πᾶσι κατάλληλος, ἄλλῳ δὲ ἄλλη κατὰ τὴν διαφορὰν καὶ τῶν ἡλικιῶν καὶ τῶν ἕξεων· βίος δὲ ὁ αὐτὸς πᾶσι συμφέρων ἢ λόγος; Οὐκ ἔγωγε τοῦτο εἴποιμ' ἄν, οὐδὲ προσθοίμην τοῖς λέγουσιν. Εἴ τι οὖν ἐμοὶ πεί- 5
θεσθε, νέοι καὶ γέροντες, ἄρχοντες λαῶν καὶ ἀρχόμενοι, μοναστα καὶ μιγάδες, τὰς μὲν περιττὰς καὶ ἀχρήστους φιλοτιμίας χαίρειν ἐάσατε· αὐτοὶ δὲ διὰ βίου καὶ πολιτείας καὶ λόγων τῶν ἀκινδυνοτέρων τῷ Θεῷ πλησιάζοντες, τεύξεσθε τῆς ἐκεῖθεν ἀληθείας καὶ θεωρίας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς αἰῶνας τῶν αἰώνων. 10
Ἀμήν.

ΛΟΓΟΣ ΛΓ΄

ΠΡΟΣ ΑΡΕΙΑΝΟΥΣ ΚΑΙ ΕΙΣ ΕΑΥΤΟΝ

[213] Α΄. Ποῦ ποτέ εἰσιν, οἱ τὴν πενίαν ἡμῖν ὀνειδίζοντες καὶ τὸν πλοῦτον κομπάζοντες; οἱ πλήθει τὴν **[216]** Ἐκκλησίαν ὁρίζοντες καὶ τὸ βραχὺ διαπτύοντες ποίμνιον[1]; οἱ καὶ θεότητα μετροῦντες καὶ λαὸν σταθμίζοντες; οἱ τὴν ψάμμον τιμῶντες καὶ τοὺς φωστῆρας ὑβρίζοντες; οἱ τοὺς κάχληκας θησαυρίζοντες καὶ τοὺς μαργαρίτας ὑπερορῶντες; Οὐ γὰρ ἴσασιν, ὅτι οὐ τοσοῦτον ψάμμος ἀστέρων ἀφθονωτέρα καὶ λίθων διαυγῶν κάχληκες, ὅσον ταῦτα ἐκείνων καθαρώτερά τε καὶ τιμιώτερα. Πάλιν ἀγανακτεῖς; πάλιν ὁπλίζῃ; πάλιν ὑβρίζεις; ἡ καινὴ πίστις; Μικρὸν ἐπίσχες τὴν ἀπειλήν, ἵνα φθέγξωμαι. Οὐχ ὑβρίσομεν, ἀλλ' ἐλέγξομεν· οὐκ ἀπειλήσομεν, ἀλλ' ὀνειδίσομεν· οὐ πλήξομεν, ἀλλ' ἰατρεύσομεν. Ὕβρις σοι καὶ τοῦτο δοκεῖ; Τῆς ὑπερηφανίας! Κἀνταῦθα δοῦλον ποιεῖς τὸν ὁμότιμον; Εἰ δὲ μή, δέξαι μου τὴν παρρησίαν. Καὶ ἀδελφὸς ἀδελφὸν ἐλέγχει πλεονεκτούμενος.

Β΄. Βούλει σοι τὰ τοῦ Θεοῦ πρὸς τὸν Ἰσραὴλ φθέγξομαι, τραχηλιῶντα καὶ σκληρυνόμενον; Λαός μου, τί ἐποίησά σοι ἢ τί ἠδίκησά σε ἢ τί παρηνώχλησά σοι[2]; Μᾶλλον δέ, πρὸς σέ μοι τὸν ὑβριστὴν ὁ λόγος. Κακῶς μὲν τοὺς ἀλλήλων ἐπιτηροῦμεν καιροὺς καὶ τὸ σύμψυχον τῷ ἑτεροδόξῳ λύσαντες, μικροῦ καὶ τῶν νῦν πολεμούντων ἡμῖν βαρβάρων, οὓς ἡ Τριὰς λυομένη συνέστησεν. Γεγόναμεν ἀλλήλοις ἀπανθρωπότεροι καὶ θρασύτεροι, πλὴν ὅσον οὐ ξένοι βάλλομεν ξένους, οὐδὲ ἀλλογλώσους ἀλλόγλωσσοι (ὃ καὶ βραχεῖα παραμυθία τῆς συμφορᾶς), ἀλλήλους δὲ καὶ οἷον οἱ τῆς αὐτῆς οἰκίας φέρομέν τε καὶ ἄγομεν· εἰ βούλει δέ, τὰ τοῦ αὐτοῦ σώματος μέλη δαπανῶμεν καὶ δαπανώμεθα· καὶ οὐχὶ τοῦτό που δεινόν, καίπερ ὂν τηλικοῦτον, ἀλλ' ὅτι καὶ προσθήκην νομίζομεν τὴν ὑφαίρεσιν. Ἐπεὶ δὲ οὕτως ἔχομεν καὶ μετὰ τῶν καιρῶν πιστεύομεν, ἀντιθῶμεν τοὺς καιροὺς ἀλλήλοις· σὺ τὸν σὸν βασιλέα, κἀγὼ τοὺς ἐμούς· σὺ τὸν Ἀχαάβ, ἐγὼ τὸν Ἰωσίαν. Διήγησαί μοι τὴν σὴν ἐπιείκειαν, κἀγὼ τὴν ἐμὴν θρασύτητα. Μᾶλλον δέ, τὴν μὲν σήν, πολλαὶ καὶ βίβλοι καὶ **[217]** γλῶσσαι φέρουσιν, ἃς καὶ ὁ μέλλων ὑπολήψεται χρόνος, ἐμοὶ δοκεῖν, ἡ ἀθάνατος στήλη τῶν πράξεων· ἐγὼ δὲ τὴν ἐμαυτοῦ διηγήσομαι.

Γ΄. Τίνα δῆμον ἐπήγαγόν σοι θράσει φερόμενον; τίνας ὁπλίτας παρέταξα; τίνα στρατηγὸν θυμῷ ζέοντα καὶ τῶν ἐπιτασσόντων θρασύτερον καὶ τοῦτον οὐδὲ Χριστιανόν, ἀλλ' οἰκείαν θρησκείαν προσάγοντα τοῖς ἑαυτοῦ δαίμοσι, τὴν καθ' ἡμῶν ἀσέβειαν; τίνας εὐχομέ-

---

1. Πρβλ. Λουκ. 12,32. 2. Πρβλ. Μιχ. 6,3.

νους ἐπολιόρκησα καὶ τὰς χεῖρας πρὸς τὸν Θεὸν αἴροντας; τίνας ψαλμῳδίας σάλπιγξιν ἔστησα; τίνων μυστικὸν αἷμα φονικοῖς αἵμασιν ἔμιξα; τίνων οἰμωγὰς θρήνοις ἔπαυσα, πνευματικὰς ὀλεθρίοις καὶ δάκρυσι τραγῳδίας, δάκρυα κατανύξεως; ποῖον προσευχῆς οἶκον πεποίηκα πολυάνδριον; ποῖα λειτουργικὰ σκεύη καὶ τοῖς πολλοῖς ἄψαυστα χερσὶν ἀνόμων ἐξέδωκα ἢ Ναβουζαρδὰν τῷ ἀρχιμαγείρῳ[1] ἢ Βαλτάσαρ[2] τῷ κακῶς ἐν τοῖς ἁγίοις τρυφήσαντι καὶ μέντοι καὶ δίκας εἰσπραχθέντι τῆς ἀπονοίας ἀξίας; Θυσιαστήρια ἠγαπημένα, ὡς φησιν ἡ θεία Γραφή[3], νυνὶ δὲ καθυβρισμένα· ὑμῶν δὲ ποῖον δι' ἡμᾶς κατωρχήσατο μειράκιον ἀσελγές, αἰσχρὰ λυγιζόμενον καὶ καμπτόμενον; μᾶλλον δέ, διὰ τίνος ἐγὼ τοιούτου τὸ μέγα μυστήριον καὶ θεῖον ἐξωρχησάμην; Καθέδρα τιμία καὶ τιμίων ἀνδρῶν ἵδρυμα καὶ ἀνάπαυμα καὶ πολλοὺς εὐσεβεῖς ἀμείψασα ἱερέας, ἄνωθεν τὰ θεῖα μυσταγωγήσαντας· ἐπὶ δὲ σέ τις ἀνέβη δημηγόρος Ἕλλην καὶ γλῶσσα πονηρά, τὰ Χριστιανῶν στηλιτεύουσα; Παρθένων αἰδὼς καὶ σεμνότης, ὄψεις ἀνδρῶν μηδὲ σωφρόνων φέρουσα, σὲ δὲ τίς ἡμῶν ἤσχυνε καὶ καθύβρισε μέχρι τῶν ἀθεάτων καὶ ἀσεβῶν ὄψεσι προῦθηκε θέαν ἐλεεινὴν καὶ τοῦ Σοδομιτικοῦ πυρὸς ἀξίαν; Ἐῶ γὰρ θανάτους λέγειν τῆς αἰσχύνης ἀνεκτοτέρους.

Δ′. Τίνας ἐπαφήκαμεν θῆρας ἁγίων σώμασιν, ὡς τινες τὴν ἀνθρωπείαν φύσιν δημοσιεύσαντες, ἓν ἐγκαλέσαντες μόνον, τὸ μὴ τῇ ἀσεβείᾳ συνθέσθαι, **[220]** μηδὲ τῇ κοινωνίᾳ χρανθῆναι, ἣν ὡς ἰὸν ὄφεως φεύγομεν, οὐ σῶμα βλάπτουσαν, τὰ δὲ βάθη μελαίνουσαν τῆς ψυχῆς; τίσι καὶ τὸ θάψαι νεκροὺς ἔγκλημα γέγονεν, οὓς καὶ θῆρες ἠδέσθησαν; καὶ τὸ ἔγκλημα πόσον; Ἄλλου θεάτρου καὶ θηρῶν ἄλλων ἄξιον. Τίνων ἐπισκόπων γηραιαὶ σάρκες τοῖς ὄνυξι κατεξάνθησαν, παρόντων τῶν μυηθέντων καὶ βοηθεῖν οὐκ ἐχόντων, πλὴν τοῦ δακρύειν· μετὰ Χριστοῦ κρεμασθεῖσαι, τῷ παθεῖν νικήσασαι καὶ τῷ τιμίῳ αἵματι τὸν λαὸν ῥαντίσασαι καὶ τέλος ἀπαχθεῖσαι τὸν ἐπὶ θάνατον Χριστῷ καὶ συσταυρωθησόμεναι καὶ συνταφησόμεναι καὶ συνδοξασθησόμεναι, Χριστῷ τῷ τὸν κόσμον νικήσαντι διὰ τοιούτων σφαγίων τε καὶ θυμάτων; Τίνας πρεσβυτέρους ἐναντίαι φύσεις, ὕδωρ καὶ πῦρ, ἐμερίσαντο, πυρσὸν ἄραντας ξένον ἐπὶ θαλάσσης καὶ τῇ νηὶ συμφλεχθέντας ἐφ' ἧς ἀνήχθησαν; Τίνες (ἵνα τὰ πλείω συγκαλύψω τῶν ἡμετέρων κακῶν) καὶ ὑπ' αὐτῶν τῶν ἀρχόντων ἀπανθρωπίαν ἐνεκλήθησαν, τῶν τὰ τοιαῦτα χαριζομένων; Καὶ γὰρ εἰ ταῖς ἐπιθυμίαις ὑπηρέτουν, ἀλλ' οὖν ἐμίσουν τῆς προαιρέσεως τὸ ὠμόν. Τὸ μὲν γὰρ ἦν τοῦ καιροῦ, τὸ δὲ τοῦ λογισμοῦ· καὶ τὸ μὲν τῆς τοῦ βασιλέως παρανομίας, τὸ δὲ τῆς τῶν νόμων, οἷς δικάζειν ἐχρῆν, συναισθήσεως.

Ε′. Ἦ, ἵνα τὰ παλαιότερα λέγωμεν (καὶ ταῦτα γὰρ τῆς αὐτῆς φρατρίας), τίνας περιελὼν χεῖρας, ἢ τεθνηκότων ἢ ζώντων ἁγίων,

---

1. Πρβλ. Δ′ Βασ. 25,11. 2. Πρβλ. Δαν. 5,3. 3. Πρβλ. Ὡσ. 8,11.

κατεψαυσάμην, ἵνα τὴν πίστιν πολεμήσω διὰ τῆς ἐπηρείας; τίνων ἐξορίας ὡς εὐεργεσίας ἠρίθμησα καὶ οὐδὲ φιλοσόφων ἱερῶν ἠδέσθην ἱερὰ συστήματα, ὅθεν τοὺς ἱκέτας ἐζήτουν. Τοὐναντίον μὲν οὖν, κἀκείνους ἐποίησα μάρτυρας, ὑπὲρ τοῦ καλοῦ κινδυνεύοντας. Τίσιν ἐπεισήγαγον πόρνας ἀσάρκοις μικροῦ καὶ ἀναίμοσι, τὴν περὶ τῶν λόγων ἀσέλγειαν ἐγκαλούμενος; Τίνας τῶν εὐσεβῶν τῆς πατρίδος ὑπερορίσας ἀνδρῶν ἀνόμων **[221]** χερσὶ παρέδωκα, ἵν' ὡς θῆρες εἰρχθέντες ἐν ἀφεγγέσιν οἴκοις καὶ ἀλλήλων διαζευχθέντες (τοῦτο γὰρ δὴ τὸ τῆς τραγῳδίας βαρύτατον), λιμῷ καὶ δίψει κακοπαθήσωσι, τροφὴν μετρούμενοι καὶ ταύτην διὰ στενῶν τῶν πόρων καὶ οὐδὲ τοὺς συναλγοῦντας ὁρᾶν ἐῶμενοι; Καὶ ταῦτα τίνες; «Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος»[1]. Οὕτω τιμᾶτε πίστιν ὑμεῖς; οὕτω ξενίζετε; Ἀγνοεῖτε τὰ πλείω τούτων· καὶ λίαν εἰκότως, διὰ τὸ πλῆθος τῶν δραμάτων καὶ τῆς ἐν τῷ ποιεῖν τρυφῆς· ἀλλὰ τὸ πάσχον μνημονικώτερον. Τί μοι τὰ πόρρω λέγειν; Ἀλλά τινες καὶ τοῦ καιροῦ γεγόνασι βιαιότεροι, καθάπερ οἱ κατὰ φραγμῶν ὠθούμενοι σύες. Ζητῶ μου τὸ χθὲς ὑμῶν σφάγιον, τὸν γέροντα καὶ Ἀβραμιαῖον πατέρα, ὃν ἐκ τῆς ὑπερορίας ἀχθέντα, λίθοις ἐδεξιώσασθε μεσούσης ἡμέρας, ἐν μέσῃ πόλει. Ἡμεῖς δὲ καὶ τοὺς φονεῖς, εἰ μὴ φορτικὸν εἰπεῖν, ἐζητησάμεθα κινδυνεύοντας. Ποῖα τούτων ἵλεως ἔσομαί σοι[2]; φησί που τῆς Γραφῆς ὁ Θεός. Τί τούτων ἐπαινέσω; μᾶλλον δέ, ἐκ ποίων ὑμᾶς ἀναδήσομαι;

Ϛ'. Ἐπεὶ δὲ τοιαῦτα τὰ σὰ καὶ οὕτως ἔχοντα, λέγε μοι καὶ τὰς ἐμὰς ἀδικίας, ἵν' ἢ παύσωμαι κακὸς ὢν ἢ αἰσχύνωμαι. Ὡς ἔγωγε μάλιστα μὲν εὔχομαι μηδὲν ἁμαρτεῖν· εἰ δ' οὖν, καὶ ἀδικῶν ἐπανάγεσθαι· δευτέρα μερὶς αὕτη τῶν εὖ φρονούντων. Καὶ γὰρ εἰ μὴ κατήγορος ἐμαυτοῦ κατὰ τὸν δίκαιον ἐν πρωτολογίᾳ[3] γίνομαι, χαίρω γε ὑπ' ἄλλου θεραπευόμενος. Μικρά σοι, φησίν, ἡ πόλις καὶ οὐδὲ πόλις, ἀλλὰ χωρίον ξηρὸν καὶ ἄχαρι καὶ ὀλίγοις οἰκούμενον. Τοῦτο πέπονθα μᾶλλον, ὦ βέλτιστε, ἢ πεποίηκα, εἴπερ ἔστι δεινόν· καὶ εἰ μὲν ἄκων, ἀνέχομαι δυστυχῶν (λεγέσθω γὰρ οὕτως)· εἰ δὲ ἑκών, φιλοσοφῶ. Πότερον τούτων ἔγκλημα; Εἰ μὴ καὶ τὸν δελφῖνα κακίζοιτό τις, ὅτι μὴ χερσαῖος· καὶ τὸν βοῦν, ὅτι μὴ πελάγιος· καὶ τὴν μύραιναν, ὅτι ἀμφίβιος. Ἡμῖν δέ, φησί, τείχη καὶ θέατρα καὶ ἱππικὰ καὶ βασίλεια καὶ κάλλη στοῶν καὶ μεγέθη καὶ τὸ ἄπιστον τοῦτο ἔργον, ὁ ὑποχθόνιος καὶ ἀέριος ποταμὸς καὶ ὁ λαμπρὸς στύλος οὑτοσὶ καὶ ἀπόβλεπτος καὶ ἀγορὰ **[224]** πλήθουσα καὶ δῆμος κυμαίνων καὶ ἀνδρῶν εὐγενῶν συνέδριον ἐπαινούμενον.

Ζ'. Πῶς δὲ οὐ λέγεις καὶ θέσεως εὐκαιρίαν καὶ γῆν καὶ θάλασσαν, ὥσπερ ἀμιλλωμένας, ποτέρας ἂν εἴη μᾶλλον ἡ πόλις καὶ τοῖς παρ' ἑαυτῶν ἀγαθοῖς τὴν βασιλίδα δεξιουμένας; Τοῦτο οὖν ἀδικοῦ-

---

1. Ἑβρ. 11,38. 2. Πρβλ. Ἱερ. 5,7. 3. Πρβλ. Παρμ. 18,17.

μεν, ὅτι μεγάλοι μὲν ὑμεῖς καὶ ὑπέρλαμπροι, μικροὶ δὲ ἡμεῖς καὶ ἐκ μικρῶν ἥκοντες; Πολλοὶ καὶ ἄλλοι τοῦτο ἀδικοῦσιν ὑμᾶς, μᾶλλον δὲ πάντες ὧν ὑπεραίρετε· καὶ δεῖ τεθνάναι ἡμᾶς, ὅτι μὴ πόλιν ἠγείραμεν, μηδὲ τείχη περιεβαλλόμεθα, μηδὲ ἱππικοῖς μεγαλαυχοῦμεν, μηδὲ σταδίοις τε καὶ κυνηγεσίοις καὶ ταῖς περὶ ταῦτα μανίαις, μηδὲ λουτρῶν χάρισι καὶ λαμπρότησι καὶ μαρμάρων πολυτελείαις καὶ γραφαῖς καὶ κεντήσεσι χρυσαυγέσι τε καὶ πολυειδέσι μικροῦ μιμουμέναις τὴν φύσιν; Θάλασσαν δὲ οὔπω περιερρήξαμεν ἡμῖν αὐτοῖς, οὐδὲ τὰς ὥρας ἐκερασάμεθα (ὃ σὺ δηλαδὴ πεποίηκας, ὁ νέος δημιουργός), ἵν᾽ ὡς ἥδιστά τε ὁμοῦ καὶ ἀσφαλέστατα βιοτεύοιμεν. Πρόσθες, εἰ βούλει, καὶ ἄλλας κατηγορίας, ὁ λέγων· «Ἐμόν ἐστι τὸ ἀργύριον καὶ ἐμόν ἐστι τὸ χρυσίον»[1], τὰς τοῦ Θεοῦ φωνάς. Ἡμεῖς οὔτε πλούτῳ μέγα φρονοῦμεν, ᾧ ῥέοντι μὴ προστίθεσθαι, τῆς ἡμετέρας ἐστὶ νομοθεσίας[2], οὐδὲ προσόδους ἀριθμοῦμεν ἐτησίας τε καὶ ἡμερησίας, οὔτε τραπέζης ὄγκῳ φιλοτιμούμεθα καὶ φαρμακείαις τῆς ἀναισθήτου γαστρός. Οὐδὲ γὰρ ἐπαινοῦμέν τι τῶν μετὰ τὸν λαιμὸν ὁμοτίμων, μᾶλλον δέ, ἀτίμων ὁμοίως καὶ ἀποβλήτων· ἀλλὰ ζῶμεν οὕτως ἁπλῶς καὶ σχεδίως καὶ μικρόν τι τῶν θηρίων, οἷς ὁ βίος ἄσκευος καὶ ἀνεπιτήδευτος, διαφέροντες.

Η′. Ἦ καὶ τῆς ἐσθῆτός μου τὸ τρύχινον αἰτιάσῃ καὶ τοῦ προσώπου τὴν θέσιν οὐκ εὐφυῶς ἔχουσαν; Ἐπεὶ καὶ τούτοις ὁρῶ τινας τῶν λίαν ταπεινῶν αἱρομένους. Τὴν κεφαλὴν δὲ ἀφήσεις καὶ οὐκ ἐπισκώψεις ἃ καὶ τὸν Ἐλισσαῖον οἱ παῖδες; Τὸ γὰρ ἑξῆς σιωπήσομαι. Ἀπαιδευσίαν δὲ οὐκ ἐγκαλέσεις, ἢ ὅτι τραχύ σοι δοκῶ καὶ ἄγροικον φθέγγεσθαι; Τὸ δὲ μὴ στωμύλον εἶναι, ποῦ στήσεις, μηδὲ γελοιαστήν τινα καὶ τοῖς συνοῦσι κεχαρι**[225]**σμένον, μηδὲ ἀγοράζειν τὰ πολλά, μηδὲ λαλεῖν τε καὶ περιλαλεῖν οἷς ἔτυχε καὶ ὡς ἔτυχεν, ὥστε ποιῆσαι φορτικοὺς καὶ τοὺς λόγους, μηδὲ τὴν νέαν Ἱερουσαλήμ, τὸν Ζεύξιππον, ἐπισκέπτεσθαι, μηδὲ οἰκίαν ἐξ οἰκίας ἀμείβειν θωπεύοντά τε καὶ γαστριζόμενον· ἀλλ᾽ οἴκοι τὰ πολλὰ μένειν κατηφῆ τε καὶ σκυθρωπάζοντα καὶ καθ᾽ ἡσυχίαν ἐμαυτῷ συγγενόμενον, τῷ γνησίῳ τῶν πραττομένων ἐξεταστῇ καὶ τοῦ δεθῆναι τυχὸν ἀξίῳ διὰ τὸ δύσχρηστον; Πῶς ταῦτα συγχωρεῖς ἡμῖν καὶ οὐκ ἐγκαλεῖς; Ὡς ἡδὺς εἶ καὶ φιλάνθρωπος!

Θ′. Ἐγὼ δὲ οὕτως ἀρχαίως ἔχω καὶ φιλοσόφως, ὥστε ἕνα μὲν οὐρανὸν καὶ κοινὸν ἅπασι τὸν αὐτὸν ὑπολαμβάνω, κοινὴν δὲ ἡλίου καὶ σελήνης περίοδον, κοινὴν δὲ ἀστέρων τάξιν καὶ θέσιν, κοινὴν δὲ ἡμέρας καὶ νυκτὸς ἰσομοιρίαν καὶ εὐχρηστίαν· ἔτι δὲ ὡρῶν ἀλλαγὰς καὶ ὑετοὺς καὶ καρποὺς καὶ ἀέρος ζωτικὴν δύναμιν· ἕλκεσθαι δὲ ποταμούς, πᾶσιν ὁμοίως τὸν κοινὸν πλοῦτον καὶ ἄφθονον· μίαν δὲ καὶ τὴν αὐτὴν εἶναι γῆν, μητέρα καὶ τάφον, ἐξ ἧς ἐλήφθημεν καὶ εἰς ἣν

---

1. Ἀγγ. 2,9. 2. Πρβλ. Ψαλ. 61,11.

ἀποστραφησόμεθα, μηδὲν πλέον ἀλλήλων ἔχοντες· καὶ ἔτι πρὸ τούτων, κοινὸν λόγον, νόμον, προφήτας, αὐτὰ τὰ Χριστοῦ πάθη, δι' ὧν ἀνεπλάσθημεν, οὐχ ὁ μέν, ὁ δ' οὔ, πάντες δὲ οἱ τοῦ αὐτοῦ Ἀδὰμ μετασχόντες καὶ ὑπὸ τοῦ ὄφεως παραλογισθέντες καὶ τῇ ἁμαρτίᾳ θανατωθέντες καὶ διὰ τοῦ ἐπουρανίου Ἀδὰμ ἀνασωθέντες καὶ πρὸς τὸ ξύλον τῆς ζωῆς ἐπαναχθέντες διὰ τοῦ ξύλου τῆς ἀτιμίας, ὅθεν ἀποπεπτώκαμεν.

Ι'. Ἥπάτα δέ με καὶ ἡ τοῦ Σαμουὴλ Ἁρμαθαΐμ, ἡ μικρὰ τοῦ μεγάλου πατρίς[1], οὐκ ἀτιμάσασα τὸν προφήτην, οὐδὲ παρ' ἑαυτῆς μᾶλλον ἢ παρ' ἐκείνου γενομένη τιμιωτέρα· ἐξ ἧς ἐκεῖνος οὐδὲν ἐκωλύθη καὶ Θεῷ δοθῆναι πρὸ γενέσεως καὶ χρηματίσαι βλέπων τὰ ἔμπροσθεν· οὐ μόνον δέ, ἀλλὰ καὶ χρίειν βασιλέας καὶ ἱερέας καὶ κρίνειν τοὺς ἐκ τῶν λαμπρῶν πόλεων. Περὶ δὲ τοῦ Σαοὺλ ἤκουον, ὅτι τὰς ὄνους τοῦ πατρὸς ζητῶν, βασιλείαν εὕρατο[2]. Καὶ Δαβὶδ αὐτὸς ἐκ τῶν ποιμνίων τῶν προβάτων ἀναλαμβάνεται καὶ ποιμαίνει τὸν Ἰσραήλ[3]. Τί δὲ Ἀμώς; οὐκ αἰπόλος ὢν καὶ κνίζων συκάμινα, προφητείαν πιστεύεται[4]; Καὶ πῶς τὸν Ἰωσὴφ **[228]** παρέδραμον, ὃς καὶ δοῦλος ἐγένετο[5] καὶ σιτοδότης Αἰγύπτου[6] καὶ πατὴρ πολλῶν μυριάδων, αἳ τῷ Ἀβραὰμ προηγγέλθησαν; Ἀβραὰμ δέ, ἵν' εἴπω τὸ μεῖζον, οὐ μετανάστης[7]; Μωυσῆς δὲ οὐκ ἔκθετος πρότερον[8], εἶτα νομοθέτης[9] καὶ στρατηγὸς τῶν πρὸς τὴν γῆν τῆς ἐπαγγελίας ἐπειγομένων, οὗ τὰ μεγάλα καὶ θαυμαστὰ διηγήματα; Ἥπάτα με καὶ ὁ Κάρμηλος Ἠλιού, τὸ τοῦ πυρὸς ἅρμα δεξάμενος[10]· καὶ ἡ μηλωτὴ Ἐλισσαίου[11] πλείω δυνηθεῖσα ἢ τὰ σηρῶν νήματα καὶ ὁ βιασθεὶς εἰς ἐσθῆτα χρυσός. Ἥπάτα με καὶ ἡ ἔρημος Ἰωάννου, τὸν μέγιστον ἐν γεννητοῖς γυναικῶν[12] ἔχουσα, μετὰ τῆς τροφῆς ἐκείνης καὶ τῆς ζώνης καὶ τοῦ ἐσθήματος. Ἐτόλμησά τι καὶ ὑπὲρ ταῦτα. Θεὸν εὗρον τῆς ἐμῆς ἀγροικίας συνήγορον. Μετὰ Βηθλεὲμ ταχθήσομαι, μετὰ τῆς φάτνης ἀτιμασθήσομαι, δι' ἣν σὺ Θεὸν ἀτιμάζων, τί θαυμαστόν, εἰ ἐκ τῆς αὐτῆς αἰτίας περιφρονεῖς καὶ τὸν κήρυκα; Προσοίσω σοι καὶ τοὺς ἁλιεῖς καὶ τοὺς εὐαγγελιζομένους πτωχούς, πολλῶν πλουσίων προτιμηθέντας. Παύσῃ ποτὲ ταῖς πόλεσιν ἐπαιρόμενος; αἰδεσθήσῃ ποτὲ τὴν ἀπόπτυστόν σοι καὶ ἄτιμον ἐρημίαν; Οὔπω λέγω χρυσὸν ἐν ψάμμοις τικτόμενον καὶ λίθους διαφανεῖς, πετρῶν προβλήματα καὶ δωρήματα· οἷς εἰ ἀντιθείην καὶ ὅσα ἐν πόλεσιν ἄτιμα, τάχα ἂν οὐκ εἰς καλὸν τῆς παρρησίας ἀπολαύσαιμι.

ΙΑ'. Ἀλλὰ καὶ ξένος ἡμῖν ὁ κῆρυξ καὶ ὑπερόριος, τάχα ἂν εἴποι τις τῶν σφόδρα περιγραπτῶν τε καὶ φιλοσάρκων. Οἱ ἀπόστολοι δὲ

---

1. Πρβλ. Α' Βασ. 1,1 ἑξ. 2. Πρβλ. Α' Βασ. 9,3 ἑξ. 3. Πρβλ. Α' Βασ. 16,11 ἑξ. 4. Πρβλ. Ἀμ. 7,14. 5. Πρβλ. Γεν. 37,36. 6. Πρβλ. Γεν. 41,56. 7. Πρβλ. Γεν. 12,1 ἑξ. 8. Πρβλ. Ἐξ. 2,3. 9. Πρβλ. Ἐξ. 3,10 ἑξ. 10. Πρβλ. Δ' Βασ. 2,11. 11. Πρβλ. Δ' Βασ. 2,14. 12. Πρβλ. Ματθ. 11,11.

οὐ ξένοι τῶν πολλῶν ἐθνῶν τε καὶ πόλεων, εἰς ἃς ἐμερίσθησαν, ἵνα πανταχοῦ δράμῃ τὸ Εὐαγγέλιον, ἵνα μηδὲν ἀλαμπὲς ᾖ τοῦ τρισσοῦ φωτὸς καὶ τῆς ἀληθείας ἀφώτιστον, ὥστε καὶ τοῖς ἐν σκότῳ καὶ σκιᾷ θανάτου καθημένοις λυθῆναι τὴν νύκτα τῆς ἀγνωσίας; «Ἵν' ἡμεῖς μέν», φησίν, «εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν»[1], ἤκουσας Παύλου λέγοντος. Ἔστω Πέτρου ἡ Ἰουδαία· τί Παύλῳ κοινὸν πρὸς τὰ ἔθνη, Λουκᾷ πρὸς Ἀχαΐαν, Ἀνδρέᾳ πρὸς τὴν Ἤπειρον, Ἰωάννῃ πρὸς Ἔφεσον, Θωμᾷ πρὸς Ἰνδικήν, Μάρκῳ πρὸς Ἰταλίαν; τί δὲ τοῖς ἄλλοις πᾶσιν, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω, πρὸς τοὺς οἷς ἐπεδήμησαν; Ὥστε, ἢ κἀκείνοις ἐπιτίμησον ἢ κἀμοὶ συγχώρησον ἢ δεῖξον, ὅτι τὸν ἀληθῆ λόγον πρεσβεύων, ἐπηρεάζῃ τὴν φλυαρίαν. Ἐπεὶ δὲ μικροπρεπῶς διελέχθην σοι περὶ τούτων, φέρε φιλοσοφήσω καὶ μεγαλοπρεπέστερον.

[229] ΙΒ′. Πᾶσι μία τοῖς ὑψηλοῖς πατρίς, ᾧ οὗτος, ἡ ἄνω Ἱερουσαλήμ, εἰς ἣν ἀποτεθέμεθα τὸ πολίτευμα[2]. Πᾶσι γένος ἕν, εἰ μὲν τὰ κάτω βούλει σκοπεῖν, ὁ χοῦς[3]· εἰ δὲ τὰ ὑψηλότερα, τὸ ἐμφύσημα[4], οὗ μετειλήφαμεν καὶ ὃ τηρεῖν ἐκελεύσθημεν καὶ μεθ' οὗ παραστῆναί με δεῖ λόγον ὑφέξοντα τῆς ἄνωθεν εὐγενείας καὶ τῆς εἰκόνος. Πᾶς μὲν οὖν εὐγενὴς, ὁ τοῦτο φυλάξας ἐξ ἀρετῆς καὶ τῆς πρὸς τὸ ἀρχέτυπον νεύσεως· δυσγενὴς δὲ ἅπας, ὁ τῇ κακίᾳ συγχέας καὶ μορφὴν ἑτέραν ἐπιβαλὼν ἑαυτῷ, τὴν τοῦ ὄφεως. Αἱ δὲ κάτω πατρίδες αὗται καὶ τὰ γένη ταῦτα, τῆς προσκαίρου ζωῆς καὶ σκηνῆς ἡμῶν γέγονε παίγνια. Πατρίς τε γάρ, ἣν προκατέλαβεν ἕκαστος ἢ τυραννήσας ἢ δυστυχήσας, ἧς πάντες ὁμοίως ξένοι καὶ πάροικοι, κἂν ἐπὶ πολὺ τὰ ὀνόματα παίξωμεν. Καὶ γένος εὐγενὲς μέν, ἢ τὸ πάλαι πλούσιον ἢ τὸ νῦν φυσώμενον· δυσγενὲς δέ, τὸ πενήτων πατέρων, ἢ διὰ συμφορὰν ἢ δι' ἐπιείκειαν. Ἐπεὶ πῶς ἄνωθεν εὐγενές, οὗ τὸ μὲν ἄρχεται νῦν, τὸ δὲ καταλύεται· καὶ τοῖς μὲν οὐ δίδοται, τοῖς δὲ γράφεται; Οὕτως ἐγὼ περὶ τούτων ἔχω. Καὶ διὰ τοῦτο, σὲ μὲν ἀφίημι τοῖς τάφοις μεγαλοφρονεῖν ἢ τοῖς μύθοις. Ἐγὼ δὲ πειρῶμαι, ὡς οἷόν τε, ἀνακαθαίρειν ἐμαυτὸν τῆς ἀπάτης, ἵν' ἢ φυλάξω τὴν εὐγένειαν ἢ ἀνακαλέσωμαι.

ΙΓ′. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα ἐπέστην ὑμῖν ὁ μικρὸς ἐγὼ καὶ κακόπατρις, καὶ τοῦτο οὐχ ἑκών, οὐδ' αὐτεπάγγελτος, κατὰ τοὺς πολλοὺς τῶν νῦν ἐπιπηδώντων ταῖς προστασίαις, ἀλλὰ κληθεὶς καὶ βιασθεὶς καὶ κατακολουθήσας φόβῳ καὶ Πνεύματι. Ἦ μικρότερα πολεμηθείην ἐνταῦθα διακενῆς καὶ μηδένα τῆς πλάνης ἐλευθερώσαιμι, ἀλλ' οἱ ἀτεχνίαν τῆς ἐμῆς κατευχόμενοι ψυχῆς ἐπιτύχοιεν[5], εἰ ψευδὴς ὁ λόγος. Ἐπεὶ δὲ ἦλθον καὶ ἴσως οὐ μετὰ φαύλης τῆς ἐξουσίας (ἵνα μικρόν τι καυχήσωμαι[6] τῶν τῆς ἀφροσύνης), τίνα τῶν

---

1. Γαλ. 2,9. 2. Πρβλ. Φιλιπ. 3,20. 3. Πρβλ. Γεν. 3,19. 4. Πρβλ. Γεν. 2,7. 5. Πρβλ. Ψαλ. 34,12. 6. Πρβλ. Β' Κορ. 11,17.

ἀπλήστων ἐμιμησάμην; τί τοῦ καιροῦ παρεζήλωσα, καίτοιγε τοιαῦτα ἔχων τὰ ὑποδείγματα, ὧν καὶ δίχα μὴ κακὸν εἶναι τῶν χαλεπῶν καὶ σπανίων; Τίνων Ἐκκλησιῶν ὑμῖν ἠμφισβητήσαμεν; Ποίων χρημάτων, καίτοιγε τοῖς ἀμφότερα πλουτοῦσιν ὑπὲρ τὴν χρείαν, οἱ δὲ ἐνδεεῖς ἀμφότερα; Ποῖον βασιλικὸν δόγμα διαπτυσθὲν ἐζηλοτυπήσαμεν; Τίνας ἀρχόντων ἐθεραπεύσαμεν καθ' ὑμῶν; Τίνων θρασύτητα κατεμηνύσαμεν; Τὰ δὲ εἰς ἐμέ, τίνα; **[232]** «Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην»[1] καὶ τότε εἶπον (ἐμνήσθην γὰρ ἐν καιρῷ τῶν Στεφάνου ῥημάτων) καὶ νῦν προσεύχομαι. «Λοιδορούμενοι εὐλογοῦμεν· διωκόμενοι ἀνεχόμεθα· βλασφημούμενοι παρακαλοῦμεν»[2].

ΙΔ΄. Εἰ δέ, ὅτι τυραννούμενος φέρω, τοῦτο ἀδικῶ, χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην καὶ ὑπ' ἄλλων ἤνεγκα τυραννούμενος· καὶ χάρις, ὅτι τὴν ἐπιείκειαν ἐνεκλήθην ὡς ἄνοιαν. Λογίζομαι γὰρ οὕτω, λίαν ὑψηλοτέροις ἢ καθ' ὑμᾶς λογισμοῖς χρώμενος. Πόσον μέρος ταῦτα τῶν ἐμπτυσμάτων Χριστοῦ καὶ ῥαπισμάτων ὑπὲρ οὗ καὶ δι' ὃν οἱ κίνδυνοι; Ἑνὸς οὐ τιμῶμαι πάντα τοῦ ἀκανθίνου στεφάνου, ὃς τὸν νικητὴν ἡμῶν ἀπεστεφάνωσε, δι' οὗ καὶ μανθάνω τῇ τοῦ βίου τραχύτητι στεφανούμενος· ἑνὸς τοῦ καλάμου, δι' οὗ τὸ σαθρὸν κράτος ἐπαύσατο· μιᾶς τῆς χολῆς, ἑνὸς ὄξους, δι' ὧν τὴν πικρὰν γεῦσιν ἐθεραπεύθημεν· μιᾶς τῆς ἐν τῷ πάθει μακροθυμίας. Ἂν φιλήματι προδοθῇ[3], ἐλέγχει μέν, οὐ πλήττει δέ. Ἂν ἄφνω συλληφθῇ, ὀνειδίζει μέν, ἕπεταί δέ· κἂν μαχαίρᾳ Μάλχου τέμνῃς τὸ ὠτίον[4] διὰ ζῆλον, ἀγανακτήσει καὶ ἀποκαταστήσει· κἂν ἐν σινδόνι τις φεύγῃ, περιστελεῖ[5]· κἂν πῦρ αἰτήσῃς Σοδομιτικὸν ἐπὶ τοὺς ἄγοντας[6], οὐκ ἐπικλύσει· κἂν λῃστὴν λάβῃ διὰ κακίαν κρεμάμενον, εἰς τὸν παράδεισον εἰσάγει διὰ χρηστότητα[7]. Πάντα ἔστω τὰ τοῦ φιλανθρώπου φιλάνθρωπα, ὡς δὲ καὶ τῶν Χριστοῦ παθημάτων, οἷς τί τῶν μειζόνων ἂν δοίημεν, εἰ Θεοῦ καὶ θανατωθέντος ὑπὲρ ἡμῶν, αὐτοὶ τοῖς ὁμοίοις μηδὲ τὰ σμικρὰ συγχωρήσαιμεν;

ΙΕ΄. Πρὸς δὲ καὶ ταῦτα ἐλογιζόμην τε καὶ λογίζομαι καὶ σκοπεῖτε, εἰ μὴ καὶ λίαν ὀρθῶς, ἃ καὶ πολλάκις ὑμῖν ἐφιλοσόφησα. Ἔχουσιν οὗτοι τοὺς οἴκους, ἡμεῖς τὸν ἔνοικον· οὗτοι τοὺς ναούς, ἡμεῖς τὸν Θεόν· καὶ τὸ ναοὶ γενέσθαι Θεοῦ ζῶντος[8] καὶ ζῶντες, ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικά, θύματα τέλεια, θεοὶ διὰ Τριάδος προσκυνουμένης. Οὗτοι δήμους, **[233]** ἡμεῖς ἀγγέλους· οὗτοι θράσος, πίστιν ἡμεῖς· οὗτοι τὸ ἀπειλεῖν, ἡμεῖς τὸ προσεύχεσθαι· οὗτοι τὸ βάλλειν, ἡμεῖς τὸ φέρειν· οὗτοι χρυσὸν καὶ ἄργυρον, ἡμεῖς λόγον κεκαθαρμένον. Ἐποίησας σεαυτῷ διώροφα καὶ τριώροφα (γνῶθι τὰ ῥήματα τῆς Γραφῆς), οἶκον ῥιπιστόν, διεσταλμένον θυρίσιν[9]; ἀλλ' οὔπω ταῦτα

---

1. Πράξ. 7,59. 2. Α΄ Κορ. 4,12. 3. Πρβλ. Ματθ. 26,49. 4. Πρβλ. Ἰω. 18,10. 5. Πρβλ. Μάρκ. 14,51,52. 6. Πρβλ. Λουκ. 9,54. 7. Πρβλ. Λουκ. 23,43. 8. Πρβλ. Β΄ Κορ. 6,16. 9. Πρβλ. Ἱερ. 22,14.

τῆς ἐμῆς πίστεως ὑψηλότερα καὶ τῶν οὐρανῶν πρὸς οὓς φέρομαι. Μικρόν μοι τὸ ποίμνιον; Ἀλλ᾽ οὐκ ἐπὶ κρημνῶν φερόμενον. Στενή μοι ἡ μάνδρα, πλὴν λύκοις ἀνεπίβατος, πλὴν οὐ παραδεχομένη λῃστήν, οὐδὲ ὑπερβαινομένη κλέπταις καὶ ξένοις. Ὄψομαι ταύτην, εὖ οἶδα, καὶ πλατυτέραν. Πολλοὺς τῶν νῦν λύκων ἐν προβάτοις ἀριθμῆσαί με δεῖ, τυχὸν καὶ ποιμέσιν. Τοῦτο εὐαγγελίζεταί μοι ὁ ποιμὴν ὁ καλός, δι᾽ ὃν ἐγὼ τίθημι τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων[1]. Οὐ φοβοῦμαι τὸ μικρὸν ποίμνιον, εὐσύνοπτον γάρ· ὅτι γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν[2]. Τοιαῦτα τὰ Θεὸν γινώσκοντα καὶ Θεῷ γινωσκόμενα. «Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει»[3], ἧς ἤκουσα παρὰ τῶν θείων λογίων, ἣν ἐδιδάχθην παρὰ τῶν ἁγίων Πατέρων, ἣν ἐδίδαξα κατὰ πάντα καιρὸν ὁμοίως, οὐ συμμορφούμενος τοῖς καιροῖς, καὶ διδάσκων οὐ παύσομαι, μεθ᾽ ἧς ἐγεννήθην καὶ ᾗ συναπέρχομαι.

ΙΔ′. Ταῦτα καλῶ κατ᾽ ὄνομα[4] (οὐκ ἀνώνυμα γάρ, ὥσπερ οὐδὲ ἀστέρες ἀριθμούμενοι καὶ ὀνομαζόμενοι) καὶ ἀκολουθοῦσί μοι, ἐκτρέφω γὰρ ἐπὶ ὕδατος ἀναπαύσεως[5]· ἀκολουθοῦσι δὲ καὶ παντὶ τοιούτῳ ποιμένι, οὗ τὴν φωνὴν ὁρᾶτε, ὅπως ἡδέως ἤκουσαν· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι διαγνωστικὴν ἕξιν ἔχουσιν ἤδη φωνῆς οἰκείας καὶ ἀλλοτρίας. Φεύξονται Οὐαλεντίνου τὴν τοῦ ἑνὸς εἰς δύο κατατομήν, οὐκ ἄλλον τοῦ ἀγαθοῦ τὸν Δημιουργὸν πιστεύοντες καὶ τὸν Βυθὸν καὶ τὴν Σιγήν καὶ τοὺς μυθικοὺς Αἰῶνας, τὰ βυθοῦ καὶ σιγῆς ὄντος ἄξια. Φεύξονται Μαρκίωνος τὸν ἐκ στοιχείων καὶ ἀριθμῶν θεόν· Μοντανοῦ τὸ πονηρὸν πνεῦμα καὶ γυναικεῖον· Μάνου τὴν ὕλην μετὰ τοῦ σκότους· Ναυάτου τὴν ἀλαζονείαν καὶ τὴν ἐν ῥήμασι καθαρότητα· Σαβελλίου τὴν ἀνάλυσιν καὶ τὴν σύγχυσιν καὶ τήν, ἵν᾽ οὕτως εἴπω, κατάπωσιν, τὰ τρία εἰς ἓν συναιροῦντος, ἀλλ᾽ οὐκ ἐν τρισὶν ὑφεστῶσι τὸ ἓν ὁρίζοντος· Ἀρείου καὶ τῶν ὑπ᾽ Ἀρείῳ τὴν τῶν φύσεων ἀλλο[236]τρίωσιν καὶ τὸν καινὸν Ἰουδαϊσμόν, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντος· Φωτεινοῦ τὸν κάτω Χριστὸν καὶ ἀπὸ Μαρίας ἀρχόμενον. Αὐτοὶ δὲ προσκυνοῦσι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, μίαν θεότητα· Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεόν, εἰ μὴ τραχύνῃ, τὸ Πνεῦμα τὸ Ἅγιον, μίαν φύσιν ἐν τρισὶν ἰδιότησι, νοεραῖς, τελείαις, καθ᾽ ἑαυτὰς ὑφεστώσαις, ἀριθμῷ διαιρεταῖς καὶ οὐ διαιρεταῖς θεότητι.

ΙΖ′. Τούτων παραχωρείτω μοι τῶν φωνῶν πᾶς ὁ ἀπειλῶν σήμερον· τῶν δὲ ἄλλων μεταποιείσθωσαν οἱ βουλόμενοι. Οὐκ ἀνέχεται Πατὴρ Υἱὸν ζημιούμενος, οὐδὲ Υἱὸς τὸ Πνεῦμα τὸ Ἅγιον· ζημιοῦται δέ, εἴ ποτε, καὶ εἰ κτίσματα. Οὐ γὰρ Θεὸς τὸ κτιζόμενον. Οὐ φέρω ζημιούμενος οὐδὲ ἐγὼ τὴν τελείωσιν. «Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα»[6]. Εἰ τοῦτο ἀκυρωθείη μοι, παρὰ τίνος

---

1. Πρβλ. Ἰω. 10,11. 2. Πρβλ. Ἰω. 10,14. 3. Ἰω. 10,27. 4. Πρβλ. Ἰω. 10,3. 5. Πρβλ. Ψαλ. 22,2. 6. Ἐφ. 4,5.

ἔξω τὸ δεύτερον; Τί φατε, οἱ καταβαπτίζοντες ἢ ἀναβαπτίζοντες; Ἔστιν εἶναι πνευματικὸν δίχα Πνεύματος; Μετέχει δὲ Πνεύματος ὁ μὴ τιμῶν τὸ Πνεῦμα; Τιμᾷ δὲ ὁ εἰς κτίσμα καὶ ὁμόδουλον βαπτιζόμενος; Οὐκ ἔστιν, οὐχ οὕτω, πολλὰ ἐρεῖς. Οὐ ψεύσομαί σε, Πάτερ ἄναρχε· οὐ ψεύσομαί σε, μονογενὲς Λόγε· οὐ ψεύσομαί σε, τὸ Πνεῦμα τὸ Ἅγιον. Οἶδα τίνι ὡμολόγησα καὶ τίνι ἀπεταξάμην καὶ τίνι συνεταξάμην. Οὐ δέχομαι τὰς πιστοῦ φωνὰς διδαχθῆναι καὶ μαθεῖν ἀπίστους· ὁμολογῆσαι ἀλήθειαν καὶ γενέσθαι μετὰ τοῦ ψεύδους· ὡς τελειούμενος κατελθεῖν καὶ ἀνελθεῖν ἀτελέστερος· ὡς ζησόμενος βαπτισθῆναι καὶ ἐννεκρωθῆναι τῷ ὕδατι, καθάπερ τὰ ταῖς ὠδῖσιν ἐναποθανόντα κυήματα καὶ σύνδρομον λαβόντα τῇ γεννήσει τὸν θάνατον. Τί με ποιεῖς μακάριον ἐν ταὐτῷ καὶ ἄθλιον, νεοφώτιστον καὶ ἀφώτιστον, θεῖον καὶ ἄθεον, ἵνα ναυαγήσω καὶ τὴν ἐλπίδα τῆς ἀναπλάσεως; Βραχὺς ὁ λόγος· μνήσθητι τῆς ὁμολογίας. Εἰς τί ἐβαπτίσθης; εἰς Πατέρα; Καλῶς· πλήν, Ἰουδαϊκὸν ἔτι. Εἰς Υἱόν; Καλῶς· οὐκ ἔτι μὲν Ἰουδαϊκόν, οὔπω δὲ τέλειον. Εἰς τὸ Ἅγιον Πνεῦμα; Ὑπέφευγε· τοῦτο τέλειον. Ἆρ' οὖν ἁπλῶς εἰς ταῦτα ἢ καί τι κοινὸν τούτων ὄνομα; Ναὶ κοινόν. Τί τοῦτο; Δηλαδὴ τὸ τοῦ Θεοῦ. Εἰς τοῦτο τὸ κοινὸν **[237]** ὄνομα πίστευε καὶ κατευοδοῦ καὶ βασίλευε[1] καὶ μεταβήσῃ ἐντεῦθεν εἰς τὴν ἐκεῖθεν μακαριότητα. Ἡ δέ ἐστιν, ὡς ἐμοί γε δοκεῖ, ἡ τούτων αὐτῶν ἐκτυπωτέρα κατάληψις· εἰς ἣν φθάσαιμεν καὶ ἡμεῖς ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Πρβλ. Ψαλ. 44,5.

ΛΟΓΟΣ ΛΔ'

ΕΙΣ ΤΟΥΣ ΑΙΓΥΠΤΟΥ ΕΠΙΔΗΜΗΣΑΝΤΑΣ

[241] Α'. Τοὺς ἀπ' Αἰγύπτου προσφθέγξομαι, δίκαιον γάρ· ἐπειδὴ καὶ προθύμως συνεληλύθασι, τῷ ζήλῳ τὸν φθόνον νικήσαντες, Αἰγύπτου ταύτης, ἣν πλουτίζει μὲν ποταμός ἐκ γῆς ὕων καὶ πελαγίζων ὥρια· ἵνα καὶ αὐτὸς μικρόν τι μιμήσωμαι τοὺς περὶ ταῦτα κομψούς· πλουτίζει δὲ Χριστὸς ὁ ἐμός, πρότερον μὲν εἰς Αἴγυπτον φυγαδευόμενος[1], νυνὶ δὲ ἀπ' Αἰγύπτου χορηγούμενος· τότε μὲν ἐκ τῆς Ἡρώδου παιδοφονίας, νῦν δὲ ἐκ τῆς τῶν πατέρων φιλοτεκνίας· Χριστός, ἡ καινὴ τροφὴ τῶν καλῶς πεινώντων, ἡ μείζων σιτοδοσία πάσης τῆς ἱστορουμένης τε καὶ πιστευομένης· ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων καὶ ζωὴν διδοὺς τῷ κόσμῳ[2], τὴν ἀνόλεθρόν τε καὶ ἀκατάλυτον, περὶ οὗ καὶ νῦν ἀκούειν δοκῶ μοι λέγοντος τοῦ Πατρός· «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου»[3].

Β'. Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος εἰς πάντας ἀνθρώπους, ὑγιῶς πιστευόμενός τε καὶ κηρυσσόμενος· καὶ ὑμεῖς ἄριστοι καρποδόται πάντων, μάλιστα τῶν νῦν ὀρθῶς πιστευόντων, ὅσα ἐμὲ γινώσκειν, τὸν τῆς τοιαύτης τροφῆς οὐκ ἐραστὴν μόνον, ἀλλὰ καὶ χορηγόν, καὶ οὐκ ἔνδημον μόνον, ἀλλ' ἤδη καὶ ὑπερόριον. Ὑμεῖς γὰρ τρέφετε μὲν σωματικῶς δήμους καὶ πόλεις, ἐφ' ὅσον ἐξικνεῖται ὑμῶν τὸ φιλάνθρωπον· τρέφετε δὲ πνευματικῶς οὐ τὸν δεῖνα δῆμον, οὐδὲ τήνδε ἢ τήνδε τὴν πόλιν μικροῖς ὁρίοις περιγραφομένην, κἂν φρονῶσιν ὑπέρλαμπρον, ἀλλὰ μικροῦ πᾶσαν τὴν οἰκουμένην. Καὶ θεραπεύετε οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἃ καὶ λιμώττειν οὐ μέγα καὶ μὴ λιμώττειν ῥᾴδιον· ἀλλὰ «λιμὸν τοῦ **[244]** ἀκοῦσαι λόγου Κυρίου»[4], ὃν καὶ πάσχειν ἐλεεινότατον καὶ θεραπεύειν νῦν ἐργωδέστατον· ἐπειδὴ ἐπληθύνθη ἡ ἀνομία[5] καὶ ὀλίγους εὑρίσκω τοὺς γνησίους ταύτης θεραπευτάς.

Γ'. Τοιοῦτος Ἰωσὴφ ὁ ὑμέτερος σιτομέργης, ταὐτὸν δὲ εἰπεῖν καὶ ἡμέτερος, ὃς καὶ προβλέπειν ἤδει λιμὸν ὑπὸ σοφίας ὑπερβαλλούσης καὶ θεραπεύειν λόγοις οἰκονομίας, ταῖς καλαῖς τῶν βοῶν καὶ πίοσι, τὰς αἰσχρὰς καὶ ἀτρόφους ἰώμενος. Καὶ Ἰωσὴφ ὁπότερον βούλει λαμβάνειν, εἴτε τὸν τῆς ἀθανασίας ἐραστὴν καὶ δημιουργὸν καὶ ἐπώνυμον· εἴτε τὸν ἐκείνου καὶ θρόνῳ καὶ λόγῳ καὶ πολιᾷ διάδοχον, τὸν νέον Πέτρον ἡμῖν, οὐχ ἧττον τὴν ἀρετὴν ἢ τὴν κλῆσιν· ὑφ' ὧν τὸ μέσον ἐξεκόπη καὶ συνετρίβη, κἂν ἔτι σπαίρῃ μικρά τε καὶ ἀσθενῇ,

---

1. Πρβλ. Ματθ. 2,13. 2. Πρβλ. Ἰω. 6,33. 3. Ματθ. 2,15. Πρβλ. Ὡσ. 11,1. 4. Ἀμ. 8,11. 5. Πρβλ. Ματθ. 24,12.

καθάπερ τὸ οὐραῖον διακοπέντος τοῦ ὄφεως· ὧν ὁ μὲν ἐν γήρᾳ καλῷ καταλύσας τὸν βίον ἐπὶ πολλοῖς τοῖς ἀγωνίσμασι καὶ ἀθλήμασιν, ἄνωθεν ἐποπτεύει, εὖ οἶδα, νῦν τὰ ἡμέτερα καὶ χεῖρα ὀρέγει τοῖς ὑπὲρ τοῦ καλοῦ κάμνουσι, καὶ τόσῳ μᾶλλον, ὅσῳ τῶν δεσμῶν ἐστιν ἐλεύθερος· ὁ δὲ ἐπὶ τὴν αὐτὴν κατάλυσιν ἢ ἀνάλυσιν, ἐπὶ τοῖς αὐτοῖς ἄθλοις ἐπείγεται καὶ πλησιάζει μὲν ἤδη τοῖς ἄνω, τοσοῦτον δὲ μετὰ τῆς σαρκός ἐστιν ἔτι, ὅσον βοηθῆσαι τῷ λόγῳ τὰ τελευταῖα καὶ τῆς ὁδοῦ γενέσθαι μετὰ δαψιλεστέρων τῶν ἐφοδίων.

Δ'. Τούτων ὑμεῖς θρέμματα καὶ προβλήματα τῶν μεγάλων καὶ δογματιστῶν καὶ ἀγωνιστῶν τῆς ἀληθείας καὶ νικητῶν· οὓς οὐ καιρός, οὐ δυνάστης, οὐ λόγος, οὐ φθόνος, οὐ φόβος, οὐ κατήγορος, οὐ συκοφάντης, οὐ φανερῶς πολεμῶν, οὐ λαθραίως ἐπιβουλεύων, οὐχ ἡμέτερος τῷ δοκεῖν, οὐκ ἀλλότριος, οὐ χρυσός, ὁ ἀφανὴς τύραννος, ᾧ νῦν τὰ πολλὰ μεταρρίπτεται καὶ πεττεύεται, οὐ θεραπεῖαι, οὐκ ἀπειλαί, οὐκ ἐξορίαι μακραί τε καὶ ἀριθμούμεναι (δημεύσει γὰρ οὐκ ἐγένοντο μόνον ἅλωτοί, διὰ τὸν μέγαν πλοῦτον, τὴν ἀκτημοσύνην), οὐκ ἄλλο οὐδὲν τῶν ἀπόντων ἢ τῶν παρόντων ἢ τῶν προσδοκωμένων ἐπῆρεν, οὐδὲ ἀνέπεισε χείρους γενέσθαι καὶ προδοῦναί τι τῆς Τριάδος καὶ ζημιωθῆναι θεότητα. Τοὐναντίον μὲν οὖν ἐρρώσθησαν τοῖς κινδύνοις καὶ φιλοτιμότεροι γεγόνασιν εἰς εὐσέβειαν. Τοιοῦτο γὰρ τὸ παθεῖν ὑπὲρ Χριστοῦ, τῷ φίλτρῳ προστίθησι καὶ οἷον ἀρραβὼν γίνεται τῶν ἐξῆς ἄθλων τοῖς μεγαλόφροσι. **[245]** Τοιαῦτά σου, Αἴγυπτε, τὰ νῦν διηγήματά τε καὶ θαύματα.

Ε'. Σὺ δέ μοι τοὺς τράγους ἐπῄνεις τοὺς Μενδησίους καὶ τὸν Μεμφίτην Ἄπιν, μόσχον σιτευτόν τινα καὶ πολύσαρκον καὶ τὰς Ἴσιδος τελετὰς καὶ τοὺς Ὀσίριδος σπαραγμοὺς καὶ τὸν σεμνόν σου Σάραπιν, ξύλον προσκυνούμενον μετὰ μύθου καὶ χρόνου καὶ τῆς τῶν προσκυνούντων ἀνοίας, ὡς ὕλην ἄγνωστόν τινα καὶ οὐράνιον, πλὴν ὕλην, κἂν βοηθῆται τῷ ψεύδει· καὶ τὰ ἔτι τούτων αἰσχρότερα, κνωδάλων τινῶν καὶ ἑρπετῶν πολυειδῆ πλάσματα, ὧν πάντων ὑπερῆρε Χριστὸς καὶ οἱ Χριστοῦ κήρυκες· ἄλλοι τε ἄλλως κατὰ τοὺς ἑαυτῶν ἕκαστοι χρόνους ἐκλάμψαντες· καὶ δὴ καὶ οἱ νῦν μνημονευθέντες Πατέρες· ἀφ' ὧν σὺ γινώσκῃ μᾶλλον, ὦ θαυμασία, σήμερον, ἢ πάντων ὁμοῦ πάντες καὶ παλαιῶν καὶ νέων διηγημάτων.

Ϛ'. Διὰ ταῦτά σε περιπτύσσομαι καὶ ἀσπάζομαι, λαῶν ἄριστε καὶ φιλοχριστότατε καὶ θερμότατε τὴν εὐσέβειαν καὶ τῶν ἀγόντων ἄξιε· οὐ γὰρ ἔχω τι τούτου μεῖζον εἰπεῖν, οὐδὲ ᾧ μᾶλλον ἂν ὑμᾶς ξενίσαιμι· καὶ δεξιοῦμαι, ὀλίγα μὲν γλώσσῃ, τὰ πολλὰ δὲ διανοίας κινήμασι. Λαὸς ἐμός· ἐμὸν γὰρ ὀνομάζω τὸν ὁμόφρονα καὶ ὁμόδοξον καὶ παρὰ τῶν αὐτῶν Πατέρων καὶ τῆς αὐτῆς Τριάδος προσκυνητήν. Λαὸς ἐμός· ἐμὸς γάρ, κἂν μὴ δοκῇ τοῖς βασκαίνουσι· καί, ἵνα πληγῶσι μᾶλλον οἱ τοῦτο πάσχοντες, ἰδοὺ δίδωμι δεξιὰς κοινωνίας ἐπὶ τοσούτων μαρτύρων, ὁρατῶν τε καὶ ἀοράτων· καὶ ἀπωθοῦμαι παλαιὰν

διαβολὴν νέᾳ χρηστότητι. Λαὸς ἐμός· ἐμὸς γάρ, εἰ καὶ τὸν μέγιστον ὁ μικρότατος σφετερίζομαι. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις· ὁμοτίμους ποιεῖ τοὺς ὁμόφρονας. Λαὸς ἐμός· ἐμὸς γάρ, εἰ καὶ πόρρωθεν· ὅτι θεϊκῶς συναπτόμεθα καὶ τρόπον ἄλλον ἢ ὃν αἱ παχύτητες. Τὰ μὲν γὰρ σώματα τόπῳ συνάπτεται, ψυχαὶ δὲ Πνεύματι συναρμόζονται. Λαὸς ἐμός, ὁ πρότερον μὲν φιλοσοφῶν τὸ πάσχειν ὑπὲρ Χριστοῦ, νῦν δὲ τὸ μὴ ποιεῖν, ἐὰν ἐμοὶ πείθησθε, ἀλλ' αὔταρκες κέρδος τίθεσθαι τὴν τοῦ ποιεῖν ἐξουσίαν καὶ ἡγεῖσθαι Χριστῷ λατρείαν εἰσφέρειν[1], ὥσπερ τότε τὴν καρτερίαν, οὕτως ἐν τῷ παρόντι τὴν ἐπιείκειαν. «Λαός, ἐφ' ὃν παρατέτακται ὁ Κύριος»[2] τοῦ εὖ ποιῆσαι[3], ὥσπερ τοῦ κακοποιῆσαι τοὺς ἐναντίους. Λαός, ὃν ἐξελέξατο ἑαυτῷ Κύριος[4] ἐκ πάντων ὧν προσεκαλέσατο. Λαός, ὁ ἐπὶ τῶν χειρῶν Κυρίου ἐζωγραφημένος, ᾧ, «Σὺ γὰρ εἶ θέλημα ἐμόν»[5], λέγει Κύριος· καί, «Αἱ πύλαι σου γλύμμα»[6]· καὶ ὅσα τοῖς σῳζομένοις ὕστερον. Λαός, καὶ μή με θαυμάσητε τῆς ἀπληστίας, εἰ **[248]** πολλάκις ὑμᾶς ἀναστρέφω· κατατρυφῶ γὰρ ὑμῶν τῇ συνεχείᾳ τῆς κλήσεως, ὥσπερ οἱ θεαμάτων τινῶν ἢ ἀκουσμάτων ἀπλήστως ἐμφορούμενοι.

Ζ΄. Ἀλλ', ὦ Θεοῦ λαός καὶ ἡμέτερος, καλὴ μὲν ὑμῶν καὶ ἡ πρώην πανήγυρις, ἣν ἐπὶ τῆς θαλάσσης ἐστήσασθε καὶ εἴπερ ἄλλη τις ὀφθαλμῶν χάρις, ἡνίκα εἶδον δενδρουμένην τὴν θάλασσαν καὶ χειροποιήτῳ νέφει κεκαλυμμένην καὶ κάλλος νηῶν καὶ τάχος, ὥσπερ εἰς πομπὴν ἐσταλμένων καὶ πνεῦμα μέτριον κατὰ πρύμναν ἱστάμενον, ὥσπερ δορυφοροῦν ἐξεπίτηδες καὶ παραπέμπον τῇ πόλει πόλιν πελάγιον· καλλίων δὲ ἡ νῦν ὁρωμένη καὶ μεγαλοπρεπεστέρα. Οὐ γὰρ τοῖς πολλοῖς φέροντες ὑμᾶς αὐτοὺς ἀνεμίξατε, οὐδὲ πλήθει τὴν εὐσέβειαν ἐμετρήσατε, οὐδὲ δῆμος γενέσθαι μᾶλλον ὀχλώδης ἠνέσχεσθε ἢ λαὸς Θεοῦ λόγῳ κεκαθαρμένος· ἀλλ' ὅσον εἰκός, Καίσαρι τὰ τοῦ Καίσαρος[7] εἰσενεγκόντες, τῷ Θεῷ τὰ τοῦ Θεοῦ προσενείματε· τῷ μὲν τὸ τέλος, τῷ δὲ τὸν φόβον[8]· καὶ τὸν δῆμον τοῖς ὑμετέροις θρέψαντες, ἥκετε καὶ αὐτοὶ παρ' ἡμῶν τραφησόμενοι. Σιτοδοτοῦμεν γὰρ καὶ ἡμεῖς καὶ σιτοδοσίαν ἴσως τῆς ὑμετέρας οὐ φαυλοτέραν. Δεῦτε φάγετε τὸν ἐμὸν ἄρτον καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν[9]· καλῶ μετὰ τῆς σοφίας ὑμᾶς εἰς τὴν ἐμὴν τράπεζαν. Ἐπαινῶ γὰρ τῆς εὐγνωμοσύνης καὶ προστρέχω τῇ προθυμίᾳ, ὅτι ὡς ἐπὶ λιμένα ἴδιον ἡμᾶς κατηντήσατε, τῷ ὁμοίῳ προσδραμόντες καὶ τὸ συγγενὲς τῆς πίστεως ἐτιμήσατε καὶ τῶν ἀτόπων ἐνομίσατε, τοὺς μὲν ὑβριστὰς τῶν ἄνω συμφρονεῖν ἀλλήλοις καὶ συναρμόζεσθαι καὶ τὸ καθ' ἕκαστον σαθρὸν οἴεσθαι διορθοῦσθαι τῷ κοινῷ τῆς συστάσεως, καθάπερ τῶν σχοινίων τὰ τῇ πλοκῇ δυναμούμενα, αὐτοὶ δὲ μὴ συνιέναι, μηδὲ συνδεῖσθαι τοῖς ὁμογνώ-

---

1. Πρβλ. Ἰω. 16,2. 2. Μαλ. 1,4. 3. Πρβλ. Ζαχ. 8,15. 4. Πρβλ. Ψαλ. 32,12. 5. Ἡσ. 62,4. 6. Ἡσ. 60,18. 7. Πρβλ. Ματθ. 22,21. 8. Πρβλ. Ρωμ. 13,7. 9. Πρβλ. Παρμ. 9,5.

μοσιν, οἷς γε εἰκὸς μᾶλλον· αὐτοί γὰρ συνάγομεν καὶ θεότητα. Καὶ ἵνα γε εἰδῆτε, μὴ μάτην προσδραμόντες ἡμῖν, μηδὲ ὡς ξένοις καὶ ἀλλοτρίοις, ἀλλ' ἐν ὑμετέροις καταχθέντες καὶ καλῶς ὁδηγηθέντες ὑπὸ τοῦ Πνεύματος, βραχέα περὶ Θεοῦ φιλοσοφήσομεν ὑμῖν. Καὶ γνωρίσατε τὰ ὑμέτερα, ὥσπερ οἱ τοῖς ἐπισήμοις τῶν ὅπλων τὸ οἰκεῖον διαγινώσκοντες.

Η'. Δύο διαφορὰς ἐν τοῖς οὖσι γινώσκω τὰς ἀνωτάτω, δεσποτείαν τε καὶ δουλείαν· οὐχ ἃς παρ' ἡμῖν, ἢ τυραννὶς ἔτεμεν ἢ πενία διέστησεν, ἀλλ' ἃς φύσις διώρισεν, εἴ τῳ φίλον οὕτω καλεῖν. Τὸ γὰρ πρῶτον καὶ ὑπὲρ τὴν φύσιν. Τούτων δέ, ἡ μὲν ποιητική τέ ἐστι καὶ ἀρχικὴ καὶ ἀκίνητος· ἡ δὲ πεποιημένη καὶ ὑπὸ χεῖρα καὶ μεταπίπτουσα. Καὶ ἔτι συντομώ**[249]**τερον εἰπεῖν, ἡ μὲν ὑπὲρ χρόνον, ἡ δὲ ὑπὸ χρόνον. Καλεῖται δὲ ἡ μὲν Θεὸς καὶ ἐν τρισὶ τοῖς μεγίστοις ἵσταται, αἰτίῳ καὶ δημιουργῷ καὶ τελειοποιῷ· τῷ Πατρὶ λέγῳ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι. Ἃ μήτε οὕτως ἀλλήλων ἀπήρτηται, ὡς φύσει τέμνεσθαι· μήτε οὕτως ἐστένωνται, ὡς εἰς ἓν πρόσωπον περιγράφεσθαι· τὸ μὲν γὰρ τῆς Ἀρειανῆς μανίας, τὸ δὲ τῆς Σαβελλιανικῆς ἀθεΐας ἐστίν· ἀλλ' ἔστι, τῶν μὲν πάντη διαιρετῶν ἐνικωτέρα, τῶν δὲ τελείως μοναδικῶν ἀφθονωτέρα. Ἡ δὲ μεθ' ἡμῶν τέ ἐστι καὶ καλεῖται κτίσις, κἂν ἄλλα ἄλλων ὑπεραίρῃ, κατὰ τὴν ἀναλογίαν τῆς πρὸς Θεὸν ἐγγύτητος.

Θ'. Τούτων δὲ οὕτως ἐχόντων, ὅτῳ μὲν ἡ καρδία πρὸς Κύριον, ἴτω μεθ' ἡμῶν[1] καὶ προσκυνῶμεν τὴν μίαν ἐν τοῖς τρισὶ θεότητα, μηδὲν ταπεινότητος ὄνομα τῇ ἀπροσίτῳ δόξῃ προσάγοντες, ἀλλὰ τὰς ὑψώσεις τοῦ ἑνὸς Θεοῦ ἐν τοῖς τρισὶ διαπαντὸς ἐν τῷ λάρυγγι φέροντες[2]. Ἧς γὰρ οὐδὲ μέγεθος φύσεως κυρίως ἔστιν εἰπεῖν, διὰ τὸ ἄπειρον καὶ ἀόριστον, πῶς ταύτῃ ταπεινότητα ἐπεισάξομεν; Ὅστις δὲ ἀλλοτρίως ἔχει Θεοῦ καὶ διὰ τοῦτο τέμνει τὴν μίαν καὶ ὑπὲρ πάντα τὰ ὄντα οὐσίαν εἰς ἀνισότητα φύσεων, θαυμαστόν, εἰ μὴ τῇ ῥομφαίᾳ τμηθήσεται καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων τεθήσεται[3], πονηρὸν δρεπομένου πονηρᾶς δόξης καρπὸν καὶ νῦν καὶ ὕστερον.

Ι'. Περὶ μὲν γὰρ τοῦ Πατρὸς τί χρὴ καὶ λέγειν, οὗ καὶ τὸ παρὰ πάντων συγκεχωρηκὸς φείδεσθαι ταῖς φυσικαῖς ἐννοίαις προκατειλημμένων; Εἰ καὶ τῆς ἀτιμίας τὰ πρῶτα ἠνέγκατο, πρῶτος τμηθεὶς εἰς Ἀγαθὸν καὶ Δημιουργὸν παρὰ τῆς ἀρχαίας καινοτομίας. Περὶ δὲ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, σκοπεῖτε ὡς ἁπλῶς καὶ συντόμως διαλεξώμεθα. Εἰ μέν τις ἔχοι τούτων τι λέγειν τρεπτὸν ἢ ἀλλοιωτόν, ἢ χρόνῳ ἢ τόπῳ ἢ δυνάμει ἢ ἐνεργείᾳ μετρούμενον ἢ οὐ φυσικῶς ἀγαθὸν ἢ οὐκ αὐτοκίνητον ἢ οὐκ αὐτεξούσιον ἢ λειτουργόν ἢ ὑμνῳδὸν ἢ φοβούμενον ἢ ἐλευθερούμενον ἢ οὐ συναριθμούμενον·

---

1. Πρβλ. Ἔξ. 32,26. 2. Πρβλ. Ψαλ. 149,6. 3. Πρβλ. Λουκ. 12,46.

δεικνύτω τοῦτο καὶ ἡμεῖς στέρξομεν, συνδούλων σεμνότητι δοξαζόμενοι, εἰ καὶ Θεὸν ζημιούμεθα. Εἰ **[252]** δὲ πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστι, πλὴν τῆς αἰτίας· πάντα δὲ ὅσα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, πλὴν τῆς υἱότητος καὶ τῶν ὅσα σωματικῶς περὶ αὐτοῦ λέγεται διὰ τὸν ἐμὸν ἄνθρωπον καὶ τὴν ἐμὴν σωτηρίαν, ἵνα τὸ ἐμὸν λαβών, τὸ ἑαυτοῦ χαρίσηται διὰ τῆς καινῆς ἀνακράσεως· παύσασθε παραληροῦντες ὀψὲ γοῦν, ὦ σοφισταὶ κενῶν ῥημάτων, αὐτοῦ πιπτόντων. «Καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ»[1], ἵν' ἐκ τῆς Γραφῆς ὑμᾶς ὀδύρωμαι.

ΙΑ′. Ὡς ἔγωγε αἰδοῦμαι μὲν τὰς τοῦ Λόγου προσηγορίας, τοσαύτας τε οὔσας καὶ οὕτως ὑψηλὰς καὶ μεγάλας, ἃς καὶ δαίμονες ἐνετράπησαν· αἰδοῦμαι δὲ τὴν ὁμοτιμίαν τοῦ Πνεύματος· φοβοῦμαι δὲ τὴν ὡρισμένην ἀπειλὴν τοῖς εἰς αὐτὸ βλασφημοῦσι[2]. Βλασφημία δέ, οὐχ ἡ θεολογία, τὸ δὲ ἀλλοτριοῦν τῆς θεότητος. Καὶ τηρητέον ἐνταῦθα, ὅτι τὸ μὲν βλασφημούμενον, ὁ Κύριος ἦν· τὸ δὲ ἐκδικούμενον, τὸ Πνεῦμα τὸ Ἅγιον, δῆλον ὡς Κύριος. Οὐ φέρω ἀφώτιστος εἶναι μετὰ τὸ φώτισμα, παραχαράσσων τι τῶν τριῶν, εἰς ἃ βεβάπτισμαι καὶ ὄντως ἐνταφῆναι τῷ ὕδατι, οὐκ εἰς ἀναγέννησιν, ἀλλ' εἰς νέκρωσιν τελειούμενος.

ΙΒ′. Τολμῶ τι φθέγξασθαι, ὦ Τριάς· καὶ συγγνώμη τῇ ἀπονοίᾳ· περὶ ψυχῆς γὰρ ὁ κίνδυνος. Εἰκών εἰμι καὶ αὐτὸς Θεοῦ, τῆς ἄνω δόξης, εἰ καὶ κάτω τέθειμαι. Οὐ πείθομαι τῷ ὁμοτίμῳ σῴζεσθαι. Εἰ μὴ Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον, θεωθήτω πρῶτον καὶ οὕτω θεούτω με τὸν ὁμότιμον. Νῦν δὲ τίς ἡ ἀπάτη τῆς χάριτος, μᾶλλον δέ, τῶν διδόντων τὴν χάριν, ὡς εἰς Θεὸν πιστεῦσαι καὶ ἀνελθεῖν ἄθεον; ἄλλο καθομολογῆσαι καὶ ἄλλο διδάσκεσθαι; οἷαι τῶν λόγων αἱ κλοπαὶ καὶ ἀπάταις, δι' ἄλλης ἐρωτήσεως καὶ ὁμολογίας εἰς ἄλλο φέρουσαι; Οἴμοι τῆς λαμπρότητος, εἰ μετὰ τὸν λουτρὸν μεμελάνωμαι, εἰ λαμπροτέρους ὁρῶ τοὺς οὔπω κεκαθαρμένους, εἰ τῇ τοῦ βαπτιστοῦ κακοδοξίᾳ κυβεύομαι, εἰ ζητῶ Πνεῦμα κρεῖττον καὶ οὐχ εὑρίσκω! Δός μοι λουτρὸν δεύτερον καὶ περὶ τοῦ πρώτου κακῶς ἐννόησον. Τί μοι φθονεῖς τῆς τελείας ἀναγεννήσεως; τί με ποιεῖς, ναὸν ὄντα τοῦ Πνεύματος ὡς Θεοῦ[3], κατοικητήριον κτίσματος; τί τὸ μὲν τιμᾷς τῶν ἐμῶν, τὸ δὲ ἀτιμάζεις κακῶς θεότητι διαιτῶν, ἵν' ἐμοὶ τέμῃς τὸ χάρισμα, μᾶλλον δέ, αὐτὸν ἐμὲ τῷ χαρίσματι; Ἢ τὸ πᾶν τίμησον, ὦ καινὲ θεολόγε, **[253]** ἢ τὸ πᾶν ἀτίμασον, ἵνα κἂν ἀσεβῇς, ἀλλὰ σεαυτῷ γε ἀκόλουθος ᾖς, μὴ κρίνων ἀνίσως φύσιν ὁμότιμον.

ΙΓ′. Κεφάλαιον δὲ τοῦ λόγου· Μετὰ τῶν χερουβὶμ δόξασον, συναγόντων τὰς τρεῖς ἁγιότητας εἰς μίαν κυριότητα[4] καὶ τοσοῦτον παραδεικνύντων τῆς πρώτης οὐσίας, ὅσον ὑπανοίγουσι τοῖς φιλοπόνοις αἱ πτέρυγες. Μετὰ Δαβὶδ φωτίσθητι, πρὸς τὸ φῶς λέγοντος·

1. Ἰεζ. 18,31. 2. Πρβλ. Ματθ. 12,31. 3. Πρβλ. Α′ Κορ. 6,19. 4. Πρβλ. Ἡσ. 6,3.

«Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς»[1], οἷον ὥσπερ ἐν τῷ Πνεύματι τὸν Υἱόν· οὗ τί ἂν γένοιτο τηλαυγέστερον; Μετὰ Ἰωάννου βρόντησον, τοῦ υἱοῦ τῆς βροντῆς[2], μηδὲν περὶ Θεοῦ ταπεινὸν ἠχῶν, μηδ' ἀπὸ γῆς, ἀλλ' ὑψηλὸν καὶ μετέωρον (τὸν ἐν ἀρχῇ τε ὄντα καὶ πρὸς τὸν Θεὸν ὄντα[3] καὶ Θεὸν Λόγον, Θεὸν γινώσκων καὶ Θεὸν ἀληθινὸν ἐξ ἀληθινοῦ Πατρός, ἀλλ' οὐ σύνδουλον ἀγαθόν, υἱοῦ προσηγορίᾳ μόνῃ τετιμημένον· καὶ τὸν ἄλλον Παράκλητον, δηλαδὴ ἄλλον τοῦ λέγοντος· Θεοῦ δὲ ὁ Λόγος)· καὶ ὅταν μέν, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[4], ἀναγινώσκῃς, τὸ συναφὲς τῆς οὐσίας ἐνοπτριζόμενος· ὅταν δέ, «Πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα»[5], τὸ διῃρημένον τῶν ὑποστάσεων λογιζόμενος· ὅταν δέ, τὸ Πατρός καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ὄνομα[6], τὰς τρεῖς ἰδιότητας.

ΙΔ'. Μετὰ Λουκᾶ ἐμπνεύσθητι, ταῖς Πράξεσι τῶν ἀποστόλων προσομιλῶν. Τί μετὰ Ἀνανίου τάττῃ καὶ Σαπφείρας[7] τῶν καινῶν νοσφιστῶν (εἴ γε καινὸν ὄντως ἢ τῶν ἰδίων κλοπή) καὶ ταῦτα νοσφιζόμενος, οὐκ ἀργύριον, οὐδ' ἄλλο τι τῶν εὐτελῶν καὶ μικρῶν, οἷον γλῶσσαν χρυσῆν ἢ ψιλὴν ἢ δίδραχμον, ὡς ποτε στρατιώτης ἄπληστος[8], ἀλλ' αὐτὴν κλέπτων θεότητα καὶ ψευδόμενος, οὐκ ἄνθρωπον, ἀλλὰ Θεόν, ὅπερ ἤκουσας[9]. Τί; Μηδὲ τὴν ἐξουσίαν αἰδῇ τοῦ Πνεύματος, ἐφ' οὓς θέλει καὶ ἡνίκα καὶ ὅσον πνέοντος[10]; Ἐπιδημεῖ τοῖς περὶ Κορνήλιον πρὸ τοῦ βαπτίσματος, ἄλλοις μετὰ τὸ βάπτισμα διὰ τῶν ἀποστόλων[11]. Ὥστε ἀμφοτέρωθεν, ἔκ τε ὧν ἐπιφοιτᾷ δεσποτικῶς, ἀλλ' οὐ δουλικῶς καὶ ἐξ ὧν ἐπιζητεῖται πρὸς τὴν τελείωσιν, τὴν θεότητα μαρτυρεῖσθαι τοῦ Πνεύματος.

ΙΕ'. Μετὰ Παύλου θεολόγησον, τοῦ πρὸς τρίτον οὐρανὸν ἀναχθέντος[12]· ποτὲ μὲν συναριθμοῦντος τὰς τρεῖς ὑποστάσεις καὶ τοῦτο ἐνηλλαγμένως, οὐ τετηρημένως ταῖς τάξεσι, προαριθμοῦντος, ἐναριθμοῦν**[256]**τος, ὑπαριθμοῦντος τὸ αὐτό. Ἵνα τί; Δηλώσῃ τὴν ἰσοτιμίαν τῆς φύσεως. Ποτὲ δὲ τῶν τριῶν μεμνημένου· ποτὲ δὲ τινῶν ἢ τινος, ὡς ἑπομένου πάντως τοῦ λείποντος· καὶ ποτὲ μὲν τὴν ἐνέργειαν τοῦ Θεοῦ τῷ Πνεύματι διδόντος[13], ὡς οὐδὲν διαφέροντος· ποτὲ δέ, ἀντὶ τοῦ Πνεύματος, τὸν Χριστὸν ἐπιφέροντος[14]· καὶ ὅτε μὲν διαιρεῖ τὰς ὑποστάσεις, «εἷς Θεός», λέγοντος, «ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ»[15]. Ὅτε δὲ συνάγει τὴν μίαν θεότητα· «ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα»[16], δηλαδὴ διὰ τοῦ Ἁγίου Πνεύματος, ὡς πολλαχοῦ δείκνυται τῆς Γραφῆς. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Ψαλ. 35,10. 2. Πρβλ. Μάρκ. 3,17. 3. Πρβλ. Ἰω. 1,1. 4. Ἰω. 10,30. 5. Ἰω. 14,23. 6. Πρβλ. Ματθ. 28,19. 7. Πρβλ. Πράξ. 5,1 ἑξ. 8. Πρβλ. Ἰησ. Ν. 7,21. 9. Πρβλ. Πράξ. 5,4. 10. Πρβλ. Ἰω. 3,8. 11. Πρβλ. Πράξ. 10,44. 19,2. 12. Πρβλ. Β' Κορ. 12,2. 13. Πρβλ. Α' Κορ. 12,11. 14. Πρβλ. Ρωμ. 8,9 ἑξ. 15. Α' Κορ. 8,6. 16. Ρωμ. 11,36.

ΛΟΓΟΣ ΛΕ΄

ΕΙΣ ΤΟΥΣ ΜΑΡΤΥΡΑΣ ΚΑΙ ΚΑΤΑ ΑΡΕΙΑΝΩΝ

[257] Α΄. Τί τοσοῦτόν ἐστιν εἰπεῖν, ὅσον τοῖς ὀφθαλμοῖς πάρεστι βλέπειν; Τίς δὲ λόγος τῶν φαινομένων ἀγαθῶν ἰσοστάσιος; Ἰδοὺ πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν τὸ ἀπιστούμενον θέαμα, ὃ καὶ ἰδεῖν μὲν πολλάκις ηὐξάμεθα κρεῖττον δὲ ἦν ἢ κατ᾽ εὐχὴν τὸ ποθούμενον. Πάλιν ἐνταῦθα μαρτύρων τιμαί, πολὺν ἤδη τὸν πρὸ τούτου χρόνον ἀμεληθεῖσαι· πάλιν ἱερέων Θεοῦ συνδρομαί· πάλιν χοροστασίαι καὶ πανηγύρεις πνευματικαί. Ὁ σύλλογος πολυάνθρωπος ἑορτάζειν, οὐχ ὁπλομαχεῖν προθυμούμενος. Ὦ τοῦ θαύματος! ἔρριπται τῶν χειρῶν τὰ ὅπλα, λέλυται ἡ παράταξις, ἀμελεῖται ὁ πόλεμος. Οὐκ ἔτι αἱ φωναὶ τῶν ἀλαλαζόντων ἀκούονται· ἀντὶ δὲ τούτων ἑορταὶ καὶ εὐφροσύναι καὶ εἰρηνικαὶ θυμηδίαι τὴν πόλιν πᾶσαν περιχορεύουσι· τὴν πάλαι μὲν οὖσαν τῶν μαρτύρων μητέρα, πολὺν δὲ τὸν ἐν τῷ μέσῳ χρόνον, ἄμοιρον γενομένην τῆς ἐπὶ τοῖς τέκνοις τιμῆς. Ἀλλὰ νῦν ἀπέχει πάντα καὶ περισσεύει, καθώς φησιν ὁ Ἀπόστολος[1]. Εὖγε, ὦ μάρτυρες· ὑμέτερος καὶ οὗτος ὁ ἆθλος· ὑμεῖς νενικήκατε τὸν πολὺν πόλεμον, εὖ οἶδα. Μόνα καὶ ταῦτα τῶν ὑμετέρων ἱδρώτων τὰ κατορθώματα. Ὑμεῖς ἠγείρατε τῇ εἰρήνῃ τὸ τρόπαιον. Ὑμεῖς τοὺς ἱερέας τοῦ Θεοῦ ἐφ᾽ ἑαυτοὺς ἐφειλκύσασθε. Ὑμεῖς τοὺς χορευτὰς τοῦ Ἁγίου Πνεύματος τῷ συλλόγῳ τούτῳ προεστήσασθε. Ὦ πόσην πεπόνθασι τὴν ζημίαν, οἷς ὁ χρόνος τῆς ζωῆς μέχρι τοῦ νῦν οὐ διήρκεσε θεάματος, ἵνα τῶν σκυθρωπῶν εἰς κόρον ἐλθόντες, τῶν ἀγαθῶν τῆς εἰρήνης ἀπελαύσειεν!

Β΄. Οἴχεται μὲν καὶ ἠφάνισται ἡ τῆς αἱρέσεως ἀπάτη, οἷόν τις ὁμίχλη, ὑπὸ τοῦ Ἁγίου Πνεύματος σκεδασθεῖσα· καθαρὰ δὲ διέλαμψεν ἡ τῆς εἰρήνης αἰθρία καὶ διαφαίνονται κατ᾽ αὐτὴν οἱ τοῦ ἄστεως ἐν λαμπρῷ τῆς ἀληθείας φωτὶ μαρμαρύσσοντες ἀστέρες, οὐχὶ νυκτὶ ἀποκεκληρωμένοι καὶ σκότῳ, ἀλλ᾽ ἡμεροφανεῖς οἱ πάντες, τῷ ἀληθινῷ φωτὶ τῆς δικαιοσύνης ἀναλάμψαντες. Καὶ ἐπειδή, καθά φησιν ὁ Ἀπόστολος, «ἡ νὺξ προέκοψε»[2], μᾶλλον δὲ τὸ παράπαν ἠφάνισται, τῷ δὲ φωτὶ τῆς ἡμέρας ἅπαν καταφαιδρύνεται, φεύγει μὲν τὰ νυκτονόμα τῶν θηρίων καὶ συνελαύνονται πρὸς τοὺς δρυμοὺς καὶ τὰς σπήλυγγας· φεύγουσι δὲ νυκτερίδες αἱρετικαὶ τρύζουσαι καὶ πρὸς τὸ τῆς ἀληθείας φῶς ἀμβλυώττουσαι καὶ εἰς τὰς τρώγλας τῶν πετρῶν κα-
[258]ταδύονται, ἐπὶ κεφαλὴν ἀλλήλων ἐχόμεναι. Πέπαυται διὰ τῆς ἡμέρας ταύτης τὰ τῶν κωμαστῶν καὶ τῶν μεθυόντων συντάγματα.

---

1. Πρβλ. Φιλιπ. 4,18. 2. Ρωμ. 13,12.

Λωποδῦται καὶ τοιχωρύχοι καὶ κλέπται καὶ εἴ τι ἄλλο τῆς νυκτὸς ἔργον ἐστί, τοῦ φωτὸς τῆς εἰρήνης ἐπαναστείλαντος, κέκρυπται. Ἕως δὲ ἦν ἡ νὺξ ἐκείνη τῷ τῆς ἀπάτης γνόφῳ τὰ πάντα κατασκοτίζουσα, οἷα ἦν τὰ πραττόμενα; Λήθης ἄξια καὶ βαθείας σιγῆς, ὡς ἂν μὴ μνήμη τῶν ἀηδεστέρων ἡ παροῦσα χάρις καταμολύνοιτο. Πῶς γὰρ ἄν τις εἴποι τὰ κατ' αὐτῆς κακά; πῶς δ' ἄν τις καὶ σιωπήσειε; τί πάθος ἐκ τραγῳδίας τοιοῦτον; τίς μῦθος συμφορὰς ἀναπλάσσων; τίς ποιητὴς δραμάτων τοιοῦτον ἐπὶ σκηνῆς πάθος ἐβόησεν; Ὑπὲρ λόγον ἡ συμφορά· ὑπὲρ τὴν δύναμιν τῶν διηγουμένων τὰ πάθη.

Γ'. Ὁρμητήριον ἦν τοῦ διαβόλου ὁ χορός. Ἐνταῦθα τὸ στρατόπεδον ἑαυτῷ κατεστήσατο καὶ τοὺς ἰδίους ὑπασπιστὰς ἐν αὐτῷ καθιδρύσατο. Ἐνταῦθα ὁ στρατὸς τοῦ ψεύδους, οἱ τῆς ἀπάτης πρόμαχοι, ἡ τῶν δαιμόνων ἐκστρατεία, αἱ λεγεῶνες τῶν ἀκαθάρτων πνευμάτων· εἰ δὲ χρὴ καὶ τῶν ἔξωθεν ὀνομάτων εἰπεῖν, ἐντεῦθεν ὁ πονηρὸς τῶν δαιμόνων ἐρινύων στρατὸς κατὰ τῆς Ἐκκλησίας ἐκώμασεν. Οὕτω γὰρ ὀνομάζειν τὰς γυναῖκας προάγομαι, αἳ ὑπὲρ τὴν φύσιν εἰς τὸ κακὸν ἠνδρίζοντο. Μία ἦν ἐν ταῖς ἡμέραις Ἠλιοὺ ἡ Ἰεζάβελ, κατὰ τῶν προφητῶν τοῦ Κυρίου φονῶσα[1] καὶ στηλιτεύει αὐτὴν ἡ θεόπνευστος ἱστορία, ὡς ἂν οἶμαι, τῇ μνήμῃ τοῦ ἀκολάστου γυναίου, πᾶς ὁ μετὰ ταῦτα βίος παιδεύοιτο. Τοσαῦται τοίνυν κατὰ τὴν Ἰεζάβελ ἐκείνην ὥσπερ τι κώνειον, ἐκ τῆς χώρας ἀθρόως ἐβλάστησαν, νικῶσαι τὴν μνημονευθεῖσαν τῇ τῆς πικρίας ὑπερβολῇ. Εἰ δὲ ἀπιστεῖς τῷ λόγῳ, τὴν ἱστορίαν ἐπίσκεψαι. Ἐκείνη τὴν ἄμπελον τοῦ Ναβουθαὶ τῷ ἐκλύτῳ Ἀχαὰβ ἐχαρίζετο, ἵνα ποιήσῃ κῆπον τὴν ἄμπελον, τρυφῆς ἐγκαλλώπισμα, γυναικείαν χλιδήν· αὕται τὴν ζῶσαν τοῦ Θεοῦ ἄμπελον, τὴν Ἐκκλησίαν λέγω, εἰς παντελῆ ἀφανισμὸν μετενεγκεῖν ἐβιάσαντο, αὗται δὲ ἑαυτῶν τὸ κακὸν ἐνεργοῦσαι. Ποῖον εὕρω τοῦ λόγου παράδειγμα; τίνα τῆς κακίας ταύτης ἐπινοήσω εἰκόνα; Εἶδον ἐπὶ κονιάματος τοίχου τοιαύτην γραφήν· καί μου βαστάσατε τὴν καρδίαν τῇ τῶν κακῶν μνήμῃ περιοιδαίνουσαν· μᾶλλον δέ, τῷ πόνῳ καὶ ὑμεῖς συναλγήσατε· ἡμέτερα γὰρ καὶ οὐκ ἀλλότρια διηγούμεθα πάθη· τίς τοίνυν ἡ γραφή, ἣν προσεικάζω τοῖς πράγμασι; χορεία τις ἦν γυναικῶν ἀσχημονοῦσα, ἄλλης κατ' ἄλλο τι σχῆμα ὀρχηστικὸν ἑαυτὴν διαστρεβλούσης. Μαινάδας οἱ μῦθοι τὰς τοιαύτας γυναῖκας καλοῦσιν. Κόμαι ταῖς αὔραις ἀνασοβούμεναι, βλέμμα μανίας πάροδον, πυρσοὶ διὰ χειρῶν φερόμενοι καὶ φλόγες ἐκ τούτων τῇ περιστροφῇ τῶν σωμάτων ἐνειλισσόμεναι· αὔρα ἐν κόλποις τὴν εὐσχημοσύνην τῶν πέπλων λυμαινομένη· **[261]** πόδες ἀκροβατοῦντες καὶ ὑφαλλόμενοι· αἰδὼς εὐσχήμων οὐδενὸς τῶν γινομένων ἐφαπτομένη.

Δ'. Διὰ μέσου δὲ τῆς τοιαύτης χορείας, ἀνδρὸς εἴδωλον τοιοῦ-

---

1. Πρβλ. Γ' Βασ. 20,5.

τον· μιξόθηλύ τις καὶ τὴν φύσιν ἀμφίβολος καὶ θηλυδρίας τὸ εἶδος, ἐν μεθορίῳ τῆς φύσεως κείμενος, λελυμένος τῷ σχήματι, οἷόν τινι κώματι καὶ μέθῃ παράφορος. Οὗτος ἐπί τινος ἀπήνης ἐξυπτιάζων, διὰ τοῦ χοροῦ τῶν Μαινάδων ὑπὸ θηρῶν ἐκομίζετο. Πολὺς δὲ περὶ αὐτὸν ἐκ κρατῆρος ὁ ἄκρατος καί τινες λάλοι, τὴν φύσιν ἀλλόκοτοι, περὶ τὸ εἴδωλον ἦσαν, τὰ πρόσωπα λάσιοι, ἐπὶ σκελῶν τραγείων περισκιρτῶντες τὸ εἴδωλον. Τοιαῦτα τῆς νυκτὸς ἐκείνης τὰ διηγήματα. Γυναῖκες ἐπ᾽ ἀτιμίᾳ γνωρισθεῖσαι τοῦ γένους, κοινῇ κατηγορίᾳ τῆς φύσεως τὴν νενομισμένην ἐν γυναιξὶν εὐκοσμίαν ἐξορχησάμεναι, πομπὴν ἦγον διὰ μέσης τῆς πόλεως, θεατρίζουσαι δι᾽ ἑαυτῶν ἀσχημονοῦσαν τὴν φύσιν, λίθοις τὰς χεῖρας ἀντὶ θυρεῶν ὁπλίσασαι, φόνιον βλέπουσαι, ἀναιδεῖ τῇ τῶν ὀμμάτων βολῇ, ἐντὸς τῶν θείων περιβόλων γενόμεναι, ἐπὶ τῆς ἱερᾶς καθέδρας ἀνέθηκαν ἑαυτῶν τὸν Κορύβαντα. Εἶτα μέθη καὶ ἄκρατος καὶ οἱ ἐκ τῶν ἀσκητηρίων Πᾶνες καὶ νὺξ καὶ διαγωγὴ συμμιγὴς καὶ πάντα ὅσα κωλύει ὁ Ἀπόστολος λέγειν, εἰπών, ὅτι «Τὰ κρυφῇ ὑπ᾽ αὐτῶν γενόμενα, αἰσχρόν ἐστι καὶ λέγειν»[1]. Τίς γὰρ ἂν μετὰ ἀκριβείας διεξέλθοι τῷ λόγῳ τὸ πῦρ, τοὺς λίθους, τὰς σφαγάς, τὰ τραύματα; Ὅπως ἐκ βάθρων ἀνατρέψαι τοὺς τῶν ἱερῶν οἴκων θεραπευτὰς ἐφιλονείκησαν; Ὡς δὲ μέσης τῆς πόλεως ζηλωτήν τινα τῆς ἀληθείας ῥοπάλοις διεχειρίσαντο καὶ τὸν ἀληθῆ φόνον ὁ ὑπονοηθεὶς φόνος ἐκώλυσεν; Ἀλλὰ γὰρ οὐκ οἶδα, πῶς τῆς πρεπούσης ἡδονῆς ἀπερρύη ὁ λόγος, ἐμφιλοχωρήσας τοῖς γηΐνοις διηγήμασιν. Οὐκοῦν ἐπανιτέον ὅθεν ἐξέβημεν, ὥστε γλυκεῖ καὶ ποτίμῳ τῷ λόγῳ τὴν ἁλμυρὰν ἐκείνην ἀκοὴν ἀποκλύσασθαι. Ἐν γὰρ ἡμέρᾳ, φησίν, εὐφροσύνης ἀμνηστία κακῶν[2]· πάλιν τοίνυν ἐπὶ τὸν αὐτὸν ἐπανέρχομαι λόγον, ὅτι ἡ νὺξ ἐκείνη καὶ ὁ γνόφος ἠφάνισται, αἱ δὲ τῆς εἰρήνης ἀκτῖνες διὰ καθαρᾶς τῆς αἰθρίας τῷ τῆς ἀληθείας φωτὶ περιλάμπουσιν. Διὰ τοῦτο ἐκβέβληται μὲν τῶν θείων περιβόλων πᾶν ὅ τι δυσῶδες καὶ βέβηλον· ἀντεισῆκται δὲ πάσης εὐφροσύνης τῶν εὐσεβούντων οἱ οἶκοι καὶ λείπει πρὸς εὐφροσύνην οὐδέν· οἱ δαιτυμόνες, οἱ ἑστιάτορες, ἡ τοῖς ἀγαθοῖς ἐδωδίμοις πλήθουσα τράπεζα.

1. Ἐφ. 5,12. 2. Πρβλ. Σ. Σειρ. 11,25.

ΛΟΓΟΣ ΛΣ'

ΕΙΣ ΕΑΥΤΟΝ ΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΕΠΙΘΥΜΕΙΝ ΑΥΤΟΝ ΤΗΣ ΚΑΘΕΔΡΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΙ ΕΙΣ ΤΗΝ ΤΟΥ ΛΑΟΥ ΠΡΟΘΥΜΙΑΝ ΗΝ ΕΠΕΔΕΙΞΑΝΤΟ ΕΙΣ ΑΥΤΟΝ

[265] Α'. Ἐγὼ θαυμάζω, τί ποτέ ἐστιν ὃ πρὸς τοὺς ἐμοὺς πεπόνθατε λόγους καὶ πόθεν τοσοῦτον ἥττησθε τῆς ἡμετέρας φωνῆς, τῆς ὑπερορίου καὶ μικρᾶς ἴσως καὶ οὐδὲν ἐχούσης ἐράσμιον, ὥστε ταὐτόν μοι δοκεῖτε πρὸς ἡμᾶς πεπονθέναι, ὃ πρὸς τὴν μαγνῆτιν λίθον τὰ σιδήρια. Ἐμοῦ τε γὰρ κρέμασθε καὶ ἀλλήλων εἷς τοῦ ἑνὸς ἐχόμενοι καὶ Θεοῦ πάντες ἐξ οὗ τὰ πάντα καὶ εἰς ὃν τὰ πάντα[1]. Ὦ τῆς θαυμασίας ἀλύσεως, ἣν πλήκει τὸ Πνεῦμα τὸ Ἅγιον δεσμοῖς ἀλύτοις συνηρτισμένην! Τὸ δὲ αἴτιον, οὔτε τι οἶδα ἐγὼ τῶν ἄλλων σοφώτερον, ὅσα ἐμαυτῷ συνεπίσταμαι· εἰ μή τις τοῦτο αὐτὸ ἐμὴν σοφίαν ὑπολαμβάνει τὸ εἰδέναι, ὅτι μὴ σοφός εἴην, μηδὲ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας ἐγγύς· ὃ πολλῷ δέουσι περὶ ἑαυτῶν ὑπολαμβάνειν οἱ νῦν σοφοί· ἐπειδὴ ῥᾷστον ἑαυτὸν ἀπατᾶν καὶ οἴεσθαι εἶναί τι, οὐδὲν ὄντα[2], ὑπὸ τῆς κενῆς δόξης φυσώμενον. Οὔτε πρῶτος ὑμῖν τὸν τῆς ὀρθοδοξίας λόγον ἐκήρυξα, οὔ μάλιστα περιέχεσθε, ἴχνεσι δὲ ἀλλοτρίοις ἐπηκολούθησα καὶ τούτοις ὑμετέροις· εἰρήσεται γὰρ τἀληθές· εἴπερ ὑμεῖς Ἀλεξάνδρου μαθηταὶ τοῦ πάνυ, τοῦ μεγάλου τῆς Τριάδος ἀγωνιστοῦ τε καὶ κήρυκος καὶ λόγῳ καὶ ἔργῳ τὴν ἀσέβειαν ἐξορίσαντος. Μέμνησθε γὰρ τῆς Ἀποστολικῆς ἐκείνης εὐχῆς, ἣ τὸν ἀρχηγὸν τῆς ἀσεβείας κατέλυσεν ἐν τόποις ἀξίοις τῶν τῆς γλώσσης ἀμαρευμάτων, ἵν' ὕβρις ὕβριν ἀμύνηται καὶ στηλιτευθῇ θανάτῳ δικαίῳ θάνατος ψυχῶν ἄδικος.

Β'. Οὐ ξένην οὖν πηγὴν ὑμῖν ἐρρήξαμεν, ὥσπερ ἦν Μωυσῆς ἀνέδειξεν ἐν ἀνύδρῳ τοῖς ἀπ' Αἰγύπτου διωκομένοις[3], κεκρυμμένην δὲ καὶ συγκεχωσμένην ἀνεστομώσαμεν, κατὰ τοὺς παῖδας Ἰσαὰκ τοῦ μεγάλου, μὴ ὀρύσσοντας μόνον φρέατα ζῶντος ὕδατος, ἀλλὰ καὶ φρασσόμενα ὑπὸ τῶν Φυλιστιαίων ἀνακαθαίροντας[4]. Ἀλλ' οὐδὲ τῶν κομψῶν τις καὶ ἡδέων **[268]** ἐγὼ καὶ οἷος κολακείᾳ κλέπτειν τὴν εὔνοιαν· οἵους ὁρῶ πολλοὺς τῶν νῦν ἱερατεύειν ὑπισχνουμένων, οἳ τὴν ἁπλῆν καὶ ἄτεχνον ἡμῶν εὐσέβειαν, ἔντεχνον πεποιήκασι καὶ πολιτικῆς τι καινὸν εἶδος ἀπὸ τῆς ἀγορᾶς εἰς τὰ ἅγια μετενηνεγμένης καὶ ἀπὸ τῶν θεάτρων ἐπὶ τὴν τοῖς πολλοῖς ἀθέατον μυσταγω-

---

1. Πρβλ. Α' Κορ. 8,6. 2. Πρβλ. Γαλ. 6,3. 3. Πρβλ. Ἐξ. 17,6. 4. Πρβλ. Γεν. 26,18.

γίαν· ὡς εἶναι δύο σκηνάς, εἰ δεῖ τολμήσαντα τοῦτο εἰπεῖν, τοσοῦτον ἀλλήλων διαφερούσας, ὅσον τὴν μὲν πᾶσιν ἀνεῖσθαι, τὴν δέ τισι· καὶ τὴν μὲν γελᾶσθαι, τὴν δὲ τιμᾶσθαι· καὶ τὴν μὲν θεατρικήν, τὴν δὲ πνευματικὴν ὀνομάζεσθαι. «Ὑμεῖς μάρτυρες καὶ ὁ Θεός»[1], φησὶν ὁ θεῖος Ἀπόστολος, ὡς οὐ ταύτης ἡμεῖς τῆς μερίδος, ἀλλ' οἷοι σκαιότητος ἂν θᾶττον καὶ ἀγροικίας ἢ θωπείας καὶ ἀνελευθερίας ἔγκλημα δέξασθαι· οἵ γε καὶ πρὸς τοὺς λίαν ἀντεχομένους ἡμῶν ἐστιν ὅτε καὶ ὅπου φαινόμεθα τραχυνόμενοι, ἄν τι μὴ κατὰ λόγον ἡμῖν ποιεῖν νομίζωνται. Καὶ τοῦτο ἔδειξεν ἡ πρώην γενομένη περὶ ἡμᾶς καινοτομία ἡνίκα ζήλῳ καὶ θυμῷ ζέσαντες ὑμεῖς ὁ λαός, βοῶντάς σε καὶ ὀδυρομένους ἐπὶ τὸν θρόνον τοῦτον ἐθήκατε, τὸν οὐκ οἶδ' εἴτε τυραννικὸν χρὴ λέγειν, εἴτε ἀρχιερατικόν· ἐθήκατε δ' οὖν, διὰ τὸν πόθον παρανομήσαντες. Ἔνθα τοσοῦτόν τισι τῶν θερμοτέρων ἐδυσχεράναμεν, ὥστε ἀπεπήδησαν ἡμῶν, τὸ φίλτρον εἰς ἔχθραν τρέψαντες. Οὐ γὰρ ἐξ ὧν χαριούμεθα σκοποῦμεν μᾶλλον ἢ ἐξ ὧν ὠφελήσομεν.

Γ΄. Τίς οὖν ἡ αἰτία τοῦ τοσούτου περὶ ἡμᾶς πόθου, καὶ τοὺς λόγους τοὺς ἡμετέρους, αὐτοὶ βούλεσθε δηλῶσαι ταύτην καὶ παραστῆσαι καὶ τὸ ὑμέτερον πάθος αὐτοὶ γνωρίσαι, ἢ δι' ἡμῶν τοῦτο δημοσιεῦσαι, ὡς καὶ τῶν ἄλλων ἡμῖν χρῆσθε προθύμως ἐξηγηταῖς; Ἡμέτερον οἶδ' ὅτι ποιεῖσθε τὸν λόγον, ὅσον ἐκ τῆς ἡσυχίας τεκμαίρομαι. Οὐκοῦν ἀκούσατε καὶ σκοπεῖτε, μὴ φαῦλος ἐγὼ τῶν τοιούτων εἰκαστής. Ἐμοὶ δοκεῖτε μάλιστα μέν, ὡς αὐτοὶ καλέσαντες ἡμᾶς, οἰκείᾳ βοηθεῖν κρίσει καὶ διὰ τοῦτο περιέπειν τὸ ὑμέτερον θήραμα. Φύσις δὲ αὕτη πρὸς τὸ οἰκεῖον ἅπαν εὐμενῶς ἔχειν, εἴτε κτῆμα, εἴτε γέννημα, εἴτε λόγον καὶ δι' εὐνοίας ἑκουσίου χειροῦσθαι τοῖς ἑαυτῶν προβλήμασιν. Δεύτερον δέ, οὐδὲν οὕτως αἰδεῖσθαι ὡς τὸ μὴ ἰταμὸν ἡμῶν, μήτε βίαιον, μήτε θεατρικόν τε καὶ πανηγυρικόν, ἀλλ' ὑποχωρητικόν τε καὶ μέτριον καὶ οἷον ἄκοινον ἐν τῷ κοινῷ καὶ μονότροπον καί, συντομώτερον εἰπεῖν ἔτι, φιλόσοφον· οὐδὲ αὐτὸ τεχνικῶς καὶ πολιτικῶς ἡμῖν ἀνευρημένον, ἀλλ' ἁπλῶς καὶ πνευματικῶς τετιμημένον. Οὐ γάρ, ἵνα ζητηθῶμεν, ἀποκρυπτόμεθα, οὐδ' ἵνα πλείονος ἄξιοι δόξωμεν τιμῆς, ὥσπερ οἱ τὰς **[269]** ὥρας μικρὸν προφαίνοντες εἶθ' ὑποστέλλοντες· ἀλλ' ἵνα τὸ φεύγειν τὰς προεδρίας καὶ μὴ μεταποιεῖσθαι τῶν τοιούτων τιμῶν, τῷ ἡσυχίῳ δείξωμεν. Τρίτον, ὁρῶντες ἡμᾶς οἷα πάσχομεν ὑπό τε τῶν ἔξωθεν πολεμούντων καὶ τῶν ἔνδοθεν ἐπιβουλευόντων· ἐπειδή, κατὰ τὸν Δανιήλ, ἐξῆλθεν ἀνομία ἐκ πρεσβυτέρων ἐκ Βαβυλῶνος, οἳ ἐδόκουν κρίνειν τὸν Ἰσραήλ[2]· σχετλιάζειν μὲν καὶ δυσχεραίνειν καὶ οὐκ ἔχειν ὅπως ἐπαμύνητε τυραννουμένῳ, μόνον δὲ ἀντὶ πάντων εἰσφέρειν τὸν ἔλεον. Ὁ οὖν οἶκτος τῇ αἰδοῖ συγκραθεὶς φίλτρον ἐγένετο. Καὶ τοῦτο τῆς περὶ ἐμὲ τιμῆς τὸ μυστήριον.

---

1. Α΄ Θεσ. 2,10. 2. Πρβλ. Δαν. (Σωσ.) 5.

Δ΄. Ἐπεὶ δὲ οἱ λόγοι τὸ τολμούμενον καὶ ἡ περιττὴ καὶ ἐπίφθονος αὕτη γλῶττα, ἣν ἐν τοῖς ἔξωθεν παιδευθεῖσαν λόγοις, τοῖς θείοις ἐξευγενίσαμεν καὶ τὴν πικρὰν καὶ ἄποτον Μερρὰν[1] τῷ τῆς ζωῆς ξύλῳ κατεγλυκάναμεν, πεπόνθατέ τι πάθος ἱκανῶς ἐλευθέριον· τοῦτο στέργετε, δι' ὃ πολεμούμεθα. Τί γὰρ οὐ τὴν κωφὴν ἡσπασάμεθα παίδευσιν; τί δὲ οὐ τὴν ξηράν τε καὶ κάτω βαίνουσαν; τί δὲ ταύτῃ χαίροντας τοὺς πολλοὺς ὁρῶντες, ἐφιλοσοφοῦμεν ξένα καὶ ἔκφυλα καὶ πρὸς τὰς ἀντιθέτους γλώσσας ἱστάμεθα; Δέον θρασύτητι φεύγειν τοὺς λογισμοὺς καὶ πίστιν ὀνομάζειν τὴν ἀλογίαν, ἣν ἠγάπησα ἂν καὶ αὐτός, εὖ ἴστε, ἁλιεὺς ὤν· ἐπειδὴ τοῦτο πρόχειρον τοῖς πολλοῖς εἰς ἀπολογίαν τῆς ἀμαθίας· εἰ λόγον εἶχον τῶν σημείων τὴν δύναμιν. Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος, ἡ δαπάνη τῶν ἐχόντων, ὁ τῶν πασχόντων ἰός, τὸ μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καὶ δικαιότατον· τὸ μέν, ὅτι πᾶσι διοχλεῖ τοῖς καλοῖς· τὸ δέ, ὅτι τήκει τοὺς ἔχοντας. Οὐ γὰρ τοῖς πρώτως ἐπαινέσασιν ἡμᾶς καταράσομαι· οὐ γὰρ ᾔδεισαν τῶν ἐπαίνων τὸ τέλος· ὡς τάχα ἄν τι καὶ λοιδορίας προσέθηκαν, ἵνα τὸν φθόνον ἐπίσχωσιν.

Ε΄. Οὗτος καὶ τὸν Ἑωσφόρον ἐσκότισε, καταπεσόντα δι' ἔπαρσιν· οὐ γὰρ ἤνεγκε, θεῖος ὤν, μὴ καὶ Θεὸς νομισθῆναι· καὶ τὸν Ἀδὰμ ἐξέβαλε τοῦ παραδείσου, δι' ἡδονῆς κλέψας καὶ γυναικός. Ἐπείσθη γὰρ ὡς θεὸς εἶναι βασκαίνεται, τοῦ τῆς γνώσεως ξύλου τέως εἰργόμενος. Οὗτος καὶ τὸν Κάϊν ἀδελ[272]φοκτόνον ἐποίησεν, οὐκ ἐνεγκόντα θυσίαν ὀσιωτέραν. Οὗτος καὶ ὕδατι κόσμον ἐκάλυψεν ἀκοσμοῦντα καὶ Σοδομίτας πυρὶ κατέκλυσεν. Οὗτος καὶ Δαθὰν καὶ Ἀβειρὼν κατέχωσε κατὰ Μωσέως μανέντας καὶ Μαριὰμ ἐλέπρωσε κατὰ τοῦ ἀδελφοῦ μόνον γογγύσασαν. Οὗτος καὶ προφητῶν αἵμασι τὴν γῆν ἐμίανε καὶ Σολομῶντα γυναιξὶ κατέσεισε τὸν σοφώτατον. Οὗτος καὶ Ἰούδαν προδότην ἀνέδειξεν, ἀργυρίῳ μικρῷ κλαπέντα, τὸν ἀγχόνης ἄξιον· καὶ Ἡρώδην παιδοφόνον, καὶ Χριστοκτόνον Πιλᾶτον ἐδημιούργησεν. Οὗτος καὶ τὸν Ἰσραὴλ ἐλίκμησε καὶ διέσπειρεν, ἐξ ἧς οὔπω καὶ νῦν ἀνανεύουσιν ἁμαρτίας. Οὗτος καὶ τὸν ἀποστάτην ἡμῖν ἐπανέστησε τύραννον, οὗ καὶ νῦν ἔτι παραλυποῦσιν οἱ ἄνθρακες, εἰ καὶ τὴν φλόγα διαπεφεύγαμεν. Οὗτος καὶ τὸ καλὸν σῶμα τῆς Ἐκκλησίας κατέτεμεν, εἰς διαφόρους καὶ ἀντιπάλους σπουδὰς μερίσας. Οὗτος καὶ ἡμῖν τὸν Ἱεροβοὰμ ἐπανέστησε τὸν δοῦλον τῆς ἁμαρτίας, καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησιν· οὐ γὰρ φέρει τὴν Τριάδα λαμπρυνομένην καὶ ὅλῃ θεότητι λάμπουσαν καὶ τιμίους ποιοῦσαν ὑμῖν τοὺς γνησίους ἑαυτῆς κήρυκας. Ἆρα φλυαρεῖν ὑμῖν δοκοῦμεν οὕτως εἰκάζοντες; ἢ καὶ λίαν ὀρθῶς τοῦ πόθου τὰς αἰτίας ὁ γραφεὺς λόγος ἀνεζωγράφησεν; Περὶ μὲν δὴ τούτων οὕτω γινώσκω.

Ϛ΄. Ἐπεὶ δὲ καὶ ταῖς ὕβρεσιν ὁρῶ τινας δυσχεραίνοντας καὶ

---

1. Πρβλ. Ἐξ. 15,23.

συμφορὰν ἑαυτῶν ποιουμένους, τὴν ἀτιμίαν τὴν ἡμετέραν, φέρε καὶ περὶ ταύτης βραχέα φιλοσοφήσωμεν. Ἐγὼ γάρ, εἰ μὲν ἀνθρώπινόν τι καὶ μικρὸν ἐννοῶν, ἢ τῆς καθέδρας ταύτης μεταποιούμενος ἢ τὴν ἀρχὴν ἐπέστην ὑμῖν, μετὰ τῆς πολιᾶς ταύτης καὶ τῶν ἐρρικνωμένων τούτων καὶ χρόνῳ καὶ νόσῳ μελῶν ἢ νῦν ταύτας φέρω τὰς ἀτιμίας, αἰσχυνοίμην μὲν ἂν τὸν οὐρανὸν καὶ τὴν γῆν, ἃ καὶ τοῖς παλαιοῖς ἔθος μαρτύρεσθαι[1]· αἰσχυνοίμην δ' ἂν τὴν καθέδραν ταύτην καὶ τὸ ἱερὸν τοῦτο συνέδριον καὶ τὸν ἅγιον τοῦτον καὶ νεοπαγῆ λαόν, ἐφ' ὃν τοσαύτη τῶν πονηρῶν δυνάμεων ἡ παράταξις, ἵνα πρὶν συστῆναι λυθῇ καὶ πρὶν γεννηθῆναι νεκρωθῇ, κατὰ Χριστὸν ἤδη μορφούμενος. Αἰσχυνοίμην δ' ἂν τοὺς ἐμοὺς καμάτους καὶ πόνους καὶ τὸ ἔσθημα τοῦτο τὸ τρύχινον καὶ τὴν ἐρημίαν καὶ τὴν ἀναχώρησιν, ᾗ συνεζήσαμεν καὶ τὸν ἄσκευον βίον καὶ τὴν εὐτελῆ τράπεζαν, μικρὸν τῶν πτηνῶν ἀποδέουσαν. Ἀληθευέτωσαν δὲ καί τινες περὶ ἡμῶν, ὅτι γυ-
[273]ναικὸς ἀλλοτρίας ἐπεθυμήσαμεν, οἱ μηδὲ ἰδίαν ἔχειν θελήσαντες. Ἐχέτωσαν δὲ ἡμῶν καὶ Γαβαωνῖται πλέον, οὓς οὐδὲ εἰς ξυλοκόπους καὶ ὑδροφόρους οἶδ' ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον παραδέχεται, μέχρις ἂν προσίωσι τοῖς ἱεροῖς μετὰ τοιούτων τοῦ βίου καὶ τοῦ λόγου στιγμάτων. Εἰ δὲ τῷ λόγῳ συνηγορήσοντες ἤκομεν καὶ τῇ χήρᾳ καὶ τῇ ἀνάνδρῳ τέως Ἐκκλησίᾳ τὰ δυνατὰ συνεισοίσοντες, οἷόν τινες ἐπίτροποι καὶ κηδεμόνες, ἄλλῳ νυμφαγωγήσοντες, ὃς ἐὰν ἄξιος τοῦ κάλλους φανῇ καὶ πλείονα τὰ ἐξ ἀρετῆς ἔδνα προσενέγκῃ τῇ βασιλίδι, πότερον, ἐπαινετοὶ τῆς προθυμίας ἢ ψεκτοὶ τῆς ὑπονοίας; Ὅτι τοῖς ἀλλοτρίοις κρινόμεθα πάθεσιν. Ὡς δὴ σύ γε, ὦ βέλτιστε, καὶ εἰ νηὶ χειμαζομένῃ χεῖρα ὀρέγομεν ἢ πολιορκουμένῃ πόλει ἢ ὑπὸ πυρὸς οἰκίᾳ δαπανωμένῃ ἢ σκάφεσι βοηθοῦντες ἢ φάλαγξιν ἢ σβεστηρίοις ὀργάνοις, πάντως ἂν ἢ καταποντιστὰς ἡμᾶς ὠνόμασας ἢ τῆς πόλεως ἢ τῆς οἰκίας ἐραστάς, ἀλλ' οὐ προστάτας καὶ κηδεμόνας.

Ζ΄. Ἀλλ' οὐχ οὕτω, φησί, δοκεῖ τοῖς πολλοῖς. Τί δέ μοι διαφέρει, ᾧ τοῦ εἶναι πλεῖον ὁ λόγος, μᾶλλον δὲ πᾶς; Τοῦτο γάρ, ἢ κατέκρινεν ἢ ἐδικαίωσεν· ἢ ἄθλιον πεποίηκεν ἢ μακάριον. Τὸ δὲ δοκεῖν, οὐδὲν πρὸς ἡμᾶς, ὥσπερ οὐδὲ ὄναρ ἀλλότριον. Οὐχ οὕτω, φησί, δοκεῖς τοῖς πολλοῖς, ἄνθρωπε. Ἡ γῆ δὲ δοκεῖ τοῖς ἰλιγγιῶσιν ἑστάναι; τοῖς δὲ μεθύουσι νήφειν οἱ νήφοντες, ἀλλ' οὐκ ἐπὶ κεφαλὴν βαδίζειν ἢ περιτρέπεσθαι; Τὸ μέλι δὲ οὐ πικρόν ἐστιν, ὅτε καὶ οἷς νομίζεται, νοσοῦσί τε καὶ κακῶς διακειμένοις; Ἀλλ' οὐ παρὰ τοῦτο τὰ πράγματα οὕτως ἔχει, ὡς δοκεῖ τοῖς πάσχουσιν. Δεῖξον οὖν ὑγιαίνοντας τοὺς οὕτως ὑπειληφότας καὶ τότε ἡμῖν παραίνεσον μετατίθεσθαι· ἢ καταγίνωσκε, μὴ πειθομένων, ἀλλ' ἐπὶ τῆς αὐτῆς ἱσταμένων κρίσεως. Οὐχ οὕτω δοκῶ τοῖς πολλοῖς, Θεῷ δὲ οὕτω· καὶ οὐ δοκῶ, πεφανέρωμαι δὲ τῷ εἰδότι τὰ πάντα πρὶν γενέσεως αὐτῶν[2], τῷ πλάσσοντι καταμόνας

1. Πρβλ. Δευτ. 32,1. 2. Πρβλ. Δαν. (Σωσ.) 42.

τὰς καρδίας ἡμῶν[1], τῷ συνιέντι εἰς πάντα τὰ ἔργα ἡμῶν, τὰ κινήματα καὶ τὰ διανοήματα, μεθ' ὧν τὰ πραττόμενα, ὃν λανθάνει τῶν ὄντων οὐδέν, οὐδὲ λαθεῖν δύναται, ὃς ἑτέρως ὁρᾷ τὰ ἡμέτερα ἢ ὡς ὁρῶσιν ἄνθρωποι. Ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, ὁ δὲ **[276]** Θεὸς εἰς καρδίαν[2]. Ἤκουσας τῆς Γραφῆς λεγούσης καὶ πίστευε. Οὔ φροντιστέον μᾶλλον ἢ πάντων ὁμοῦ τῶν ἄλλων, τοῖς γε νοῦν ἔχουσιν. Ἢ δύο μὲν ἀνθρώποις περὶ τοῦ αὐτοῦ πράγματος συμβούλοις χρώμενος, συνετωτέρῳ τε καὶ ἀμαθεστέρῳ, οὐκ ἂν εὖ φρονεῖν ἔδοξας, εἰ τὸν συνετώτερον παρείς, τῷ ἀμαθεστέρῳ κατηκολούθησας; οὐδὲ γὰρ ὁ Ῥοβοὰμ ἐπῃνέθη, ὅτι τὴν βουλὴν τῶν πρεσβυτέρων[3] ἀτιμάσας, τὴν τῶν νεωτέρων ἔστησε. Θεοῦ δὲ καὶ ἀνθρώπων ἐξεταζομένων, προτιμήσεις τὰ τῶν ἀνθρώπων; Οὐ σύ γε, ἂν ἐμοὶ πείθῃ καὶ φρονῇς ἄμεινον.

Η΄. Ἀλλ' αἰσχυνόμεθά σου, φησί, ταῖς ὕβρεσιν. Ἐγὼ δὲ ὑμῖν, ὅτι αἰσχύνεσθε. Εἰ μὲν γὰρ ὀρθῶς ταῦτα πάσχομεν, αἰσχυντέον ἡμῖν μᾶλλον ἢ ὑμῖν ἐφ' ἡμῖν· οὐχ ὅτι ἀτιμαζόμεθα μᾶλλον ἢ ὅτι ἐσμὲν ἀτιμίας ἄξιοι· εἰ δὲ ἀδίκως, τῶν ὑβριζόντων τὸ ἔγκλημα καὶ ὑπὲρ ἐκείνων μᾶλλον ἢ ὑπὲρ ἡμῶν ἀγανακτητέον· ἐκεῖνοι γὰρ οἱ κακῶς πάσχοντες. Εἰ δέ με ὄντα κακόν, ἄριστον ὑπελάμβανες, τί με ποιεῖν ἐχρῆν; Εἶναι μᾶλλον κακόν, ἵνα πλέον ἀρέσκω σοι; Οὐκ ἂν τοῦτο ἐμαυτῷ συνεβούλευσα. Οὕτως οὐδέ, εἰ κατορθοῦντά με πταίειν ὑπολαμβάνεις, τοῦ κατορθοῦν διὰ σὲ μεταθήσομαι. Ζῶ γὰρ, οὗ σοι μᾶλλον ἢ ἐμαυτῷ· καὶ σύμβουλον ἔχω περὶ πάντων τὸν λόγον καὶ τὰ τοῦ Θεοῦ δικαιώματα, ὑφ' ὧν ἁλίσκομαι μὲν πολλάκις, οὐδενὸς κατηγοροῦντος· ἀφίεμαι δέ, πολλῶν κατακρινόντων. Καὶ τοῦτο μόνον οὐκ ἔστι διαφυγεῖν τὸ ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς δικαστήριον, πρὸς ὃ βλέποντας μόνον, τὴν εὐθεῖαν ὁδὸν ἰτέον. Τὸ δοκεῖν δέ, ἂν μὲν ὑπάρχῃ, δεξόμεθα, ἵν' εἴπω τι καὶ ἀνθρώπινον· ἂν δὲ ἀντιπίπτῃ, χαίρειν ἐάσομεν καὶ οὐδὲν τοῦ εἶναι διὰ τὸ δοκεῖν ἀφαιρήσομεν.

Θ΄. Καὶ γὰρ οὕτως ἔχει· ὁ μέν τινος ἕνεκεν τὸ καλὸν ἐπιτηδεύων, οὐ βέβαιος εἰς ἀρετήν. Ὁμοῦ τε γὰρ παρῆλθεν ἐκεῖνο καὶ τοῦ καλοῦ στήσεται· ὥσπερ ὁ κέρδους ἕνεκεν πλέων, τοῦ πλεῖν, ἂν μὴ παρῇ τὸ κερδαίνειν. Ὁ δὲ αὐτὸ δι' ἑαυτὸ τιμῶν τε καὶ περιέπων, ἐπειδὴ τοῦ ἑστῶτος ἐρᾷ, ἑστῶσαν ἔχει καὶ τὴν περὶ αὐτὸ προθυμίαν· ὥστε θεῖόν τι πάσχων καὶ τὸ τοῦ Θεοῦ δύνασθαι λέγειν· Ἐγὼ δὲ ὁ αὐτός εἰμι καὶ οὐκ ἠλλοίωμαι[4]. Οὔκουν μεταποιηθήσεται, οὐδὲ μεταπεθήσεται, οὐδὲ συμμεταπεσεῖται τοῖς καιροῖς καὶ τοῖς πράγμασιν, ἄλλοτε ἄλλος γινόμενος καὶ πολλὰς μεταλαμβάνων χρόας, ὥσπερ τὰς τῶν πετρῶν οἱ πολύποδες, αἷς ἂν ὁμιλήσωσι· μενεῖ **[277]** δὲ ὁ αὐτὸς ἀεί, πάγιος ἐν οὐ πεπηγόσι καὶ ἐν στρεφομένοις ἄστροφος.

---

1. Πρβλ. Ψαλ. 32,15. 2. Α΄ Βασ. 16,7. 3. Γ΄ Βασ. 12,8 ἑξ.
4. Μαλ. 3,6.

Πέτρα τις, οἶμαι, πρὸς ἐμβολὰς ἀνέμων τε καὶ κυμάτων, οὔτε τινασσομένη καὶ δαπανῶσα περὶ ἑαυτὴν τὰ προσπίπτοντα. Ταῦτα μὲν εἰς τοσοῦτον· οὐδὲ γὰρ μοι σχολὴ ταῖς γλώσσαις μάχεσθαι καὶ ταῦτα ἴσως πλείω τοῦ δέοντος.

Ι′. Ἤδη δέ μοι πρὸς ὑμᾶς ὁ λόγος, τὸ ἐμὸν ποίμνιον. Ὑμεῖς γένεσθέ μοι, φησὶν ὁ Παῦλος, δόξα καὶ χαρὰ καὶ καυχήσεως στέφανος[1]· ὑμεῖς ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν[2]· ἵν', ὥσπερ τοῖς τεκτονικοῖς ἢ γραφικοῖς ἀπαιτουμένοις λόγον, ἐξαρκεῖ δείξασι τὸ τεκτονηθὲν ἢ γραφὲν ἁπηλλάχθαι πραγμάτων (ἔργον γὰρ λόγου[3], φησίν, ἰσχυρότερον), οὕτω καὶ αὐτὸς ὑμᾶς ἐπιδείξας, ὑπερέξω τὰς λοιδορίας. Ὑπερέξω δὲ πῶς; Πρῶτον μέν, ἐὰν τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ὁμολογίαν ἀκλινῆ καὶ βεβαίαν φυλάττητε, μηδὲν προστιθέντες, μηδὲ ἀφαιροῦντες, μηδὲ σμικρύνοντες τῆς μιᾶς Θεότητος (τὸ γὰρ ἐλαττωθέν, τοῦ παντός ἐστιν ἐλάττωσις)· τοὺς δὲ ἄλλο τι φρονοῦντας ἢ λέγοντας ἢ φύσεων μέτροις τὸ ἓν διαλύοντας ἢ διατειχίζοντας, ὡς λύμην τῆς Ἐκκλησίας καὶ τῆς ἀληθείας ἰὸν ἀποπέμποισθε, μὴ μισοῦντες, ἀλλ' ἐλεοῦντες τοῦ πτώματος. Δεύτερον δέ, εἰ τὴν πολιτείαν ἀκόλουθον τῷ ὀρθῷ λόγῳ παρέχοιτε, ἵν' ἦτε περιδέξιοι τὴν ἀρετήν, ἀλλὰ μὴ τῷ ἑτέρῳ λείποντες.

ΙΑ′. Οἱ βασιλεῖς, αἰδεῖσθε τὴν ἁλουργίδα· νομοθετήσει γὰρ καὶ νομοθέταις ὁ λόγος. Γινώσκετε ὅσον τὸ πιστευθὲν ὑμῖν καὶ τί τὸ μέγα περὶ ὑμᾶς μυστήριον. Κόσμος ὅλος ὑπὸ χεῖρα τὴν ὑμετέραν, διαδήματι μικρῷ καὶ βραχεῖ ῥακίῳ κρατούμενος. Τὰ μὲν ἄνω, μόνου Θεοῦ· τὰ κάτω δὲ καὶ ὑμῶν. Θεοὶ γένεσθε τοῖς ὑφ' ὑμᾶς, ἵν' εἴπω τι καὶ τολμηρότερον. «Καρδία βασιλέως ἐν χειρὶ Θεοῦ»[4], καὶ εἴρηται καὶ πιστεύεται. Ἐνταῦθα ἔστω τὸ κράτος ὑμῖν, ἀλλὰ μὴ τῷ χρυσῷ καὶ ταῖς φάλαγξιν. Οἱ περὶ τὰ βασίλεια καὶ τοὺς θρόνους, μὴ σφόδρα ταῖς ἐξουσίαις ἐπαίρεσθε, μηδὲ ἀθάνατα διανοεῖσθε περὶ τῶν οὐκ ἀθανάτων. Πιστοὶ μένετε τοῖς βασιλεῦσι, Θεῷ δὲ πρότερον, δι' ὃν καὶ τούτοις οἷς ἐπιστεύθητε καὶ οἷς παραδέδοσθε. Οἱ τὸ γένος κομπάζοντες, τὸν τρόπον ἐξευγενίσατε· ἢ φθέγξομαί τι τῶν ἀηδῶν μέν, εὐγενῶν δέ. Τότε γὰρ ἀληθὲς εὐγενέστατον ἦν ἂν τι τὸ ὑμέτερον, εἰ μὴ καὶ δέλτοι τοὺς δυσγενεῖς ὑμῖν ἐνέγραφον.

[280] ΙΒ′. Οἱ σοφοὶ καὶ φιλόσοφοι καὶ σεμνοὶ τὴν ὑπήνην καὶ τὸ τριβώνιον, οἱ σοφισταὶ καὶ γραμματισταὶ καὶ τῶν δημοσίων θηρευταὶ κρότων, οὐκ οἶδα πῶς ἂν σοφοὶ κληθείητε, τὸν πρῶτον λόγον οὐκ ἔχοντες. Οἱ περὶ τὸν πλοῦτον, ἀκούσατε τοῦ λέγοντος· «Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίᾳ»[5]· ἵστε θαρροῦντες ἀβεβαίῳ πράγματι. Ἀποφόρτισαί τι τῆς νηός, ἵνα πλέῃς κουφότερος. Ἐχθροῦ τι τυχὸν ὑφαιρήσεις, εἰς ὃν τὰ σὰ περιστήσεται. Οἱ περὶ τὴν τρυφήν, ὑφέλετέ

---

1. Πρβλ. Α′ Θεσ. 2,19,20. 2. Α′ Κορ. 9,3. 3. Πρβλ. Τίτ. 3,14. 4. Παρμ. 21,1. 5. Ψαλ. 61,11.

τι τῆς γαστρός, δότε τῷ πνεύματι. Ἐγγὺς ὁ πένης· τῇ νόσῳ βοήθησον· εἰς τοῦτον ἀπέρευξαί τι τῶν περιττῶν. Τί καὶ σὺ κάμνεις ἀπεπτῶν καὶ οὗτος πεινῶν; καὶ σὺ κραιπαλῶν καὶ οὗτος ὑδεριῶν; καὶ σὺ κόρῳ κόρον βαρύνων, καὶ οὗτος περιτρεπόμενος νόσῳ; Μὴ παρίδῃς τὸν σὸν Λάζαρον ἐνταῦθα, μή σε ποιήσῃ τὸν ἐκεῖθεν πλούσιον[1]. Ὑμεῖς ἡ μεγάλη πόλις, οἱ πρῶτοι μετὰ τὴν πρώτην εὐθέως ἢ μηδὲ τοῦτο παραχωροῦντες, φάνητέ μοι πρῶτοι, μὴ τὴν κακίαν, ἀλλὰ τὴν ἀρετήν· μὴ τὴν ἔκλυσιν, ἀλλὰ τὴν εὐνομίαν. Ὡς ἔστιν αἰσχρόν, τῶν μὲν πόλεων κρατεῖν, τῶν δὲ ἡδονῶν ἡττᾶσθαι· ἢ τὰ μὲν ἄλλα σωφρονεῖν, περὶ δὲ τοὺς ἱππικοὺς καὶ τὰ θέατρα καὶ τὰ στάδια καὶ τὰ κυνηγέσια τοσοῦτον μεμηνέναι, ὥστε ταῦτα ποιεῖσθαι βίον καὶ πόλιν εἶναι παιζόντων τὴν πρώτην ἐν πόλεσιν, ἣν καὶ ταῖς ἄλλαις τύπον εἶναι καλοῦ παντὸς πρεπωδέστερον. Ταῦτα διαπτύοιτε, Θεοῦ πόλις εἴητε, ἐπὶ τῶν χειρῶν τοῦ Κυρίου ζωγραφηθείητε καὶ παραστήσαισθε σὺν ἡμῖν τῷ μεγάλῳ πολιστῇ λαμπροὶ λαμπρῶς ὕστερον. Τοῦτο ὑμᾶς εὐαγγελίζομαι ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1. Πρβλ. Λουκ. 16,20 ἑξ.

ΛΟΓΟΣ ΛΖ΄

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ· «ΟΤΕ ΕΤΕΛΕΣΕΝ Ο ΙΗΣΟΥΣ ΤΟΥΣ ΛΟΓΟΥΣ ΤΟΥΤΟΥΣ»[1] ΚΑΙ ΤΑ ΕΞΗΣ.

[281] Α΄. Ὁ τοὺς ἁλιεῖς προελόμενος Ἰησοῦς καὶ αὐτὸς σαγηνεύει καὶ τόπους ἐκ τόπων ἀμείβει. Τίνος ἕνεκεν; Οὐ μόνον ἵνα κερδάνῃ πλείονας τῶν φιλοθέων διὰ τῆς ἐπιφοιτήσεως, ἀλλ' ἔμοιγε δοκεῖ, ἵνα καὶ τόπους ἁγιάσῃ πλείονας. Γίνεται τοῖς **[284]** Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδάνῃ· τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ· τοῖς ἀσθενέσιν, ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς σώσῃ. Γίνεται πάντα πᾶσιν, ἵνα τοὺς πάντας κερδάνῃ[2]. Τί δὲ λέγω, «τοῖς πᾶσι πάντα»; Ὁ μηδὲ Παῦλος περὶ ἑαυτοῦ ἠνέσχετο εἰπεῖν, τοῦτο εὑρίσκω τὸν Σωτῆρα πάσχοντα. Οὐ γὰρ Ἰουδαῖος γίνεται μόνον, οὐδ' ὅσα τῶν ἀτόπων καὶ μοχθηρῶν ὀνομάτων, εἰς ἑαυτὸν ἀναδέχεται, ἀλλά, καὶ ὃ τούτων πάντων ἀτοπώτερον, καὶ αὐτοαμαρτία καὶ αὐτοκατάρα· οὐκ ἔστι μέν, ἀκούει δέ. Πῶς γὰρ ἁμαρτία, ὁ καὶ ἡμᾶς τῆς ἁμαρτίας ἐλευθερῶν[3]; πῶς δὲ κατάρα, ὁ ἐξαγοράζων ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου[4]; Ἀλλ' ἵνα καὶ μέχρι τούτων τὸ ταπεινὸν ἐπιδείξηται, τυπῶν ἡμᾶς εἰς ταπείνωσιν τὴν ὕψους πρόξενον. Ὅπερ οὖν εἶπον, ἁλιεὺς γίνεται, πᾶσι συγκαταβαίνει, σαγηνεύει, πάντα στέγει, ἵνα ἐκ βάθους τὸν ἰχθὺν ἀνενέγκῃ, τὸν νηχόμενον ἐν τοῖς ἀστάτοις καὶ ἁλμυροῖς τοῦ βίου κύμασιν ἄνθρωπον.

Β΄. Διὰ τοῦτο καὶ νῦν, «ὅτε ἐτέλεσε τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου»[5]. Γαλιλαίας ἐπιδημεῖ καλῶς, ἵνα ὁ λαός, ὁ καθήμενος ἐν σκότει, ἴδῃ φῶς μέγα[6]. Εἰς τὴν Ἰουδαίαν μεθίσταται, ἵνα πείσῃ, τοῦ γράμματος ἐξαναστάντας, ἀκολουθῆσαι τῷ πνεύματι. Νῦν μὲν ἐπ' ὄρους διδάσκει[7], νῦν δὲ ἐν πεδίοις διαλέγεται[8], νῦν δὲ εἰς πλοῖον μεταβαίνει[9], νῦν δὲ ἐπιτιμᾷ ζάλαις[10]. Τάχα καὶ ὕπνον δέχεται[11], ἵνα καὶ ὕπνον εὐλογήσῃ· τάχα καὶ κοπιᾷ[12], ἵνα καὶ τὸν τόπον ἁγιάσῃ· τάχα καὶ δακρύει[13], ἵνα τὸ δάκρυον ἐπαινετὸν ἀπεργάσηται. Μεταβαίνει τόπον ἐκ τόπου[14] ὁ μηδενὶ τόπῳ χωρούμενος, ὁ ἄχρονος, ὁ ἀσώματος, ὁ ἀπερίληπτος. Ὁ αὐτὸς καὶ ἦν καὶ γίνεται[15]· καὶ ὑπὲρ χρόνον ἦν[16]

---

1. Ματθ. 19,1. 2. Πρβλ. Α΄ Κορ. 9,20-22. 3. Πρβλ. Ρωμ. 6,18,20. 4. Γαλ. 3,13. 5. Ματθ. 19,1. 6. Ἡσ. 9,2. 7. Πρβλ. Ματθ. 5,1. 8. Πρβλ. Λουκ. 6,17. 9. Πρβλ. Μάρκ. 4,1. 10. Πρβλ. Μάρκ. 4,39. 11. Πρβλ. Μάρκ. 4,38. 12. Πρβλ. Ἰω. 4,6. 13. Πρβλ. Ἰω. 11,35. 14. Πρβλ. Μάρκ. 6,7. 15. Πρβλ. Ἀποκ. 1,4. 16. Πρβλ. Ψαλ. 89,2. Β΄ Πέτρ. 3,8.

καὶ ὑπὸ χρόνον ἔρχεται[1]· καὶ ἀόρατος ἦν καὶ ὁρᾶται. «Ἐν ἀρχῇ ἦν καὶ πρὸς τὸν Θεὸν ἦν καὶ Θεὸς ἦν»[2]. Τρίτον τό, ἦν, τῷ ἀριθμῷ βεβαιούμενον. Ὃ ἦν ἐκένωσε καὶ ὃ μὴ ἦν προσέλαβεν[3]· οὐ δύο γενόμενος, ἀλλ' ἓν ἐκ τῶν δύο γενέσθαι ἀνασχό**[285]**μενος. Θεὸς γὰρ ἀμφότερα, τό τε προσλαβὸν καὶ τὸ προσληφθέν· δύο φύσεις εἰς ἓν συνδραμοῦσαι, οὐχ υἱοὶ δύο· μὴ καταψευδέσθω ἡ σύγκρασις. Οὗτος ὁ τηλικοῦτος, ὁ τοσοῦτος· ἀλλὰ τί πέπονθα; Πάλιν ἐμπέπτωκα εἰς ἀνθρώπινα ῥήματα. Πῶς γὰρ τὸ ἁπλοῦν τοσοῦτον; πῶς δὲ τὸ ἄποσον τηλικοῦτον; Ἀλλὰ δότε συγγνώμην τῷ λόγῳ· ὀργάνῳ βραχεῖ περὶ τῶν μεγίστων φθέγγομαι. Καὶ τοῦτο οἴσει ὁ πολύς, ὁ μακρόθυμος, ἡ ἀνείδεος φύσις καὶ ἀσώματος, τοὺς ὡς περὶ σώματος καὶ τῆς ἀληθείας λόγους ἀσθενεστέρους. Εἰ γὰρ σάρκα ἐδέξατο, καὶ τὸν τοιοῦτον φέρεται λόγον.

Γ'. «Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ»[4], ἔνθα πλείων ἡ ἐρημία. Εἰ ἐπὶ τῆς ἰδίας ἔμεινε περιωπῆς, εἰ μὴ συγκατέβη τῇ ἀσθενείᾳ, εἰ ὅπερ ἦν ἔμεινεν, ἀπρόσιτον ἑαυτὸν φυλάττων καὶ ἀπερίληπτον, ὀλίγοι ἂν ἠκολούθησαν τυχόν· οὐκ οἶδα δέ, εἰ καὶ ὀλίγοι, τάχα μόνος Μωυσῆς καὶ οὗτος τοσοῦτον, ὥστε μόλις ἰδεῖν Θεοῦ τὰ ὀπίσθια[5]. Τὴν μὲν γὰρ νεφέλην διέσχεν[6], ἔξω τοῦ σωματικοῦ βάρους γενόμενος ἢ συσταλεὶς ἀπὸ τῶν αἰσθήσεων· Θεοῦ δὲ λεπτότητα ἢ ἀσωματότητα ἤ, οὐκ οἶδα ὅπως ἄν τις ὀνομάσειε, πῶς ἂν ἐθεάσατο σῶμά τε ὢν καὶ αἰσθητοῖς ὀφθαλμοῖς προσβάλλων; Ἀλλ' ἐπειδὴ κενοῦται[7] δι' ἡμᾶς, ἐπειδὴ κατέρχεται (κένωσιν δὲ λέγω τὴν τῆς δόξης οἷον ὕφεσίν τε καὶ ἐλάττωσιν), διὰ τοῦτο χωρητὸς γίνεται.

Δ'. Δότε δέ μοι συγγνώμην μεταξὺ καὶ πάθος τι ἀνθρώπινον πάλιν πάσχοντι. Θυμοῦ πληροῦμαι καὶ λύπης ἐπὶ τῷ ἐμῷ Χριστῷ, συμπάσχοιτε δὲ καὶ ὑμεῖς, ὅταν ἴδω διὰ τοῦτο ἀτιμαζόμενόν μου τὸν Χριστόν, δι' ὃ μάλιστα τιμᾶσθαι δίκαιος ἦν. Διὰ τοῦτο γὰρ ἄτιμος, εἰπέ μοι, ὅτι διὰ σὲ ταπεινός; Διὰ τοῦτο κτίσμα, ὅτι τοῦ κτίσματος κήδεται; Διὰ τοῦτο ὑπὸ χρόνον, ὅτι τοὺς ὑπὸ χρόνον ἐπισκέπτεται; Πλὴν πάντα φέρει, πάντα δέχεται. Καὶ τί θαυμαστόν; Ῥαπίσματα ἤνεγκεν[8], ἐμπτυσμάτων ἠνέσχετο[9], χολῆς ἐγεύσατο διὰ τὴν ἐμὴν γεῦσιν[10]. Φέρει καὶ νῦν λιθαζόμενος[11], οὐ μόνον ὑπὸ τῶν ἐμπηρεαζόντων, ἀλλὰ καὶ ὑφ' ἡμῶν αὐτῶν τῶν εὐσεβεῖν δοκούντων. Τὸ γὰρ περὶ ἀσωμάτου διαλεγόμενον, σωματικοῖς κεχρῆσθαι ὀνόμασι, τυχὸν ἐπηρεαζόντων ἐστὶ καὶ λιθαζόντων· ἀλλὰ συγγνώμη, πάλιν λέγω, τῇ ἀσθενείᾳ. Λιθάζομεν γὰρ οὐχ ἑκόντες, ἀλλὰ τὸ φθέγγεσθαι ἄλλως οὐκ ἔχοντες, ᾧ δὲ ἔχομεν χρώμενοι. Λόγος ἀκούεις καὶ ὑπὲρ λόγον εἶ· ὑπὲρ **[288]** φῶς εἶ καὶ φῶς ὀνομάζῃ[12]· πῦρ ἀκούεις, οὐκ αἰσθητὸς ὤν,

---

1. Πρβλ. Γαλ. 4,4. 2. Πρβλ. Ἰω. 1,1. 3. Πρβλ. Φιλιπ. 2,7. 4. Ματθ. 4,25,24. 5. Πρβλ. Ἐξ. 33,23. 6. Πρβλ. Ἐξ. 20,21. 7. Πρβλ. Φιλιπ. 2,7. 8. Πρβλ. Μάρκ. 14,65, 9. Ἔνθ' ἀν. 10. Πρβλ. Ἰω. 19,29. 11. Πρβλ. Ἰω. 10,31. 12. Ἰω. 8,12.

ἀλλ' ὅτι τὴν κούφην καὶ μοχθηρὰν ἀνακαθαίρεις ὕλην· μάχαιρα, ὅτι τέμνεις τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος· πτύον, ὅτι ἀνακαθαίρεις τὴν ἅλω[1], καὶ ὅσον κοῦφόν τε καὶ ἀνεμιαῖον ἀποπεμπόμενος, ὅσον βαρὺ καὶ πλῆρες ἐπὶ τὰς ἀποθήκας τὰς ἄνω ἐναποτίθεσαι· ἀξίνη, ὅτι τὴν ἄκαρπον ἐκκόπτεις συκῆν ἐπὶ πολὺ μακροθυμήσας, ὅτι τὰς ῥίζας ἐκτέμνεις τῆς πονηρίας· θύρα, διὰ τὴν εἰσαγωγήν· ὁδός, ὅτι εὐθυποροῦμεν· πρόβατον, ὅτι θῦμα· ἀρχιερεύς, ὅτι προσφέρεις τὸ σῶμα· Υἱός, ὅτι Πατρός. Πάλιν κινῶ τὰς γλώσσας· πάλιν κατὰ Χριστοῦ τινες μαίνονται, μᾶλλον δὲ κατ' ἐμοῦ, ὃς ἠξιώθην τοῦ Λόγου γενέσθαι κῆρυξ. Ὡς Ἰωάννης γίνομαι· «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ»[2], ἐρήμῳ ποτὲ καὶ ἀνύδρῳ, νῦν δὲ καὶ λίαν οἰκουμένῃ.

Ε′. Πλὴν ὅπερ ἔλεγον, ἵνα πρὸς τὸν ἐμὸν ἀναδράμω λόγον, διὰ τοῦτο ἠκολούθουν αὐτῷ ὄχλοι πολλοί[3], ὅτι ταῖς ἀσθενείαις συγκαταβαίνει ταῖς ἡμετέραις. Εἶτα τί; «Καὶ προσῆλθον αὐτῷ, φησίν, οἱ Φαρισαῖοι, πειράζοντες αὐτὸν καὶ λέγοντες· Εἰ ἔξεστιν ἀνθρώπῳ κατὰ πᾶσαν αἰτίαν ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ»[4]; Πάλιν Φαρισαῖοι πειράζουσι· πάλιν οἱ τὸν νόμον ἀναγινώσκοντες τὸν νόμον οὐ γινώσκουσι· πάλιν οἱ ἐξηγηταὶ τοῦ νόμου τυγχάνοντες, ἄλλων διδασκάλων δέονται. Οὐκ ἤρκεσαν Σαδδουκαῖοι πειράζοντες περὶ ἀναστάσεως[5] καὶ νομικοὶ πυνθανόμενοι περὶ τελειότητος[6] καὶ Ἡρωδιανοὶ περὶ κήνσου[7] καὶ περὶ ἐξουσίας ἕτεροι[8]. Ἀλλὰ καὶ περὶ γάμου τις πάλιν ἐρωτᾷ[9] τὸν ἀπείραστον, τὸν κτίστην τῆς συζυγίας, τὸν ἐκ τῆς πρώτης αἰτίας τὸ πᾶν τῶν ἀνθρώπων γένος τοῦτο συστησάμενον. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· «Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς»[10]; Οἶδε τινὰς μὲν τῶν ἐρωτήσεων διαλύειν, τινὰς δὲ ἐπιστομίζειν. Ὅτε ἐρωτᾶται, «Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς»[11]; διὰ τὸ ἄγαν ἀπαίδευτον τῶν ἐρωτησάντων καὶ αὐτὸς ἀντερωτᾷ· «Τὸ βάπτισμα τὸ Ἰωάννου, ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων»[12]; Καὶ ἀμφοτέρωθεν συμποδίζει τοὺς ἐρωτῶντας. Ὥστε δυνάμεθα καὶ ἡμεῖς μιμούμενοι Χριστόν, ἔστιν ὅτε τοὺς πε**[289]**ριέργως ἡμῖν διαλεγομένους ἐπιστομίζειν, καὶ ἀτοπωτέροις ἀντερωτήμασι λύειν τὴν ἀτοπίαν τῶν ἐρωτήσεων. Ἐσμὲν γὰρ καὶ ἡμεῖς σοφοὶ τὰ μάταια ἔστιν ὅτε, ἵνα τὰ τῆς ἀφροσύνης καυχήσωμαι. Ὅτε δὲ ἐρώτησιν ὁρᾷ λογισμοῦ δεομένην, τότε οὐκ ἀπαξιοῖ τοὺς ἐρωτῶντας συνετῶν ἀποκρίσεων.

Ϛ′. Τὸ ἐρώτημα, ὃ ἐρώτησας, τοῦτο σωφροσύνην τιμᾶν μοι δοκεῖ καὶ ἀπόκρισιν ἀπαιτεῖν φιλάνθρωπον· σωφροσύνην, περὶ ἣν ὁρῶ τοὺς πολλοὺς κακῶς διακειμένους καὶ τὸν νόμον αὐτῶν ἄνισον καὶ ἀνώμαλον. Τί δήποτε γάρ, τὸ μὲν θῆλυ ἐκόλασαν, τὸ δὲ ἄρρεν

---

1. Πρβλ. Ματθ. 3,12. 2. Ἰω. 1,23. 3. Πρβλ. Ματθ. 4,25. 4. Ματθ. 3,3. 5. Πρβλ. Ματθ. 22,23. 6. Πρβλ. Ματθ. 19,21. 7. Πρβλ. Ματθ. 22,17. 8. Πρβλ. Ματθ. 21,23. 9. Πρβλ. Ματθ. 22,25. 10. Γεν. 1,27. Ματθ. 19,5. 11. Πρβλ. Ματθ. 21,23. Λουκ. 20,2. 12. Ματθ. 21,25.

ἐπέτρεψαν; Καὶ γυνὴ μὲν κακῶς βουλευσαμένη περὶ κοίτην ἀνδρὸς μοιχᾶται καὶ πικρὰ ἐντεῦθεν τὰ τῶν νόμων ἐπιτίμια· ἀνὴρ δὲ καταπορνεύων γυναικός, ἀνεύθυνος; Οὐ δέχομαι ταύτην τὴν νομοθεσίαν, οὐκ ἐπαινῶ τὴν συνήθειαν. Ἄνδρες ἦσαν οἱ νομοθετοῦντες, διὰ τοῦτο κατὰ γυναικῶν ἡ νομοθεσία· ἐπεὶ καὶ τοῖς πατράσιν ὑπ' ἐξουσίαν δεδώκασι τὰ τέκνα, τὸ δὲ ἀσθενέστερον, ἀθεράπευτον εἴασαν. Θεὸς δὲ οὐχ οὕτως· ἀλλά, «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου», ἥτις ἐστὶν ἐντολὴ πρώτη, «ἵνα εὖ σοι γένηται»[1], ἐν ἐπαγγελίαις[2] κειμένη. Καί, «Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω»[3]. Ὁμοίως καὶ τὸ ἀγαθὸν ἐτίμησε καὶ τὸ κακὸν ἐκόλασε. Καί, «Εὐλογία πατρὸς στηρίζει οἴκους τέκνων· κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια»[4]. Ὁρᾶτε τὸ ἴσον τῆς νομοθεσίας. Εἷς ποιητὴς ἀνδρὸς καὶ γυναικός, εἷς χοῦς ἀμφότεροι, εἰκὼν μία, νόμος εἷς, θάνατος εἷς, ἀνάστασις μία. Ὁμοίως ἐξ ἀνδρὸς καὶ γυναικὸς γεγόναμεν· ἓν χρέος παρὰ τῶν τέκνων τοῖς γονεῦσιν ὀφείλεται[5].

Ζ'. Πῶς οὖν σὺ σωφροσύνην μὲν ἀπαιτεῖς, οὐκ ἀντεισφέρεις δέ; πῶς, ὃ μὴ δίδως, αἰτεῖς; πῶς ὁμότιμον σῶμα ὤν, ἀνίσως νομοθετεῖς; Εἰ δὲ τὰ χείρω σκοπεῖς· ἥμαρτεν ἡ γυνή, τοῦτο καὶ ὁ Ἀδάμ· ἀμφοτέρους ὁ ὄφις ἠπάτησεν[6]. Οὐ τὸ μὲν ἀσθενέστερον εὑρέθη, τὸ δὲ ἰσχυρότερον. Ἀλλὰ τὰ βελτίω λογίζῃ; ἀμφοτέρους σῴζει Χριστὸς τοῖς πάθεσιν. Ὑπὲρ ἀνδρὸς σὰρξ ἐγένετο; τοῦτο καὶ ὑπὲρ γυναικός. Ὑπὲρ ἀνδρὸς ἀπέθανε; καὶ ἡ γυνὴ τῷ θανάτῳ σῴζεται. Ἐκ σπέρματος Δαβὶδ ὀνομάζεται[7]· τιμᾶσθαι ἴσως οἴει τὸν ἄνδρα; ἀλλὰ καὶ ἐκ Παρθένου γεννᾶται, τοῦτο καὶ ὑπὲρ γυναικῶν. «Ἔσονται μὲν οὖν **[292]** οἱ δύο, φησίν, εἰς σάρκα μίαν»[8]· καὶ ἡ μία σὰρξ ἐχέτω τὸ ὁμότιμον. Παῦλος δὲ καὶ τῷ ὑποδείγματι τὴν σωφροσύνην νομοθετεῖ. Πῶς καὶ τίνα τρόπον; «Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν»[9]. Καλὸν τῇ γυναικὶ Χριστὸν αἰδεῖσθαι διὰ τοῦ ἀνδρός· καλὸν καί τῷ ἀνδρὶ τὴν Ἐκκλησίαν μὴ ἀτιμάζειν διὰ τῆς γυναικός. «Ἡ γυνή, φησίν, ἵνα φοβῆται τὸν ἄνδρα»[10]· καὶ Χριστὸν γάρ. Ἀλλὰ καὶ ὁ ἀνήρ, ἵνα περιέπῃ τὴν γυναῖκα[11]· καὶ γὰρ Χριστὸς τὴν Ἐκκλησίαν. Μᾶλλον δ' ἔτι καὶ προσφιλοπονήσωμεν τῷ ῥητῷ.

Η'. «Ἄμελγε γάλα καὶ ἔσται βούτυρον»[12]· ἐξέταζε καὶ τυχὸν ἂν εὕροις τι ἐν αὐτῷ τροφιμώτερον. Δοκεῖ μοι γὰρ παραιτεῖσθαι τὴν διγαμίαν ἐνταῦθα ὁ λόγος. Εἰ μὲν γὰρ δύο Χριστοί, δύο καὶ ἄνδρες, δύο καὶ γυναῖκες· εἰ δὲ εἷς Χριστός, μία κεφαλὴ τῆς Ἐκκλησίας καὶ μία σὰρξ· ἡ δευτέρα δὲ ἀποπτυέσθω. Τὸ δεύτερον δὲ ἂν κωλύσῃ, τοῦ τρίτου τίς λόγος; Τὸ πρῶτον νόμος, τὸ δεύτερον συγχώρησις, τὸ

---

1. Ἐξ. 20,12. 2. Πρβλ. Ἐφ. 6,2. 3. Ἐξ. 21,16. 4. Σ. Σειρ. 3,11. 5. Πρβλ. Ἐφ. 6,1. 6. Πρβλ. Γεν. 3,4,6. 7. Πρβλ. Ρωμ. 1,3. 8. Πρβλ. Ματθ. 1,23. 9. Γεν. 2,24. Ἐφ. 5,32. 10. Ἐφ. 5,33. 11. Πρβλ. Ἐφ. 5,29. 12. Παρμ. 30,33.

τρίτον παρανομία. Ὁ δὲ ὑπὲρ τοῦτο, χοιρώδης, οἷος οὐδὲ πολλὰ ἔχων τῆς κακίας τὰ παραδείγματα. Ὁ μὲν νόμος κατὰ πᾶσαν αἰτίαν τὸ ἀποστάσιον δίδωσι· Χριστὸς δὲ οὐ κατὰ πᾶσαν αἰτίαν· ἀλλὰ συγχωρεῖ μὲν μόνον χωρίζεσθαι τῆς πόρνης[1], τὰ δὲ ἄλλα πάντα φιλοσοφεῖν κελεύει. Καὶ τὴν πόρνην, ὅτι νοθεύει τὸ γένος· τὰ δ' ἄλλα πάντα καρτερῶμεν καὶ φιλοσοφῶμεν· μᾶλλον δὲ καρτερεῖτε καὶ φιλοσοφεῖτε, ὅσοι τὸν τοῦ γάμου ζυγὸν ἐδέξασθε. Ἐὰν ἐπιγραφὰς ἴδῃς ἢ ὑπογραφάς, ἀποκόσμησον· κἂν γλῶσσαν προπετῆ, σωφρόνισον· ἂν γέλωτα πορνικόν, κατηφῆ ποίησον· ἐὰν δαπάνην ἢ ποτὸν ἄμετρον, σύστειλον· ἐὰν προόδους ἀκαίρους, πέδησον· ἐὰν ὀφθαλμὸν μετέωρον, κόλασον. Μὴ τέμῃς δὲ προπετῶς, μὴ χωρίσῃς. Ἄδηλον, τί κινδυνεύει, τὸ τέμνον ἢ τὸ τεμνόμενον. Ἡ πηγή, φησί, τοῦ ὕδατος «ἔστω σοι ἰδία καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι»[2]· καί, «Πῶλος σῶν χαρίτων καὶ ἔλαφος σῆς φιλίας ὁμιλείτω σοι»[3]· Σὺ τοίνυν μὴ γίνου ποταμὸς ἀλλότριος, μηδὲ ἄλλαις ἀρέσκειν σπούδαζε μᾶλλον ἢ τῇ σῇ γυναικί. Εἰ δὲ ἀλλαχοῦ φέρῃ, καὶ τῷ σῷ μέλει νομοθετεῖς τὴν ἀσέλγειαν. Οὕτω μὲν ὁ Σωτήρ.

[293] Θ′. Τί δὲ οἱ Φαρισαῖοι; Τραχὺς τούτοις ὁ λόγος φαίνεται[4]. Καὶ γὰρ καὶ ἄλλα τῶν καλῶς ἐχόντων ἀπαρέσκει καὶ τοῖς τότε Φαρισαίοις καὶ τοῖς νῦν Φαρισαίοις. Φαρισαῖον γάρ, οὐ τὸ γένος μόνον, ἀλλὰ καὶ ὁ τρόπος ἐργάζεται. Οὕτω καὶ Ἀσσύριον οἶδα καὶ Αἰγύπτιον, τὸν τῇ προαιρέσει μετὰ τούτων ταττόμενον. Τί οὖν οἱ Φαρισαῖοι; «Εἰ οὕτω, φασίν, ἐστὶν ἡ αἰτία μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι»[5]. Νῦν δὲ τοῦτο καταμανθάνεις, ὦ Φαρισαῖε, τό, «Οὐ συμφέρει γαμῆσαι»[6], πρότερον δὲ οὐκ ἠπίστασο, ἡνίκα τὰς χηρείας ἑώρας καὶ τὰς ὀρφανίας καὶ τοὺς ἀώρους θανάτους καὶ τὰ διάδοχα τῶν κρότων πένθη καὶ τοὺς ἐπὶ τοῖς θαλάμοις τάφους καὶ τὰς ἀτεκνίας καὶ τὰς κακοτεκνίας καὶ τοὺς ἀτελεῖς τόκους καὶ ἀμήτορας καὶ πᾶσαν τὴν περὶ ταῦτα κωμῳδίαν ἢ τραγῳδίαν; Ἀμφότερα γὰρ εἰπεῖν οἰκειότατον. Συμφέρει γαμῆσαι; κἀγὼ δέχομαι· «Τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος»[7]· συμφέρει δὲ τοῖς μετρίοις, οὐ τοῖς ἀπλήστοις καὶ πλέον ἢ δεῖ τὴν σάρκα τιμᾶν βουλομένοις. Ὅταν τοῦτο μόνον ὁ γάμος ᾖ, ἢ γάμος καὶ συζυγία καὶ παίδων διαδοχῆς ἐπιθυμία, καλὸς ὁ γάμος· πλείονας γὰρ εἰσάγει τοὺς εὐαρεστοῦντας Θεῷ. Ὅταν δὲ ὕλην ἐξάπτῃ καὶ ταῖς ἀκάνθαις περιβάλλῃ καὶ οἷον κακίας ὁδὸς εὑρίσκηται, τότε κἀγὼ φθέγγομαι· «Οὐ συμφέρει γαμῆσαι».

Ι′. Καλὸν ὁ γάμος· ἀλλ' οὐκ ἔχω λέγειν, ὅτι καὶ ὑψηλότερον παρθενίας. Οὐδὲ γὰρ ἂν ἦν τι μέγα ἡ παρθενία, μὴ καλοῦ καλλίων τυγχάνουσα. Μὴ δὴ χαλεπαίνετε, ὅσαι ὑπὸ ζυγόν. «Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις»[8]. Πλὴν ἀλλήλαις συνδεσμεῖσθε καὶ παρθένοι καὶ

---

1. Πρβλ. Ματθ. 19,9. 2. Παρμ. 5,17. 3. Παρμ. 5,19. 4. Πρβλ. Ἰω. 6,61. 5. Ματθ. 19,10. 6. Ἔνθ' ἀν. 7. Ἑβρ. 13,4. 8. Πράξ. 5,29.

γυναῖκες καὶ ἕν ἐστε ἐν Κυρίῳ καὶ ἀλλήλων καλλώπισμα. Οὐκ ἂν ἦν ἄγαμος, εἰ μὴ γάμος. Πόθεν γὰρ εἰς τοῦτον παρῆλθε τὸν βίον παρθένος; Οὐκ ἂν ἦν γάμος σεμνός, εἰ μὴ παρθένον καρποφορῶν καὶ τῷ Θεῷ καὶ τῷ βίῳ. Τίμησον καὶ σὺ τὴν μητέρα τὴν σήν, ἐξ ἧς γέγονας. Τίμησον καὶ σὺ τὴν ἐκ μητρός καὶ μητέρα. Μήτηρ μὲν οὐκ ἔστι, Χριστοῦ δὲ νύμφη ἐστί. Τὸ μὲν φαινόμενον κάλλος οὐ κρύπτεται· τὸ δὲ ἀφανὲς Θεῷ βλέπεται. «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ Βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη»[1], εἴτ' οὖν πράξεσιν εἴτε καὶ **[296]** θεωρήμασιν. Καὶ ἡ ὑπὸ ζυγὸν ἔστω τι Χριστοῦ καὶ ἡ παρθένος ὅλη Χριστοῦ. Ἡ μὲν μὴ παντελῶς ἐνδεσμείσθω τῷ κόσμῳ· ἡ δὲ μηδ' ὅλως γινέσθω τοῦ κόσμου. Ὃ γάρ ἐστι τῇ ὑπὸ ζυγὸν τὸ μέρος, τοῦτο παντελὲς τῇ παρθένῳ. Ἀγγέλων ἐπανήρησαι πολιτείαν; μετὰ τῶν ἀζύγων ἐτάχθης; μὴ κατενεχθῇς εἰς σάρκα, μὴ κατενεχθῇς εἰς ὕλην, μὴ τῇ ὕλῃ γαμηθῇς, κἂν ἄλλως ἄγαμος μένῃς. Ὀφθαλμὸς πορνεύων οὐ φυλάσσει τὴν παρθενίαν, γλῶττα πορνεύουσα τῷ πονηρῷ μίγνυται. Πόδες ἄτακτα βαίνοντες ἐγκαλοῦνται νόσον ἢ κίνδυνον. Παρθενευέτω καὶ ἡ διάνοια· μὴ ῥεμβέσθω, μὴ πλανάσθω, μὴ τύπους ἐν αὐτῇ φερέτω πονηρῶν πραγμάτων· καὶ ὁ τύπος μέρος πορνείας ἐστί· μὴ εἰδωλοποιείτω τῇ ψυχῇ τὰ μισούμενα.

ΙΑ'. «Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐ πάντες χωροῦσι τὸν λόγον, ἀλλ' οἷς δέδοται»[2]. Ὁρᾶτε τοῦ πράγματος τὸ ὑψηλόν; Μικροῦ καὶ ἀχώρητον εὑρίσκεται. Πῶς γὰρ οὐ κρεῖττον σαρκός, τὸ ἐκ σαρκὸς γενόμενον μὴ γεννᾶν εἰς σάρκα; Πῶς γὰρ οὐκ ἀγγελικὸν τὸ σαρκὶ συνδεδεμένην μὴ κατὰ σάρκα ζῆν, ἀλλ' εἶναι τῆς φύσεως ὑψηλοτέραν; Ἡ σὰρξ τῷ κόσμῳ προσέδησεν, ἀλλ' ὁ λογισμὸς πρὸς Θεὸν ἀνήγαγεν· ἡ σὰρξ ἐβάρησεν, ἀλλ' ὁ λογισμὸς ἐπτέρωσεν· ἡ σὰρξ ἔδησεν, ἀλλ' ὁ πόθος ἔλυσεν. Ὅλη τέτασο πρὸς Θεόν, ὦ παρθένε, τῇ ψυχῇ· τοῦτο γὰρ αὐτὸ καὶ ἀνδράσι νομοθετῶ καὶ γυναιξί· καὶ οὐ μὴ τί σοι φανῇ τῶν ἄλλων καλόν, ὅσα τοῖς πολλοῖς· οὐ γένος, οὐ πλοῦτος, οὐ θρόνος, οὐ δυναστεία, οὐ τὸ ἐν εὐχροίᾳ καὶ συνθέσει μελῶν φανταζόμενον κάλλος, χρόνου καὶ νόσου παίγνιον. Εἰ ὅλην ἐκένωσας πρὸς Θεὸν τοῦ φίλτρου τὴν δύναμιν, εἰ μὴ δύο σοι εἴη τὰ ποθούμενα, καὶ τὸ ῥέον καὶ τὸ ἀόρατον· ἄρα τοσοῦτον ἐτρώθης τῷ ἐκλεκτῷ βέλει καὶ τοῦ νυμφίου τὸ κάλλος κατέμαθες, ὥστε καὶ δύνασθαι λέγειν ἐκ τοῦ νυμφικοῦ δράματός τε καὶ ἄσματος, ὅτι «Γλυκασμὸς εἶ, καὶ ὅλος ἐπιθυμία»[3].

ΙΒ'. Ὁρᾶτε τὰ ἐμπεριλαμβανόμενα τοῖς μολιβδίνοις ὀχετοῖς ῥεύματα, ὅτι τῷ λίαν στενοχωρεῖσθαι καὶ πρὸς ἓν φέρεσθαι, τοσοῦτον ἐκβαίνει τὴν ὕδατος **[297]** πολλάκις φύσιν, ὥστε καὶ πρὸς τὸ ἄνω χωρεῖν ἀεὶ τὸ κατόπιν ὠθούμενον. Οὕτως ἐὰν σφίγξῃς τὸν πόθον καὶ ὅλῃ Θεῷ συναφθῇς, ἄνω χωρίσῃς, οὐ μὴ κάτω πέσῃς, οὐ μὴ διαχυθῇς, ὅλῃ Χριστοῦ μενεῖς, μέχρις ἂν καὶ Χριστὸν ἴδῃς τὸν σὸν νυμ-

---

1. Ψαλ. 44,14. 2. Ματθ. 19,11. 3. Πρβλ. Ἆσμ. 5,16.

φίον. Ἀπρόσιτον ἑαυτὴν φύλαττε καὶ λόγῳ καὶ ἔργῳ καὶ βίῳ καὶ διανοήματι καὶ κινήματι. Πανταχόθεν ὁ Πονηρὸς περιεργάζεταί σε, πάντα κατασκοπεῖ, ποῦ βάλῃ, ποῦ τρώσει, μή τι παραγυμνούμενον εὕρῃ καὶ πρὸς πληγὴν ἕτοιμον. Ὅσῳ καθαρωτέραν ὁρᾷς, τοσούτῳ μᾶλλον σπιλῶσαι φιλονεικεῖ· καὶ γὰρ ἐσθῆτος λαμπρᾶς οἱ σπίλοι περιφανέστεροι. Μὴ ὀφθαλμὸς ὀφθαλμὸν ἑλκέτω, μὴ γέλως γέλωτα, μὴ συνήθεια νύκτα, μὴ νὺξ ἀπώλειαν. Τὸ γὰρ κατὰ μέρος ὑφελκόμενον καὶ κλεπτόμενον, ἀνεπαίσθητον μὲν τὴν πρὸς τὸ παρὸν ἔχει βλάβην, εἰς τὸ κεφάλαιον δὲ τῆς κακίας ἁπαντᾷ.

ΙΓ′. «Οὐ πάντες, φησί, χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται»[1]. Τὸ «δέδοται», ὅταν ἀκούσῃς, μηδὲν αἱρετικὸν πάθῃς, μὴ τὰς φύσεις εἰσαγάγῃς, μὴ τοὺς χοϊκοὺς καὶ τοὺς πνευματικοὺς καὶ τοὺς μέσους. Εἰσὶ γὰρ οὕτω τινὲς διακείμενοι κακῶς, ὥστε οἴεσθαι, τοὺς μὲν πάντη ἀπολλυμένης εἶναι φύσεως, τοὺς δὲ σῳζομένης, τοὺς δὲ οὕτως ἔχειν, ὅπως ἂν ἡ προαίρεσις ἄγῃ πρὸς τὸ χεῖρον ἢ βέλτιον. Ἐπιτηδειότητα μὲν γὰρ ἄλλον ἄλλου μᾶλλον ἢ ἔλαττον ἔχειν, κἀγὼ δέχομαι· οὐκ ἀρκεῖν δὲ μόνην τὴν ἐπιτηδειότητα πρὸς τελείωσιν· λογισμὸν δὲ εἶναι τὸν ταύτην ἐκκαλούμενον, ἵνα ἡ φύσις εἰς ἔργον προέλθῃ, καθάπερ λίθος πυρίτης σιδήρῳ κρουσθεὶς καὶ οὕτω πῦρ γένηται. Ὅταν ἀκούσῃς, «Οἷς δέδοται»[2], πρόσθες, δέδοται μὲν τοῖς καλουμένοις καὶ τοῖς οὕτω νεύουσι. Καὶ γὰρ ὅταν ἀκούσῃς, «οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ»[3], συμβουλεύω σοι ταὐτὸν ὑπολαβεῖν. Ἐπειδὴ γὰρ εἰσί τινες οἱ τοσοῦτον μεγαλοφρονοῦντες ἐπὶ τοῖς κατορθώμασιν, ὥστε τὸ πᾶν ἑαυτοῖς διδόναι καὶ μηδὲν τῷ ποιήσαντι καὶ σοφίσαντι καὶ χορηγῷ τῶν καλῶν, διδάσκει τούτους ὁ λόγος, ὅτι καὶ τὸ βούλεσθαι καλῶς δεῖται τῆς παρὰ Θεοῦ βοηθείας· μᾶλλον δέ, αὐτὸ τὸ προαιρεῖσθαι τὰ δέοντα, θεῖόν τι καὶ ἐκ Θεοῦ δῶρον φιλανθρωπίας· δεῖ γὰρ καὶ τὸ ἐφ' ἡμῖν εἶναι καὶ τὸ ἐκ Θεοῦ σῴζεσθαι. Διὰ τοῦτό φησιν· «Οὐ τοῦ θέλοντος»[4]· τοῦτ' **[300]** ἔστιν, οὐ μόνον τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος μόνον, ἀλλὰ καὶ τοῦ ἐλεοῦντος Θεοῦ[5]. Εἶτα, ἐπειδὴ καὶ τὸ βούλεσθαι παρὰ Θεοῦ, τὸ πᾶν εἰκότως ἀνέθηκε τῷ Θεῷ. Ὅσον ἂν δράμῃς, ὅσον ἂν ἀγωνίσῃ, χρῄζῃς τοῦ διδόντος τὸν στέφανον. «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες αὐτήν»[6]. Οἶδα, φησίν, ὅτι «οὐ τοῖς κούφοις ὁ δρόμος, οὐδὲ τοῖς δυνατοῖς ὁ πόλεμος»[7], οὐδὲ τῶν μαχομένων ἡ νίκη, οὔτε τῶν εὐπλούντων οἱ λιμένες· ἀλλὰ Θεοῦ καὶ νίκην ἀπεργάσασθαι καὶ εἰς λιμένας ἀποσῶσαι τὸ σκάφος.

ΙΔ′. Καὶ τοῦτο ἀλλαχοῦ λεγόμενον καὶ νοούμενον καὶ ἴσως ἀναγκαῖον προσθεῖναι καὶ τὸ ἐπελθὸν τοῖς εἰρημένοις, ἵνα τὸν ἐμὸν πλοῦ-

---

1. Ματθ. 19,10. 2. Ἐνθ' ἀν. 3. Ρωμ. 9,16. 4. Ἐνθ' ἀν. 5. Ἐνθ' ἀν. 6. Ψαλ. 126,1. 7. Ἐκκλ. 9,11.

τον καὶ ὑμῖν χαρίσωμαι. Ἠτησεν ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου φιλότεκόν τι παθοῦσα καὶ τὸ μέτρον ἀγνοοῦσα τῶν αἰτουμένων, πλὴν συγγνωστὴ δι' ὑπερβολὴν φίλτρου καὶ ὀφειλομένην εὔνοιαν τέκνοις. Οὐδὲν γὰρ μητρὸς εὐσπλαγχνότερον· καὶ τοῦτο λέγω, ἵνα τιμᾶσθαι νομοθετήσω τὰς μητέρας. Ἠτησεν οὖν τὸν Ἰησοῦν ἡ μήτηρ ἐκείνων, ἕνα ἐκ δεξιῶν καθίσαι καὶ ἕνα ἐξ ἀριστερῶν[1]. Ἀλλὰ τί ὁ Σωτήρ; Ἐρωτᾷ τὸ πρῶτον, εἰ τὸ ποτήριον δύνανται πιεῖν, ὃ αὐτὸς πίνειν ἤμελλεν[2]. Ὡς δὲ καὶ τοῦτο ὡμολογήθη καὶ ὁ Σωτὴρ ἐδέξατο (ἤδει γὰρ κἀκείνους τῷ αὐτῷ τελειουμένους, μᾶλλον δέ, τελεωθήσεσθαι μέλλοντας), τί φησι; «Τὸ μὲν ποτήριον» πίονται, «τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ ἀριστερῶν, οὐκ ἔστιν ἐμόν», φησί, «τοῦτο δοῦναι»[3], «ἀλλ' οἷς δέδοται»[4]. Οὐδὲν οὖν ὁ ἡγεμὼν νοῦς; οὐδὲν ὁ πόνος; οὐδὲν ὁ λόγος; οὐδὲν ἡ φιλοσοφία; οὐδὲν τὸ νηστεῦσαι; οὐδὲν τὸ ἀγρυπνῆσαι; τὸ χαμευνῆσαι; τὸ πηγὰς στάξαι δακρύων; Τούτων οὐδέν, ἀλλὰ κατά τινα ἀποκλήρωσιν καὶ Ἱερεμίας ἁγιάζεται[5] καὶ ἄλλοι ἐκ μήτρας ἀλλοτριοῦνται;

ΙΕ'. Φοβοῦμαι μὴ καὶ ἄτοπός τις εἰσέλθῃ λογισμός, ὡς τῆς ψυχῆς ἀλλαχοῦ πολιτευσαμένης, εἶτα τῷ σώματι τούτῳ ἐνδεθείσης· καὶ ἐκ τῆς ἐκεῖθεν πολιτείας, τῶν μὲν λαβόντων τὴν προφητείαν, τῶν δὲ κατακρινομένων, ὅσοι κακῶς βεβιώκασιν. Ἀλλ' ἐπειδὴ τοῦτο ὑπολαβεῖν λίαν ἄτοπον καὶ οὐκ ἐκκλησιαστικὸν (ἄλλοι μὲν γὰρ περὶ τῶν τοιούτων δογμάτων παιζέτωσαν, ἡμῖν δὲ τὰ τοιαῦτα παίζειν οὐκ ἀσφαλές), κἀκεῖ τῷ «Καὶ οἷς δέδοται»[6], πρόσθες τό, τοῖς οὖσιν ἀξίοις· οἳ τὸ εἶναι τοιοῦτοι, οὐ μόνον παρὰ **[301]** τοῦ Πατρὸς εἰλήφασιν, ἀλλὰ καὶ ἑαυτοῖς δεδώκασιν.

ΙΣ'. «Εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς εὐνουχίσθησαν»[7] καὶ τὰ ἑξῆς. Σφόδρα ἐβουλόμην ἀνδρικόν τι περὶ τῶν εὐνούχων ἔχειν εἰπεῖν. Μὴ μέγα φρονεῖτε, οἱ ἐκ φύσεως εὐνοῦχοι. Τὸ γὰρ τῆς σωφροσύνης, ἴσως ἀκούσιον. Οὐ γὰρ ἦλθεν εἰς βάσανον, οὐδὲ τὸ σωφρονεῖν ἐδοκιμάσθη διὰ τῆς πείρας. Τὸ μὲν γὰρ ἐκ φύσεως ἀγαθόν, ἀδόκιμον· τὸ δ' ἐκ προαιρέσεως, ἐπαινετόν. Τίς πυρὶ χάρις τοῦ καίειν; τὸ γὰρ καίειν ἐκ φύσεως ἔχει. Τίς ὕδατι τοῦ κάτω φέρεσθαι; τοῦτο γὰρ ἔχει παρὰ τοῦ δημιουργήσαντος. Τίς χιόνι τῆς ψυχρότητος χάρις; ἢ τῷ ἡλίῳ τοῦ φαίνειν; Φαίνει γὰρ κἂν μὴ βούληται. Χαρίζου μοι τὸ βούλεσθαι τὰ βελτίονα. Χαρίζῃ δέ, ἐὰν σὰρξ γενόμενος, πνευματικὸς γένῃ· ἐὰν τῇ μολίβδι τῆς σαρκὸς ἑλκόμενος, πτερωθῇς ὑπὸ τοῦ λόγου· ἐὰν οὐράνιος εὑρεθῇς, ταπεινὸς γεγονώς· ἐὰν σαρκὶ συνδεθείς, ὑπὲρ σάρκα φανῇς.

ΙΖ'. Ἐπειδὴ οὖν τὸ σωματικὰ φρονεῖν οὐκ ἐπαινετόν, ἄλλο τι αἰτῶ τοὺς εὐνούχους. Μὴ πορνεύσητε περὶ θεότητα. Χριστῷ συζευ-

---

1. Πρβλ. Ματθ. 20,20. 2. Πρβλ. Ματθ. 20,22. 3. Ματθ. 20,23. 4. Ματθ. 20,11. 5. Πρβλ. Ἱερ. 1,5. 6. Ματθ. 19,11. 7. Πρβλ. Ματθ. 19,12.

χθέντες, Χριστὸν μὴ ἀτιμάσητε. Ὑπὸ τοῦ Πνεύματος τελειούμενοι, μὴ ὁμότιμον ἑαυτοῖς τὸ Πνεῦμα ποιήσητε. «Εἰ ἔτι ἀνθρώποις ἤρεσκον», ὁ Παῦλός φησι, «Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην»[1]. Εἰ κτίσματι ἐλάτρευον, οὐκ ἂν Χριστιανὸς ὠνομαζόμην. Εἰς τί γὰρ ὁ Χριστιανὸς τίμιον; Οὐχ ὅτι Θεὸς ὁ Χριστός; Εἰ μὴ τοῦτο ὡς ἄνθρωπος πάθω, φιλίᾳ πρὸς αὐτὸν συγκεκραμένος. Καίτοι καὶ Πέτρον τιμῶ, ἀλλ᾽ οὐκ ἀκούω Πετριανός· καὶ Παῦλον, Παυλιανὸς δὲ οὐκ ἤκουσα. Οὐ δέχομαι παρὰ ἀνθρώπων ὀνομάζεσθαι, παρὰ Θεοῦ γεγονώς. Οὕτως εἰ μέν, ὅτι Θεὸν ὑπείληφας, διὰ τοῦτο καλῇ Χριστιανὸς καὶ καλοῖο καὶ μένοις ἐν τῷ ὀνόματι ἢ τῷ πράγματι. Εἰ δέ, ὅτι στέργεις Χριστόν, διὰ τοῦτο ἐξ αὐτοῦ καλῇ, οὐδὲν πλέον νέμεις αὐτῷ τῶν ἄλλων κλήσεων, αἳ ἀπό τινος ἐπιτηδεύματος ἢ πράγματος τίθενται.

ΙΗ′. Ὁρᾶτε τοὺς περὶ τὰς ἱπποδρομίας ἐσπουδακότας τούτους. Οἳ ἀπὸ τῶν χρωμάτων ὀνομά**[304]**ζονται καὶ τῶν μερίδων, αἷς συνεστήκασιν. Ὑμεῖς δὲ ἴστε τὰ ὀνόματα, κἂν ἐγὼ μὴ λέγω. Εἰ οὕτως ἀκούεις Χριστιανός, μικρὰ λίαν ἡ προσηγορία, κἂν ἐπ᾽ αὐτῇ καλλωπίζῃ· εἰ δέ, ὅτι καὶ Θεὸν ὑπείληφας, δεῖξον τοῖς ἔργοις ὡς ὑπείληφας. Εἰ κτίσμα ὁ Υἱός, ἔτι καὶ νῦν λατρεύεις τῇ κτίσει παρὰ τὸν κτίστην[2]. Εἰ κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον, μάτην ἐβαπτίσθης καὶ τοῖς μὲν δυσὶ μέρεσιν ὑγιαίνεις, μᾶλλον δὲ οὐδὲ ἐκείνοις· τῷ δὲ ἑνί, παντελῶς κινδυνεύεις. Ὑπόθου μαργαρίτην ἕνα εἶναι τὴν Τριάδα, πανταχόθεν ὅμοιον καὶ ἴσον στίλβοντα. Ὅτι ἂν πάθῃ τοῦ μαργαρίτου, ἡ πᾶσα τοῦ λίθου χάρις ἠφάνισται. Οὕτως ὅταν ἀτιμάζῃς Υἱόν, ἵνα τιμήσῃς Πατέρα, οὐ δέχεταί σου τὴν τιμήν. Ἐπ᾽ ἀτιμίᾳ τοῦ Υἱοῦ ὁ Πατὴρ οὐ δοξάζεται. Εἰ σοφὸς υἱὸς εὐφραίνει πατέρα[3], πόσῳ μᾶλλον ἡ τοῦ Υἱοῦ τιμή, τιμὴ τοῦ Πατρὸς γένηται; Εἰ δὲ καὶ τοῦτο δέξῃ· Τὸ τέκνον, μὴ δοξάζου ἐπ᾽ ἀτιμίᾳ Πατρός[4], οὕτως οὐδὲ Πατὴρ ἐπ᾽ ἀτιμίᾳ τοῦ Υἱοῦ δοξάζεται. Εἰ ἀτιμάζεις τὸ Πνεῦμα τὸ Ἅγιον, οὐ δέχεταί σου τὴν τιμήν ὁ Υἱός. Εἰ γὰρ καὶ μὴ ὡς Υἱὸς ἐκ τοῦ Πατρός, ἀλλ᾽ οὖν ἐκ τοῦ αὐτοῦ Πατρός. Ἢ τὸ πᾶν τίμησον ἢ τὸ ὅλον ἀτίμασον, ἵνα ἀκόλουθος νοῦς σεαυτῷ τυγχάνῃς. Οὐ δέχομαί σου τὸ ἐξ ἡμισείας εὐσεβές. Ὅλον εὐσεβῆ μὲν εἶναί σε βούλομαι, ἀλλὰ καθὼς βούλομαι. Σύγγνωθι τῷ πάθει. Ἀλγῶ καὶ ὑπὲρ τῶν μισούντων. Μέλος ἦς ἐμὸν καὶ εἰ νῦν ἀποτέμνῃ· μέλος καὶ γενήσῃ τυχόν· διὰ τοῦτο καὶ φιλάνθρωπα φθέγγομαι. Ταῦτα διὰ τοὺς εὐνούχους, ἵνα περὶ θεότητα σωφρονῶσιν.

ΙΘ′. Οὐ γὰρ ἡ περὶ σῶμα μόνον ἁμαρτία πορνεία καὶ μοιχεία λέγεται, ἀλλὰ καὶ ὁτιοῦν ἥμαρτες καὶ μάλιστα ἡ περὶ τὸ θεῖον παρανομία. Πόθεν παράσχωμεν; τοῦτο τυχὸν ἀπαιτεῖς· «Ἐπόρνευσαν, φησίν, ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν»[5]. Ὁρᾷς καὶ πρᾶξιν πορνείας ἀναίσχυντον; Καί, «Ἐμοιχῶντο, φησίν, ἐν τῷ ξύλῳ»[6]. Ὁρᾷς καὶ θρη-

---

1. Γαλ. 1,10. 2. Πρβλ. Ρωμ. 1,25. 3. Παρμ. 10,1. 4. Σ. Σειρ. 3,10. 5. Ψαλ. 105,39. 6. Πρβλ. Ἱερ. 3,6.

τον καὶ ὑμῖν χαρίσωμαι. Ἠτησεν ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου φιλότεκόν τι παθοῦσα καὶ τὸ μέτρον ἀγνοοῦσα τῶν αἰτουμένων, πλὴν συγγνωστὴ δι' ὑπερβολὴν φίλτρου καὶ ὀφειλομένην εὔνοιαν τέκνοις. Οὐδὲν γὰρ μητρὸς εὐσπλαγχνότερον· καὶ τοῦτο λέγω, ἵνα τιμᾶσθαι νομοθετήσω τὰς μητέρας. Ἠτησεν οὖν τὸν Ἰησοῦν ἡ μήτηρ ἐκείνων, ἕνα ἐκ δεξιῶν καθίσαι καὶ ἕνα ἐξ ἀριστερῶν[1]. Ἀλλὰ τί ὁ Σωτήρ; Ἐρωτᾷ τὸ πρῶτον, εἰ τὸ ποτήριον δύνανται πιεῖν, ὃ αὐτὸς πίνειν ἤμελλεν[2]. Ὡς δὲ καὶ τοῦτο ὡμολογήθη καὶ ὁ Σωτὴρ ἐδέξατο (ἤδει γὰρ κἀκείνους τῷ αὐτῷ τελειουμένους, μᾶλλον δέ, τελεωθήσεσθαι μέλλοντας), τί φησι; «Τὸ μὲν ποτήριον» πίονται, «τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ ἀριστερῶν, οὐκ ἔστιν ἐμόν», φησί, «τοῦτο δοῦναι»[3], «ἀλλ' οἷς δέδοται»[4]. Οὐδὲν οὖν ὁ ἡγεμὼν νοῦς; οὐδὲν ὁ πόνος; οὐδὲν ὁ λόγος; οὐδὲν ἡ φιλοσοφία; οὐδὲν τὸ νηστεῦσαι; οὐδὲν τὸ ἀγρυπνῆσαι; τὸ χαμευνῆσαι; τὸ πηγὰς στάξαι δακρύων; Τούτων οὐδέν, ἀλλὰ κατά τινα ἀποκλήρωσιν καὶ Ἱερεμίας ἁγιάζεται[5] καὶ ἄλλοι ἐκ μήτρας ἀλλοτριοῦνται;

ΙΕ'. Φοβοῦμαι μὴ καὶ ἄτοπός τις εἰσέλθῃ λογισμός, ὡς τῆς ψυχῆς ἀλλαχοῦ πολιτευσαμένης, εἶτα τῷ σώματι τούτῳ ἐνδεθείσης· καὶ ἐκ τῆς ἐκεῖθεν πολιτείας, τῶν μὲν λαβόντων τὴν προφητείαν, τῶν δὲ καταχρινομένων, ὅσοι κακῶς βεβιώκασιν. Ἀλλ' ἐπειδὴ τοῦτο ὑπολαβεῖν λίαν ἄτοπον καὶ οὐκ ἐκκλησιαστικὸν (ἄλλοι μὲν γὰρ περὶ τῶν τοιούτων δογμάτων παιζέτωσαν, ἡμῖν δὲ τὰ τοιαῦτα παίζειν οὐκ ἀσφαλές), κἀκεῖ τῷ «Καὶ οἷς δέδοται»[6], πρόσθες τό, τοῖς οὖσιν ἀξίοις· οἱ τὸ εἶναι τοιοῦτοι, οὐ μόνον παρὰ **[301]** τοῦ Πατρὸς εἰλήφασιν, ἀλλὰ καὶ ἑαυτοῖς δεδώκασιν.

ΙϚ'. «Εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς εὐνουχίσθησαν»[7] καὶ τὰ ἑξῆς. Σφόδρα ἐβουλόμην ἀνδρικόν τι περὶ τῶν εὐνούχων ἔχειν εἰπεῖν. Μὴ μέγα φρονεῖτε, οἱ ἐκ φύσεως εὐνοῦχοι. Τὸ γὰρ τῆς σωφροσύνης, ἴσως ἀκούσιον. Οὐ γὰρ ἦλθεν εἰς βάσανον, οὐδὲ τὸ σωφρονεῖν ἐδοκιμάσθη διὰ τῆς πείρας. Τὸ μὲν γὰρ ἐκ φύσεως ἀγαθόν, ἀδόκιμον· τὸ δ' ἐκ προαιρέσεως, ἐπαινετόν. Τίς πυρὶ χάρις τοῦ καίειν; τὸ γὰρ καίειν ἐκ φύσεως ἔχει. Τίς ὕδατι τοῦ κάτω φέρεσθαι; τοῦτο γὰρ ἔχει παρὰ τοῦ δημιουργήσαντος. Τίς χιόνι τῆς ψυχρότητος χάρις; ἢ τῷ ἡλίῳ τοῦ φαίνειν; Φαίνει γὰρ κἂν μὴ βούληται. Χαρίζου μοι τὸ βούλεσθαι τὰ βελτίονα. Χαρίζῃ δέ, ἐὰν σὰρξ γενόμενος, πνευματικὸς γένῃ· ἐὰν τῇ μολίβδι τῆς σαρκὸς ἑλκόμενος, πτερωθῇς ὑπὸ τοῦ λόγου· ἐὰν οὐράνιος εὑρεθῇς, ταπεινὸς γεγονώς· ἐὰν σαρκὶ συνδεθείς, ὑπὲρ σάρκα φανῇς.

ΙΖ'. Ἐπειδὴ οὖν τὸ σωματικὰ φρονεῖν οὐκ ἐπαινετόν, ἄλλο τι αἰτῶ τοὺς εὐνούχους. Μὴ πορνεύσητε περὶ θεότητα. Χριστῷ συζευ-

---

1. Πρβλ. Ματθ. 20,20. 2. Πρβλ. Ματθ. 20,22. 3. Ματθ. 20,23. 4. Ματθ. 20,11. 5. Πρβλ. Ἱερ. 1,5. 6. Ματθ. 19,11. 7. Πρβλ. Ματθ. 19,12.

χθέντες, Χριστὸν μὴ ἀτιμάσητε. Ὑπὸ τοῦ Πνεύματος τελειούμενοι, μὴ ὁμότιμον ἑαυτοῖς τὸ Πνεῦμα ποιήσητε. «Εἰ ἔτι ἀνθρώποις ἤρεσκον», ὁ Παῦλός φησι, «Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην»[1]. Εἰ κτίσματι ἐλάτρευον, οὐκ ἂν Χριστιανὸς ὠνομαζόμην. Εἰς τί γὰρ ὁ Χριστιανὸς τίμιον; Οὐχ ὅτι Θεὸς ὁ Χριστός; Εἰ μὴ τοῦτο ὡς ἄνθρωπος πάθω, φιλίᾳ πρὸς αὐτὸν συγκεκραμένος. Καίτοι καὶ Πέτρον τιμῶ, ἀλλ' οὐκ ἀκούω Πετριανός· καὶ Παῦλον, Παυλιανὸς δὲ οὐκ ἤκουσα. Οὐ δέχομαι παρὰ ἀνθρώπων ὀνομάζεσθαι, παρὰ Θεοῦ γεγονώς. Οὕτως εἰ μέν, ὅτι Θεὸν ὑπείληφας, διὰ τοῦτο καλῇ Χριστιανὸς καὶ καλοῖο καὶ μένοις ἐν τῷ ὀνόματι ἢ τῷ πράγματι. Εἰ δέ, ὅτι στέργεις Χριστόν, διὰ τοῦτο ἐξ αὐτοῦ καλῇ, οὐδὲν πλέον νέμεις αὐτῷ τῶν ἄλλων κλήσεων, αἳ ἀπό τινος ἐπιτηδεύματος ἢ πράγματος τίθενται.

ΙΗ′. Ὁρᾶτε τοὺς περὶ τὰς ἱπποδρομίας ἐσπουδακότας τούτους. Οἳ ἀπὸ τῶν χρωμάτων ὀνομά[304]ζονται καὶ τῶν μερίδων, αἷς συνεστήκασιν. Ὑμεῖς δὲ ἴστε τὰ ὀνόματα, κἂν ἐγὼ μὴ λέγω. Εἰ οὕτως ἀκούεις Χριστιανός, μικρὰ λίαν ἡ προσηγορία, κἂν ἐπ' αὐτῇ καλλωπίζῃ· εἰ δέ, ὅτι καὶ Θεὸν ὑπείληφας, δεῖξον τοῖς ἔργοις ὡς ὑπείληφας. Εἰ κτίσμα ὁ Υἱός, ἔτι καὶ νῦν λατρεύεις τῇ κτίσει παρὰ τὸν κτίστην[2]. Εἰ κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον, μάτην ἐβαπτίσθης καὶ τοῖς μὲν δυσὶ μέρεσιν ὑγιαίνεις, μᾶλλον δὲ οὐδὲ ἐκείνοις· τῷ δὲ ἑνί, παντελῶς κινδυνεύεις. Ὑπόθου μαργαρίτην ἕνα εἶναι τὴν Τριάδα, πανταχόθεν ὅμοιον καὶ ἴσον στίλβοντα. Ὅτι ἂν πάθῃ τοῦ μαργαρίτου, ἡ πᾶσα τοῦ λίθου χάρις ἠφάνισται. Οὕτως ὅταν ἀτιμάζῃς Υἱόν, ἵνα τιμήσῃς Πατέρα, οὐ δέχεταί σου τὴν τιμήν. Ἐπ' ἀτιμίᾳ τοῦ Υἱοῦ ὁ Πατὴρ οὐ δοξάζεται. Εἰ σοφὸς υἱὸς εὐφραίνει πατέρα[3], πόσῳ μᾶλλον ἡ τοῦ Υἱοῦ τιμή, τιμὴ τοῦ Πατρὸς γένηται; Εἰ δὲ καὶ τοῦτο δέξῃ· Τὸ τέκνον, μὴ δοξάζου ἐπ' ἀτιμίᾳ Πατρός[4], οὕτως οὐδὲ Πατὴρ ἐπ' ἀτιμίᾳ τοῦ Υἱοῦ δοξάζεται. Εἰ ἀτιμάζεις τὸ Πνεῦμα τὸ Ἅγιον, οὐ δέχεταί σου τὴν τιμήν ὁ Υἱός. Εἰ γὰρ καὶ μὴ ὡς Υἱὸς ἐκ τοῦ Πατρός, ἀλλ' οὖν ἐκ τοῦ αὐτοῦ Πατρός. Ἢ τὸ πᾶν τίμησον ἢ τὸ ὅλον ἀτίμασον, ἵνα ἀκόλουθος νοῦς σεαυτῷ τυγχάνῃς. Οὐ δέχομαί σου τὸ ἐξ ἡμισείας εὐσεβές. Ὅλον εὐσεβῆ μὲν εἶναί σε βούλομαι, ἀλλὰ καθὼς βούλομαι. Σύγγνωθι τῷ πάθει. Ἀλγῶ καὶ ὑπὲρ τῶν μισούντων. Μέλος ἦς ἐμὸν καὶ εἰ νῦν ἀποτέμνῃ· μέλος καὶ γενήσῃ τυχόν· διὰ τοῦτο καὶ φιλάνθρωπα φθέγγομαι. Ταῦτα διὰ τοὺς εὐνούχους, ἵνα περὶ θεότητα σωφρονῶσιν.

ΙΘ′. Οὐ γὰρ ἡ περὶ σῶμα μόνον ἁμαρτία πορνεία καὶ μοιχεία λέγεται, ἀλλὰ καὶ ὁτιοῦν ἥμαρτες καὶ μάλιστα ἡ περὶ τὸ θεῖον παρανομία. Πόθεν παράσχωμεν; τοῦτο τυχὸν ἀπαιτεῖς· «Ἐπόρνευσαν, φησίν, ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν»[5]. Ὁρᾷς καὶ πρᾶξιν πορνείας ἀναίσχυντον; Καί, «Ἐμοιχῶντο, φησίν, ἐν τῷ ξύλῳ»[6]. Ὁρᾷς καὶ θρη-

---

1. Γαλ. 1,10. 2. Πρβλ. Ρωμ. 1,25. 3. Παρμ. 10,1. 4. Σ. Σειρ. 3,10. 5. Ψαλ. 105,39. 6. Πρβλ. Ἱερ. 3,6.

σκείαν τινὰ μοιχαλίδα; Μὴ τοίνυν μοιχεύσῃς κατὰ ψυχήν, σωφρονῶν τῷ σώματι· μὴ δείξεις τὸ ἀκουσίως τῇ σαρκὶ σωφρονεῖν ἐξ ὧν οὐ σωφρονεῖς, ἐν οἷς πορνεύειν δυνατὸς εἶ. Τί πεποιήκατε τὴν ἀσέβειαν ὑμετέραν; Τί πάντες ἐπὶ τὸ χεῖρον φέρεσθε, ὡς ταὐτὸν εἶναι λοιπὸν ἢ εὐνοῦχον ἢ ἀσεβῆ καλεῖ[305]σθαι; Γένεσθε μετὰ τῶν ἀνδρῶν, ὀψὲ γοῦν ἀνδρικόν τι φρονήσατε, φύγετε τὰς γυναικωνίτιδας, μὴ προστεθήτω τῷ αἰσχρῷ τοῦ ὀνόματος τὸ αἰσχρὸν τοῦ κηρύγματος. Βούλεσθε μικρὸν ἔτι τῷ λόγῳ προσκαρτερήσωμεν; Ἢ κόρον ἔχει τὰ εἰρημένα; Πλὴν τιμηθήτωσαν καὶ οἱ εὐνοῦχοι τοῖς ἑξῆς· ἐπαινετὸς γὰρ ὁ λόγος.

Κ′. «Εἰσὶ γὰρ εὐνοῦχοι, φησίν, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν παρὰ τῶν ἀνθρώπων· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν, χωρείτω»[1]. Δοκεῖ μοι τῶν σωμάτων ἀποστὰς ὁ λόγος, τυποῦν διὰ τῶν σωμάτων τὰ ὑψηλότερα. Τὸ μὲν γὰρ μέχρι τῶν σωματικῶν εὐνούχων στῆσαι τὸν λόγον, τυχὸν μικρόν τε καὶ λίαν ἀσθενὲς καὶ ἀνάξιον λόγου· δεῖ δὲ ἡμᾶς ἐπινοῆσαί τι τοῦ Πνεύματος ἄξιον. Δοκοῦσι τοίνυν οἱ μὲν ἐκ φύσεως νεύειν πρὸς τὸ ἀγαθόν. Φύσεως δὲ ὅταν εἴπω, οὐκ ἀτιμάζω τὴν προαίρεσιν, ἀλλ᾽ ἀμφότερα τίθημι, τήν τε πρὸς τὸ καλὸν ἐπιτηδειότητα καὶ τὴν εἰς ἔργον ἄγουσαν τὸ ἐκ φύσεως ἐπιτήδειον. Ἕτεροι δὲ εἰσί τινες, οὓς ὁ λόγος καθαίρει, τῶν παθῶν ἐκτέμνων. Τούτους ἡγοῦμαι εἶναι τοὺς ὑπὸ τῶν ἀνθρώπων εὐνουχιζομένους, ὅταν ὁ διδασκαλικὸς λόγος διελὼν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος καὶ τὸ μὲν ἀποπεμψάμενος, τὸ δὲ νομοθετήσας (ὡς τό, «Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν»[2]), τὴν πνευματικὴν σωφροσύνην δημιουργήσῃ. Ἐπαινῶ καὶ τοῦτον τὸν εὐνουχισμόν, καὶ λίαν ἐπαινῶ τούς τε διδασκάλους ὁμοίως καὶ τοὺς διδασκομένους, ὅτι οἱ μὲν καλῶς ἐξέτεμον, οἱ δὲ κάλλιον ἐξετμήθησαν.

ΚΑ′. «Καὶ εἰσίν, οἵτινες ἑαυτοὺς εὐνούχισαν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν»[3]. Ἄλλοι διδασκάλων μὲν οὐκ ἐπέτυχον, ἑαυτῶν δὲ γεγόνασιν ἐπαινετοὶ διδάσκαλοι. Οὐκ ἐδίδαξέ σε μήτηρ τὸ δέον, οὐκ ἐδίδαξέ σε πατήρ, οὐ πρεσβύτερος, οὐκ ἐπίσκοπος, οὐκ ἄλλος τις τῶν τὸ διδάσκειν πεπιστευμένων. Ἀλλὰ τὸν ἐν σοὶ λόγον κινήσας, ἀλλὰ τὸν σπινθῆρα τοῦ καλοῦ διὰ τῆς προαιρέσεως ἀνάψας, σαυτὸν εὐνούχισας, τὴν ῥίζαν ἐξέτεμες, τὰ ὄργανα τῆς κακίας ἐξώρισας, τοσαύτην ἔξιν ἐκτήσω τῆς ἀρετῆς, ὥστε καὶ σχεδὸν ἀδύνατόν σοι γενέσθαι τὴν περὶ τὰ χείρω φοράν. Διὰ τοῦτο ἐπαινῶ καὶ τοῦτον τὸν εὐνουχισμὸν καὶ τυχὸν μᾶλλον τῶν ἄλλων. «Ὁ δυνάμενος χωρεῖν, χωρείτω»[4]. Ἂν βούλει δέξαι μερίδα, ἢ ἐπακολούθησον τῷ διδασκάλῳ ἢ γενοῦ σαυτοῦ διδάσκαλος. Ἓν αἰσχρὸν μόνον, μὴ τιμηθῆναι τὰ πάθη. Περὶ δὲ τοῦ τιμηθῆναι τὰ πάθη, μηδὲν διαφέρου. Καὶ ὁ διδάσκων, πλάσμα Θεοῦ

---

1. Ματθ. 19,12. 2. Ψαλ. 36,27. 3. Ματθ. 19,12. 4. Ἐνθ᾽ ἀν.

καὶ σὺ γέγονας **[308]** ἐκεῖθεν· κἄν τε ὁ διδάσκαλος ἁρπάσῃ τὴν χάριν, κἄν τε γένηται σὸν τὸ καλόν, καλὸν ὁμοίως ἐστί.

ΚΒ′. Μόνον ἐκτέμνωμεν ἑαυτοὺς τῶν παθῶν, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ[1]. Μόνον ἀκολουθῶμεν τῇ εἰκόνι, μόνον αἰδώμεθα τὸ ἀρχέτυπον. Ἔκτεμνε τὰ σωματικὰ πάθη, ἔκτεμνε καὶ τὰ ψυχικά. Ὅσῳ γὰρ ψυχὴ τιμιώτερον σώματος, τοσούτῳ τιμιώτερον καθᾶραι ψυχὴν ἢ σῶμα. Εἰ δὲ ἡ τοῦ σώματος κάθαρσις τῶν ἐπαινετῶν, σκόπει μοι πόσον ἡ τῆς ψυχῆς μείζων τε καὶ ὑψηλοτέρα. Ἔκτεμνε τὴν Ἀρειανὴν ἀσέβειαν, ἔκτεμνε τὴν Σαβελλίου κακοδοξίαν. Μήτε συνάψῃς πλέον ἢ καλῶς ἔχει, μήτε διέλῃς κακῶς, μήτε εἰς ἓν πρόσωπον συνέλῃς τὰ τρία, μήτε ἐργάσῃ τρεῖς ἀλλοτριότητας φύσεων. Καὶ τὸ ἓν ἐπαινετόν, καλῶς νοούμενον, καὶ τὰ τρία καλῶς διαιρούμενα, ὅταν προσώπων, ἀλλὰ μὴ θεότητος ἡ διαίρεσις ᾖ.

ΚΓ′. Ταῦτα καὶ λαϊκοῖς νομοθετῶ, ταῦτα καὶ πρεσβυτέροις ἐντέλλομαι, ταῦτα καὶ τοῖς ἄρχειν πεπιστευμένοις. Βοηθήσατε τῷ λόγῳ πάντες ὅσοις τὸ δύνασθαι βοηθεῖν ἐκ Θεοῦ. Μέγα φόνον ἐπισχεῖν καὶ μοιχείαν κολάσαι καὶ κλοπὴν σωφρονίσαι· πολλῷ μᾶλλον εὐσέβειαν νομοθετῆσαι καὶ ὑγιῆ λόγον χαρίσασθαι. Οὐ τοσοῦτον ὁ ἐμὸς λόγος δυνήσεται πολεμῶν ὑπὲρ τῆς Ἁγίας Τριάδος, ὅσον τὸ πρόσταγμα, ἐὰν ἐπιστομίζῃς τοὺς κακῶς ἔχοντας, ἐὰν βοηθῇς τοῖς διωκομένοις, ἐὰν τοὺς φονευτὰς ἐπέχῃς, ἐὰν κωλύῃς τὸ φονεύεσθαι. Λέγω δὲ οὐ τὸν σωματικὸν μόνον, ἀλλὰ καὶ τὸν ψυχικόν. Πᾶσα γὰρ ἁμαρτία, θάνατός ἐστι ψυχῆς[2]. Μέχρι τούτων ὁ λόγος στήτω.

ΚΔ′. Λοιπὸν δὲ ἔστω ὑπὲρ τῶν συνεληλυθότων εὐχή. Ἄνδρες ὁμοῦ καὶ γυναῖκες, ἀρχόμενοί τε καὶ ἄρχοντες, πρεσβῦται καὶ νεανίσκοι μετὰ παρθένων, πᾶν γένος ἡλικίας, πᾶσαν μὲν φέρετε ζημίαν, τὴν εἰς χρήματα, τὴν εἰς σώματα· ἓν δὲ μὴ δέξησθε μόνον, τὴν θεότητα ζημιούμενοι. Προσκυνῶ Πατέρα, προσκυνῶ τὸν Υἱόν, προσκυνῶ τὸ Πνεῦμα τὸ Ἅγιον· μᾶλλον δὲ προσκυνοῦμεν, ἐγὼ καὶ πρὸ πάντων, ὁ ταῦτα λέγων, ἐγὼ καὶ μετὰ πάντας καὶ σὺν πᾶσιν, ἐν αὐτῷ τῷ Κυρίῳ τῷ Χριστῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1. Πρβλ. Ἑβρ. 12,15. 2. Πρβλ. Ρωμ. 5,12. 6,23 κ.ἀ.

ΛΟΓΟΣ ΛΗ'

ΕΙΣ ΤΑ ΘΕΟΦΑΝΙΑ, ΕΙΤΟΥΝ ΓΕΝΕΘΛΙΑ ΤΟΥ ΣΩΤΗΡΟΣ.

[312] Α'. Χριστὸς γεννᾶται, δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. «Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ»[1]· καί, ἵν' ἀμφότερα συνελὼν εἴπω, «Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ»[2], διὰ τὸν ἐπουράνιον, εἶτα ἐπί**[313]**γειον. Χριστὸς ἐν σαρκί, τρόμῳ καὶ χαρᾷ ἀγαλλιᾶσθε· τρόμῳ, διὰ τὴν ἁμαρτίαν· χαρᾷ, διὰ τὴν ἐλπίδα. Χριστὸς ἐκ Παρθένου· γυναῖκες παρθενεύετε, ἵνα Χριστοῦ γένησθε μητέρες. Τίς οὐ προσκυνεῖ τὸν ἀπ' ἀρχῆς; τίς οὐ δοξάζει τὸν τελευταῖον;

Β'. Πάλιν τὸ σκότος λύεται, πάλιν τὸ φῶς ὑφίσταται, πάλιν Αἴγυπτος σκότῳ κολάζεται[3], πάλιν Ἰσραὴλ στύλῳ φωτίζεται[4]. «Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει»[5] τῆς ἀγνοίας, ἰδέτω φῶς μέγα τῆς ἐπιγνώσεως. «Τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά»[6]. Τὸ γράμμα ὑποχωρεῖ, τὸ πνεῦμα πλεονεκτεῖ, αἱ σκιαὶ παρατρέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται. Ὁ Μελχισεδὲκ συνάγεται· ὁ ἀμήτωρ, ἀπάτωρ γίνεται· ἀμήτωρ τὸ πρότερον, ἀπάτωρ τὸ δεύτερον[7]. Νόμοι φύσεως καταλύονται. Πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον. Χριστὸς κελεύει· μὴ ἀντιτείνωμεν. «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας»[8], ὅτι «παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν», οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ (τῷ γὰρ σταυρῷ συνεπαίρεται), καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, «μεγάλης βουλῆς»[9], τῆς τοῦ Πατρός, Ἄγγελος. Ἰωάννης βοάτω· «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου»[10]. Κἀγὼ βοήσομαι τῆς ἡμέρας τὴν δύναμιν· Ὁ ἄσαρκος σαρκοῦται, ὁ Λόγος παχύνεται, ὁ ἀόρατος ὁρᾶται, ὁ ἀναφὴς ψηλαφᾶται, ὁ ἄχρονος ἄρχεται, ὁ Υἱὸς τοῦ Θεοῦ Υἱὸς ἀνθρώπου γίνεται, «Ἰησοῦς Χριστός, χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας»[11]. Ἰουδαῖοι σκανδαλιζέσθωσαν, Ἕλληνες διαγελάτωσαν, αἱρετικοὶ γλωσσαλγείτωσαν. Τότε πιστεύσουσιν, ὅταν ἴδωσιν εἰς οὐρανὸν ἀνερχόμενον· εἰ δὲ μὴ τότε, ἀλλ' ὅταν ἐξ οὐρανῶν ἐρχόμενον καὶ ὡς κριτὴν καθεζόμενον.

Γ'. Ταῦτα μὲν ὕστερον. Τὰ δὲ νῦν Θεοφάνια, ἡ πανήγυρις, εἴτουν Γενέθλια· λέγεται γὰρ ἀμφότερα, δύο κειμένων προσηγοριῶν ἑνὶ πράγματι. Ἐφάνη γὰρ Θεὸς ἀνθρώποις διὰ γεννήσεως· τὸ μὲν ὢν καὶ ἀεὶ ὢν ἐκ τοῦ ἀεὶ ὄντος, ὑπὲρ αἰτίαν καὶ λόγον (οὐδὲ γὰρ ἦν τοῦ Λόγου λόγος ἀνώτερος)· τὸ δὲ, δι' ἡμᾶς γενόμενος ὕστερον, ἵν' ὁ

---

1. Ψαλ. 95,1. 2. Ψαλ. 95,11. 3. Πρβλ. Ἐξ. 10,21. 4. Πρβλ. Ἐξ. 13,21. 5. Ἡσ. 9,2. 6. Β' Κορ. 5,17. 7. Πρβλ. Ἑβρ. 7,3. 8. Ψαλ. 46,2. 9. Ἡσ. 9,5. 10. Ματθ. 3,3. 11. Ἑβρ. 13,8.

τὸ εἶναι δοὺς καὶ τὸ εὖ εἶναι χαρίσηται· μᾶλλον δέ, ῥεύσαντας ἡμᾶς ἀπὸ τοῦ εὖ εἶναι διὰ κακίαν, πρὸς αὐτὸ πάλιν ἐπαναγάγῃ διὰ σαρκώσεως. Ὄνομα δέ, τῷ φανῆναι μέν, Θεοφάνια· τῷ δὲ γεννᾶσθαι, Γενέθλια.

[316] Δ′. Τοῦτό ἐστιν ἡμῖν ἡ πανήγυρις, τοῦτο ἑορτάζομεν σήμερον, ἐπιδημίαν Θεοῦ πρὸς ἀνθρώπους, ἵνα πρὸς Θεὸν ἐνδημήσωμεν ἢ ἐπανέλθωμεν (οὕτω γὰρ εἰπεῖν οἰκειότερον), ἵνα τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα[1]· καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζήσωμεν, Χριστῷ καὶ συγγεννώμενοι καὶ συσταυρούμενοι καὶ συνθαπτόμενοι καὶ συνανιστάμενοι. Δεῖ γάρ με παθεῖν τὴν καλὴν ἀντιστροφήν· καὶ ὥσπερ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρά, οὕτως ἐκ τῶν λυπηρῶν ἐπανελθεῖν τὰ χρηστότερα. «Οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις»[2]· καὶ εἰ ἡ γεῦσις κατέκρινε, πόσῳ μᾶλλον τὸ Χριστὸν παθεῖν ἐδικαίωσεν; Τοιγαροῦν ἑορτάζωμεν μὴ πανηγυρικῶς, ἀλλὰ θεϊκῶς· μὴ κοσμικῶς, ἀλλ' ὑπερκοσμίως· μὴ τὰ ἡμέτερα, ἀλλὰ τὰ τοῦ ἡμετέρου, μᾶλλον δὲ τὰ τοῦ Δεσπότου· μὴ τὰ τῆς ἀσθενείας, ἀλλὰ τὰ τῆς ἰατρείας· μὴ τὰ τῆς πλάσεως, ἀλλὰ τὰ τῆς ἀναπλάσεως.

Ε′. Ἔσται δὲ τοῦτο πῶς; Μὴ πρόθυρα στεφανώσωμεν, μὴ χορούς συστησώμεθα, μὴ κοσμήσωμεν ἀγυιάς, μὴ ὀφθαλμὸν ἑστιάσωμεν, μὴ ἀκοὴν καταυλήσωμεν, μὴ ὄσφρησιν ἐκθηλύνωμεν, μὴ γεῦσιν καταπορνεύσωμεν, μὴ ἁφῇ χαρισώμεθα ταῖς προχείροις εἰς κακίαν ὁδοῖς καὶ εἰσόδοις τῆς ἁμαρτίας, μὴ ἐσθῆτι μαλακισθῶμεν ἁπαλῇ τε καὶ περιρρεούσῃ καὶ ἧς τὸ κάλλιστον ἀχρηστία, μὴ λίθων διαυγείαις, μὴ χρυσοῦ περιλάμψεσι, μὴ χρωμάτων σοφίσμασι ψευδομένων τὸ φυσικὸν κάλλος καὶ κατὰ τῆς εἰκόνος ἐξευρημένων· μὴ κώμοις καὶ μέθαις, οἷς κοίτας καὶ ἀσελγείας[3] οἶδα συνεζευγμένας· ἐπειδὴ κακῶν διδασκάλων κακὰ τὰ μαθήματα, μᾶλλον δὲ πονηρῶν σπερμάτων πονηρὰ τὰ γεώργια. Μὴ στιβάδας ὑψηλὰς πηξώμεθα σκηνοποιοῦντες τῇ γαστρὶ τὰ τῆς θρύψεως. Μὴ τιμήσωμεν οἴνων τοὺς ἀνθοσμίας, ὀψοποιῶν μαγγανείας, μύρων πολυτελείας. Μὴ γῆ καὶ θάλασσα τὴν τιμίαν ἡμῖν κόπρον δωροφορείτωσαν· οὕτω γὰρ ἐγὼ τιμᾶν οἶδα τρυφήν. Μὴ ἄλλος ἄλλον ἀκρασίᾳ νικᾶν σπουδάζωμεν. Ἀκρασία γὰρ ἐμοὶ πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν· καὶ ταῦτα πεινώντων ἄλλων καὶ δεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος.

Ϛ′. Ἀλλὰ ταῦτα μὲν Ἕλλησι παρῶμεν καὶ ἑλληνικοῖς κόμποις καὶ πανηγύρεσιν· οἳ καὶ θεοὺς ὀνομάζουσι κνίσσαις χαίροντας καὶ ἀκολούθως τὸ θεῖον τῇ γαστρὶ θεραπεύουσι, πονηροὶ πονηρῶν δαιμόνων καὶ πλάσται καὶ μυσταγωγοὶ καὶ μύσται τυγχάνοντες. Ἡμεῖς δέ, οἷς Λόγος τὸ προσκυνούμενον, κἂν τι δέῃ τρυφᾶν, ἐν λόγῳ **[317]** τρυφήσωμεν καὶ θείῳ νόμῳ καὶ διηγήμασι, τοῖς τε ἄλλοις καὶ

1. Πρβλ. Ἐφ. 4,24. 2. Ρωμ. 5,20. 3. Ρωμ. 13,13.

ἐξ ὧν ἡ παροῦσα πανήγυρις· ἵν' οἰκεῖον ᾖ τὸ τρυφᾶν καὶ μὴ πόρρω τοῦ συγκαλέσαντος. Ἢ βούλεσθε (καὶ γὰρ ἐγὼ σήμερον ἑστιάτωρ ὑμῖν) ἐγὼ τὸν περὶ τούτων παραθῶ λόγον τοῖς καλοῖς ὑμῖν δαιτυμόσιν, ὡς οἷόν τε δαψιλῶς τε καὶ φιλοτίμως, ἵν' εἰδῆτε, πῶς δύναται τρέφειν ὁ ξένος τοὺς ἐγχωρίους καὶ τοὺς ἀστικοὺς ὁ ἀγροῖκος καὶ τοὺς τρυφῶντας ὁ μὴ τρυφῶν καὶ τοὺς περιουσίᾳ λαμπροὺς ὁ πένης τε καὶ ἀνέστιος; Ἄρξομαι δὲ ἐντεῦθεν· καί μοι καθήρασθε καὶ νοῦν καὶ ἀκοὴν καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα· ἐπειδὴ περὶ Θεοῦ καὶ θεῖος ὁ λόγος· ἵν' ἀπέλθητε τρυφήσαντες ὄντως τὰ μὴ κενούμενα. Ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος· ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον.

Ζ'. Θεὸς ἦν μὲν ἀεί, καὶ ἔστι καὶ ἔσται· μᾶλλον δὲ ἔστιν ἀεί. Τὸ γὰρ ἦν καὶ ἔσται, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα καὶ τῆς ῥευστῆς φύσεως· ὁ δὲ ὢν ἀεί, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει τῷ Μωυσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους[1]. Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον, οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπῖπτον ἔννοιαν, καὶ χρόνου καὶ φύσεως· νῷ μόνῳ σκιαγραφούμενος, καὶ τοῦτο λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτόν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, πρὶν κρατηθῆναι φεῦγον καὶ πρὶν νοηθῆναι διαδιδράσκον· τοσαῦτα περιλάμπον ἡμῶν τὸ ἡγεμονικὸν καὶ ταῦτα κεκαθαρμένον, ὅσα καὶ ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης. Ἐμοὶ δοκεῖν, ἵνα τῷ λῃπτῷ μὲν ἔλκῃ πρὸς ἑαυτὸ (τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον καὶ ἀνεπιχείρητον), τῷ δὲ ἀλήπτῳ θαυμάζηται, θαυμαζόμενον δὲ ποθῆται πλέον, ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται, τοιούτοις δὲ γενομένοις, ὡς οἰκείοις, ἤδη προσομιλῇ, τολμᾷ τι νεανικὸν ὁ λόγος, Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. Ἄπειρον οὖν τὸ θεῖον καὶ δυσθεώρητον· καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία· κἄν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι ἢ τελέως ληπτόν. Τί γὰρ ὃς ἁπλῆς ἐστι φύσεως, ἐπιζητήσωμεν. Οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλό**[320]**της· εἴπερ μηδὲ τοῖς συνθέτοις, μόνον τὸ εἶναι συνθέτοις.

Η'. Διχῇ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα καὶ μὴ ἐν τούτοις, ἄπειρον), ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ Θεοῦ φαντασίαις, τὸ ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν· ὅταν δὲ εἰς τὰ κάτω καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον· ὅταν δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. Αἰὼν γάρ, οὔτε χρόνος, οὔτε χρόνου τι μέρος· οὐδὲ γὰρ μετρητόν· ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος,

---

1. Πρβλ. Ἐξ. 3,14.

ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀιδίοις αἰών, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. Ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω τανῦν. Οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρός, ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ' οἰκονομία. Θεοῦ δὲ ὅταν εἴπω, λέγω Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος· οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν· οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακριθῶμεν ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες ἢ διὰ τὴν ἀφθονίαν Ἑλληνίζοντες. Τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται. Οὕτω μὲν οὖν τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς σεραφὶμ συγκαλύπτεται καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς[1], εἰς μίαν συνιοῦσι κυριότητα καὶ θεότητα· ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα.

Θ′. Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα (τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος), πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· καὶ τὸ ἐννόημα ἔργον ἦν, Λόγῳ συμπληρούμενον καὶ Πνεύματι τελειούμενον. Καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος· εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην, ὅτι ἐγγυτάτω τῶν εἰρημένων, ταύτας ὑπο[321]ληπτέον. Βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακὸν καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας καὶ τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας· τὰ γὰρ ἐνταῦθα, δευτέρας ἐλλάμψεως. Πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους καὶ ὑπολαμβάνειν ταύτας καὶ λέγειν ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος, αἵ τε ὑπ' αὐτὸν ἀποστατικαὶ δυνάμεις, δημιουργοὶ τῆς κακίας, τῇ τοῦ καλοῦ φυγῇ καὶ ἡμῖν πρόξενοι.

Ι′. Οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ καὶ διὰ ταῦτα ὑπέστη κόσμος, ὡς ἐμὲ γοῦν περὶ τούτων φιλοσοφῆσαι, μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. Ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμων ὑλικὸν καὶ ὁρώμενον· καὶ οὗτός ἐστι τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα, ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δέ τῆς ἐξ ἁπάντων εὐαρμοστίας καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς κόσμου συμπλήρωσιν· ἵνα δείξῃ μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντη ξένην ὑποστήσασθαι δυνατὸς ὤν. Οἰκεῖον μὲν γὰρ θεότητος αἱ νοεραὶ φύσεις καὶ νῷ μόνῳ λητπταί· ξένον δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴσθησιν καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι. Ἀλλὰ τί τούτων ἡμῖν,

1. Πρβλ. Ἡσ. 6,2 ἑξ.

τάχα ἂν εἴποι τις τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων; Κέντει τὸν πῶλον περὶ τὴν νύσσαν. Τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει καὶ οἷς προκαθεζόμεθα σήμερον. Τοῦτο δὴ καὶ ποιήσω καὶ εἰ μικρὸν ἄνωθεν ἠρξάμην, οὕτω τοῦ πόθου καὶ τοῦ λόγου βιασαμένων.

ΙΑ′. Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, οὕτως ἀπ᾽ ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν καὶ τὸ τοῦ δημιουργοῦ Λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες. Οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μῖξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας· οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος καὶ ζῷον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ᾽ ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς (ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος), **[324]** οἷόν τινα κόσμον δεύτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος· τὸν αὐτὸν πνεῦμα καὶ σάρκα· πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν· τὸ μέν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην· τὸ δέ, ἵνα πάσχῃ καὶ πάσχων ὑπομιμνήσκηται καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος· ζῷον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς Θεὸν νεύσει θεούμενον. Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσοντος καὶ αὖθις συνδήσοντος ὑψηλότερον.

ΙΒ′. Τοῦτον ἔθετο μὲν ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν᾽ ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα, φυτῶν ἀθανάτων γεωργόν, θείων ἐννοιῶν ἴσως, τῶν τε ἁπλουστέρων καὶ τῶν τελεωτέρων, γυμνὸν τῇ ἁπλότητι καὶ ζωῇ τῇ ἀτέχνῳ καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος. Τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ᾽ ἀρχῆς. Καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ. Ὁ δὲ νόμος ἦν ἐντολή, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν καὶ οὗ μὴ προσαπτέον. Τὸ δὲ ἦν τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ᾽ ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς (μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν)· ἀλλὰ καλὸν μὲν εὐκαίρως μεταλαμβανόμενον (θεωρία γὰρ ἦν τὸ φυτόν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς τοῖς τὴν ἕξιν τελεωτέροις), οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι καὶ τὴν ἔφεσιν λιχνοτέροις, ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος. Ἐπεὶ δὲ φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ, ἣν τε ἔπαθεν ὡς ἁπαλωτέρα καὶ ἣν

προσήγαγεν ὡς πιθανωτέρα (φεῦ τῆς ἐμῆς ἀσθενείας! ἐμὴ γὰρ ἡ τοῦ προπάτορος), τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης καὶ ἡττήθη τῆς πικρᾶς γεύσεως· ὁμοῦ δὲ τοῦ τῆς ζωῆς ξύλου καὶ τοῦ παραδείσου καὶ τοῦ Θεοῦ, διὰ τὴν κακίαν ἐξόριστος γίνεται καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντίτυπον· καὶ τοῦτο πρῶτον γινώσκει τὴν ἰδίαν αἰσχύνην καὶ ἀπὸ Θεοῦ κρύπτεται. Κερδαίνει μέν τι κἀνταῦθα· τὸν θάνατον καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν· καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. Οὕτω γὰρ ἐγὼ πείθομαι κολάζειν Θεόν.

[325] ΙΓ′. Πολλοῖς δὲ παιδευθεὶς πρότερον, ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν ἀνελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν. Τέλος ἰσχυροτέρου δεῖται φαρμάκου ἐπὶ δεινοτέροις τοῖς ἀρρωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀνδρομανίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον, εἰδωλολατρίαις καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. Ταῦτα ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. Τὸ δὲ ἦν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου κάλλους, ἡ μὴ κινουμένη σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ Πατρὸς ὅρος καὶ λόγος· ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων. Καὶ πάντα γίνεται, πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος[1]· κυηθεὶς μὲν ἐκ τῆς Παρθένου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ Πνεύματι (ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι καὶ παρθενίαν προτιμηθῆναι)· προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ Πνεύματος· ὧν, τὸ μὲν ἐθέωσε, τό δὲ ἐθεώθη. Ὢ τῆς καινῆς μίξεως! ὢ τῆς παραδόξου κράσεως! ὁ ὢν γίνεται καὶ ὁ ἄκτιστος κτίζεται καὶ ὁ ἀχώρητος χωρεῖται, διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι. Καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. Καὶ ὁ πλήρης, κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρόν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. Τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; Τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; Μετέλαβον τῆς εἰκόνος καὶ οὐκ ἐφύλαξα· μεταλαμβάνει τῆς ἐμῆς σαρκός, ἵνα καὶ τὴν εἰκόνα σώσῃ καὶ τὴν σάρκα ἀθανατίσῃ. Δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας

---

1. Πρβλ. Ἑβρ. 4,15.

παραδοξοτέραν· ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. Τοῦτο τοῦ προτέρου θεοειδέστερον· τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον.

[328] ΙΔ'. Πρὸς ταῦτα τί φασιν ἡμῖν οἱ συκοφάνται, οἱ πικροὶ τῆς θεότητος λογισταί, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ Πονηροῦ πλάσματα; Τοῦτο ἐγκαλεῖς Θεῷ, τὴν εὐεργεσίαν; Διὰ τοῦτο μικρός, ὅτι διὰ σὲ ταπεινός; Ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων[1], ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνούς, ἐφ' ὧν ἐθυσίαζες καὶ πλανώμενον εὗρε· καὶ εὑρών, ἐπὶ τῶν ὤμων ἀνέλαβεν[2], ἐφ' ὧν καὶ τὸ ξύλον· καὶ λαβών, ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωήν· καὶ ἀναγαγών, τοῖς μένουσι συνηρίθμησεν; Ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα καὶ τὴν οἰκίαν ἐσάρωσε, τῆς ἁμαρτίας τὸν κόσμον ἀποκαθαίρων καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆς εὑρέσει καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύστιδας πεποίητο; Ὅτι τῷ προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον, καὶ τῇ φωνῇ ὁ Λόγος καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι Κυρίῳ λαὸν περιούσιον καὶ προκαθαίροντι ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ ὕδατος; Ταῦτα ἐγκαλεῖς τῷ Θεῷ; Διὰ ταῦτα ὑπολαμβάνεις χείρονα, ὅτι λεντίῳ διαζώννυται καὶ νίπτει τοὺς πόδας τῶν μαθητῶν[3] καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως, τὴν ταπείνωσιν; Ὅτι διὰ τὴν συγκύπτουσαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ συνανυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; Ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς, ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει καὶ παρὰ τελώναις καὶ μαθητεύει τελώνας[4], ἵνα καὶ αὐτός τι κερδάνῃ; Τί τοῦτο; Τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν· εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγίειαν τοῖς κάμνουσι· καὶ τόν ἐπικλινόμενον βόθρῳ διά φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος[5], κατὰ τὸν νόμον, ἀνασώσηται.

ΙΕ'. Ἀπεστάλη μέν, ἀλλ' ὡς ἄνθρωπος· διπλοῦς γὰρ ἦν· ἐπεὶ καὶ ἐκοπίασε καὶ ἐπείνησε καὶ ἐδίψησε καὶ ἠγωνίασε καὶ ἐδάκρυσε νόμῳ σώματος· εἰ δὲ καὶ ὡς Θεός, τί τοῦτο; Τὴν εὐδοκίαν τοῦ Πατρός, ἀποστολὴν εἶναι νόμισον, ἐφ' ὃν ἀναφέρει τὰ ἑαυτοῦ καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. Ἐπεὶ καὶ παραδεδόσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται· καὶ ἐγηγέρθαι παρὰ τοῦ Πατρὸς καὶ ἀνειλῆφθαι, ἀλλὰ καὶ ἑαυτὸν ἀνεστακέναι καὶ ἀνεληλυθέναι πάλιν· ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. Σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ **[329]** ὑψοῦντα δὲ

---

1. Πρβλ. Ἰω. 10,11. 2. Πρβλ. Λουκ. 15,4 ἑξ. 3. Πρβλ. Ἰω. 13,4-5. 4. Πρβλ. Λουκ. 5,27 ἑξ. 5. Πρβλ. Δευτ. 22,4.

παρατρέχεις· καὶ ὅτι μὲν ἔπαθε, λογίζῃ· ὅτι δὲ ἐκών, οὐ προστίθης. Οἷα πάσχει καὶ νῦν ὁ Λόγος! Ὑπὸ μὲν τῶν, ὡς Θεός, τιμᾶται καὶ συναλείφεται· ὑπὸ δὲ τῶν, ὡς σάρξ, ἀτιμάζεται καὶ χωρίζεται. Τίσιν ὀργισθῇ πλέον; Μᾶλλον δὲ τίσιν ἀφῇ; Τοῖς συναιροῦσι κακῶς ἢ τοῖς τέμνουσι; Καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει καὶ τούτους συνάπτειν· τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. Προσκόπτεις τῇ σαρκί; Τοῦτο καὶ Ἰουδαῖοι. Ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς[1]; καὶ τὸ ἑξῆς σιωπήσομαι. Ἀπιστεῖς τῇ θεότητι; Τοῦτο οὐδὲ οἱ δαίμονες. Ὦ δαιμόνων ἀπιστότερε καὶ Ἰουδαίων ἀγνωμοτέστερε! Ἐκεῖνοι τὴν τοῦ Υἱοῦ προσηγορίαν, ὁμοτιμίας φωνὴν ἐνόμισαν· οὗτοι τὸν ἐλαύνοντα Θεὸν ᾔδεσαν. Ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον. Σὺ δὲ οὐδὲ τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα. Κρεῖττον ἦν σοι περιτετμῆσθαι καὶ δαιμονᾶν, ἵν' εἴπω τι καὶ γελοίως, ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονηρῶς καὶ ἀθέως.

ΙΣ′. Μικρὸν μὲν οὖν ὕστερον ὄψει καὶ καθαιρόμενον Ἰησοῦν ἐν τῷ Ἰορδάνῃ τὴν ἐμὴν κάθαρσιν[2]· μᾶλλον δὲ ἁγνίζοντα τῇ καθάρσει τὰ ὕδατα (οὐ γὰρ δὴ αὐτὸς ἐδεῖτο καθάρσεως, «ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[3]) καὶ σχιζομένους τοὺς οὐρανοὺς καὶ ὑπὸ τοῦ συγγενοῦς Πνεύματος μαρτυρούμενον, καὶ πειραζόμενον καὶ νικῶντα καὶ ὑπὸ ἀγγέλων ὑπηρετούμενον καὶ θεραπεύοντα πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ ζωοποιοῦντα νεκροὺς (ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον) καὶ δαίμονας ἀπελαύνοντα, τὰ μὲν δι' ἑαυτοῦ, τὰ δὲ διὰ τῶν μαθητῶν, καὶ ἄρτοις ὀλίγοις τρέφοντα μυριάδας καὶ πεζεύοντα πέλαγος καὶ προδιδόμενον καὶ σταυρούμενον καὶ συσταυροῦντα τὴν ἐμὴν ἁμαρτίαν· ὡς ἀμνὸν προσαγόμενον καὶ ὡς ἱερέα προσάγοντα, ὡς ἄνθρωπον θαπτόμενον καὶ ὡς Θεὸν ἐγειρόμενον, εἶτα καὶ ἀνερχόμενον καὶ ἥξοντα μετὰ τῆς ἑαυτοῦ δόξης. Πόσαι μοι πανηγύρεις καθ' ἕκαστον τῶν τοῦ Χριστοῦ μυστηρίων! Ὧν ἁπάντων κεφάλαιον ἕν, ἡ ἐμὴ τελείωσις καὶ ἀνάπλασις καὶ πρὸς τὸν πρῶτον Ἀδὰμ ἐπάνοδος.

ΙΖ′. Νυνὶ δέ μοι δέξαι τὴν κύησιν καὶ προσκίρτησον· εἰ καὶ μὴ ὡς Ἰωάννης ἀπὸ γαστρός, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ[4]. Καὶ τὴν ἀπογραφὴν αἰδέσθητι, δι' ἣν εἰς οὐρανοὺς ἐγράφης· καὶ τὴν γέννησιν σεβάσθητι, δι' ἣν ἐλύθης τῶν δεσμῶν τῆς γεννήσεως· καὶ τὴν Βηθ**[332]**θλεὲμ τίμησον τὴν μικράν, ἥ σε πρὸς τὸν παράδεισον ἐπανήγαγε· καὶ τὴν φάτνην προσκύνησον, δι' ἣν ἄλογος ὢν, ἐτράφης ὑπὸ τοῦ Λόγου. Γνῶθι, ὡς βοῦς, τὸν κτησάμενον, Ἡσαΐας διακελεύεταί σοι καί, ὡς «ὄνος, τὴν φάτνην τοῦ κυρίου αὐτοῦ»[5]· εἴτε τῶν καθαρῶν τις εἶ καὶ ὑπὸ τὸν νόμον καὶ μηρυκισμὸν ἀναγόντων τοῦ λόγου καὶ πρὸς θυσίαν ἐπιτηδείων· εἴτε

---

1. Πρβλ. Ἰω. 8,48. 2. Πρβλ. Ματθ. 3,13. 3. Ἰω. 1,29. 4. Πρβλ. Β′ Βασ. 6,14. 5. Ἡσ. 1,3.

τῶν ἀκαθάρτων τέως καὶ ἀβρώτων καὶ ἀθύτων καὶ τῆς ἐθνικῆς μερίδος. Μετὰ τοῦ ἀστέρος δράμε καὶ μετὰ Μάγων δωροφόρησον, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, ὡς βασιλεῖ καὶ ὡς Θεῷ καὶ ὡς διὰ σὲ νεκρῷ. Μετὰ ποιμένων δόξασον, μετὰ ἀγγέλων ὕμνησον, μετὰ ἀρχαγγέλων χόρευσον. Ἔστω κοινὴ πανήγυρις οὐρανίων καὶ ἐπιγείων δυνάμεων. Πείθομαι γὰρ κἀκείνας συναγάλλεσθαι καὶ συμπανηγυρίζειν σήμερον· εἴπερ εἰσὶ φιλάνθρωποι καὶ φιλόθεοι, ὥσπερ ἂς Δαβὶδ εἰσάγει μετὰ τὸ πάθος συνανιούσας Χριστῷ καὶ προσυπαντώσας καὶ διακελευομένας ἀλλήλαις τὴν τῶν πυλῶν ἔπαρσιν[1].

ΙΗ'. Ἓν μίσησον τῶν περὶ τὴν Χριστοῦ γένναν, τὴν Ἡρώδου παιδοκτονίαν· μᾶλλον δὲ καὶ ταύτην αἰδέσθητι, τὴν ἡλικιῶτιν Χριστοῦ θυσίαν, τοῦ καινοῦ σφαγίου προθυομένην. Ἂν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι. Καλὸν τῷ Χριστῷ συμφεύγειν διωκομένῳ. Ἂν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτὸν ἐξ Αἰγύπτου, καλῶς ἐκεῖ προσκυνούμενον. Διὰ πασῶν ὅδευσον ἀμέμπτως τῶν ἡλικιῶν Χριστοῦ καὶ δυνάμεων, ὡς Χριστοῦ μαθητής. Ἁγνίσθητι, περιτμήθητι, περιελοῦ τὸ ἀπὸ γενέσεως κάλυμμα. Μετὰ τοῦτο δίδαξον ἐν τῷ ἱερῷ, τοὺς θεοκαπήλους ἀπέλασον· λιθάσθητι, ἂν τοῦτο δέῃ παθεῖν· λήσῃ τοὺς βάλλοντας, εὖ οἶδα, φεύξῃ καὶ διὰ μέσου αὐτῶν, ὡς Θεός. Ὁ Λόγος γὰρ οὐ λιθάζεται. Ἂν Ἡρώδῃ προσαχθῇς, μηδὲ ἀποκριθῇς τὰ πλείω. Αἰδεσθήσεταί σου καὶ τὴν σιωπὴν πλέον ἢ ἄλλων τοὺς μακροὺς λόγους. Ἂν φραγελλωθῇς, καὶ τὰ λειπόμενα ζήτησον. Γεῦσαι χολῆς, διὰ τὴν γεῦσιν· ὄξος ποτίσθητι, ζήτησον ἐμπτύσματα, δέξαι ῥαπίσματα, κολαφίσματα· ἀκάνθαις στεφανώθητι, τῷ τραχεῖ τοῦ κατὰ Θεὸν βίου· περιβαλοῦ τὸ κόκκινον, δέξαι κάλαμον, προσκυνήθητι παρὰ τῶν παιζόντων τὴν ἀλήθειαν· τέλος συσταυρώθητι, συν**[333]**νεκρώθητι, συντάφηθι προθύμως, ἵνα καὶ συναναστῇς καὶ συνδοξασθῇς καὶ συμβασιλεύσῃς, Θεὸν ὁρῶν ὅσον ἐστὶ καὶ ὁρώμενος, τὸν ἐν Τριάδι προσκυνούμενόν τε καὶ δοξαζόμενον, ὃν καὶ νῦν τρανοῦσθαι ἡμῖν εὐχόμεθα, ὅσον ἐφικτὸν τοῖς δεσμίοις τῆς σαρκός, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1. Πρβλ. Ψαλ. 23,7,9.

ΛΟΓΟΣ ΛΘ΄

ΕΙΣ ΤΑ ΑΓΙΑ ΦΩΤΑ

[336] Α΄. Πάλιν Ἰησοῦς ὁ ἐμὸς καὶ πάλιν μυστήριον· μυστήριον οὐκ ἀπατηλόν, οὐδ' ἄκοσμον, οὐδὲ τῆς ἑλληνικῆς πλάνης καὶ μέθης (οὕτω γὰρ ἐγὼ καλῶ τὰ ἐκείνων σεμνά, οἶμαι δὲ καὶ τῶν εὖ φρονούντων ἕκαστος), ἀλλὰ μυστήριον ὑψηλόν τε καὶ θεῖον καὶ τῆς ἄνω λαμπρότητος πρόξενον. Ἡ γὰρ ἁγία τῶν Φώτων ἡμέρα, εἰς ἣν ἀφίγμεθα καὶ ἣν ἑορτάζειν ἠξιώμεθα σήμερον, ἀρχὴν μὲν τὸ τοῦ ἐμοῦ Χριστοῦ βάπτισμα λαμβάνει, τοῦ ἀληθινοῦ φωτός, τοῦ φωτίζοντος «πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον»[1]· ἐνεργεῖ δὲ τὴν ἐμὴν κάθαρσιν καὶ βοηθεῖ τῷ φωτί, ὃ παρ' αὐτοῦ λαβόντες ἄνωθεν ἀπ' ἀρχῆς, ἐκ τῆς ἁμαρτίας ἐζοφώσαμέν τε καὶ συνεχέαμεν.

Β΄. Τοιγαροῦν ἀκούσατε θείας φωνῆς, ἐμοὶ μὲν καὶ λίαν σφοδρῶς ἐνηχούσης, τῷ μύστῃ καὶ μυσταγωγῷ τῶν τοιούτων, εἴη δὲ καὶ ὑμῖν· «Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου»[2]. Καὶ διὰ τοῦτο, «Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ»[3], τῷ ἀληθινῷ φωτὶ σημειούμενα. Καιρὸς ἀναγεννήσεως· γεννηθῶμεν ἄνωθεν. Καιρὸς ἀναπλάσεως· τὸν πρῶτον Ἀδὰμ ἀναλάβωμεν. Μὴ μείνωμεν ὅπερ ἐσμέν, ἀλλ' ὅπερ ἦμεν γενώμεθα. «Τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει»[4], τῷ βίῳ τούτῳ καὶ τῷ σαρκίῳ· καὶ ὑπὸ τῆς σκοτίας διώκεται μέν, οὐ καταλαμβάνεται δέ, τῆς ἀντικειμένης λέγω δυνάμεως, τῷ φαινομένῳ μὲν Ἀδὰμ προσπηδώσης ἐξ ἀναιδείας, τῷ Θεῷ δὲ περιπιπτούσης καὶ ἡττωμένης· ἵν' ἡμεῖς τὸ σκότος ἀποθέμενοι, τῷ φωτὶ πλησιάζωμεν, εἶτα καὶ φῶς γενώμεθα τέλειον, τελείου φωτὸς γεννήματα. Ὁρᾶτε τῆς ἡμέρας τὴν χάριν; ὁρᾶτε τοῦ μυστηρίου τὴν δύναμιν; οὐκ ἀπὸ γῆς ἤρθητε; οὐκ ἄνω τέθεισθε σαφῶς ὑψωθέντες ὑπὸ τῆς ἡμετέρας φωνῆς καὶ ἀναγωγῆς; Καὶ ἔτι μᾶλλον τεθήσεσθε, ἐπειδὰν εὐοδώσῃ τὸν λόγον ὁ Λόγος.

Γ΄. Μή τις τοιαύτη κάθαρσις νομικὴ καὶ σκιώδης, προσκαίροις ῥαντίσμασιν ὠφελοῦσα καὶ σποδῷ δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους; μή τι τοιοῦτο μυσταγωγοῦσιν Ἕλληνες; ὧν λῆρος ἐμοὶ πᾶσα τελετὴ καὶ μυστήριον, δαιμόνων εὕρημα σκοτεινόν, **[337]** καὶ διανοίας ἀνάπλασμα κακοδαίμονος, χρόνῳ βοηθούμενον καὶ μύθῳ κλεπτόμενον. Ἃ γὰρ ὡς ἀληθῆ προσκυνοῦσιν, ὡς μυθικὰ συγκαλύπτουσιν· δέον, εἰ μὲν ἀληθῆ, μὴ μύθους ὀνομάζεσθαι, ἀλλ' ὅτι μὴ αἰσχρὰ δείκνυσθαι· εἰ δὲ ψευδῆ, μὴ θαυμάζεσθαι, μηδ' οὕτως ἰταμῶς ἐναντιωτάτας ἔχειν δόξας περὶ τοῦ αὐτοῦ πράγματος· ὥσπερ ἐν

---

1. Ἰω. 1,9. 2. Ἰω. 8,12. 3. Ψαλ. 33,6. 4. Ἰω. 1,5.

ἀγορᾷ μειρακίων παίζοντας ἢ ἀνδρῶν κακοδαιμόνων ὡς ἀληθῶς, ἀλλ' οὐκ ἀνδράσι διαλεγομένους νοῦν ἔχουσι καὶ Λόγου προσκυνηταῖς· κἂν τὴν ἔντεχνον ταύτην καὶ ῥυπαρὰν πιθανότητα διαπτύωσιν.

Δ'. Οὐ Διὸς ταῦτα γοναὶ καὶ κλοπαί, τοῦ Κρητῶν τυράννου, κἂν Ἕλληνες ἀπαρέσκωνται· οὐδὲ Κουρήτων ἦχοι καὶ κρότοι καὶ ὀρχήσεις ἔνοπλοι, Θεοῦ κλαίοντος ἠχὴν συγκαλύπτουσαι, ἵνα πατέρα λάθῃ μισότεκνον· δεινὸν γὰρ ἦν ὡς παιδίον κλαυθμυρίζεσθαι τὸν ὡς λίθον καταποθέντα· οὐδὲ Φρυγῶν ἐκτομαὶ καὶ αὐλοὶ καὶ Κορύβαντες καὶ ὅσα περὶ τὴν Ῥέαν ἄνθρωποι μαίνονται, τελοῦντες τῇ μητρὶ τῶν Θεῶν καὶ τελούμενοι ὅσα τῇ μητρὶ τῶν τοιούτων εἰκός· οὐδὲ κόρη τις ἡμῖν ἁρπάζεται καὶ Δημήτηρ πλανᾶται καὶ Κελεούς τινας ἐπεισάγει καὶ Τριπτολέμους καὶ δράκοντας, καὶ τὰ μὲν ποιεῖ, τὰ δὲ πάσχει. Αἰσχύνομαι γὰρ ἡμέρᾳ δοῦναι τὴν νυκτὸς τελετὴν καὶ ποιεῖν τὴν ἀσχημοσύνην μυστήριον. Οἶδεν Ἐλευσὶς ταῦτα καὶ οἱ τῶν σιωπωμένων καὶ σιωπῆς ὄντως ἀξίων ἐπόπται. Οὐδὲ Διόνυσος ταῦτα καὶ μηρός, ὠδίνων ἀτελὲς κύημα, ὥσπερ ἄλλο τι κεφαλὴ πρότερον· καὶ Θεὸς ἀνδρόγυνος καὶ χορὸς μεθυόντων καὶ στρατὸς ἔκλυτος καὶ Θηβαίων ἄνοια τοῦτον τιμῶσα καὶ Σεμέλης κεραυνὸς προσκυνούμενος. Οὐδὲ Ἀφροδίτης πορνικὰ μυστήρια, τῆς αἰσχρῶς, ὡς αὐτοὶ λέγουσι καὶ γενωμένης καὶ τιμωμένης. Οὐδὲ Φαλλοί τινες καὶ Ἰθύφαλλοι, αἰσχροὶ καὶ τοῖς σχήμασι καὶ τοῖς πράγμασιν· οὐδὲ Ταύρων ξενοκτονίαι καὶ Λακωνικῶν ἐφήβων ἐπιβώμιον αἷμα, **[340]** ξαινομένων ταῖς μάστιξι καὶ τοῦτο μόνον κακῶς ἀνδριζομένων, οἷς τιμᾶται θεὰ καὶ ταῦτα παρθένος. Οἱ γὰρ αὐτοὶ καὶ μαλακίαν ἐτίμησαν καὶ θρασύτητα ἐσεβάσθησαν.

Ε'. Ποῦ δὲ θήσεις τὴν Πέλοπος κρεουργίαν, πεινῶντας θεοὺς ἑστιῶσαν καὶ φιλοξενίαν πικρὰν καὶ ἀπάνθρωπον; ποῦ δὲ Ἑκάτης τὰ φοβερὰ καὶ σκοτεινὰ φάσματα καὶ Τροφωνίου κατὰ γῆς παίγνια καὶ μαντεύματα, ἢ Δωδωναίας δρυὸς ληρήματα ἢ τρίποδος Δελφικοῦ σοφίσματα ἢ Κασταλίας μαντικὸν πόμα; Τοῦτο μόνον οὐ μαντευσάμενα, τὴν ἑαυτῶν σιωπήν. Οὐδὲ Μάγων θυτικὴ καὶ πρόγνωσις ἔντομος· καὶ Χαλδαίων ἀστρονομία καὶ γενεθλιαλογία, τῇ τῶν οὐρανίων κινήσει συμφέρουσα τὰ ἡμέτερα, τῶν μηδὲ ἑαυτοὺς ὅ τι ποτέ εἰσιν ἢ ἔσονται, γνῶναι δυναμένων· οὐδὲ Θρᾳκῶν ὄργια ταῦτα, παρ' ὧν καὶ τὸ θρησκεύειν, ὡς λόγος· οὐδὲ Ὀρφέως τελεταὶ καὶ μυστήρια, ὃν τοσοῦτον Ἕλληνες ἐπὶ σοφίᾳ ἐθαύμασαν, ὥστε καὶ λύραν αὐτῷ ποιοῦσι, πάντα τοῖς κρούμασιν ἕλκουσαν· οὐδὲ Μίθρου κόλασις ἔνδικος, κατὰ τῶν μυεῖσθαι τὰ τοιαῦτα ἀνεχομένων· οὐδὲ Ὀσίριδος σπαραγμοί, ἄλλη συμφορὰ τιμωμένη παρ' Αἰγυπτίοις· οὐδὲ Ἴσιδος ἀτυχήματα καὶ τράγοι Μενδησίων αἰδεσιμώτεροι καὶ Ἄπιδος φάτνη, μόσχου κατατρυφῶντος τῆς Μεμφιτῶν εὐηθείας· οὐδ' ὅσα τὸν Νεῖλον ταῖς τιμαῖς καθυβρίζουσι, τὸν καρποδότην, ὡς ἀνυμνοῦσιν αὐτοί, καὶ μετροῦντα τὴν εὐδαιμονίαν τοῖς πήχεσιν.

Ϛ′. Ἐῶ γὰρ λέγειν ἑρπετῶν καὶ κνωδάλων τιμὰς καὶ τὸ τῆς ἀσχημοσύνης φιλότιμον· ὧν καθ' ἕκαστον ἰδία τις τελετὴ καὶ πανήγυρις καὶ κοινὸν τὸ τῆς **[341]** κακοδαιμονίας ἐφ' ἅπασιν· ὡς εἴπερ ἀσεβεῖν αὐτοὺς ἔδει πάντως καὶ τῆς τοῦ Θεοῦ δόξης ἀποπεσεῖν, εἰς εἴδωλα κατενεχθέντας καὶ τέχνης ἔργα καὶ χειρῶν πλάσματα, μὴ ἂν ἄλλο τι κατ' αὐτῶν εὔξασθαι τοὺς γε νοῦν ἔχοντας ἢ τοιαῦτα σεβασθῆναι καὶ οὕτω τιμῆσαι, ἵνα τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης, ὥς φησι Παῦλος[1], ἀπολαμβάνωσιν, ἐν οἷς σέβονται· οὐ μᾶλλον τιμῶντες ἢ δι' ἐκείνων ἀτιμαζόμενοι. Βδελυκτοὶ τῆς πλάνης, βδελυκτότεροι τῆς εὐτελείας τῶν προσκυνουμένων καὶ σεβομένων, ἵνα καὶ αὐτῶν τῶν τιμωμένων ὦσιν ἀναισθητότεροι, τοσοῦτον ὑπερβάλλοντες ἀνοίᾳ, ὅσον εὐτελείᾳ τὰ προσκυνούμενα.

Ζ′. Ταῦτα μὲν οὖν παιζέτωσαν Ἑλλήνων παῖδες καὶ δαίμονες, παρ' ὧν ἐκείνοις ἡ ἄνοια, τὴν τοῦ Θεοῦ τιμὴν εἰς ἑαυτοὺς μεθελκόντων καὶ ἄλλους ἄλλως κατατεμνόντων εἰς αἰσχρὰς δόξας καὶ φαντασίας, ἀφ' οὗ τοῦ ξύλου τῆς ζωῆς ἐκβαλόντες ἡμᾶς, τῷ ξύλῳ τῆς γνώσεως οὐ κατὰ καιρόν, οὐδ' ἐπιτηδείως μεταληφθείσης, ὡς ἀσθενεστέρους ἤδη κατέδραμον, τὸν ἡγεμόνα νοῦν συναρπάσαντες καὶ τοῖς πάθεσι θύραν ἀνοίξαντες. Οὐ γὰρ ἔφερον, φύσις ὄντες φθονερὰ καὶ μισάνθρωπος, μᾶλλον δὲ διὰ τὴν ἑαυτῶν κακίαν γενόμενοι, τοὺς κάτω τῶν ἄνω τυχεῖν, αὐτοὶ πεσόντες ἐπὶ γῆς ἄνωθεν, οὐδὲ τοσαύτην μετάστασιν γενέσθαι τῆς δόξης καὶ τῶν πρώτων φύσεων. Τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος· διὰ τοῦτο ἡ εἰκὼν τοῦ Θεοῦ καθυβρίσθη· καὶ καθὼς οὐκ ἐδοκιμάσαμεν φυλάξαι τὴν ἐντολήν, παρεδόθημεν τῇ αὐτονομίᾳ τῆς πλάνης· καὶ καθὼς ἐπλανήθημεν, ἠτιμάσθημεν ἐν οἷς ἐσεβάσθημεν. Οὐ γὰρ τοῦτο μόνον δεινόν, τὸ πεποιημένους ἐπ' ἀγαθοῖς ἔργοις, εἰς δόξαν καὶ ἔπαινον τοῦ πεποιηκότος καὶ Θεοῦ μίμησιν, ὅσον ἐφικτόν, ὁρμητήριον γενέσθαι παντοίων παθῶν, βοσκομένων κακῶς καὶ δαπανώντων τὸν ἐντὸς ἄνθρωπον· ἀλλὰ τὸ καὶ θεοὺς στήσασθαι συνηγόρους τοῖς πάθεσιν, ἵνα μὴ μόνον ἀνεύθυνον τὸ ἁμαρτάνειν, ἀλλὰ καὶ θεῖον νομίζηται, εἰς τοιαύτην καταφεῦγον ἀπολογίαν, τὰ προσκυνούμενα.

Η′. Ἡμῖν δὲ ὥσπερ ἐχαρίσθη τὸ φυγοῦσι τὴν δεισιδαίμονα πλάνην, μετὰ τῆς ἀληθείας γενέσθαι καί «δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ»[2] καὶ τὴν κτίσιν ὑπεραναβῆναι, πάντα περάσασιν, ὅσα ὑπὸ χρόνον καὶ πρώτην κίνησιν· οὕτω καὶ εἴδωμεν καὶ φιλοσοφήσωμεν τὰ περὶ Θεοῦ καὶ τὰ θεῖα. Φιλοσοφήσωμεν δέ, ἀρχόμενοι ὅθεν ἄρχεσθαι ἄμεινον· ἄμει**[345]**νον δέ, ὅθεν Σολομὼν ἡμῖν ἐνομοθέτησεν· Ἀρχὴ σοφίας, φησί, κτῆσαι σοφίαν[3]· τί τοῦτο λέγων ἀρχὴν σοφίας; Τὸν φόβον[4]. Οὐ γὰρ ἀπὸ θεωρίας ἀρξαμένους, εἰς φόβον χρὴ καταλή-

1. Πρβλ. Ρωμ. 1,23 ἑξ. 2. Α′ Θεσ. 1,9. 3. Πρβλ. Παρμ. 4,5. 4. Πρβλ. Σ. Σειρ. 1,14.

γειν (θεωρία γὰρ ἀχαλίνωτος τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν)· ἀλλὰ φόβῳ στοιχειουμένους καὶ καθαιρομένους καί, ἵν' οὕτως εἴπω, λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι. Οὗ γὰρ φόβος, ἐντολῶν τήρησις· οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, τοῦ ἐπιπροσθοῦντος τῇ ψυχῇ νέφους καὶ οὐκ ἐῶντος καθαρῶς ἰδεῖν τὴν θείαν ἀκτῖνα· οὗ δὲ κάθαρσις, ἔλλαμψις· ἔλλαμψις δέ, πόθου πλήρωσις τοῖς τῶν μεγίστων ἢ τοῦ μεγίστου ἢ ὑπὲρ τὸ μέγα ἐφιεμένοις.

Θ'. Διὰ τοῦτο καθαρτέον ἑαυτὸν πρῶτον, εἶτα τῷ καθαρῷ προσομιλητέον· εἴπερ μὴ μέλλοιμεν τὸ τοῦ Ἰσραὴλ πείσεσθαι, μὴ φέροντος τὴν δόξαν τοῦ προσώπου Μωσέως καὶ διὰ τοῦτο δεομένου καλύμματος[1]· ἢ τὸ τοῦ Μανωέ, καὶ πείσεσθαι καὶ λέξειν· Ἀπολώλαμεν, ὦ γύναι, Θεὸν ἑωράκαμεν[2], ἐν φαντασίᾳ Θεοῦ γενομένου· ἢ ὡς Πέτρος, τοῦ πλοίου τὸν Ἰησοῦν ἀποπέμψασθαι[3], ὡς οὐκ ἄξιοι τοιαύτης ἐπιδημίας. Πέτρον δὲ ὅταν εἴπω, τίνα λέγω; Τὸν κατὰ κυμάτων πεζεύσαντα. Ἢ, ὡς Παῦλος, τὴν ὄψιν πληγήσεσθαι, πρὶν καθαρθῆναι τῶν διωγμῶν, τῷ διωκομένῳ προσομιλήσας, μᾶλλον δὲ βραχείᾳ τοῦ μεγάλου φωτὸς λαμπηδόνι[4]· ἤ, ὡς ὁ ἑκατόνταρχος, τὴν μὲν θεραπείαν ἐπιζητήσειν, τῇ οἰκίᾳ δὲ τὸν θεραπευτὴν οὐκ εἰσδέξασθαι διὰ δειλίαν ἐπαινουμένην. Λεγέτω τις καὶ ἡμῶν, ἕως οὔπω καθαίρεται, ἀλλ' ἔστιν ἑκατόνταρχος ἔτι, πλειόνων ἐν κακίᾳ κρατῶν καὶ στρατεύεται Καίσαρι, τῷ κοσμοκράτορι τῶν κάτω συρομένων· «Οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς»[5]. Ὅταν δὲ Ἰησοῦν θεάσηται, καίτοι μικρὸς ὢν τὴν πνευματικὴν ἡλικίαν, ὡς ὁ Ζακχαῖος ἐκεῖνος, καὶ ὑπὲρ τὴν συκομωραίαν ἀρθῇ[6], νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς[7] καὶ ὑπεραναβὰς τὸ σῶμα τῆς ταπεινώσεως, τότε καὶ εἰσδεχέσθω τὸν Λόγον καὶ ἀκουέτω· «Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ»[8] καὶ λαμβανέτω τὴν σωτηρίαν καὶ καρποφορείτω τὰ τελεώτερα, σκορπίζων καὶ διαχέων καλῶς, ἃ κακῶς ἐτελώνησεν.

Ι'. Ὁ γὰρ αὐτὸς Λόγος καὶ φοβερὸς τοῖς οὐκ ἀξίοις διὰ τὴν φύσιν καὶ χωρητὸς διὰ φιλανθρωπίαν τοῖς οὕτως ηὐτρεπισμένοις· ὅσοι τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα τῶν ψυχῶν ἀπελάσαντες καὶ τὰς ἑαυτῶν ψυχὰς τῇ ἐπιγνώσει σαρώσαντες καὶ κοσμή[344]σαντες, μηδὲ ἀργήν, μηδὲ ἄπρακτον εἶασαν, ὥστε μετὰ πλείονος τῆς παρασκευῆς, αὖθις καταληφθῆναι ὑπὸ τῶν ἑπτὰ τῆς κακίας πνευμάτων, ὅσα καὶ τῆς ἀρετῆς ἀπηρίθμηται (τὸ γὰρ δυσμαχώτερον, περισπουδαστότερον)· ἀλλὰ πρὸς τῷ φεύγειν τὴν κακίαν καὶ τὴν ἀρετὴν ἐργάζονται, ὅλον τὸν Χριστὸν ἢ ὅτι μάλιστα, ἑαυτοῖς εἰσοικίσαντες, ὥστε μηδενὶ κενῷ τὴν πονηρὰν δύναμιν ὁμιλήσασαν, ἑαυτῆς πάλιν πληρῶσαι καὶ γενέσθαι τὰ ἔσχατα χείρονα τῶν πρώτων[9], διὰ τὸ τῆς καταδρομῆς

---

1. Πρβλ. Ἐξ. 34,10 ἑξ. 2. Πρβλ. Κριτ. 13,22. 3. Πρβλ. Λουκ. 5,8. 4. Πρβλ. Πράξ. 9,4 ἑξ. 5. Ματθ. 8,8. 6. Πρβλ. Λουκ. 19,2 ἑξ. 7. Πρβλ. Κολ. 3,5. 8. Λουκ. 19,9. 9. Πρβλ. Ματθ. 12,45.

σφοδρότερον καὶ τὸ τῆς φρουρᾶς ἀσφαλέστερον καὶ δυσαλωτότερον. Ὅταν δὲ πάσῃ φυλακῇ τηρήσαντες τὴν ἑαυτῶν ψυχὴν[1] καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διαθέμενοι[2] καὶ νεώσαντες ἑαυτοῖς νεώματα[3] καὶ σπείραντες εἰς δικαιοσύνην, ὡς Σολομῶντι καὶ Δαβὶδ καὶ Ἱερεμίᾳ δοκεῖ, φωτίσωμεν ἑαυτοῖς φῶς γνώσεως· τηνικαῦτα «λαλῶμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην»[4] καὶ τοῖς ἄλλοις ἐκλάμπωμεν. Τέως δὲ καθαιρώμεθα καὶ προτελώμεθα τῷ Λόγῳ, ἵν' ὅτι μάλιστα αὐτοὺς ἡμᾶς εὐεργετῶμεν, θεοειδεῖς ἐργαζόμενοι καὶ ἥκοντα τὸν Λόγον ὑποδεχόμενοι· οὐ μόνον δέ, ἀλλὰ καὶ κρατοῦντες καὶ τοῖς ἄλλοις προφαίνοντες.

ΙΑ′. Ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ τὸ θέατρον, φέρε τι περὶ τῆς ἑορτῆς ἤδη φιλοσοφήσωμεν καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις καὶ φιλοθέοις ψυχαῖς. Ἐπεὶ δὲ κεφάλαιον ἑορτῆς μνήμη Θεοῦ, Θεοῦ μνημονεύσωμεν. Καὶ γὰρ τὸν ἐκεῖθεν τῶν ἑορταζόντων ἦχον, ἔνθα «εὐφραινομένων πάντων ἡ κατοικία»[5], οὐκ ἄλλο τι ἢ τοῦτο εἶναι νομίζω, Θεὸν ὑμνούμενόν τε καὶ δοξαζόμενον τοῖς τῆς ἐκεῖσε πολιτείας ἠξιωμένοις. Εἰ δέ τι τῶν ἤδη προειρημένων ὁ νῦν ἕξει λόγος, θαυμαζέτω μηδείς. Οὐ γὰρ τὰ αὐτὰ καὶ φθέγξομαι μόνον, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν, φρίττων καὶ γλῶσσαν καὶ νοῦν καὶ διάνοιαν, ὅταν περὶ Θεοῦ φθέγγωμαι καὶ ὑμῖν ταὐτὸ τοῦτο συνευχόμενος τὸ ἐπαινετὸν πάθος καὶ μακάριον. Θεοῦ δὲ ὅταν εἴπω, ἑνὶ φωτὶ περιαστράφθητε καὶ τρισί· τρισὶ μὲν κατὰ τὰς ἰδιότητας, εἴτουν ὑποστάσεις, εἴ τινι φίλον καλεῖν, εἴτε πρόσωπα (οὐδὲν γὰρ περὶ τῶν ὀνομάτων ζυγομαχήσομεν, ἕως ἂν πρὸς τὴν αὐτὴν ἔννοιαν αἱ συλλαβαὶ φέρωσιν)· ἑνὶ δὲ κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτουν θεότητος. Διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω καὶ συνάπτεται διῃρημένως. Ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τὰ τρία ἕν· τὰ ἐν οἷς ἡ θεότης, ἤ, τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης. Τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις ἐλλείψω**[348]**μεν· οὔτε τὴν ἕνωσιν σύγχυσιν ἐργαζόμενοι, οὔτε τὴν διαίρεσιν ἀλλοτρίωσιν. Ἀπέστω γὰρ ἡμῶν ἐξ ἴσου καὶ ἡ Σαβελλίου συναίρεσις καὶ ἡ Ἀρείου διαίρεσις, τὰ ἐκ διαμέτρου κακὰ καὶ ὁμότιμα τὴν ἀσέβειαν· τί γὰρ δεῖ Θεὸν ἢ συναλείφειν κακῶς ἢ κατατέμνειν εἰς ἀνισότητα;

ΙΒ′. «Ἡμῖν δέ, εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[6], καὶ ἓν Πνεῦμα Ἅγιον, ἐν ᾧ τὰ πάντα· τοῦ ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ, μὴ φύσεις τεμνόντων (οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις ἢ αἱ τάξεις τῶν ὀνομάτων), ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας. Καὶ τοῦτο δῆλον, ἐξ ὧν εἰς ἓν συνάγονται πάλιν, εἴ τῳ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται παρὰ τῷ αὐτῷ ἀποστόλῳ τό, «Ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν»[7]. Πατὴρ ὁ

---

1. Πρβλ. Παρμ. 4,23. 2. Πρβλ. Ψαλ. 83,6. 3. Πρβλ. Ἱερ. 4,3.
4. Α′ Κορ. 2,7. 5. Ψαλ. 86,7. 6. Α′ Κορ. 8,6. 7. Ρωμ. 11,36.

Πατήρ, καὶ ἄναρχος· οὐ γὰρ ἔκ τινος. Υἱὸς ὁ Υἱὸς καὶ οὐκ ἄναρχος· ἐκ τοῦ Πατρὸς γάρ. Εἰ δὲ τὴν ἀπὸ χρόνου λαμβάνοις ἀρχήν, καὶ ἄναρχος· ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ χρόνον. Πνεῦμα Ἅγιον ἀληθῶς τὸ Πνεῦμα, προϊὸν μὲν ἐκ τοῦ Πατρός, οὐχ υἱικῶς δέ, οὐδὲ γὰρ γεννητῶς, ἀλλ' ἐκπορευτῶς[1]· εἰ δεῖ τι καὶ καινοτομῆσαι περὶ τὰ ὀνόματα σαφηνείας ἕνεκεν. Οὔτε τοῦ Πατρὸς ἐκστάντος τῆς ἀγεννησίας, διότι γεγέννηκεν· οὔτε τοῦ Υἱοῦ τῆς γεννήσεως, ὅτι ἐκ τοῦ ἀγεννήτου. Πῶς γάρ; Οὔτε τοῦ Πνεύματος, ἢ εἰς Πατέρα μεταπίπτοντος ἢ εἰς Υἱόν, ὅτι ἐκπεπόρευται καὶ ὅτι Θεός, κἂν μὴ δοκῇ τοῖς ἀθέοις· ἡ γὰρ ἰδιότης ἀκίνητος. Ἢ πῶς ἂν ἰδιότης μένοι, κινουμένη καὶ μεταπίπτουσα; Οἱ δὲ τὴν ἀγεννησίαν καὶ τὴν γέννησιν φύσεις Θεῶν ὁμωνύμων τιθέμενοι, τάχα ἂν καὶ τὸν Ἀδὰμ καὶ τὸν Σὴθ (ὅτι ὁ μὲν οὐκ ἀπὸ σαρκός· πλάσμα γάρ· ὁ δὲ ἀπὸ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας) ἀλλήλων κατὰ τὴν φύσιν ἀλλοτριώσουσιν. Εἷς οὖν Θεὸς ἐν τρισὶ καὶ τὰ τρία ἕν, ὥσπερ ἔφαμεν.

ΙΓ'. Ἐπεὶ δὲ οὕτω ταῦτα ἢ τοῦτο, ἔδει δὲ μὴ τοῖς ἄνω μόνον τὴν προσκύνησιν περιγράφεσθαι, ἀλλ' εἶναί τινας καὶ κάτω προσκυνητάς, ἵνα πληρωθῇ τὰ πάντα δόξης Θεοῦ, ἐπεὶ καὶ Θεοῦ· καὶ διὰ τοῦτο κτίζεται ἄνθρωπος, χειρὶ Θεοῦ τιμηθεὶς καὶ εἰκόνι. Τοῦτον δὲ φθόνῳ διαβόλου καὶ πικρᾷ γεύσει τῆς ἁμαρτίας, Θεοῦ τοῦ πεποιηκότος ἐλεεινῶς χωριζόμενον παριδεῖν, οὐ Θεοῦ. Τί γίνεται; καὶ τί τὸ μέγα περὶ ἡμᾶς μυστήριον; Καινοτομοῦνται φύσεις καὶ Θεὸς ἄνθρωπος γίνεται· καὶ ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολὰς[2] τῆς ἰδίας **[349]** δόξης τε καὶ λαμπρότητος, ἐπὶ δυσμῶν δοξάζεται τῆς ἡμετέρας εὐτελείας καὶ ταπεινότητος, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ δέχεται καὶ υἱὸς ἀνθρώπου γενέσθαι τε καὶ κληθῆναι· οὐχ ὃ ἦν μεταβαλὼν (ἄτρεπτον γάρ), ἀλλ' ὃ οὐκ ἦν προσλαβὼν (φιλάνθρωπος γάρ), ἵνα χωρηθῇ ὁ ἀχώρητος, διὰ μέσης σαρκὸς ὁμιλήσας ἡμῖν, ὡς παραπετάσματος· ἐπειδὴ καθαρὰν αὐτοῦ τὴν θεότητα φέρειν, οὐ τῆς ἐν γενέσει καὶ φθορᾷ φύσεως. Διὰ τοῦτο τὰ ἄμικτα μίγνυται· οὐ γενέσει μόνον Θεός, οὐδὲ σαρκὶ νοῦς, οὐδὲ χρόνῳ τὸ ἄχρονον, οὐδὲ μέτρῳ τὸ ἀπερίγραπτον· ἀλλὰ καὶ παρθενίᾳ γέννησις καὶ ἀτιμίᾳ τῷ καὶ τιμῆς ἁπάσης ὑψηλοτέρῳ καὶ πάθει τὸ ἀπαθές καὶ τῷ φθαρτῷ τὸ ἀθάνατον. Ἐπειδὴ γὰρ ᾤετο ἀήττητος εἶναι τῆς κακίας ὁ σοφιστής, θεότητος ἐλπίδι δελεάσας ἡμᾶς, σαρκὸς προβλήματι δελεάζεται· ἵν', ὡς τῷ Ἀδὰμ προσβαλών, τῷ Θεῷ περιπέσῃ καὶ οὕτως ὁ νέος Ἀδὰμ τὸν παλαιὸν ἀνασώσηται καὶ λυθῇ τὸ κατάκριμα τῆς σαρκός, σαρκὶ τοῦ θανάτου θανατωθέντος.

ΙΔ'. Τῇ μὲν οὖν γεννήσει τὰ εἰκότα προεορτάσαμεν, ἐγώ τε ὁ τῆς ἑορτῆς ἔξαρχος καὶ ὑμεῖς καὶ πᾶν ὅσον ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον. Μετὰ ἀστέρος ἐδράμομεν καὶ μετὰ Μάγων προσεκυνήσαμεν[3],

---

1. Πρβλ. Ἰω. 15,26. 2. Πρβλ. Ψαλ. 67,34. 3. Πρβλ. Ματθ. 2,1 ἑξ.

μετὰ ποιμένων περιελάμφθημεν καὶ μετὰ ἀγγέλων ἐδοξάσαμεν, μετὰ Συμεὼν ἐνηγκαλισάμεθα καὶ μετὰ Ἄννης ἀνθωμολογησάμεθα[1], τῆς γεραιᾶς καὶ σώφρονος· καὶ χάρις τῷ εἰς τὰ ἴδια ἐλθόντι[2] ἀλλοτρίως, ὅτι τὸν ξένον ἐδόξασεν. Νυνὶ δὲ πρᾶξις ἄλλη Χριστοῦ καὶ ἄλλο μυστήριον. Οὐ δύναμαι κατέχειν τὴν ἡδονήν, ἔνθεος γίνομαι, μικροῦ καί, ὡς Ἰωάννης, εὐαγγελίζομαι, εἰ καὶ μὴ πρόδρομος, ἀλλ' ἀπὸ τῆς ἐρημίας. Χριστὸς φωτίζεται, συναναστράψωμεν· Χριστὸς βαπτίζεται[3], συγκατέλθωμεν, ἵνα καὶ συνανέλθωμεν. Βαπτίζεται Ἰησοῦς· τοῦτο μόνον; ἢ καὶ τὰ ἄλλα τηρεῖν ἐπιμελῶς ἀναγκαῖον; Τίς ὤν; καὶ παρὰ τίνος; καὶ κατὰ πηνίκα; Ὁ καθαρὸς καὶ παρὰ Ἰωάννου καὶ τῶν σημείων ἀρχόμενος; Ἵνα τί μάθωμεν καὶ τί παιδευθῶμεν; Προκαθαίρεσθαι καὶ ταπεινοφρονεῖν καὶ κηρύσσειν ἐν τελειότητι καὶ τῆς πνευματικῆς καὶ τῆς σωματικῆς ἡλικίας. Ἐκεῖνο πρὸς τοὺς τὸ βάπτισμα σχεδιάζοντας καὶ μὴ προευτρεπιζομένους, μηδὲ τὸ ἀσφαλὲς τῇ λυτρώσει **[352]** χαριζομένους, διὰ τῆς εἰς τὸ καλὸν ἕξεως. Καὶ γὰρ εἰ ἄφεσιν ἔχει τῶν παρελθόντων τὸ χάρισμα (χάρισμα γάρ), ἀλλὰ τότε μᾶλλον εὐλαβείας ἄξιον, μὴ πρὸς τὸν αὐτὸν ἔμετον ἐπανέλθωμεν. Τοῦτο πρὸς τοὺς ἐπαιρομένους κατὰ τῶν οἰκονόμων τοῦ μυστηρίου, ἂν ἀξίᾳ τινὶ προέχωσιν. Τὸ τρίτον πρὸς τοὺς θαρροῦντας νεότητι καὶ πάντα καιρὸν οἰομένους εἶναι διδασκαλίας ἢ προεδρίας. Ἰησοῦς καθαίρεται· καὶ σὺ καταφρονεῖς τῆς καθάρσεως; Ὑπὸ Ἰωάννου· καὶ σὺ κατεξανίστασαι τοῦ σοῦ κήρυκος; Τριακονταέτης ὤν· καὶ σὺ πρὸ τῆς γενειάδος διδάσκεις τοὺς γέροντας ἢ τὸ διδάσκειν πιστεύεις, οὔτε παρὰ τῆς ἡλικίας, οὔτε παρὰ τοῦ τρόπου τυχὸν ἔχων τὸ αἰδέσιμον; Εἶτα ὁ Δανιὴλ ἐνταῦθα καὶ ὁ δεῖνα, νέοι κριταὶ καὶ τὰ παραδείγματα ἐπὶ γλώσσης. Πᾶς γὰρ ἀδικῶν εἰς ἀπολογίαν ἕτοιμος. Ἀλλ' οὐ νόμος Ἐκκλησίας, τὸ σπάνιον· εἴπερ μηδὲ μία χελιδὼν ἔαρ ποιεῖ, μηδὲ γραμμὴ μία τῶν γεωμέτρην ἢ πλοῦς εἰς τὸν θαλάττιον.

ΙΕ′. Πλὴν Ἰωάννης βαπτίζει, πρόσεισιν Ἰησοῦς· ἁγιάσων τυχὸν μὲν καὶ τὸν βαπτιστήν· τὸ δὲ πρόδηλον, πάντα τὸν παλαιὸν Ἀδάμ, ἵν' ἐνθάψῃ τῷ ὕδατι· πρὸ δὲ τούτων καὶ διὰ τούτους, τὸν Ἰορδάνην· ὥσπερ ἦν πνεῦμα καὶ σάρξ, οὕτω Πνεύματι τελειῶν καὶ ὕδατι. Οὐ δέχεται ὁ Βαπτιστής· ὁ Ἰησοῦς ἀγωνίζεται· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι»[4], ὁ λύχνος τῷ Ἡλίῳ φησίν, ἡ φωνὴ τῷ Λόγῳ, ὁ φίλος τῷ Νυμφίῳ, ὁ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας[5] τῷ Πρωτοτόκῳ πάσης κτίσεως[6], ὁ προσκιρτήσας ἀπὸ γαστρὸς τῷ ἐν γαστρὶ προσκυνηθέντι, ὁ προδραμὼν καὶ προδραμούμενος, τῷ φανέντι καὶ φανησομένῳ. «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι»[7]· πρόσθες καὶ τό, ὑπὲρ σοῦ. Ἤδει γὰρ τῷ μαρτυρίῳ βαπτισθησόμενος· ἤ, ὡς Πέτρος,

---

1. Πρβλ. Λουκ. 2,9 ἑξ. 2. Πρβλ. Ἰω. 1,11. 3. Πρβλ. Μάρκ. 1,8 ἑξ. 4. Ματθ. 3,14. 5. Πρβλ. Ματθ. 11,11. 6. Πρβλ. Κολ. 1,15. 7. Ματθ. 3,14.

μὴ τοὺς πόδας μόνον καθαρθησόμενος. «Καὶ σὺ ἔρχῃ πρὸς μέ;»[1] Καὶ τοῦτο προφητικόν. Ἤδει γὰρ ὡς μετὰ Ἡρῴδην, Πιλᾶτον μανησόμενον, οὕτως αὐτῷ προαπελθόντι Χριστὸν ἐψόμενον. Τί δὲ Ἰησοῦς; «Ἄφες ἄρτι»[2]· τοῦτο γὰρ ἡ οἰκονομία. Ἤδει γὰρ μετ' ὀλίγον, αὐτὸς βαπτίσων τὸν Βαπτιστήν. Τί δὲ τὸ πτύον[3]; Ἡ κάθαρσις. Τί δὲ τὸ πῦρ[4]; Ἡ τοῦ κούφου δαπάνη καὶ ἡ ζέσις τοῦ Πνεύματος. Τί δὲ ἡ ἀξίνη[5]; Τῆς ἀθεραπεύτου ψυχῆς ἡ ἐκτομὴ καὶ μετὰ τὴν κόπρον. Τί δὲ ἡ μάχαιρα[6]; Ἡ τομὴ τοῦ Λόγου, ἡ διαιροῦσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος καὶ διχοτομοῦσα τὸν πιστὸν καὶ τὸν ἄπιστον καὶ ἐπεγείρουσα τὸν υἱὸν καὶ τὴν θυγατέρα καὶ τὴν νύμφην τῷ πατρὶ καὶ τῇ **[353]** μητρὶ καὶ τῇ πενθερᾷ[7], τὰ νέα καὶ πρόσφατα τοῖς παλαιοῖς καὶ σκιώδεσι. Τί δὲ ὁ σφαιρωτὴρ τοῦ ὑποδήματος[8], ὃν οὐ λύεις ὁ βαπτίζων Ἰησοῦν, ὁ τῆς ἐρημίας καὶ ἄτροφος, ὁ νέος Ἠλίας, ὁ προφήτου περισσότερος[9], ὅσῳ καὶ τὸν προφητευόμενον εἶδες, ὁ Παλαιᾶς καὶ Νέας μεσίτης; Τί τοῦτο; Τυχὸν ὁ τῆς ἐπιδημίας λόγος καὶ τῆς σαρκός, οὗ μηδὲ τὸ ἀκρότατον εὐδιάλυτον, μὴ ὅτι τοῖς σαρκικοῖς ἔτι καὶ νηπίοις ἐν Χριστῷ, ἀλλ' οὐδὲ τοῖς κατὰ Ἰωάννην τῷ Πνεύματι.

ΙΣ'. Ἀλλὰ καὶ ἄνεισιν Ἰησοῦς ἐκ τοῦ ὕδατος. Συναναφέρει γὰρ ἑαυτῷ τὸν κόσμον καὶ ὁρᾷ σχιζομένους τοὺς οὐρανούς, οὓς ὁ Ἀδὰμ ἔκλεισεν ἑαυτῷ τε καὶ τοῖς μετ' αὐτόν, ὥσπερ καὶ τῇ φλογίνῃ ῥομφαίᾳ τὸν παράδεισον[10]. Καὶ τὸ Πνεῦμα μαρτυρεῖ τὴν θεότητα· τῷ γὰρ ὁμοίῳ προστρέχει· καὶ ἡ ἐξ οὐρανῶν φωνή[11]· ἐκεῖθεν γὰρ ὁ μαρτυρούμενος· καὶ ὡς περιστερά[12], τιμᾷ γὰρ τὸ σῶμα, ἐπεὶ καὶ τοῦτο τῇ θεώσει Θεός, σωματικῶς ὁρωμένη. Καὶ ἅμα πόρρωθεν εἴθισται περιστερὰ κατακλυσμοῦ λύσιν εὐαγγελίζεσθαι[13]. Εἰ δὲ ὄγκοις καὶ σταθμοῖς κρίνεις θεότητα καὶ διὰ τοῦτο μικρόν σοι τὸ Πνεῦμα, ὅτι ἐν εἴδει περιστερᾶς, ὦ μικρόλογε περὶ τὰ μέγιστα, ὥρα σοι καὶ βασιλείαν οὐρανῶν ἀτιμάζειν, ὅτι κόκκῳ σινάπεως ἀπεικάζεται[14]· καὶ τῆς Ἰησοῦ μεγαλειότητος ὑπεραίρειν τὸν ἀντικείμενον, ὅτι ὁ μὲν ὄρος μέγα[15] καλεῖται καὶ λευϊαθὰν καὶ βασιλεὺς τῶν ἐν τοῖς ὕδασιν[16]· ὁ δὲ ἀμνὸς[17] καὶ μαργαρίτης[18] καὶ σταγὼν καὶ τὰ τοιαῦτα προσαγορεύεται.

ΙΖ'. Ἐπεὶ δὲ βαπτίσματος ἡ πανήγυρις καὶ δεῖ μικρόν τι προσκακοπαθῆσαι τῷ δι' ἡμᾶς μορφωθέντι καὶ βαπτισθέντι καὶ σταυρωθέντι, φέρε τι περὶ διαφορᾶς βαπτισμάτων φιλοσοφήσωμεν, ἵν' ἀπέλθωμεν ἐντεῦθεν κεκαθαρμένοι. Ἐβάπτισε Μωυσῆς, ἀλλ' ἐν ὕδατι· καὶ πρὸ τούτου, ἐν νεφέλῃ καὶ ἐν θαλάσσῃ[19]. Τυπικῶς δὲ τοῦτο

---

1. Ματθ. 3,14. 2. Ματθ. 3,15. 3. Πρβλ. Ματθ. 3,12. 4. Πρβλ. Ματθ. 3,10. 5. Ἔνθ' ἀν. 6. Πρβλ. Ματθ. 10,34. 7. Πρβλ. Ματθ. 10,35. 8. Πρβλ. Ματθ. 3,11. 9. Πρβλ. Ματθ. 11,9. 10. Πρβλ. Γεν. 3,24. 11. Πρβλ. Ματθ. 3,17. 12. Πρβλ. Λουκ. 3,22. 13. Πρβλ. Γεν. 8,10. 14. Πρβλ. Ματθ. 13,31. 15. Πρβλ. Ζαχ. 4,7. Δαν. (Θδτ.) 2,45. 16. Πρβλ. Ἰὼβ 3,8. 17. Πρβλ. Ἰω. 1,29. 18. Πρβλ. Ματθ. 13,46. 19. Πρβλ. Ἐξ. 13,23. Α' Κορ. 10,1 ἑξ.

ἦν, ὡς καὶ Παύλῳ δοκεῖ· ἡ θάλασσα, τοῦ ὕδατος· ἡ νεφέλη, τοῦ Πνεύματος· τὸ μάννα, τοῦ τῆς ζωῆς ἄρτου· τὸ πόμα, τοῦ θείου πόματος. Ἐβάπτισε καὶ Ἰωάννης, οὐκ ἔτι μὲν ἰουδαϊκῶς· οὐ γὰρ ἐν ὕδατι μόνον, ἀλλὰ καὶ εἰς μετάνοιαν· οὔπω δὲ ὅλον πνευματικῶς· οὐ γὰρ προστίθησι τό, «ἐν Πνεύματι». Βαπτίζει καὶ Ἰησοῦς, ἀλλ' «ἐν Πνεύματι». Τοῦτο ἡ τελειότης. Καὶ πῶς οὐ Θεός, ἵνα τι παραθαρρήσω μικρόν, ἐξ οὗ καὶ σὺ **[356]** γίνῃ θεός; Οἶδα καὶ τέταρτον βάπτισμα, τὸ διὰ μαρτυρίου καὶ αἵματος, ὃ καὶ αὐτὸς Χριστὸς ἐβαπτίσατο καὶ πολύ γε τῶν ἄλλων αἰδεσιμώτερον, ὅσῳ δευτέροις ῥύποις οὐ μολύνεται. Οἶδα καὶ πέμπτον ἔτι, τὸ τῶν δακρύων· ἀλλ' ἐπιπονώτερον, ὡς ὁ λούων καθ' ἑκάστην νύκτα τὴν κλίνην αὐτοῦ καὶ τὴν στρωμνὴν τοῖς δάκρυσιν[1], ᾧ τῆς κακίας προσώζεσαν καὶ οἱ μώλωπες[2]· ὃς πενθῶν καὶ σκυθρωπάζων πορεύεται[3] καὶ ὃς μιμεῖται τὴν ἐπιστροφὴν Μανασσῆ[4] καὶ τὴν τῶν Νινευϊτῶν ἠλεημένην ταπείνωσιν[5]· ὃς φθέγγεται τὰς τοῦ τελώνου φωνὰς ἐν τῷ ἱερῷ[6] καὶ δικαιοῦται παρὰ τὸν μεγάλαυχον Φαρισαῖον· ὃς συγκύπτει κατὰ τὴν Χαναναίαν[7] καὶ ζητεῖ φιλανθρωπίαν καὶ ψίχας, κυνὸς τροφὴν ἄγαν λιμώττοντος.

ΙΗ′. Ἐγὼ μὲν οὖν (ἄνθρωπος εἶναι γὰρ ὁμολογῶ, ζῷον τρεπτὸν καὶ ῥευστῆς φύσεως) καὶ δέχομαι τοῦτο προθύμως καὶ προσκυνῶ τὸν δεδωκότα καὶ τοῖς ἄλλοις μεταδίδωμι καὶ προεισφέρω τοῦ ἐλέου τὸν ἔλεον. Οἶδα γὰρ καὶ αὐτὸς ἀσθένειαν περικείμενος καὶ ὡς ἂν μετρήσω, μετρηθησόμενος[8]. Σὺ δὲ τί λέγεις, τί νομοθετεῖς, ὦ νέε Φαρισαῖε καὶ καθαρὲ τὴν προσηγορίαν οὐ τὴν προαίρεσιν καὶ φυσῶν ἡμῖν τὰ Ναυάτου μετὰ τῆς αὐτῆς ἀσθενείας; Οὐ δέχῃ μετάνοιαν; οὐ δίδως ὀδυρμοῖς χώραν; οὐ δακρύεις δάκρυον; Μὴ σύ γε τοιούτου κριτοῦ τύχοις. Οὐκ αἰδῇ τὸ Ἰησοῦ φιλάνθρωπον, τοῦ τὰς ἀσθενείας ἡμῶν λαβόντος καὶ τὰς νόσους βαστάσαντος[9] τοῦ μὴ δικαίοις ἐλθόντος, ἀλλ' ἁμαρτωλοῖς εἰς μετάνοιαν[10], τοῦ ἔλεον θέλοντος μᾶλλον ἢ θυσίαν[11], τοῦ ἑβδομηκοντάκις ἑπτὰ συγχωροῦντος τὰ ἁμαρτήματα[12]; Ὡς μακάριόν σου τὸ ὑψηλόν, εἰ καθαρότης ἦν, ἀλλὰ μὴ τῦφος, νομοθετῶν ὑπὲρ ἀνθρωπον καὶ λύων τῇ ἀπογνώσει τὴν ἐπανόρθωσιν. Ὁμοίως γάρ ἐστι κακὸν καὶ ἄνεσις ἀσωφρόνιστος καὶ κατάγνωσις ἀσυγχώρητος· ἡ μὲν ὅλην ἐφιεῖσα τὴν ἡνίαν, ἡ δὲ τῷ σφοδρῷ κατάγχουσα. Δεῖξόν μοι τὴν καθαρότητα καὶ δέχομαί σου τὴν θρασύτητα. Νῦν δὲ δέδοικα, μὴ βρύων ἕλκεσιν, εἰσάγῃς τὸ ἀνιάτρευτον. Οὐδὲ τὸν Δαβὶδ δέχῃ μετανοοῦντα, ᾧ καὶ τὸ προφητικὸν χάρισμα ἡ μετάνοια συνετήρησεν[13]; Οὐδὲ Πέτρον τὸν μέγαν παθόντα τι ἀνθρώπινον περὶ τὸ σωτήριον πάθος[14]; Ἰησοῦς δὲ ἐδέξατο, καὶ τῷ τρισσῷ

---

1. Πρβλ. Ψαλ. 6,7. 2. Πρβλ. Ψαλ. 37,6. 3. Πρβλ. Ψαλ. 37,7.
4. Πρβλ. Β′ Παρλ. 33,13. 5. Πρβλ. Ἰων. 3,5. 6. Πρβλ. Λουκ. 18,13.
7. Πρβλ. Ματθ. 15,22 ἑξ. 8. Πρβλ. Ματθ. 7,2. 9. Πρβλ. Ἡσ. 53,4.
10. Πρβλ. Λουκ. 5,32. 11. Πρβλ. Ὡσ. 6,6. 12. Πρβλ. Ματθ. 18,22.
13. Πρβλ. Β′ Βασ. 12,13. 14. Πρβλ. Ματθ. 26,70.

τῆς ἐρωτήσεως καὶ τῆς ὁμολογίας[1], τὸ τρισσὸν τῆς ἀρνήσεως ἐθεράπευσεν. Ἢ οὐδὲ τελειωθέντα δέχῃ δι' αἵματος; Ἔστι γὰρ καὶ τοῦτο τῆς σῆς ἀπο**[357]**νοίας. Οὐδὲ τὸν ἐν Κορίνθῳ παρανομήσαντα[2]; Παῦλος δὲ καὶ ἀγάπην ἐκύρωσεν, ἐπειδὴ τὴν διόρθωσιν εἶδε· καὶ τὸ αἴτιον· «Ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος»[3], βαρηθεὶς τῇ ἀμετρίᾳ τῆς ἐπιπλήξεως. Οὐδὲ τὰς νέας γαμίζεις χήρας, διὰ τὸ τῆς ἡλικίας εὐάλωτον; Παῦλος δὲ τοῦτο ἐτόλμησεν, οὗ σὺ δηλαδὴ διδάσκαλος, ὡς ἐπὶ τέταρτον οὐρανὸν φθάσας καὶ ἄλλον παράδεισον καὶ ἀπορρητοτέρων ἀκούσας ῥημάτων καὶ μείζονα κύκλον τῷ Εὐαγγελίῳ περιλαβών.

ΙΘ'. Ἀλλ' οὐ μετὰ τὸ βάπτισμα ταῦτα. Τίς ἡ ἀπόδειξις; ἢ δεῖξον ἢ μὴ κατάκρινε. Εἰ δὲ ἀμφίβολον, νικάτω τὸ φιλάνθρωπον. Ἀλλὰ Ναυάτος, φησίν, οὐκ ἐδέξατο τοὺς ἐν τῷ διωγμῷ παραπεσόντας. Τί τοῦτο; Εἰ μὲν οὐ μεταγνόντας, δικαίως· οὐδὲ ἐγὼ δέχομαι τοὺς ἢ μὴ καμπτομένους ἢ μὴ ἀξίως, μηδὲ ἀντισηκοῦντας τῷ κακῷ τὴν διόρθωσιν· καὶ ὅταν δέξωμαι, τὴν προσήκουσαν αὐτοῖς ἀπονέμω χώραν. Εἰ δὲ τοὺς ἐκτακέντας τοῖς δάκρυσιν, οὐ μιμήσομαι. Καὶ τίς μοι νόμος ἡ Ναυάτου μισανθρωπία, ὃς πλεονεξίαν μὲν οὐκ ἐκόλασε, τὴν δευτέραν εἰδωλολατρίαν[4]· πορνείαν δὲ οὕτω πικρῶς κατεδίκασεν, ὡς ἄσαρκος καὶ ἀσώματος; Τί φατε; Πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις; Δεῦρο, στῆτε μεθ' ἡμῶν τῶν ἀνθρώπων. Μεγαλύνωμεν ἅμα τὸν Κύριον. Μή τις ὑμῶν εἰπεῖν τολμήσῃ, μηδὲ εἰ λίαν ἑαυτῷ τεθάρρηκε· Μή μου ἅπτου, καθαρὸς γάρ εἰμι[5], καὶ τίς οὕτως ὥσπερ ἐγώ; μετάδοτε καὶ ἡμῖν τῆς λαμπρότητος. Ἀλλ' οὐ πείθομεν; καὶ ὑπὲρ ὑμῶν δακρύσομεν. Οὗτοι μὲν οὖν, εἰ μὲν βούλοιντο, τὴν ἡμετέραν ὁδὸν καὶ Χριστοῦ, εἰ δὲ μή, τὴν ἑαυτῶν πορευέσθωσαν. Τυχὸν ἐκεῖ τῷ πυρὶ βαπτισθήσονται, τῷ τελευταίῳ βαπτίσματι, τῷ ἐπιπονωτέρῳ τε καὶ μακροτέρῳ, ὃ ἐσθίει ὡς χόρτον τὴν ὕλην καὶ δαπανᾷ πάσης κακίας κουφότητα.

Κ'. Ἡμεῖς δὲ τιμήσωμεν τό Χριστοῦ βάπτισμα σήμερον καὶ καλῶς ἑορτάσωμεν, μὴ γαστρὶ τρυφῶντες, ἀλλὰ πνευματικῶς εὐφραινόμενοι. Τρυφήσωμεν δὲ πῶς; «Λούσασθε, καθαροὶ γίνεσθε»[6]. Εἰ μὲν φοινικικοὶ τὴν ἁμαρτίαν ἐστὲ καὶ ἧττον αἱματώδεις, λευκάνθητε ὡς χιών[7]· εἰ δὲ κόκκινοι καὶ ἄνδρες αἱμάτων τέλειοι, κἂν εἰς ἐρίου λευκότητα φθάσατε. Πάντως δὲ καθάρθητε καὶ καθαίρεσθε. Ὡς **[360]** οὐδενὶ τοσοῦτον χαίρει Θεός, ὅσον ἀνθρώπου διορθώσει καὶ σωτηρίᾳ, ὑπὲρ οὗ λόγος ἅπας καὶ ἅπαν μυστήριον· ἵνα γένησθε «ὡς φωστῆρες ἐν κόσμῳ»[8], ζωτικὴ τοῖς ἄλλοις ἀνθρώποις δύναμις, ἵνα φῶτα τέλεια τῷ μεγάλῳ φωτὶ παραστάντες καὶ τὴν ἐκεῖσε μυηθῆτε

---

1. Πρβλ. Ἰω. 21,15. 2. Πρβλ. Α' Κορ. 5,1 ἑξ. 3. Β' Κορ. 2,7. 4. Πρβλ. Ἐφ. 5,5. 5. Πρβλ. Ἡσ. 65,5. 6. Ἡσ. 1,16. 7. Πρβλ. Ἡσ. 1,18. 8. Φιλιπ. 2,15.

φωταγωγίαν, ἐλλαμπόμενοι τῇ Τριάδι καθαρώτερον καὶ τρανότερον, ἧς νῦν μετρίως ὑποδέδεχθε τὴν μίαν αὐγὴν ἐκ μιᾶς τῆς θεότητος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Μ'

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ

[360] Α'. Χθὲς τῇ λαμπρᾷ τῶν Φώτων ἡμέρᾳ πανηγυρίσαντες (καὶ γὰρ ἔπρεπε χαρμόσυνα θέσθαι τῆς σωτηρίας τῆς ἡμετέρας καὶ πολλῷ μᾶλλον ἢ γαμήλιά καὶ γενέθλια καὶ ὀνομαστήρια, τοῖς σαρκὸς φίλοις, κουρόσυνά τε καὶ κατοικέσια καὶ ἐτήσια, ὅσα τε ἄλλα πανηγυρίζουσιν ἄνθρωποι), σήμερον περὶ τοῦ βαπτίσματος βραχέα διαλεξόμεθα καὶ τῆς ἐντεῦθεν ἡμῖν ὑπαρχούσης εὐεργεσίας· εἰ καὶ χθὲς ἡμᾶς ὁ λόγος παρέδραμε, τῆς ὥρας κατεπειγούσης καὶ ἅμα τοῦ λόγου τὸν κόρον φεύγοντος. Κόρος δὲ λόγου πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα τροφὴ σώμασι. Προσέχειν δὲ ἄξιον τοῖς λεγομένοις καὶ μὴ παρέργως, ἀλλὰ προθύμως τὸν περὶ τηλικούτων δέξασθαι λόγον· ἐπειδὴ καὶ τοῦτό ἐστι φωτισμός, τὸ γνῶναι τοῦ μυστηρίου τὴν δύναμιν.

Β'. Τρισσὴν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος· τὴν ἐκ σωμάτων, τὴν ἐκ βαπτίσματος καὶ τὴν ἐξ ἀναστάσεως. Τούτων δέ, ἡ μὲν νυκτερινὴ τέ ἐστι καὶ δούλη καὶ ἐμπαθής· ἡ δὲ ἡμερινὴ καὶ ἐλευθέρα καὶ λυτικὴ παθῶν, πᾶν τὸ ἀπὸ γενέσεως κάλυμμα περιτέμνουσα καὶ πρὸς τὴν ἄνω ζωὴν ἐπαν**[361]**άγουσα· ἡ δὲ φοβερωτέρα καὶ συντομωτέρα, πᾶν τὸ πλάσμα συνάγουσα ἐν βραχεῖ τῷ πλάστῃ παραστησόμενον καὶ λόγον ὑφέξον τῆς ἐνταῦθα δουλείας καὶ πολιτείας, εἴτε τῇ σαρκὶ μόνον ἐπηκολούθησεν, εἴτε τῷ Πνεύματι συνανῆλθε καὶ τὴν χάριν ἠδέσθη τῆς ἀναπλάσεως. Ταύτας δὴ τὰς γεννήσεις ἁπάσας παρ' ἑαυτοῦ τιμήσας ὁ ἐμὸς Χριστὸς φαίνεται· τὴν μέν, τῷ ἐμφυσήματι τῷ πρώτῳ καὶ ζωτικῷ[1]· τὴν δέ, τῇ σαρκώσει[2] καὶ τῷ βαπτίσματι[3], ὅπερ αὐτὸς ἐβαπτίσατο· τὴν δέ, τῇ ἀναστάσει[4], ἧς αὐτὸς ἀπήρξατο· ὡς ἐγένετο πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς[5], οὕτω καὶ πρωτότοκος ἐκ νεκρῶν[6] γενέσθαι καταξιώσας.

Γ'. Περὶ μὲν δὴ τῶν δύο γεννήσεων, τῆς πρώτης τέ φημι καὶ τῆς τελευταίας, φιλοσοφεῖν οὐ τοῦ παρόντος καιροῦ· περὶ δὲ τῆς μέσης καὶ τῆς νῦν ἡμῖν ἀναγκαίας, ἧς ἐπώνυμος ἡ τῶν φώτων ἡμέρα, φιλοσοφήσωμεν. Τὸ φώτισμα, λαμπρότης ἐστὶ ψυχῶν, βίου μετάθεσις, ἐπερώτημα τῆς εἰς Θεὸν συνειδήσεως[7]· τὸ φώτισμα, βοήθεια τῆς ἀσθενείας τῆς ἡμετέρας· τὸ φώτισμα, σαρκὸς ἀπόθεσις, Πνεύματος ἀκολούθησις, Λόγου κοινωνία, πλάσματος ἐπανόρθωσις, κατακλυ-

---

1. Πρβλ. Γεν. 2,7. 2. Πρβλ. Λουκ. 2,7. 3. Πρβλ. Λουκ. 3,21.
4. Πρβλ. Μάρκ. 16,6. 5. Πρβλ. Ρωμ. 8,29. 6. Πρβλ. Κολοσ. 1,18.
7. Πρβλ. Α' Πέτρ. 3,21.

σμὸς ἁμαρτίας, φωτὸς μετουσία, σκότους κατάλυσις· τὸ φώτισμα, ὄχημα πρὸς Θεόν, συνεκδημία Χριστοῦ, ἔρεισμα πίστεως, νοῦ τελείωσις, κλεὶς οὐρανῶν βασιλείας, ζωῆς ἄμειψις, δουλείας ἀναίρεσις, δεσμῶν ἔκλυσις, συνθέσεως μεταποίησις· τὸ φώτισμα (τί δεῖ πλείω καταριθμεῖν), τῶν τοῦ Θεοῦ δώρων τὸ κάλλιστον καὶ μεγαλοπρεπέστατον. Ὥσπερ γὰρ Ἅγια ἁγίων καλεῖταί τινα καὶ Ἄσματα ᾀσμάτων (ἐμπεριεκτικώτερα γάρ ἐστι καὶ κυριώτερα)· οὕτω καὶ αὐτὸ παντὸς ἄλλου τῶν παρ᾽ ἡμῖν φωτισμῶν ὂν ἁγιώτερον.

Δ′. Καλεῖται δέ, ὥσπερ Χριστὸς ὁ τούτου δοτήρ, πολλοῖς καὶ διαφόροις ὀνόμασιν, οὕτω δὲ καὶ τὸ δώρημα· εἴτε διὰ τὸ περιχαρὲς τοῦ πράγματος τοῦτο παθόντων ἡμῶν (φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς διακείμενοι, ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασιν), εἴτε τοῦ πολυειδοῦς τῆς εὐεργεσίας πολλὰς καὶ τὰς κλήσεις ἡμῖν δημιουργήσαντος. Δῶρον καλοῦμεν, χάρισμα, βάπτισμα, χρίσμα, φώτισμα, ἀφθαρσίας ἔνδυμα, λουτρὸν παλιγγενεσίας, σφραγῖδα, πᾶν ὅ,τι τίμιον· δῶρον μέν, ὡς καὶ μηδὲν προεισενεγκοῦσι **[364]** διδόμενον· χάρισμα δέ, ὡς καὶ ὀφείλουσι· βάπτισμα δέ, ὡς συνθαπτομένης τῷ ὕδατι τῆς ἁμαρτίας· χρίσμα δέ, ὡς ἱερὸν καὶ βασιλικὸν (ταῦτα γὰρ ἦν τὰ χριόμενα)· φώτισμα δέ, ὡς λαμπρότητα· ἔνδυμα δέ, ὡς αἰσχύνης κάλυμμα· λουτρὸν δέ, ὡς ἔκπλυσιν· σφραγῖδα δέ, ὡς συντήρησιν καὶ τῆς δεσποτείας σημείωσιν. Τούτῳ συγχαίρουσιν οὐρανοί· τοῦτο δοξάζουσιν ἄγγελοι, διὰ τὸ συγγενὲς τῆς λαμπρότητος· τοῦτο εἰκὼν τῆς ἐκεῖθεν μακαριότητος· τοῦτο ἡμεῖς ἐξυμνεῖν βουλόμεθα μέν, οὐ δυνάμεθα δὲ ὅσον ἄξιον.

Ε′. Θεὸς μέν ἐστι φῶς τὸ ἀκρότατον καὶ ἀπρόσιτον καὶ ἄρρητον, οὔτε νῷ καταληπτόν, οὔτε λόγῳ ῥητόν, πάσης φωτιστικὸν λογικῆς φύσεως. Τοῦτο ἐν νοητοῖς, ὅπερ ἐν αἰσθητοῖς ἥλιος· ὅσον ἂν καθαιρώμεθα, φανταζόμενον· καὶ ὅσον ἂν φανταζώμεθα, ἀγαπώμενον· καὶ ὅσον ἂν ἀγαπήσωμεν, αὖθις νοούμενον· αὐτὸ ἑαυτοῦ θεωρητικόν τε καὶ καταληπτικόν, ὀλίγα τοῖς ἔξω χεόμενον. Φῶς δὲ λέγω, τὸ ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι θεωρούμενον· ὧν πλοῦτός ἐστιν ἡ συμφυΐα καὶ τὸ ἓν ἔξαλμα τῆς λαμπρότητος. Δεύτερον δὲ φῶς ἄγγελος, τοῦ πρώτου φωτὸς ἀπορροή τις ἢ μετουσία, τῇ πρὸς αὐτὸ νεύσει καὶ ὑπουργίᾳ τὸν φωτισμὸν ἔχουσα· οὐκ οἶδα, εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμόν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμβάνουσα. Τρίτον φῶς ἄνθρωπος, ὃ καὶ τοῖς ἔξω δῆλόν ἐστι. Φῶς γὰρ τὸν ἄνθρωπον ὀνομάζουσι, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν· καὶ ἡμῶν αὐτῶν πάλιν οἱ θεοειδέστεροι καὶ μᾶλλον Θεῷ πλησιάζοντες. Οἶδα καὶ ἄλλο φῶς, ᾧ τὸ ἀρχέγονον ἠλάθη σκότος ἢ διεκόπη, πρῶτον ὑποστὰν τῆς ὁρατῆς κτίσεως τήν τε κυκλικὴν τῶν ἀστέρων περίοδον καὶ τὴν ἄνωθεν φρυκτωρίαν, κόσμον ὅλον αὐγάζουσαν.

Ϛ′. Φῶς μὲν ἦν καὶ ἡ τῷ πρωτογόνῳ δοθεῖσα πρωτόγονος ἐν-

τολὴ (ἐπειδὴ Λύχνος ἐντολὴ νόμου καὶ φῶς[1]· καὶ διότι, Φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς[2]) εἰ καὶ τὸ φθονερὸν σκότος ἐπεισελθὸν τὴν κακίαν ἐδημιούργησεν· φῶς δὲ τυπικὸν καὶ σύμμετρον τοῖς ὑποδεχομένοις, ὁ γραπτὸς νόμος, σκιαγραφῶν τὴν ἀλήθειαν καὶ τὸ τοῦ μεγάλου φωτὸς μυστήριον· εἴπερ καὶ τὸ Μωυσέως πρόσωπον τούτῳ δοξάζεται. Καὶ ἵνα πλείονα φῶτα δῶμεν τῷ **[365]** λόγῳ, φῶς μὲν ἦν ἐκ πυρὸς τῷ Μωυσεῖ φανταζόμενον, ἡνίκα τὴν βάτον ἔκαιε μέν, οὐ κατέκαιε δέ, ἵνα καὶ τὴν φύσιν παραδείξῃ καὶ γνωρίσῃ τὴν δύναμιν[3]· φῶς δέ, τὸ ἐν στύλῳ πυρὸς ὁδηγῆσαν τὸν Ἰσραὴλ[4] καὶ ἡμερῶσαν τὴν ἔρημον· φῶς, τὸ Ἠλίαν ἁρπάσαν ἐν τῷ τοῦ πυρὸς ἅρματι[5] καὶ μὴ συμφλέξαν τὸν ἁρπαζόμενον· φῶς, τὸ τοὺς ποιμένας περιαστράψαν[6], ἡνίκα τὸ ἄχρονον φῶς τῷ χρονικῷ ἐμίγνυτο· φῶς, τὸ τοῦ προδραμόντος ἀστέρος ἐπὶ Βηθλεὲμ κάλλος, ἵνα καὶ Μάγους ὁδηγήσῃ[7] καὶ δορυφορήσῃ τὸ ὑπὲρ ἡμᾶς φῶς, μεθ' ἡμῶν γενόμενον φῶς, ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς, μικροῦ στερροτέρα δὲ ὄψεως[8]· φῶς, ἡ Παῦλον περιαστράψασα φαντασία καὶ πληγῇ τῶν ὄψεων τὸν σκότον τῆς ψυχῆς θεραπεύσασα[9]· φῶς καὶ ἡ ἐκεῖθεν λαμπρότης, τοῖς ἐνταῦθα κεκαθαρμένοις, ἡνίκα ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος[10], ὧν ἵσταται ὁ Θεὸς ἐν μέσῳ, θεῶν ὄντων καὶ βασιλέων, διαστέλλων καὶ διαιρῶν τὰς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος· φῶς παρὰ ταῦτα ἰδιοτρόπως, ὁ τοῦ βαπτίσματος φωτισμός, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, μέγα καὶ θαυμαστὸν τὸ τῆς σωτηρίας ἡμῶν περιέχων μυστήριον.

Ζ'. Ἐπειδὴ γὰρ τὸ μὲν μηδὲν ἁμαρτεῖν ἐστι Θεοῦ καὶ τῆς πρώτης καὶ ἀσυνθέτου φύσεως· ἁπλότης γὰρ εἰρηναία καὶ ἀστασίαστος· θαρρῶ δὲ εἰπεῖν, ὅτι καὶ τῆς ἀγγελικῆς ἢ ὅτι ἐγγυτάτω τούτου, διὰ τὴν πρὸς Θεὸν ἐγγύτητα. Τὸ δὲ ἁμαρτάνειν, ἀνθρώπινον καὶ τῆς κάτω συνθέσεως· σύνθεσις γὰρ ἀρχὴ διαστάσεως· οὐκ ᾤετο δεῖν ἀβοήθητον τὸ ἑαυτοῦ πλάσμα καταλιπεῖν ὁ Δεσπότης, οὐδὲ περιϊδεῖν κινδυνεῦον τὴν ἀπ' αὐτοῦ διάστασιν. Ἀλλ' ὥσπερ οὐκ ὄντας ὑπέστησεν, οὕτως ὑποστάντας ἀνέπλασε, πλάσιν θειοτέραν τε καὶ τῆς πρώτης ὑψηλοτέραν· ἢ τοῖς μὲν ἀρχομένοις ἐστὶ σφραγίς, τοῖς δὲ τελειοτέροις τὴν ἡλικίαν καὶ χάρισμα καὶ τῆς πεσούσης εἰκόνος, διὰ τὴν κακίαν, ἐπανόρθωσις· ἵνα μὴ τῇ ἀπογνώσει χείρους γινόμενοι καὶ ἀεὶ πρὸς τὸ χεῖρον καταφερόμενοι, τελέως ἔξω τοῦ καλοῦ καὶ τῆς ἀρετῆς δι' ἀπόγνωσιν πίπτωμεν· μηδὲ εἰς κακῶν **[368]** βάθος ἐμπεσόντες, ὃ δὴ λέγεται, καταφρονῶμεν[11]· ἀλλ' ὥσπερ οἱ μακρὰν ὁδὸν τέμνοντες, καταλύματι τοὺς πόνους διαναπαύσαντες, οὕτω τὸ ἑξῆς τῆς ὁδοῦ νεαροὶ καὶ πρόθυμοι διανύσωμεν. Αὕτη μὲν ἡ τοῦ βαπτί-

---

1. Πρβλ. Ψαλ. 118,105. 2. Πρβλ. Παρμ. 6,23. 3. Πρβλ. Ἐξ. 3,2. 4. Πρβλ. Ἐξ. 13,21. 5. Πρβλ. Δ' Βασ. 2,11. 6. Πρβλ. Λουκ. 2,9. 7. Πρβλ. Ματθ. 2,9. 8. Πρβλ. Ματθ. 17,1 ἑξ. 9. Πρβλ. Πράξ. 9,3. 10. Πρβλ. Σ. Σολ. 3,7. 11. Πρβλ. Παρμ. 18,3.

σματος χάρις καὶ δύναμις, οὐ κόσμου κατακλυσμὸν ὡς πάλαι, τῆς δὲ τοῦ καθ' ἕκαστον ἁμαρτίας κάθαρσιν ἔχουσα καὶ παντελῆ ῥύψιν τῶν ἀπὸ κακίας ἐπεισελθόντων συγχωσμάτων ἢ μολυσμάτων.

Η′. Διττῶν δὲ ὄντων ἡμῶν, ἐκ ψυχῆς λέγω καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου φύσεως· διττὴ καὶ ἡ κάθαρσις, δι' ὕδατός τέ φημι καὶ Πνεύματος, τοῦ μὲν θεωρητῶς τε καὶ σωματικῶς λαμβανομένου, τοῦ δὲ ἀσωμάτως καὶ ἀθεωρήτως συντρέχοντος· καὶ τοῦ μὲν τυπικοῦ, τοῦ δὲ ἀληθινοῦ καὶ τὰ βάθη καθαίροντος· ὃ τῆς πρώτης γενέσεως ἐπικουρία τυγχάνον, καινοὺς ἀντὶ παλαιῶν, καὶ θεοειδεῖς ἀντὶ τῶν νῦν ὄντων ἐργάζεται, χωρὶς πυρὸς ἀναχωνεῦον καὶ ἀνακτίζον δίχα συντρίψεως. Εἰ γὰρ δεῖ συντόμως εἰπεῖν, συνθήκας πρὸς Θεὸν δευτέρου βίου καὶ πολιτείας καθαρωτέρας, ὑποληπτέον τὴν τοῦ βαπτίσματος δύναμιν. Ὃ δὴ καὶ μάλιστα φοβητέον καὶ πάσῃ φυλακῇ τηρητέον τὴν ἑαυτοῦ ψυχὴν[1] ἕκαστον, μὴ ψεῦσται τῆς ὁμολογίας ταύτης φαινώμεθα. Εἰ γὰρ τὰς πρὸς ἀνθρώπους ὁμολογίας ἐμπεδοῖ Θεὸς μέσος παραληφθείς, πόσος ὁ κίνδυνος, ὧν πρὸς αὐτὸν ἐθέμεθα τὸν Θεὸν συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι· καὶ μὴ μόνον τῶν ἄλλων ἁμαρτημάτων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ψεύδους ὑποδίκους εἶναι τῇ ἀληθείᾳ; Καὶ ταῦτα οὐκ οὔσης δευτέρας ἀναγεννήσεως, οὐδὲ ἀναπλάσεως, οὐδὲ εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως, κἂν ὅτι μάλιστα ἐπιζητῶμεν ταύτην ἐν πολλοῖς στεναγμοῖς τε καὶ δάκρυσιν, ἐξ ὧν συνούλωσις μὲν ἔρχεται μόγις κατά γε τὸν ἐμὸν ὅρον καὶ νόμον (ἔρχεται γὰρ καὶ πιστεύομεν· εἰ δὲ καὶ τὰς οὐλὰς ἐξαλείφωμεν, ἀγαπῴην ἄν, ἐπειδὴ καὶ αὐτὸς χρήζω φιλανθρωπίας)· πλὴν μὴ δευτέρας δεηθῆναι καθάρσεως, ἀλλὰ στῆναι μέχρι τῆς πρώτης ἄμεινον, ἣν κοινὴν οἶδα πᾶσι καὶ ἄμοχθον καὶ ὁμότιμον, δούλοις, δεσπόταις, πένησι, πλουσίοις, ταπεινοῖς, ὑψηλοῖς, εὐγενεστέροις, ἀγενεστέροις, ὀφείλουσιν, οὐκ ὀφείλουσιν, ὡς ἀέρος πνεῦσιν καὶ φωτὸς χύσιν καὶ ὡρῶν ἀλλαγὰς καὶ κτίσεως θέαν, τοῦ μεγάλου καὶ κοινοῦ πᾶσιν ἡμῖν ἐντρυφήματος, καὶ ἰσομοιρίαν πίστεως.

[369] Θ′. Δεινὸν γὰρ ἀντὶ ἰατρείας ἀπονωτέρας, τὴν ἐπιπονωτέραν ἐργάσασθαι καὶ ἀπορρίψαντας χάριν οἴκτου χρεωστεῖν κόλασιν καὶ ἀντιμετρεῖν ἁμαρτίᾳ διόρθωσιν. Πόσον γὰρ εἰσοίσομεν δάκρυον, ἵν' ἀντισωθῇ τῇ πηγῇ τοῦ βαπτίσματος; τίς δὲ ὁ ἐγγυητής, ὅτι μενεῖ τὴν θεραπείαν τὸ τέλος, ἀλλ' οὐκ ὀφείλοντας ἡμᾶς ἔτι τὸ κριτήριον ὑποδέξεται καὶ τῆς ἐκεῖσε δεομένους πυρώσεως; Σὺ μὲν δεήσῃ τοῦ Δεσπότου τυχόν, ὁ καλὸς καὶ φιλάνθρωπος γεωργός, ἔτι φείσασθαι τῆς συκῆς[2] καὶ μήπω ταύτην ἐκτεμεῖν ἐγκαλουμένην τὸ ἄκαρπον, ἀλλὰ συγχωρηθῆναι περιβαλεῖν κόπρια, δάκρυα, στεναγμούς, ἀνακλήσεις, χαμευνίας, ἀγρυπνίας, τῆξιν ψυχῆς καὶ σώματος, τὴν δι' ἐξαγορεύσεως καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν· ἄδηλον

---

1. Πρβλ. Παρμ. 4,23. 2. Πρβλ. Λουκ. 13,8.

δέ, εἰ φείσεται ταύτης ὁ Δεσπότης, ὡς καταργούσης τὸν τόπον, ἄλλου δεομένου φιλανθρωπίας καὶ γινομένου χείρονος ἐκ τῆς εἰς τοῦτον μακροθυμίας. Συνταφῶμεν οὖν Χριστῷ διὰ τοῦ βαπτίσματος, ἵνα καὶ συναναστῶμεν[1]· συγκατέλθωμεν, ἵνα καὶ συνυψωθῶμεν· συνανέλθωμεν, ἵνα καὶ συνδοξασθῶμεν.

Ι΄. Ἐάν σοι προσβάλῃ μετὰ τὸ βάπτισμα ὁ τοῦ φωτὸς διώκτης καὶ πειραστὴς (προσβαλεῖ δέ· καὶ γὰρ καὶ τῷ Λόγῳ καὶ Θεῷ μου προσέβαλε διὰ τὸ κάλυμμα, τῷ κρυπτῷ φωτὶ διὰ τὸ φαινόμενον), ἔχεις ᾧ νικήσεις· μὴ φοβηθῇς τὸν ἀγῶνα. Προβαλοῦ τὸ ὕδωρ, προβαλοῦ τὸ Πνεῦμα, ἐν ᾧ πάντα τὰ βέλη τοῦ Πονηροῦ τὰ πεπυρωμένα σβεσθήσεται[2]. Πνεῦμα μέν ἐστιν, ἀλλὰ διαλῦον ὄρη· ὕδωρ μέν ἐστιν, ἀλλὰ πυρὸς σβεστήριον. Ἐὰν προσβάλῃ τὴν χρείαν (καὶ γὰρ κἀκείνῳ τετόλμηκε) καὶ ζητῇ τοὺς λίθους ἄρτους γενέσθαι[3], τὸ πεινῆν ἐπιθέμενος· μὴ ἀγνοήσῃς αὐτοῦ τὰ νοήματα[4]. Δίδαξον ἃ μὴ μεμάθηκε· τὸν λόγον ἀντίθες τὸν ζωτικόν, ὅς ἐστιν ἐξ οὐρανοῦ πεμπόμενος ἄρτος καὶ τῷ κόσμῳ τὸ ζῆν χαριζόμενος[5]. Ἐὰν διὰ κενοδοξίας ἐπιβουλεύῃ σοι (καὶ γὰρ ἐκείνῳ, ἀνάγων ἐπὶ τὸ τοῦ ἱεροῦ πτερύγιον καί, βάλε σεαυτὸν κάτω[6], λέγων, εἰς ἐπίδειξιν τῆς θεότητος), μὴ κατενεχθῇς διὰ τῆς ἐπάρσεως. Ἂν τοῦτο λάβῃ, οὐ μέχρι τούτου στήσεται. Ἄπληστός ἐστιν, εἰς πάντα ἐπέρχεται. Σαίνει μὲν τῷ χρηστῷ, τελευτᾷ δὲ εἰς πονηρόν. Οὕτος αὐτοῦ τῆς μάχης ὁ τρόπος. Ἀλλὰ καὶ Γραφῶν ἔμπειρος ὁ λῃστής. Ἐκεῖθεν τό, «Γέγραπται», περὶ τοῦ ἄρτου· ἐντεῦθεν τό, Γέγραπται, περὶ τῶν ἀγγέλων. «Γέγραπται γάρ», **[372]** φησίν, «ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε»[7]. Ὦ σοφιστὰ τῆς κακίας· πῶς τὸ ἑξῆς ὑπεκράτησας; Πάνυ γὰρ νοῶ τοῦτο, κἂν αὐτὸς ἀποσιωπήσῃς ὅτι ἐπὶ τὴν ἀσπίδα σε καὶ τὸν βασιλίσκον ἐπιβήσομαι καὶ καταπατήσω ἐπάνω ὄφεων καὶ σκορπίων[8], τῇ Τριάδι τετειχισμένος. Ἐὰν ἐξ ἀπληστίας καταπαλαίῃ σε, πάσας ὑποδεικνύων τὰς βασιλείας, ὡς αὐτῷ διαφερούσας, ἐν μιᾷ καιροῦ τε ῥοπῇ καὶ ὄψεως, ἀπαιτῶν τὴν προσκύνησιν· ὡς πένητος καταφρόνησον. Εἰπέ, τῇ σφραγῖδι θαρρήσας· Εἰκών εἰμι καὶ αὐτὸς Θεοῦ· τῆς ἄνω δόξης οὔπω δι' ἔπαρσιν, ὥσπερ σύ, καταβέβλημαι· Χριστὸν ἐνδέδυμαι· Χριστὸν μεταπεποίημαι τῷ βαπτίσματι· σύ με προσκύνησον. Ἀπελεύσεται, σαφῶς οἶδα, τούτοις ἡττημένος καὶ ᾐσχυμένος, ὥσπερ ἀπὸ Χριστοῦ τοῦ πρώτου φωτός, οὕτω τῶν ἀπ' ἐκείνου πεφωτισμένων. Τοιαῦτα τὸ λουτρὸν τοῖς ἠσθημένοις αὐτοῦ χαρίζεται· τοιαύτην προτείνει τοῖς καλῶς πεινῶσι τὴν πανδαισίαν.

ΙΑ΄. Βαπτισθῶμεν οὖν, ἵνα νικήσωμεν· μετάσχωμεν καθαρσίων ὑδάτων, ὑσσώπου ῥυπτικωτέρων, αἵματος νομικοῦ καθαρωτέρων,

---

1. Πρβλ. Ρωμ. 6,4. 2. Πρβλ. Ἐφ. 6,16. 3. Πρβλ. Ματθ. 4,3.
4. Πρβλ. Β΄ Κορ. 2,11. 5. Πρβλ. Ἰω. 6,33. 6. Πρβλ. Ματθ. 4,6.
7. Ματθ. 4,6. 8. Πρβλ. Λουκ. 10,19.

σποδοῦ δαμάλεως ἱερωτέρων, ῥαντιζούσης τοὺς κεκοινωμένους καὶ πρόσκαιρον ἐχούσης σώματος κάθαρσιν, οὐ παντελῆ τῆς ἁμαρτίας ἀναίρεσιν[1]. Τί γὰρ ἔδει καθαίρεσθαι τοὺς ἅπαξ κεκαθαρμένους; Βαπτισθῶμεν σήμερον, ἵνα μὴ αὔριον βιασθῶμεν. Καὶ μὴ ἀναβαλώμεθα τὴν εὐεργεσίαν, ὡς ἀδικίαν· μηδὲ ἀναμείνωμεν πλεῖον γενέσθαι κακοί, ἵνα πλεῖον συγχωρηθῶμεν· μηδὲ γενώμεθα Χριστοκάπηλοι καὶ Χριστέμποροι· μηδὲ φορτισθῶμεν πλέον ἢ δυνάμεθα φέρειν, ἵνα μὴ αὐτάνδρῳ τῇ νηὶ βαπτισθῶμεν καὶ τὸ χάρισμα ναυαγήσωμεν, ἀνθ' ὧν τὸ πλεῖον ἠλπίσαμεν, τὸ πᾶν ἀπολέσαντες. Ἕως ἔτι τῶν λογισμῶν κύριος εἶ πρόσδραμε τῷ δωρήματι· ἕως οὔπω νοσεῖς καὶ τὸ σῶμα καὶ τὴν διάνοιαν, ἢ δοκεῖς οὕτω τοῖς παροῦσι, κἂν σωφρονῇς· ἕως οὐκ ἐπ' ἄλλοις κεῖται τὸ σὸν ἀγαθόν, ἀλλ' αὐτὸς εἶ τούτου κύριος· ἕως οὐ παράφορος ἡ γλῶσσα, οὐδὲ κατεψυγμένη, οὐδὲ ζημιοῦται, ἵνα μὴ πλεῖόν τι λέγω, τὰ τῆς μυσταγωγίας ῥήματα· ἕως δύνασαι γενέσθαι πιστός, οὐκ εἰκαζόμενος, ἀλλ' ὁμολογούμενος· οὐκ ἐλεούμενος, ἀλλὰ μακαριζόμενος· ἕως δῆλόν σοι τὸ δῶρον, ἀλλ' οὐκ ἀμφίβολον· καὶ τοῦ **[373]** βάθους ἡ χάρις ἅπτεται, ἀλλ' οὐ τὸ σῶμα ἐπιτάφια λούεται· ἕως οὐ δάκρυα περὶ σὲ τῆς ἐξόδου μηνύματα καὶ ταῦτα εἰς σὴν χάριν τυχὸν ἐπεχόμενα καὶ γυνὴ καὶ παῖδες τὴν ἐκδημίαν μεθέλκοντες καὶ ζητοῦντες ἐξόδια ῥήματα· ἕως οὐκ ἰατρὸς ἄτεχνος περὶ σέ, ὥρας σοι χαριζόμενος, ὧν οὐκ ἔστι κύριος καὶ νεύματι ταλαντεύων τὴν σωτηρίαν καὶ φιλοσοφῶν περὶ τῆς νόσου μετὰ τὸν θάνατον, ἢ τοὺς μισθοὺς βαρύνων ταῖς ὑποχωρήσεσιν ἢ τὴν ἀπόγνωσιν αἰνιττόμενος· ἕως οὐ μάχη βαπτιστοῦ καὶ χρηματιστοῦ, τοῦ μέν, ὅπως ἐφοδιάσῃ φιλονεικοῦντος, τοῦ δέ, ὅπως γραφῇ κληρονόμος, ἀμφότερα τοῦ καιροῦ μὴ συγχωροῦντος.

ΙΒ′. Τί πυρετὸν ἀναμένεις εὐεργέτην, ἀλλ' οὐ Θεόν; Τί καιρόν, ἀλλ' οὐ λογισμόν; Τί φίλον ἐπίβουλον, ἀλλ' οὐ πόθον σωτήριον; Τί μὴ τὴν ἐξουσίαν, ἀλλὰ τὴν βίαν; Τί μὴ τὴν ἐλευθερίαν, ἀλλὰ τὴν στενοχωρίαν; Τί παρ' ἄλλου δέῃ μαθεῖν τὴν ἔξοδον, ἀλλ' οὐχ ὡς ἤδη παρούσης διανοήσῃ; Τί φάρμακα ἐπιζητεῖς, τὰ μηδὲν ὀνήσοντα; Τί κριτικὸν ἱδρῶτα, ἴσως παρεστῶτος τοῦ ἐξοδίου; Σαυτὸν πρὸ τῆς ἀνάγκης ἰάτρευσον· σαυτὸν ἐλέησον, τὸν γνήσιον τῆς ἀσθενείας θεραπευτήν· σαυτῷ προσάγαγε τὸ σωτήριον ὄντως φάρμακον. Ἕως ἐξ οὐρίας πλεῖς, φοβήθητι τὸ ναυάγιον· καὶ ἧττον ναυαγήσεις, τῇ δειλίᾳ βοηθῷ χρώμενος. Πανηγυρισθήτω τὸ δῶρον, ἀλλὰ μὴ θρηνηθήτω· ἐπεργασθήτω τὸ τάλαντον, ἀλλὰ μὴ συγχωσθήτω. Γενέσθω τι μέσον τῆς χάριτος καὶ τῆς ἀναλύσεως, ἵνα μὴ ἐξαλειφθῇ τὰ πονηρὰ γράμματα μόνον, ἀλλὰ καὶ μετεγραφῇ τὰ βελτίονα· ἵνα μὴ τὸ χάρισμα μόνον ἔχῃς, ἀλλὰ καὶ τὴν ἀντίδοσιν· ἵνα μὴ τὸ πῦρ φύγῃς μόνον, ἀλλὰ καὶ τῆς δόξης κληρονομήσῃς, ἣν τὸ ἐπεργάσασθαι τῷ δώρῳ χαρί-

1. Πρβλ. Ἑβρ. 10,4.

ζεται. Ἔστι γὰρ τοῖς μὲν μικροψύχοις μέγα τὸ φυγεῖν βάσανον· τοῖς δὲ μεγαλοψύχοις, τὸ καὶ τυχεῖν ἀντιδόσεως.

ΙΓ΄. Τρεῖς γὰρ οἶδα τάξεις τῶν σῳζομένων, δουλείαν, μισθαρνίαν, υἱότητα. Εἰ δοῦλος εἶ, τὰς πληγὰς φοβήθητι· εἰ μισθωτός, πρὸς τὸ λαβεῖν βλέπε μόνον. Εἰ δὲ ὑπὲρ τούτους καὶ υἱός, ὡς πατέρα αἰδέσθητι. Ἔργασαι τὸ καλόν, ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι, κἂν εἴ σοι μηδὲν ἔσεσθαι μέλλοι. Τοῦτο αὐτὸ μισθός, τὸ τῷ πατρὶ χαρίζεσθαι. **[376]** Ὧν ἡμεῖς μὴ καταφρονοῦντες φανοίμεθα. Ὡς ἐστιν ἄτοπον, χρήματα μὲν προαρπάζειν, ὑγείαν δὲ ἀναβάλλεσθαι· καὶ σώματα μὲν προκαθαίρειν, ψυχῆς δὲ κάθαρσιν ταμιεύεσθαι· καὶ τῆς μὲν κάτω δουλείας ἐλευθερίαν ζητεῖν, τῆς ἄνω δὲ μὴ ἐφίεσθαι· καὶ ὅπως μὲν οἰκήσεις μεγαλοπρεπῶς ἢ ἀμφιέσῃ, πᾶσαν ποιεῖσθαι σπουδήν, ὅπως δὲ αὐτὸς πλείστου ἄξιος ἔσῃ, μηδὲν φροντίζειν· καὶ ἄλλους μὲν εὖ ποιεῖν πρόθυμον εἶναι, σαυτὸν δὲ μὴ βούλεσθαι. Καὶ εἰ μὲν ὤνιον ἦν σοι τὸ ἀγαθόν, μηδενὸς ἂν φείδεσθαι χρήματος· εἰ δὲ πρόκειται τὸ φιλάνθρωπον, καταφρονεῖς τῷ ἑτοίμῳ τῆς εὐποιΐας. Πᾶς σοι καιρὸς ἐκπλύσεως, ἐπειδὴ πᾶς ἀναλύσεως. Μετὰ Παύλου βοῶ σοι, τῆς μεγάλης φωνῆς· «Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας»[1]· οὐχ ἕνα καιρόν, ἀλλὰ πάντα τοῦ «νῦν» ὁρίζοντος. Καὶ πάλιν· «Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν καὶ ἐπιφαύσει σοι ὁ Χριστός»[2], λύων τὴν νύκτα τῆς ἁμαρτίας· ἐπειδή, Ἐν νυκτὶ ἐλπὶς πονηρά, κατὰ τὸν Ἡσαΐαν[3] καὶ τῷ πρωὶ ληφθῆναι λυσιτελέστερον.

ΙΔ΄. Σπεῖρε μὲν ὅτε καιρὸς καὶ συγκόμιζε καὶ λύε τὰς ἀποθήκας, ὅτι τούτου καιρὸς καὶ φύτευε καθ' ὥραν καὶ κειρέσθω σοι βότρυς ὥριμος καὶ ἀνάγου θαρρήσας ἔαρι καὶ ἄνελκε τὴν ναῦν, πάλιν ἀρχομένου χειμῶνος καὶ τῆς θαλάσσης ἀγριουμένης. Καὶ πολέμου καιρὸς ἔστω σοι καὶ εἰρήνης καὶ γάμου καὶ τῶν οὐ γάμου καὶ φιλίας καὶ διαστάσεως, ἂν ταύτης δεήσῃ, καὶ παντὸς ὅλως πράγματος, εἴ τι τῷ Σολομῶντι πειστέον[4]. Πειστέον δέ· καὶ γὰρ ὠφέλιμος ἡ παραίνεσις. Ἀεὶ δὲ τὴν σωτηρίαν ἐργάζου καὶ πᾶς ἔστω σοι καιρὸς τοῦ βαπτίσματος ὅρος. Ἐὰν ἀεὶ τὸ σήμερον παρατρέχων, ἐπιτηρῇς τὸ εἰς αὔριον, λανθάνεις ταῖς κατὰ μικρὸν ἀναβολαῖς ὑπὸ τοῦ Πονηροῦ κλεπτόμενος, ὥσπερ ἐκείνου τρόπος. Ἐμοὶ δὸς τὸ παρόν, Θεῷ τὸ μέλλον· ἐμοὶ τὴν νεότητα, Θεῷ τὸ γῆρας· ἐμοὶ τὰς ἡδονάς, ἐκείνῳ τὴν ἀχρηστίαν. Ὅσος ὁ περὶ σὲ κίνδυνος! ὅσα τὰ παρ' ἐλπίδα συμπτώματα! Ἢ πόλεμος παρανάλωσεν ἢ σεισμὸς συνέχωσεν ἢ θάλασσα ὑπεδέξατο ἢ θηρίον ἥρπασεν ἢ νόσος ἀπώλεσεν ἢ ψὶξ παραδραμοῦσα, τὸ φαυλότατον (τί γὰρ τοῦ ἀποθανεῖν ἄνθρωπον εὐκολώτερον, κἂν μέγα φρονῇς τῇ εἰκόνι;) ἢ πότος πλεονάσας ἢ ἄνε-

---

1. Β΄ Κορ. 6,2. 2. Ἐφ. 5,14. 3. Πρβλ. Ἡσ. 38,13. 4. Πρβλ. Ἐκκλ. 3,1 ἑξ.

μος κρημνίσας ἢ ἵππος συναρπάσας ἢ φάρμακον ἐκ προνοίας ἐπιβουλεῦσαν, τυχὸν δὲ καὶ ἀντὶ σωτηρίου φανὲν δηλητήριον, ἢ δικαστὴς ἀπάνθρωπος ἢ δήμιος ἀπαραίτητος ἤ τι τῶν ὅσα ταχίστην ποιεῖ τὴν μετάστασιν καὶ βοηθείας ἰσχυροτέραν.

ΙΕ′. Εἰ δὲ προκαταλάβοις σεαυτὸν τῇ σφραγῖδι καὶ τὸ μέλλον ἀσφαλίσαιο τῷ καλλίστῳ τῶν βοηθημάτων καὶ στερροτάτῳ, σημειωθεὶς καὶ ψυχὴν καὶ σῶμα τῷ χρίσματι καὶ τῷ Πνεύματι, ὡς ὁ Ἰσραὴλ πάλαι τῷ νυκτερινῷ καὶ φυλακτικῷ τῶν πρωτοτόκων αἵματι· τί σοι συμβήσεται καὶ τί σοι πεπραγμάτευται; Τῶν Παροιμιῶν ἄκουσον· «Ἐὰν γὰρ κάθῃ, φησίν, ἄφοβος ἔσῃ· Ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις»[1]. Καὶ παρὰ τοῦ Δαβὶδ εὐαγγελίσθητι· «Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ»[2]. Τοῦτό σοι καὶ ζῶντι μέγιστον εἰς ἀσφάλειαν. Πρόβατον γὰρ ἐσφραγισμένον οὐ ῥᾳδίως ἐπιβουλεύεται, τὸ δὲ ἀσήμαντον κλέπταις εὐάλωτον· καὶ ἀπελθόντι δεξιὸν ἐντάφιον, ἐσθῆτος λαμπρότερον, χρυσοῦ τιμιώτερον, τάφου μεγαλοπρεπέστερον, ἀγόνων χοῶν εὐσεβέστερον, ἀπαργμάτων ὡρίων καιριώτερον, ὧν τοῖς νεκροῖς οἱ νεκροὶ χαρίζονται, νόμον ποιησάμενοι τὴν συνήθειαν. Πάντα οἰχέσθω σοι, πάντα διαρπαζέσθω, χρήματα, κτήματα, θρόνοι, λαμπρότητες, ὅσα τῆς κάτω περιφορᾶς· σὺ δὲ κατάλυσον ἐν ἀσφαλείᾳ τὸν βίον, μηδὲν ζημιωθεὶς τῶν ἐκ Θεοῦ σοι δοθέντων εἰς σωτηρίαν βοηθημάτων.

ΙϚ′. Ἀλλὰ φοβῇ, μὴ διαφθείρῃς τὸ χάρισμα, καὶ διὰ τοῦτο ἀναβάλλῃ τὴν κάθαρσιν, ὡς δευτέραν οὐκ ἔχων; Τί δέ; Οὐ φοβῇ, μὴ διώκτῃ καιρῷ κινδυνεύσῃς καὶ τὸ μέγιστον ὧν ἔχεις, ἀφαιρεθῇς Χριστόν; Ἆρ' οὖν διὰ τοῦτο φεύξῃ καὶ τὸ γενέσθαι Χριστιανός; Ἄπαγε! Οὐχ ὑγιαίνοντος ὁ φόβος, παραφρονοῦντος ὁ λογισμός. Ὢ τῆς ἀνευλαβοῦς εὐλαβείας, εἰ δεῖ τοῦτο εἰπεῖν! ὢ τῶν τοῦ πονηροῦ σοφισμάτων! Ὄντως σκότος ἐστὶ καὶ φῶς ὑποκρίνεται. Ὅταν μηδὲν ἰσχύσῃ φανερῶς πολεμῶν, ἀφανῶς ἐπιβουλεύει. **[380]** Καὶ γίνεται σύμβουλος ὡς χρηστός, ὢν πονηρός· ἵν' ἑνί γε τῷ τρόπῳ πάντως ἰσχύσῃ καὶ μηδαμόθεν αὐτοῦ τὴν ἐπιβουλὴν διαφύγωμεν. Ὅπερ οὖν κἀνταῦθα σαφῶς τεχνάζεται. Τὸ γὰρ φανερῶς καταφρονεῖν τοῦ βαπτίσματος πείθειν οὐκ ἔχων, ζημιοῖ σε διὰ τῆς πλαστῆς ἀσφαλείας, ἵν' ὃ φοβῇ γε, τοῦτο λάθῃς παθὼν διὰ τοῦ φόβου· καὶ τὸ φθεῖραι τὴν δωρεὰν δεδοικώς, αὐτῷ τούτῳ τῆς δωρεᾶς ἐκπέσῃς. Ὁ μὲν οὖν τοιοῦτός ἐστι καὶ οὔποτε παύσεται τῆς ἑαυτοῦ διπλόης, ἕως ἂν βλέπῃ πρὸς οὐρανὸν ἐπειγομένους ἡμᾶς, ὅθεν αὐτὸς ἐκπέπτωκεν. Σὺ δέ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, γνῶθι τὴν ἐπιβουλὴν τοῦ ἀντικειμένου. Πρὸς γὰρ τὸν ἔχοντα καὶ ὑπὲρ τῶν μεγίστων ἡ μάχη. Μὴ λάβῃς σύμβουλον τὸν ἐχθρόν· μὴ καταφρονήσῃς τοῦ ἀκοῦσαι καὶ γενέσθαι πιστός. Ἕως εἶ κατηχούμενος, ἐν προθύροις εἶ τῆς εὐσεβείας. Εἴσω

1. Παρμ. 3,24. 2. Ψαλ. 90,5,6.

γενέσθαι σε δεῖ, τὴν αὐλήν διαβῆναι, τὰ ἅγια κατοπτεῦσαι, εἰς τὰ Ἅγια τῶν ἁγίων παρακύψαι, μετὰ τῆς Τριάδος γενέσθαι. Μεγάλα ἐστὶν ὑπὲρ ὧν πολεμῇ· μεγάλης δεῖ σοι καὶ τῆς ἀσφαλείας. Προβαλοῦ «τὸν θυρεὸν τῆς πίστεως»[1]. Φοβεῖταί σε μετὰ τοῦ ὅπλου μαχόμενον· καὶ διὰ τοῦτο γυμνοῖ σε τοῦ χαρίσματος, ἵνα κρατήσῃ ῥᾷον σου ἀόπλου καὶ ἀφυλάκτου. Πάσης ἡλικίας ἅπτεται, πάσης ἰδέας βίου. Διὰ πάντων ἀποκρουσθήτω.

ΙΖ΄. Νέος εἶ; Στῆθι κατὰ τῶν παθῶν μετὰ τῆς συμμαχίας, εἰς Θεοῦ παράταξιν ἀριθμήθητι, ἀρίστευσον κατὰ τοῦ Γολιάθ, λάβε τὰς χιλιάδας ἢ τὰς μυριάδας. Οὕτω τῆς ἡλικίας ἀπόλαυσον· ἀλλὰ μὴ ἀνάσχῃ μαρανθῆναί σου τὴν νεότητα, τῷ ἀτελεῖ τῆς πίστεως νεκρωθεῖσαν. Γηραιὸς εἶ καὶ τῆς ἀναγκαίας ἐγγὺς προθεσμίας; τὴν πολιὰν αἰδέσθητι· δὸς ἣν ἀπαιτῇ φρόνησιν, ἀνθ' ἧς νῦν ἔχεις ἀσθενείας· ταῖς ὀλίγαις ἡμέραις βοήθησον· πίστευσον τῷ γήρᾳ τὴν κάθαρσιν. Τί φοβῇ τὰ νεότητος ἐν βαθεῖ γήρᾳ καὶ ταῖς ἐσχάταις ἀναπνοαῖς; Ἢ καὶ σὺ μένεις, νεκρὸς λουθῆναι, οὐ μᾶλλον ἐλεούμενος ἢ μισούμενος; Ἢ ποθεῖς τῶν ἡδονῶν τὰ λείψανα, βίου λείψανον ὤν; Αἰσχρὸν τὴν μὲν ἡλικίαν παρακμάσαι, μὴ παρακμάσαι δὲ τὴν ἀσέλγειαν· ἀλλ' ἢ πάσχειν τοῦτο ἢ δοκεῖν, διαμέλλοντα πρὸς τὴν κάθαρσιν. Νήπιον ἔστι σοι; Μὴ λαβέτω καιρὸν ἡ κακία· ἐκ βρέφους ἁγιασθήτω, ἐξ ὀνύχων καθιερωθήτω τῷ Πνεύματι. Σὺ δέδοικας τὴν σφραγῖδα διὰ τὸ τῆς **[381]** φύσεως ἀσθενές· ὡς μικρόψυχος ἡ μήτηρ καὶ ὀλιγόπιστος! Ἡ Ἄννα δὲ καὶ πρὶν ἢ γεννηθῆναι τὸν Σαμουὴλ καθυπέσχετο τῷ Θεῷ, καὶ γεννηθέντα, ἱερὸν εὐθὺς ποιεῖ καὶ τῇ ἱερατικῇ στολῇ συνανέτρεψεν[2], οὐ τὸ ἀνθρώπινον φοβηθεῖσα, τῷ δὲ Θεῷ πιστεύσασα. Οὐδὲν δεῖ σοι περιαμμάτων καὶ ἐπᾳσμάτων, οἷς ὁ πονηρὸς συνεισέρχεται, κλέπτων εἰς ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ τὸ σέβας, ἐν τοῖς κουφοτέροις. Δὸς αὐτῷ τὴν Τριάδα, τὸ μέγα καὶ καλὸν φυλακτήριον.

ΙΗ΄. Τί ἔτι; Παρθενίαν ἀσκεῖς; Τῇ καθάρσει σφραγίσθητι· ταύτην ποίησαι τοῦ βίου κοινωνὸν καὶ συνόμιλον· αὕτη ῥυθμιζέτω σοι· καὶ βίον καὶ λόγον, πᾶν μέλος, πᾶν κίνημα, πᾶσαν αἴσθησιν. «Τίμησον αὐτήν, ἵνα σε κοσμήσῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων»[3], στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου. Δέδεσαι γάμῳ; Καὶ τῇ σφραγῖδι συνδέθητι· ταύτην συνοίκισον σεαυτῷ τῆς σωφροσύνης φύλακα· πόσων εὐνούχων οἴει, πόσων θυρωρῶν οὖσαν ἀσφαλεστέραν; Οὔπω σαρκὶ συνεζεύχθης; Μὴ φοβηθῇς τὴν τελείωσιν. Καθαρὸς εἶ καὶ μετὰ τὸν γάμον· ἐμὸς ὁ κίνδυνος, ἐγὼ τούτου συναρμοστής, ἐγὼ νυμφοστόλος. Οὐ γάρ, ἐπεὶ ἡ παρθενία τιμιωτέρα, ἐν τοῖς ἀτίμοις ὁ γάμος. Μιμήσομαι Χριστόν, τὸν καθαρὸν νυμφαγωγὸν καὶ νυμφίον, ὃς καὶ θαυματουργεῖ γάμῳ καὶ τιμᾷ συζυγίαν τῇ παρουσίᾳ[4]. Μόνον ἔστω

---

1. Ἐφ. 6,16. 2. Πρβλ. Α΄ Βασ. 1,11 ἑξ. 3. Παρμ. 4,8-9. 4. Πρβλ. Ἰω. 2,1 ἑξ.

γάμος καθαρὸς καὶ πόθοις ῥυπαροῖς ἀνεπίμικτος. Ἓν αἰτῶ μόνον· λάβε παρὰ τοῦ δώρου τὴν ἀσφάλειαν καὶ δὸς τῷ δώρῳ τὴν ἁγνείαν κατὰ καιρόν, ἕως εὐχῆς πρόκειται προθεσμία καὶ ἀσχολίας τιμιωτέρα καὶ ταύτην ἐκ κοινῆς ὁμολογίας καὶ συναινέσεως. Οὐ γὰρ νομοθετοῦμεν, ἀλλὰ παραινοῦμεν καὶ τῶν σῶν τι λαβεῖν ὑπὲρ σοῦ βουλόμεθα καὶ τῆς κοινῆς ὑμῶν ἀσφαλείας ἕνεκεν. Ἐν κεφαλαίῳ δὲ εἰπεῖν, οὐκ ἔστιν οὐ βίος, οὐκ ἐπιτήδευμα, ᾧ μὴ τοῦτο λυσιτελέστερον. Δέξαι, ὁ ἐν ἐξουσίᾳ τὸν χαλινόν· ὁ ἐν δουλείᾳ τὴν ἰσοτιμίαν· ὁ ἀθυμῶν τὴν παραμυθίαν· ὁ ἐν εὐθυμίᾳ τὴν παιδαγωγίαν, ὁ πένης τὸν ἄσυλον πλοῦτον· ὁ εὐπορῶν τὴν καλὴν ὧν ἔχεις οἰκονομίαν. Μηδὲν σοφίσῃ, μηδὲν τεχνάσῃ κατὰ τῆς σεαυτοῦ σωτηρίας. Κἂν γὰρ τοὺς ἄλλους παραλογιζώμεθα, **[384]** ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα· ὡς τό γε καθ' ἑαυτοῦ παίζειν, λίαν ἐπισφαλὲς καὶ ἀνόητον.

ΙΘ′. Ἀλλ' ἐν μέσῳ στρέφῃ καὶ μολύνῃ τοῖς δημοσίοις· καὶ δεινόν, εἴ σοι δαπανηθήσεσθαι τὸ φιλάνθρωπον; Ἁπλοῦς ὁ λόγος· Εἰ μὲν οἷόν τε, φύγε καὶ τὴν ἀγορὰν μετὰ τῆς καλῆς συνοδίας, πτέρυγας ἀετοῦ σεαυτῷ περιθεὶς ἢ περιστερᾶς, ἵν' οἰκειότερον εἴπω (τί γάρ σοι καὶ Καίσαρι ἢ τοῖς Καίσαρος;[1]). Ἕως οὗ καταπαύσῃς, οὗ μὴ ἔστιν ἁμαρτία, μηδὲ μελάνωσις, μηδὲ δάκνων ὄφις ἐφ' ὁδοῦ, κωλύων σου τὰ κατὰ Θεὸν διαβήματα. Ἅρπασον τὴν σεαυτοῦ ψυχὴν ἐκ τοῦ κόσμου· φύγε Σόδομα· φύγε τὸν ἐμπρησμόν· ὅδευσον ἀμεταστρεπτί, μὴ παγῆς λίθος ἁλός· εἰς τὸ ὄρος σῴζου, μὴ συμπαραληφθῇς. Εἰ δὲ προκατέχῃ καὶ δέδεσαι δεσμοῖς ἀναγκαίοις, ἐκεῖνο σεαυτῷ διαλέχθητι, μᾶλλον δὲ σοὶ αὐτὸς διαλεχθήσομαι. Κρεῖσσον μὲν καὶ τυχεῖν τοῦ ἀγαθοῦ καὶ φυλάσσειν τὴν κάθαρσιν· εἰ δὲ ἀμφότερα μὲν ἐνδέχεται, κρεῖσσόν ποτε μικρὰ μολυνθῆναι τοῖς σοῖς δημοσίοις ἢ παντάπασιν ἐκπεσεῖν τῆς χάριτος· ὥσπερ, οἶμαι, κρεῖσσον ἐπιτιμηθῆναί τι παρὰ πατρὸς καὶ δεσπότου ἢ ἀπωσθῆναι· καὶ μικρὸν αὐγάζεσθαι ἢ παντελῶς σκοτίζεσθαι. Σωφρόνων δέ, ὥσπερ τῶν ἀγαθῶν τὰ μείζω καὶ τελεώτερα, οὕτω καὶ τῶν κακῶν αἱρεῖσθαι τὰ ἐλάττω τε καὶ κουφότερα. Διὰ τοῦτο μὴ λίαν φοβηθῇς τὴν κάθαρσιν. Κρίνεται γὰρ ἀεὶ μετὰ τῶν ἐπιτηδευμάτων τὸ κατορθούμενον παρὰ τοῦ δικαίου καὶ φιλανθρώπου τῶν ἡμετέρων κριτοῦ. Καὶ μικρὸν κατορθώσας πολλάκις ὁ ἐν τῷ μέσῳ, πλέον ἔσχε τοῦ ἐν ἐλευθερίᾳ μὴ τὸ πᾶν κατορθώσαντος· ὥσπερ, οἶμαι, παραδοξότερον ἐν πέδαις μικρὰ προβαίνειν ἢ τρέχειν μηδενὶ βαρούμενον· καὶ διὰ βορβόρου μικρὰ ῥαντίζεσθαι ἢ καθαρὸν εἶναι διὰ καθαρᾶς ὁδοῦ φερόμενον. Τεκμήριον δὲ τοῦ λόγου, καὶ Ῥαὰβ τὴν πόρνην ἓν ἐδικαίωσε μόνον, ἡ φιλοξενία, τἄλλα οὐκ ἐπαινουμένην· καὶ τὸν τελώνην ἓν ὕψωσεν, ἡ ταπείνωσις, οὐδὲν ἄλλο μαρτυρηθέντα· ἵνα σὺ μάθῃς, σεαυτοῦ μὴ ῥᾳδίως ἀπογινώσκειν.

Κ′. Ἀλλὰ τί μοι πλέον, φησί, προκατασχεθέντι διὰ τοῦ βαπτί-

---

1. Πρβλ. Ματθ. 22,21.

σματος καὶ τὸ τερπνὸν τοῦ ζῆν ἐμαυτῷ διὰ τοῦ τάχους ἀποκλείσαντι, ἑνὸν ἐφεῖναι ταῖς ἡδοναῖς καὶ τηνικαῦτα τυχεῖν τῆς χάριτος; Οὐδὲ γὰρ τοῖς ἐν τῷ ἀμπελῶνι προκεκμηκόσιν ὑπῆρξέ τι **[385]** πλέον, ἴσου τοῦ μισθοῦ δοθέντος καὶ τοῖς τελευταίοις[1]. Ἀπήλλαξας ἡμᾶς πραγμάτων, ὅστις ποτὲ εἶ, ὁ ταῦτα λέγων, μόγις τῆς ἀναβολῆς ἐξειπὼν τὸ ἀπόρρητον· καί σε τῆς κακουργίας οὐκ ἐπαινῶν, ἐπαινῶ τῆς ἐξαγορεύσεως. Ἀλλὰ δεῦρο καὶ τὴν παραβολὴν ἑρμηνεύθητι, ὡς ἂν μὴ βλάπτῃ τοῖς γεγραμμένοις ἐξ ἀπειρίας. Πρῶτον μέν, οὐ περὶ τοῦ βαπτίσματος ἐνταῦθα ὁ λόγος, ἀλλὰ περὶ τῶν κατὰ διαφόρους καιροὺς πιστευόντων καὶ εἰς τὸν καλὸν ἀμπελῶνα εἰσερχομένων, τὴν Ἐκκλησίαν. Ἀφ' ἧς γὰρ ἡμέρας καὶ ὥρας ἐπίστευσεν ἕκαστος, ἀπ' ἐκείνης καὶ ἀπαιτεῖται τὴν ἐργασίαν. Ἔπειτα, εἰ καὶ τῷ μέτρῳ τοῦ μόχθου πλεῖον εἰσήνεγκαν οἱ προεισελθόντες, ἀλλ' οὐχὶ καὶ τῷ μέτρῳ τῆς προαιρέσεως· καὶ τυχὸν τοῖς τελευταίοις, ἐκ ταύτης καὶ πλεῖον ὠφείλετο, εἰ καὶ παράδοξός πως ὁ λόγος. Τοῦ μὲν γὰρ ὕστερον εἰσελθεῖν, τὸ καὶ ὕστερον κληθῆναι πρὸς τὴν ἀμπελουργίαν αἴτιον· τῶν ἄλλων δὲ τὸ διάφορον ὅσον ἐπισκεψώμεθα. Οἱ μὲν οὐ πρότερον ἐπίστευσαν, οὐδὲ εἰσῆλθον, πρὶν ἢ συμφωνηθῆναι αὐτοῖς τὸν μισθόν· οἱ δὲ ἀσύμφωνοι τῇ ἐργασίᾳ προσῆλθον, ὃ μείζονός ἐστι γνώρισμα πίστεως. Καὶ οἱ μὲν φθονερᾶς καὶ γογγυστικῆς εὑρέθησαν ὄντες φύσεως· οἱ δὲ οὐδὲν ἐγκαλοῦνται τοιοῦτον. Καὶ τοῖς μὲν μισθὸς ἦν τὸ διδόμενον, καίπερ οὖσι πονηροῖς, τοῖς δὲ ἡ χάρις· ὥστε καὶ ἄνοιαν ἐγκληθέντες, εἰκότως τοῦ πλείονος ἐστερήθησαν. Τί δ' ἂν καὶ αὐτοῖς ὀψισθεῖσιν ἐγένετο, καταμάθωμεν· τὸ ἴσον τοῦ μισθοῦ δηλονότι. Πῶς οὖν αἰτιῶνται τὸν ἐργοδότην, ὡς διὰ τὸ τῆς ἰσότητος ἄνισον; Ταῦτα πάντα τὴν τοῦ ἱδρῶτος ὑφαιρεῖ χάριν τοῖς πρώτοις, καὶ εἰ προκεκμήκασιν. Ἐξ ὧν συμβαίνει καὶ δικαίαν εἶναι τὴν τοῦ ἴσου διανομήν, ἀντιμετρουμένης τῷ πόνῳ τῆς προαιρέσεως.

ΚΑ΄. Εἰ δὲ καὶ τὴν τοῦ λουτροῦ δύναμιν ἡ παραβολὴ σκιογραφεῖ, κατὰ τὴν σὴν ἐξήγησιν, τί κωλύσειε καὶ προεισελθόντα καὶ καυσωθέντα, μὴ βασκαίνειν τοῖς τελευταίοις, ἵν' αὐτῷ τούτῳ πλέον ἔχῃς τῷ φιλανθρώπῳ καὶ χρέος, ἀλλὰ μὴ χάριν λαβεῖν τὴν ἀντίδοσιν; Ἔπειτα εἰσελθόντας ἐκεῖ **[388]** λαμβάνειν τοὺς ἐργάτας, οὐ διαμαρτόντας τοῦ ἀμπελῶνος· ὅ σοι παθεῖν κίνδυνος. Ὥστε εἰ μὲν ἦν δῆλον, ὅτι τεύξῃ τῆς δωρεᾶς, οὕτω φρονῶν καὶ ὑποκρατῶν τι κακούργως τῆς ἐργασίας, συγγνωστὸν ἦν σοι πρὸς τοὺς τοιούτους καταφεύγοντι λογισμοὺς καὶ παρακερδαίνειν τι βουλομένῳ τῆς τοῦ Δεσπότου φιλανθρωπίας· ἵνα μὴ λέγω, ὅτι καὶ αὐτὸ τὸ καμεῖν πλέον, πλείων μισθὸς τῷ μὴ πάντη καπηλικῷ τὴν διάνοιαν. Εἰ δὲ κίνδυνός σοι τοῦ ἀμπελῶνος παντελῶς ἐκπεσεῖν διὰ τῆς ἐμπορίας καὶ εἰς τὸ κεφάλαιον ζημιοῖ τὰ μικρὰ παρεκλέγων· φέρε, τοῖς ἐμοῖς πείσθητι λόγοις· ἀφεὶς τὰς

---

1. Πρβλ. Ματθ. 20,1 ἑξ.

τοιαύτας παρεξηγήσεις καὶ ἀντιθέσεις, ἀσυλλογίστως τῷ δώρῳ πρόσελθε, μὴ προαναρπασθῇς τῶν ἐλπίδων καὶ κατὰ σεαυτοῦ λάθῃς τὰ τοιαῦτα σοφιζόμενος.

ΚΒ′. Τί δέ; οὐχὶ φιλάνθρωπον, φησί, τὸ Θεῖον; Καὶ γνωστικὸν γὰρ ἐννοιῶν, δοκιμάζει τε τὴν ἔφεσιν καὶ ἀντὶ βαπτίσματος, ποιεῖται τὴν ὁρμὴν τοῦ βαπτίσματος. Αἰνίγματι λέγεις ὅμοιον, εἰ πεφωτισμένος ἐστὶ Θεῷ, διὰ τὸ φιλάνθρωπον, ὁ ἀφώτιστος ἢ καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐντὸς ὁ ταύτης τυχεῖν σπουδάζων, δίχα τοῦ πράττειν τὰ τῆς βασιλείας. Ἐγὼ δέ, ὡς ἔχω περὶ τούτων, εἰπεῖν θαρρήσω· οἶμαι δὲ καὶ τῶν ἄλλων συνθήσεσθαι τοὺς νοῦν ἔχοντας. Τῶν τυχόντων τῆς δωρεᾶς, οἱ μὲν παντελῶς ἦσαν ἀλλότριοι τοῦ Θεοῦ καὶ τῆς σωτηρίας, πᾶν εἶδος κακίας διεξελθόντες καὶ εἶναι κακοὶ σπουδάζοντες· οἱ δὲ ἡμιμόχθηροί πως καὶ μέσως ἔχοντες ἀρετῆς καὶ κακίας· οἳ τὸ μὲν κακὸν ἔπραξαν, τῷ πραττομένῳ δὲ οὐ συνήνεσαν, καθάπερ οἱ πυρέττοντες τῷ ἑαυτῶν ἀρρωστήματι. Οἱ δὲ καὶ πρὸ τῆς τελειώσεως ἦσαν ἐπαινετοί· οἱ μὲν ἐκ φύσεως, οἱ δὲ κατὰ σπουδὴν προκαθαίροντες ἑαυτοὺς τῷ βαπτίσματι· καὶ μετὰ τὴν τελειότητα πεφήνασι κρείττους καὶ ἀσφαλέστεροι· τὸ μέν, ἵνα τύχωσι τοῦ ἀγαθοῦ, τὸ δέ, ἵνα φυλάξωσιν. Ἐν τούτοις, βελτίους μὲν τῶν παντάπασι πονηρῶν, οἱ τῆς κακίας τι ὑφιέμενοι· βελτίους δὲ τῶν μικρόν τι ὑφιεμένων, οἱ σπουδαιότεροι καὶ προσαρώσαντες ἑαυτοὺς τοῦ βαπτίσματος· ἔχουσι γάρ τι πλέον, τὴν ἐργασίαν. Οὐ γάρ, ὥσπερ τῶν ἁμαρτημάτων ἐξάλειψιν ἔχει τὸ λουτρόν, οὕτω καὶ τῶν κατορθωμάτων ἀναίρεσιν. Τούτων δὲ αὐτῶν **[389]** βελτίους, οἱ καὶ γεωργοῦντες τὸ χάρισμα καὶ ὅτι μάλιστα εἰς κάλλος ἑαυτοὺς ἀποξέοντες.

ΚΓ′. Ὥστε καὶ τῶν ἀποτυγχανόντων, οἱ μέν εἰσι παντελῶς κτηνώδεις ἢ θηριώδεις, ὡς ἂν ἀνοίας ἢ πονηρίας ἔχωσιν· οἷς μετὰ τῶν ἄλλων κακῶν, οὐδὲ τὸ χάρισμα, οἶμαι, σφόδρα αἰδέσιμον, ἀλλ᾽ ὄντως χάρισμα· εἰ μὲν δοθείη, στεργόμενον· εἰ δὲ μὴ δοθείη, περιφρονούμενον. Οἱ δὲ γινώσκουσι μὲν καὶ τιμῶσι τὴν δωρεάν· ἀναβάλλονται δέ, οἱ μὲν διὰ ῥᾳθυμίαν, οἱ δὲ δι᾽ ἀπληστίαν. Οἱ δὲ οὐδέ εἰσιν ἐν δυνάμει τοῦ δέξασθαι ἢ διὰ νηπιότητα τυχὸν ἤ τινα τελέως ἀκούσιον περιπέτειαν, ἐξ ἧς οὐδὲ βουλομένοις αὐτοῖς ὑπάρχει τυχεῖν τοῦ χαρίσματος. Ὥσπερ οὖν ἐν ἐκείνοις πλείστην διαφορὰν εὕρομεν, οὕτω κἀν τούτοις. Χείρους μὲν οἱ παντάπασι καταφρονηταὶ τῶν ἀπληστοτέρων ἢ ῥᾳθυμοτέρων· χείρους δὲ οὗτοι τῶν ἐξ ἀγνοίας καὶ τυραννίδος ἀποπιπτόντων τῆς δωρεᾶς. Τυραννὶς γὰρ οὐκ ἄλλο τι ἢ ἀκούσιος διαμαρτία. Καὶ ἡγοῦμαι, τοὺς μὲν καὶ δίκας ὑφέξειν, ὥσπερ καὶ τῆς ἄλλης πονηρίας, οὕτω καὶ τῆς τοῦ λουτροῦ περιφρονήσεως· τοὺς δὲ ὑφέξειν μέν, ἧττον δέ, ὅτι μὴ κακίᾳ μᾶλλον ἢ ἀνοίᾳ τὴν ἀποτυχίαν εἰργάσαντο· τοὺς δέ, μήτε δοξασθήσεσθαι, μήτε κολασθήσεσθαι παρὰ τοῦ δικαίου κριτοῦ, ὡς ἀσφραγίστους μέν, ἀπονήρους δέ, ἀλλὰ παθόντας μᾶλλον τὴν ζημίαν ἢ δράσαντας. Οὐ γὰρ ὅστις οὐ

κολάσεως ἄξιος, ἤδη καὶ τιμῆς· ὥσπερ οὐδὲ ὅστις οὐ τιμῆς, ἤδη καὶ κολάσεως. Σκοπῶ δὲ κἀκεῖνο· εἰ κρίνεις φόνου τὸν φονικὸν ἐκ μόνου τοῦ βούλεσθαι καὶ δίχα τοῦ φόνου, βεβαπτίσθω σοι καὶ ὁ θελήσας τὸ βάπτισμα, δίχα τοῦ βαπτίσματος· εἰ δὲ οὐκ ἐκεῖνο, πῶς τοῦτο, συνιδεῖν οὐκ ἔχω. Εἰ βούλει δὲ οὕτως· εἰ ἀρκεῖ σοι πρὸς δύναμιν τοῦ βαπτίσματος ὁ πόθος καὶ διὰ τοῦτο δικάζῃ περὶ τῆς δόξης, ἀρκείτω σοι καὶ πρὸς δόξαν ἡ τῆς δόξης ἐπιθυμία. Καὶ τίς σοι βλάβη, τὸ μὴ τυχεῖν ταύτης, τὴν ἔφεσιν ἔχοντι;

[392] ΚΔ΄. Τοιγαροῦν, ἐπειδὴ τούτων ἠκούσατε τῶν φωνῶν, «Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ»[1], διαμαρτόντα τῆς χάριτος. Καὶ δέξασθε τὸν φωτισμὸν ἕως καιρός, ἵνα μὴ σκοτία ὑμᾶς καταδιώξῃ καὶ καταλάβῃ[2] χωρίσασα τοῦ φωτίσματος· «Ἔρχεται νύξ, ὅτε οὐδεὶς δύναται ἐργάσασθαι»[3], μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν. Ἐκείνη Δαβὶδ ἡ φωνή· αὕτη τοῦ ἀληθινοῦ φωτός, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον[4]. Οἴεσθε δὲ καὶ τὸν Σολομῶντα πικρῶς ὑμῖν ὀνειδίζειν τοῖς ἀργοτέροις ἢ νωθεστέροις. Ἕως πότε, ὀκνηρέ, κατάπεισαι; λέγοντα· Πότε δὲ ἐξ ὕπνου ἀναστήσῃ[5]; Τὸ καὶ τὸ σκήπτῃ καὶ προφασίζῃ «προφάσεις ἐν ἁμαρτίαις»[6]. Μένω τὰ Φῶτα· τὸ Πάσχα μοι τιμιώτερον· τὴν Πεντηκοστὴν ἐκδέξομαι· Χριστῷ συμφωτισθῆναι βέλτιον· Χριστῷ συναναστῆναι κατὰ τὴν ἀναστάσιμον ἡμέραν· τοῦ Πνεύματος τιμῆσαι τὴν ἐπιφάνειαν. Εἶτα τί; Ἦξει τὸ τέλος ἐξαίφνης ἐν ἡμέρᾳ, ᾗ οὐ προσδοκᾷς καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκεις[7]· εἶτα παραγίνεταί σοι, ὥσπερ κακὸς ὁδοιπόρος, ἡ πενία τῆς χάριτος καὶ λιμώξεις ἐν τοσούτῳ πλούτῳ τῆς ἀγαθότητος· δέον τὰ ἐναντία τῷ ἐναντίῳ καρποῦσθαι, τῷ ἀόκνῳ τὸν ἄμητον καὶ τῇ πηγῇ τὴν ἀνάψυξιν, ὥσπερ τὸν διψητικώτατον ἔλαφον[8], σπουδῇ ταῖς πηγαῖς προστρέχοντα καὶ σβεννύντα τὸν τοῦ δρόμου κόπον τῷ ὕδατι· ἀλλὰ μὴ τὸ τοῦ Ἰσμαὴλ παθεῖν, ἀνυδρίᾳ ξηραίνεσθαι[9]· ἢ τὸ τοῦ μύθου, ἐν μέσῃ πηγῇ δίψῃ κολάζεσθαι. Δεινὸν παρελθεῖν πανήγυριν καὶ τηνικαῦτα τὴν πραγματείαν ἐπιζητεῖν. Δεινὸν τὸ μάννα παραδραμεῖν καὶ τηνικαῦτα τροφῆς ἐφίεσθαι. Δεινὸν ὑστεροβουλία καὶ τὸ τηνικαῦτα τῆς ζημίας αἰσθάνεσθαι, ὅτε οὐκ ἔστι λύσις ζημίας, μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν καὶ τὸν πικρὸν συγκλεισμὸν τῶν ἑκάστῳ βεβιωμένων καὶ τὴν τῶν ἁμαρτωλῶν κόλασιν καὶ τὴν τῶν κεκαθαρμένων λαμπρότητα. Διὰ τοῦτο μὴ μέλλετε πρὸς τὴν χάριν· ἀλλ' ἐπείγεσθε, μὴ λῃστὴς ὑμᾶς προλάβῃ, μὴ μοιχὸς παραδράμῃ, μὴ ἄπληστος πλεονεκτήσῃ, μὴ φονεὺς προαρπάσῃ τὸ ἀγαθόν, μὴ τελώνης, μὴ πόρνος, μή τις τῶν βιαστῶν τῆς βασιλείας καὶ ἁρπακτῶν[10]. Βιάζεται γὰρ ἑκοῦσα καὶ τυραννεῖται δι' ἀγαθότητα.

---

1. Ψαλ. 33,6. 2. Πρβλ. Ἰω. 12,35. 3. Ἰω. 9,4. 4. Πρβλ. Ἰω. 1,9. 5. Πρβλ. Παρμ. 6,9. 6. Πρβλ. Ψαλ. 140,4. 7. Πρβλ. Λουκ. 12,46. 8. Πρβλ. Ψαλ. 41,2. 9. Πρβλ. Γεν. 21,15-19. 10. Πρβλ. Ματθ. 11,12.

[393] ΚΕ′. Βραδὺς ἴσθι πρὸς κακουργίαν, ὦ οὗτος, ταχὺς δὲ πρὸς σωτηρίαν, ἐμοὶ πειθόμενος· ἴσον γάρ ἐστι κακόν, ἑτοιμότης τε πρὸς τὸ χεῖρον καὶ μέλησις πρὸς τὸ βέλτιον. Ἐὰν ἐπὶ κῶμον κληθῇς, μὴ ταχύνῃς· ἐὰν ἐπ᾽ ἄρνησιν, ἀποπήδησον· ἐὰν εἴπῃ σοι πονηρὸν ἐργαστήριον· «Ἐλθὲ μεθ᾽ ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως»[1]· μηδὲ τὰς ἀκοὰς ὑπόσχῃς. Δύο γὰρ τὰ μέγιστα κερδανεῖς· ἐκείνῳ τε γνωριεῖς τὴν ἁμαρτίαν καὶ σαυτὸν ἐξαιρήσεις πονηρᾶς κοινωνίας. Ἂν δέ σοι λέγῃ Δαβὶδ ὁ μέγας· «Δεῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ»[2]· ἐὰν δὲ προφήτης ἄλλος· «Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου»[3]· ἐὰν δὲ αὐτὸς ὁ Σωτήρ· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς»[4]· ἤ, «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν»[5], λαμπροὶ λαμπρῶς ὑπὲρ χιόνα λάμψαντες, ὑπὲρ γάλα τυρωθέντες, ὑπὲρ λίθον σάπφειρον αὐγασθέντες[6]· μὴ ἀντιτείνωμεν, μὴ βραδύνωμεν. Γενώμεθα Πέτρος καὶ Ἰωάννης[7]· ὡς ἐπὶ τὸν τάφον ἐκεῖνοι καὶ τὴν ἀνάστασιν, οὕτως ἐπὶ τὸ λουτρὸν αὐτοὶ σπεύδωμεν, συντρέχοντες, ἀντιτρέχοντες, ὅπως ἂν τὸ ἀγαθὸν προλάβωμεν ἀγωνιζόμενοι. Καὶ μὴ εἴπῃς, Ἀπελθὼν ἐπάνηκε καὶ αὔριον βαπτισθήσομαι, δυνατὸς ὢν σήμερον εὖ παθεῖν· παρέστω μοι μήτηρ, παρέστω μοι πατήρ, ἀδελφοί, γυνή, τέκνα, φίλοι, πᾶν ὅ τί μοι τίμιον καὶ τηνικαῦτα σωθήσομαι· νῦν δὲ οὔπω μοι καιρὸς λαμπρύνεσθαι. Δέος γάρ, μὴ κοινωνοὺς λάβῃς πένθους, οὓς εὐφροσύνης κοινωνοὺς ἤλπισας. Ἐὰν μὲν παρῶσιν, ἀγαπητέον· ἐὰν δὲ ἀπῶσι, μὴ ἀναμείνῃς. Αἰσχρὸν γὰρ εἰπεῖν· Ποῦ δέ μοι τὸ καρποφορούμενον ἐπὶ τῷ βαπτίσματι; Ποῦ δὲ ἡ ἐμφώτειος ἐσθής, ἣ λαμπρυνθήσομαι; Ποῦ δὲ τὰ πρὸς δεξίωσιν τῶν ἐμῶν βαπτιστῶν, ἵνα κἀν τούτοις εὐδοκιμήσω; Πάνυ γάρ, ὡς ὁρᾷς, ἐστὶ ταῦτα τῶν ἀναγκαίων καὶ παρὰ τοῦτο ἡ χάρις ἐλαττωθήσεται. Μὴ μικρολογοῦ περὶ τὰ μεγάλα· μηδὲν ἀγεννὲς πάθῃς. Μεῖζον τῶν ὁρωμένων ἐστὶ τὸ μυστήριον· σαυτὸν καρποφόρησον· Χριστὸν ἔνδυσαι, θρέψον με πολιτείᾳ· οὕτως ἐγὼ χαίρω φιλοφρονούμενος· οὕτω καὶ Θεός, ὁ τὰ μέγιστα χαριζόμενος. Οὐδὲν τῷ Θεῷ μέγα, ὃ μὴ καὶ πένης δίδωσιν, ἵνα μὴ κἀνταῦθα παρωθῶνται οἱ πένητες· οὐ γὰρ ἔχουσιν, ὅπως τοῖς πλουσίοις ἀμιλληθῶσιν. Ἐν ἄλλοις μὲν ἡ διαφορὰ τοῦ **[396]** πλουτεῖν καὶ τοῦ πένεσθαι· ἐνταῦθα δὲ ὁ προθυμότερος, πλουσιώτερος.

ΚΣ′. Μηδὲν ἐπεχέτω σε τοῦ πρόσω· μηδὲν ἀνθελκέτω σου τὴν προθυμίαν. Ἕως σφοδρὸς ὁ πόθος, λαβοῦ τοῦ ποθουμένου· ἕως θερμὸς ὁ σίδηρος, τῷ ψυχρῷ στομωθήτω, μή τι παρεμπέσῃ μέσον καὶ διακόψῃ τὸν πόθον. Φίλιππός εἰμι· γενοῦ Κανδάκης. Εἰπὲ καὶ αὐτός· «Ἰδοὺ τὸ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;»[8] Ἅρπασον τὸν καιρόν· τῷ ἀγαθῷ περιχάρηθι· καὶ εἰπών, βαπτίσθητι καὶ βαπτισθεὶς σώθητι·

---

1. Παμ. 1,11. 2. Ψαλ. 94,1. 3. Μιχ. 4,2. 4. Ματθ. 11,28. 5. Ἰω. 14,31. 6. Πρβλ. Θρ. 4,7. 7. Πρβλ. Ἰω. 20,3. 8. Πράξ. 8,36.

κἂν ᾖς Αἰθίοψ τὸ σῶμα, τὴν ψυχὴν λευκάνθητι. Τύχε τῆς σωτηρίας, ἧς οὐδὲν ὑψηλότερον, οὐδὲ τιμιώτερον τοῖς γε νοῦν ἔχουσι. Μὴ εἴπῃς· Ἐπίσκοπος βαπτισάτω με, καὶ οὗτος μητροπολίτης, ἢ Ἱεροσολυμίτης (οὐ γὰρ τόπων ἡ χάρις, ἀλλὰ τοῦ Πνεύματος) καὶ οὗτος τῶν εὖ γεγονότων. Δεινὸν γάρ, εἰ τῷ βαπτιστῇ τὸ εὐγενές μου καθυβρισθήσεται· ἢ πρεσβύτερος μέν, ἀλλὰ καὶ οὗτος τῶν ἀγάμων καὶ οὗτος τῶν ἐγκρατῶν καὶ ἀγγελικῶν τὴν πολιτείαν· δεινὸν γάρ, εἰ ἐν καιρῷ καθάρσεως ῥυπωθήσομαι. Μὴ ζήτει ἀξιοπιστίαν τοῦ κηρύσσοντος μηδὲ τοῦ βαπτίζοντος. Ἄλλος ὁ τούτων κριτὴς καὶ τῶν ἀφανεστέρων δοκιμαστής· ἐπειδή, ἄνθρωπος μὲν εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν[1]. Σοὶ δὲ πᾶς ἀξιόπιστος εἰς τὴν κάθαρσιν· μόνον ἔστω τις τῶν ἐγκρίτων καὶ μὴ τῶν προδήλως κατεγνωσμένων, μηδὲ τῆς Ἐκκλησίας ἀλλότριος. Μὴ κρῖνε τοὺς κριτάς, ὁ χρήζων τῆς ἰατρείας· μηδὲ φιλοκρίνει μοι τὰς ἀξίας τῶν σὲ καθαιρόντων, μηδὲ διακρίνου πρὸς τοὺς γεννήτορας. Ἄλλος μὲν ἄλλου κρείττων ἢ ταπεινότερος· σοῦ δὲ πᾶς ὑψηλότερος. Σκόπει δὲ οὕτως· Ἔστω χρυσός, ἔστω σίδηρος, δακτύλιοι δὲ ἀμφότεροι καὶ τὴν αὐτὴν ἐγκεχαράχθωσαν εἰκόνα βασιλικήν, εἶτα κηρὸν ἐντυπούτωσαν· τί διοίσει ἡ σφραγὶς αὕτη τῆς σφραγῖδος ἐκείνης; Οὐδέν. Ἐπίγνωθι τὴν ὕλην ἐν τῷ κηρῷ, κἂν ἧς σοφώτατος· εἰπέ, τί μὲν τοῦ σιδήρου, τί δὲ τοῦ χρυσοῦ τὸ ἐκσφράγισμα καὶ πῶς ἕν ἐστι· τῆς γὰρ ὕλης τὸ διάφορον, οὐ τοῦ χαρακτῆρος. Οὕτως ἔστω σοι πᾶς βαπτιστής. Κἂν τῇ πολιτείᾳ προέχῃ, ἀλλ' ἥ γε τοῦ βαπτίσματος δύναμις ἴση· καὶ τελειοποιός σοι πᾶς ὁμοίως, ὁ τῇ αὐτῇ πίστει μεμορφωμένος.

ΚΖ′. Μὴ ἀπαξιώσῃς συμβαπτισθῆναι πένητι, πλούσιος ὤν, ὁ εὐπατρίδης τῷ δυσγενεῖ, ὁ δεσπότης τῷ δούλῳ μέχρι τοῦ νῦν. Οὔπω τοσοῦτον ταπεινοφρονή**[397]**σεις, ὅσον Χριστός, ᾧ σὺ βαπτίζῃ σήμερον, ὃς διὰ σὲ καὶ δούλου μορφὴν ἐδέξατο[2]. Ἀφ' ἧς ἡμέρας μεταποιῇ πάντες εἶξαν οἱ παλαιοὶ χαρακτῆρες· μιᾷ μορφῇ πᾶσι Χριστὸς ἐπιτέθειται. Μὴ ἀπαξιώσῃς ἐξαγορεῦσαί σου τὴν ἁμαρτίαν, εἰδὼς ὅπως Ἰωάννης ἐβάπτισεν, ἵνα τὴν ἐκεῖθεν αἰσχύνην τῇ ἐνταῦθα φύγῃς (ἐπειδὴ μέρος καὶ τοῦτο τῆς ἐκεῖσε κολάσεως) καὶ δείξῃς, ὅτι τὴν ἁμαρτίαν ὄντως μεμίσηκας, παραδειγματίσας αὐτὴν καὶ θριαμβεύσας, ὡς ἀξίαν ὕβρεως. Μὴ διαπτύσῃς ἐξορκισμοῦ θεραπείαν, μηδὲ πρὸς τὸ μῆκος ταύτης ἀπαγορεύσῃς. Βάσανός ἐστι καὶ αὕτη τῆς περὶ τὸ χάρισμα γνησιότητος. Τί τοσοῦτον πονήσεις, οἷον ἡ τῶν Αἰθιόπων βασίλισσα, ἐκ τῶν περάτων τῆς γῆς ἀπαναστᾶσα, ἵνα ἴδῃ τὴν σοφίαν Σολομῶντος; Καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε[3], παρὰ τοῖς τελείως λογιζομένοις. Μὴ κατοκνήσῃς, μὴ ὁδοῦ μῆκος, μὴ μέτρα θαλάσσης, μὴ πῦρ, εἰ καὶ τοῦτο πρόκειται, μὴ ἄλλο μηδέν, ἢ μικρὸν ἢ μεῖζον

---

2. Πρβλ. Α′ Βασ. 16,7. 2. Πρβλ. Φιλιπ. 2,7. 3. Πρβλ. Ματθ. 12,42. Γ′ Βασ. 10,1 ἑξ.

τῶν κωλυμάτων, ὥστε τυχεῖν τοῦ χαρίσματος. Εἰ δέ σοι μηδὲν πονήσαντι, μηδὲ πραγματευσαμένῳ, τυχεῖν ἔξεστι τοῦ ποθουμένου, πόσης εὐηθείας τὴν δωρεὰν ἀναβάλλεσθαι; «Οἱ διψῶντες, φησί, πορεύεσθε ἐφ' ὕδωρ (Ἡσαΐας διακελεύεταί σοι)· καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ πίεσθε οἶνον»[1], ἄνευ ἀργυρίου τιμῆς. Ὢ τοῦ τάχους τῆς φιλανθρωπίας! Ὢ τῆς εὐκολίας τοῦ συναλλάγματος! Ὠνιόν σοι τοῦτο τοῦ θελῆσαι μόνον τὸ ἀγαθόν· αὐτὴν τὴν ὁρμὴν ἀντὶ τοῦ μεγάλου τιμήματος δέχεται. Διψᾷ τὸ διψᾶσθαι· ποτίζει τοὺς πιεῖν ἐθέλοντας· εὐεργετεῖται, τὴν εὐεργεσίαν αἰτούμενος· πρόχειρός ἐστι μεγαλόδωρος· δίδωσιν ἥδιον ἢ λαμβάνουσιν ἕτεροι. Μόνον μὴ μικρολογίαν καταγνωσθῶμεν τοῦ μικρὰ αἰτεῖν καὶ τοῦ διδόντος ἀνάξια. Μακάριος, ὃν αἰτεῖ πόμα Χριστός, ὡς τὴν Σαμαρεῖτιν ἐκείνην, «Καὶ δίδωσι πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον»[2]. Μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ[3] καὶ πᾶσαν ψυχήν, αὔριον ἀρουμένην καὶ ἀρδομένην, ἢν βοῦς καὶ ὄνος πατεῖ σήμερον, χέρσον τε οὖσαν καὶ ἄνυδρον καὶ ἀλογίᾳ πιεζομένην. Μακάριος, ὃς κἂν χειμάρρους ᾖ σχοίνων, ἐξ οἴκου Κυρίου ποτίζεται[4] καὶ γίνεται σιτοφόρος ἀντὶ σχοινοφόρου καὶ γεωργεῖ τροφὴν ἀνθρωπίνην, ἀλλ' οὐ τραχεῖάν τε καὶ ἀνόνητον. Ὑπὲρ οὗ πᾶσαν εἰσενεκτέον σπουδήν, ὥστε μὴ διαμαρτεῖν τῆς κοινῆς χάριτος.

[400] ΚΗ'. Ἔστω ταῦτα, φησί, περὶ τῶν ἐπιζητούντων τὸ βάπτισμα. Τί δ' ἂν εἴποις περὶ τῶν ἔτι νηπίων καὶ μήτε τῆς ζημίας ἐπαισθανομένων, μήτε τῆς χάριτος; ἢ καὶ ταῦτα βαπτίσομεν; Πάνυ γε, εἴπερ τις ἐπείγοι κίνδυνος. Κρεῖσσον γὰρ ἀναισθήτως ἁγιασθῆναι ἢ ἀπελθεῖν ἀσφράγιστα καὶ ἀτέλεστα. Καὶ τούτου λόγος ἡμῖν, ἡ ὀκταήμερος περιτομή[5], τυπική τις οὖσα σφραγὶς καὶ ἀλογίστοις ἔτι προσαγομένη· ὡς δὲ καὶ ἡ τῶν φλιῶν χρίσις, διὰ τῶν ἀναισθήτων φυλάττουσα τὰ πρωτότοκα. Περὶ δὲ τῶν ἄλλων δίδωμι γνώμην, τὴν τριετίαν ἀναμείναντας ἢ μικρὸν ἐντὸς τούτου (ἢ ὑπὲρ τοῦτο ἡνίκα καὶ ἀκοῦσαί τι μυστικὸν καὶ ἀποκρίνεσθαι δυνατόν, εἰ καὶ μὴ συνιέντα τελείως, ἀλλ' οὖν τυπούμενα), οὕτως ἁγιάζειν καὶ ψυχὰς καὶ σώματα τῷ μεγάλῳ μυστηρίῳ τῆς τελειώσεως. Καὶ γὰρ οὕτως ἔχει· Τοῦ μὲν βίου τὰς εὐθύνας τηνικαῦτα ὑπέχειν ἄρχονται, ἡνίκα ἂν ὅτε λόγος συμπληρωθῇ καὶ τὸ μυστήριον μάθωσι (τῶν γὰρ ἐξ ἀγνοίας ἁμαρτημάτων παρὰ τῆς ἡλικίας αὐτοῖς τὸ ἀνεύθυνον)· τετειχίσθαι δὲ τῷ λουτρῷ, παντὶ λόγῳ λυσιτελέστερον, διὰ τὰς ἐξαίφνης συμπιπτούσας ἡμῖν προσβολὰς τῶν κινδύνων καὶ βοηθείας ἰσχυροτέρας.

ΚΘ'. Ἀλλὰ Χριστός, φησί, τριακονταέτης βαπτίζεται[6], καὶ ταῦτα Θεὸς ὤν· καὶ σὺ κελεύεις ἐπισπεύδειν τὸ βάπτισμα; Θεὸν εἰπών, λέλυκας τὸ ζητούμενον. Ὁ μὲν γὰρ αὐτοκάθαρσις ἦν καὶ οὐκ ἐδεῖτο

---

1. Ἡσ. 55,1. 2. Ἰω. 4,7. 3. Πρβλ. Ἡσ. 32,20. 4. Πρβλ. Ἰωὴλ 4,18. 5. Πρβλ. Γεν. 17,12. 6. Πρβλ. Λουκ. 3,23.

καθάρσεως· ἀλλὰ σοὶ καθαίρεται, ὥσπερ καὶ σάρκα φορεῖ σοί, ἄσαρκος ὤν. Οὐδέ τις κίνδυνος ἦν αὐτῷ τὸ βάπτισμα παρατείνοντι· αὐτὸς γὰρ καὶ τοῦ παθεῖν ἦν ἑαυτῷ ταμίας, ὥσπερ καὶ τῆς γεννήσεως. Σοὶ δέ, οὐδὲ περὶ μικρῶν ὁ κίνδυνος, εἰ ἀπέλθοις τῇ φθορᾷ γεννηθεὶς μόνῃ καὶ μὴ τὴν ἀφθαρσίαν ἀμφιεσάμενος. Σκοπῶ δὲ κἀκεῖνο, ὅτι τῷ μὲν ἀναγκαῖος ἦν οὗτος ὁ καιρὸς τοῦ βαπτίσματος· σοὶ δὲ οὐχ ὁ αὐτὸς λόγος. Ἀνεδείχθη μὲν γὰρ τριακοστὸν γεγονὼς ἔτος, οὐ πρότερον, τοῦ τε μὴ δοκεῖν ἐπιδεικτικός εἶναί τις (τῶν γὰρ ἀπειροκάλων τὸ πάθος) καὶ ὡς τελείαν βάσανον ἀρετῆς καὶ τοῦ διδάσκειν καιρὸν ταύτης ἐχούσης τῆς ἡλικίας. Ἐπεὶ δὲ παθεῖν τὸ τοῦ κόσμου σωτήριον πάθος, πάντα συνδραμεῖν ἔδει πρὸς τὸ πάθος ὅσα τοῦ πάθους, τὴν ἀνάδειξιν, τὸ βάπτισμα, τὴν ἄνωθεν μαρτυρίαν, τὸ κήρυγμα, τὴν συνδρομὴν τοῦ πλήθους; τὰ θαύματα, καὶ ὥσπερ ἓν σῶμα γενέσθαι, μὴ διεσπασμένον, μηδὲ ἀπερρηγμένον τοῖς διαστήμασιν. Ἐκ μὲν γὰρ **[401]** τοῦ βαπτίσματος καὶ τοῦ κηρύγματος, ὁ τῶν συντρεχόντων σεισμὸς[1] (οὕτω γὰρ ἡ Γραφὴ καλεῖ τὸν καιρὸν ἐκεῖνον), ἐκ δὲ τοῦ πλήθους, ἡ τῶν σημείων ἐπίδειξις καὶ τὰ θαύματα τῷ Εὐαγγελίῳ προσάγοντα. Ἐκ δὲ τούτων, ὁ φθόνος· ἐκ δὲ τούτου, τὸ μῖσος· ἐκ δὲ τοῦ μίσους, τὸ τῆς ἐπιβουλῆς καὶ τῆς προδοσίας· ἐκ τούτου δέ, ὁ σταυρὸς καὶ ὅσοις σεσώσμεθα. Τὰ μὲν δὴ τοῦ Χριστοῦ τοιαῦτα καὶ οὕτως ἔχοντα, ὅσον ἡμῖν ἐφικτόν· τάχα δ' ἄν τις καὶ ἄλλος εὑρεθείη λόγος τούτων ἀπορρητότερος.

Λ'. Σοὶ δὲ τὶς ἀνάγκη, τοῖς ὑπὲρ σὲ ὑποδείγμασιν ἑπομένῳ, κακῶς βουλεύεσθαι· ἐπεὶ καὶ ἄλλα πολλὰ τῶν τηνικαῦτα ἱστορουμένων ἑτέρως ἢ ὡς τὰ νῦν ἔχοντα φαίνεται, καὶ οὐ συμβαίνοντα τοῖς καιροῖς; Οἷον, ἐνήστευσε μικρὸν πρὸ τῆς πείρας, ἡμεῖς πρὸ τοῦ Πάσχα· τὸ μὲν τῶν νηστειῶν ἕν, οὐ μικρὸν δὲ ἀμφοτέρων τῶν καιρῶν τὸ διάστημα. Ὁ μὲν γὰρ κατὰ τῶν πειρασμῶν ταύτας προβάλλεται· ἡμῖν δὲ τὴν συνέκρωσιν Χριστοῦ τοῦτο δύναται καὶ κάθαρσίς ἐστι προεόρτιος. Καὶ ὁ μὲν νηστεύει τεσσαράκοντα ἡμέρας (Θεὸς γὰρ ἦν), ἡμεῖς δὲ τῇ δυνάμει τοῦτο συνεμετρήσαμεν, εἰ καί τινας ἄττειν ὁ ζῆλος πείθει καὶ ὑπὲρ δύναμιν. Πάλιν μυσταγωγεῖ τὸ Πάσχα τοὺς μαθητὰς ἐν ὑπερῴῳ καὶ μετὰ τὸ δεῖπνον καὶ πρὸ μιᾶς τοῦ παθεῖν ἡμέρας· ἡμεῖς ἐν προσευχῇς οἴκοις καὶ πρὸ τοῦ δείπνου καὶ μετὰ τὴν ἀνάστασιν. Ἀνίσταται τριήμερος, ἡμεῖς μετὰ πολὺν χρόνον· καὶ οὔτε ἀπέρρηκται τῶν ἐκείνου τὰ ἡμέτερα, οὔτε συνέζευκται χρονικῶς· ἀλλ' ὅσον τύπος τις εἶναι τῶν ἡμετέρων παραδοθέντα, τὸ πάντη παραπλήσιον διαπέφευγεν. Τί οὖν θαυμαστὸν καὶ τὸ βάπτισμα παρειλῆφθαι μὲν δι' ἡμᾶς, τῷ χρόνῳ δὲ διαφέρειν; Ὃ σύ μοι δοκεῖς ὡς μέγα τι καὶ θαυμαστὸν οἷον προβάλλεσθαι κατὰ τῆς ἑαυτοῦ σωτηρίας.

ΛΑ'. Εἴ τι οὖν ἐμοὶ πείθεσθε, τοὺς μὲν τοιούτους λόγους χαί-

---

1. Πρβλ. Ματθ. 21,10.

ρειν ἐάσατε· αὐτοὶ δὲ τῷ ἀγαθῷ προσπηδήσατε καὶ διπλοῦν ἀγῶνα ἀγωνιεῖσθε· τὸν μὲν προκαθαίρειν ὑμᾶς αὐτοὺς τοῦ βαπτίσματος, τὸν δὲ συντηρεῖν τὸ βάπτισμα· ἐπειδὴ τῆς αὐτῆς ἐστι δυσχερείας καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον καὶ κτηθὲν διασώσασθαι. Πολλάκις γὰρ ὃ μὲν σπουδὴ προσέλαβε, ῥᾳθυμία διέφθειρεν· ὃ δὲ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια. Καλόν σοι βοήθημα πρὸς τὸ τυχεῖν, ὧν ἐπιποθεῖς, ἀγρυπνίαι, νηστεῖαι, χαμευ**[404]**νίαι, προσευχαί, δάκρυον, οἶκτος τῶν δεομένων, μετάδοσις. Τοῦτό σοι γενέσθω, ὧν τετύχηκας, εὐχαριστήριόν τε ἅμα καὶ φυλακτήριον. Ἔχεις πολλῶν ἐντολῶν ὑπόμνημα, τὴν εὐεργεσίαν· μὴ παραδράμῃς. Πένης προσῆλθε; μνήσθητι πόσον πτωχεύων, πόσον ἐπλούτησας. Ἄρτου δεόμενος ἢ πόματος, Λάζαρος ἴσως τις ἄλλος τοῖς σοῖς πυλῶσι προσερριμμένος[1]; Αἰδέσθητι τὴν μυστικὴν τράπεζαν, ᾗ προσῆλθες· τὸν ἄρτον, οὗ μετείληφας· τὸ ποτήριον, οὗ κεκοινώνηκας τοῖς Χριστοῦ πάθεσι τελειούμενος. Ξένος προσέπεσεν, ἄοικος, παρεπίδημος; Ὑπόδεξαι διὰ τούτου τὸν διὰ σὲ ξενιτεύσαντα καὶ ταῦτα ἐν τοῖς ἰδίοις καὶ εἰσοικισθέντα σοι διὰ τῆς χάριτος καὶ πρὸς τὴν ἄνω κατοικίαν ἑλκύσαντα. Γενοῦ Ζακχαῖος[2], ὁ χθὲς τελώνης καὶ σήμερον μεγαλόψυχος· πάντα τῇ εἰσόδῳ τοῦ Χριστοῦ καρποφόρησον, ἵνα μέγας ἀναφανῇς, κἂν μικρὸς ᾖς τὴν σωματικὴν ἡλικίαν, καλῶς Χριστὸν θεασάμενος. Ἄρρωστος πρόκειται καὶ τραυματίας; τὴν σὴν ὑγίειαν αἰδέσθητι καὶ τὰ τραύματα, ὧν σε Χριστὸς ἠλευθέρωσεν. «Ἐὰν ἴδῃς γυμνόν, περίβαλε»[3], τὸ σὸν τιμῶν ἔνδυμα τῆς ἀφθαρσίας. Χριστὸς δὲ τοῦτό ἐστιν· ἐπειδὴ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνδεδύμεθα[4]. Ἐὰν χρεωφειλέτην λάβῃς προσπίπτοντα[5], πᾶσαν συγγραφὴν ἄδικον καὶ δικαίαν διάσπασον. Μνήσθητι τῶν μυρίων ταλάντων, ὧν σοι Χριστὸς ἐχαρίσατο. Μὴ γένῃ πράκτωρ πικρὸς τοῦ ἐλάττονος χρέους. Καὶ ταῦτα τίσι; Τοῖς ὁμοδούλοις, ὁ τὸ πλέον παρὰ τοῦ Δεσπότου συγχωρηθείς, μὴ καὶ τῆς ἐκείνου φιλανθρωπίας ὑπόσχῃς δίκην, ἣν οὐκ ἐμιμήσω λαβὼν ὑπόδειγμα.

ΛΒ′. Γενέσθω σοι τὸ λουτρόν, μὴ τοῦ σώματος μόνον, ἀλλὰ καὶ τῆς εἰκόνος· μὴ τῶν ἁμαρτημάτων ἔκπλυσις μόνον, ἀλλὰ καὶ τοῦ τρόπου διόρθωσις· μὴ τὸν προλαβόντα βόρβορον ἀποκλυζέτω μόνον, ἀλλὰ καὶ τὴν πηγὴν καθαιρέτω· μὴ τὸ καλῶς κτᾶσθαι τυπούτω μόνον, ἀλλὰ καὶ τὸ καλῶς ἀποκτᾶσθαι ᾖ, τό γε κουφότατον, τὸ κακῶς κτηθὲν ἀποτίθεσθαι. Τί γὰρ ὄφελος σοὶ μὲν συγχωρηθῆναι τὴν ἁμαρτίαν, τῷ δὲ ἠδικημένῳ μὴ λυθῆναι τὴν παρὰ σοῦ ζημίαν· δύο σοι κακῶν ὄντων, τοῦ τε κτήσασθαι μὴ δικαίως καὶ τοῦ τὸ κτηθὲν κατέχεσθαι; Τοῦ μὲν ἄφεσιν ἔλαβες, τὸ δὲ σήμερον ἀδικεῖς. Σήμερον γάρ **[405]** ἐστι παρὰ σοὶ τὸ ἀλλότριον· καὶ οὐκ ἀνῃρέθη τὸ

---

1. Πρβλ. Λουκ. 16,20 ἑξ. 2. Πρβλ. Λουκ. 19,2 ἑξ. 3. Ἡσ. 58,7. 4. Πρβλ. Γαλ. 3,27. 5. Πρβλ. Ματθ. 18,26.

ἁμάρτημα, τῷ χρόνῳ δὲ διεκόπη. Τὸ μὲν πρὸ τοῦ βαπτίσματος τολμηθέν, τὸ δὲ μόνον μετὰ τὸ βάπτισμα· τῶν γὰρ ἡμαρτημένων, οὐ τῶν ἁμαρτανομένων τὸ λουτρὸν ἔχει συγχώρησιν. Δεῖ δέ μὴ σοφισθῆναι τὸν καθαρμόν, ἀλλ' ἐνσημανθῆναι· λαμπρυνθῆναί σε τελείως, ἀλλὰ μὴ χρωσθῆναι· μηδὲ ἐπικάλυψιν τῶν ἁμαρτιῶν, ἀλλ' ἀπαλλαγὴν ἔχειν τὸ χάρισμα. «Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι»[1]· τοῦτο τῆς παντελοῦς καθάρσεως· «καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι»[2]· τοῦτο τῶν οὔπω τὸ βάθος καθηραμένων. «Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν»[3]· τρίτη τις αὕτη τάξις τῶν ἁμαρτανομένων· ὧν ἡ μὲν πρᾶξις οὐκ ἐπαινετή, τὸ δὲ τῆς γνώμης ἀνεύθυνον.

ΛΓ'. Τί οὖν φημι, καὶ τίς ὁ ἐμὸς λόγος; χθὲς ἦσθα Χαναναία ψυχὴ[4] καὶ διὰ τῆς ἁμαρτίας συγκύπτουσα[5]· σήμερον ἀνωρθώθης ὑπὸ τοῦ Λόγου. Μὴ συγκύψῃς πάλιν καὶ εἰς γῆν κλιθῇς, ὥσπερ κύφωνι παρὰ τοῦ πονηροῦ βαρηθεῖσα καὶ δυσανάκλητον ἔχῃς τὴν ταπεινότητα. Χθὲς ἐξηραίνου θάλλουσα τῇ αἱμορροίᾳ[6] (ἐπήγαζες γὰρ τὴν φοινικὴν ἁμαρτίαν)· σήμερον ἀνέθηλας ξηρανθεῖσα. Ἤψω γὰρ τῶν Χριστοῦ κρασπέδων καὶ τὴν ῥύσιν ἔστησας. Φύλασσέ μοι τὴν κάθαρσιν, μὴ πάλιν αἱμορροήσῃς καὶ οὐκ ἰσχύσῃς λαβέσθαι Χριστοῦ, ἵνα κλέψῃς τὴν σωτηρίαν. Οὐ γὰρ πολλάκις φιλεῖ Χριστὸς κλεπτόμενος καὶ εἰ λίαν ἐστὶ φιλάνθρωπος. Χθὲς ἐπὶ κλίνης ἔρριψο παρειμένος καὶ λελυμένος καὶ οὐκ εἶχες ἄνθρωπον, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ σε εἰς τὴν κολυμβήθραν[7]· σήμερον εὗρες ἄνθρωπον, τὸν αὐτὸν καὶ Θεόν, μᾶλλον δέ, Θεὸν καὶ ἄνθρωπον. Ἦρθης ἀπὸ τοῦ κραββάτου, μᾶλλον δὲ ἦρας τὸν κράββατον καὶ ἐστηλίτευσας τὴν εὐεργεσίαν· μὴ πάλιν ἐπὶ κραββάτου ῥιφῇς ἁμαρτήσας, τῆς κακῆς τοῦ σώματος ἀναπαύσεως παρειμένου ταῖς ἡδοναῖς· ἀλλ' ὡς ἔχεις, βάδιζε μεμνημένος τῆς ἐντολῆς· «Ἰδοὺ ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται»[8], κακῷ φανέντι μετὰ τὴν εὐποιίαν. «Λάζαρε, δεῦρο ἔξω»[9], ἤκουσας τῆς μεγάλης φωνῆς ἐν τάφῳ κείμενος (τί γὰρ τοῦ Λόγου μεγαλοφωνότερον;) καὶ προῆλθες, οὐ τετραήμερος νεκρός, ἀλλὰ πολυήμερος, τῷ τριημέρῳ συναναστάς, καὶ τῶν ἐνταφίων δεσμῶν ἐξελύθης. Μὴ νεκρωθῇς πάλιν καὶ γένῃ μετὰ τῶν **[408]** κατοικούντων ἐν τάφοις, μηδὲ κατασφιγγῇς ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτημάτων· ἄδηλον ὅν, εἰ πάλιν ἐξαναστήσῃ τῶν τάφων, μέχρι τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως ἢ πᾶν τὸ ποίημα ἄξει εἰς κρίσιν, οὐ θεραπευθησόμενον, ἀλλὰ κριθησόμενον καὶ λόγον ὑφέξον, ὧν εὖ ἢ κακῶς ἐθησαύρισεν.

ΛΔ'. Εἰ λέπραν ἔβρυες τέως τὴν ἄμορφον πονηρίαν, ἀπεξέσθης δὲ τῆς κακῆς ὕλης καὶ τὴν εἰκόνα σώαν ἀπέλαβες, δεῖξον ἐμοὶ

---

1. Ψαλ. 31,1. 2. Ψαλ. 31,2. 3. Πρβλ. Ματθ. 15,22. 4. Πρβλ. Λουκ. 13,11. 5. Πρβλ. Λουκ. 8,43 ἑξ. 6. Πρβλ. Ἰω. 5,7. 7. Ἰω. 5,2. 8. Ἰω. 11,43. 9. Πρβλ. Ψαλ. 67,7.

τῷ ἱερεῖ σου τὴν κάθαρσιν[1], ἵνα γνῶ, πόσον τῆς νομικῆς αὕτη τιμιωτέρα. Γενοῦ μὴ τῶν ἐννέα τῶν ἀχαρίστων, ἀλλὰ τὸν δέκατον μίμησαι· καὶ γὰρ εἰ Σαμαρείτης ἦν, ἀλλὰ τῶν ἄλλων εὐγνωμονέστερος. Ἀσφάλισαι, μὴ πάλιν κακῶς ἐξανθήσῃς καὶ δυσθεράπευτον ἕξῃς τὴν ἀνωμαλίαν[2] τοῦ σώματος. Πρώην ἐξήραινέ σου τὴν χεῖρα μικρολογία καὶ φειδωλία· σήμερον ἐκτεινάτω μετάδοσις καὶ φιλανθρωπία. Καλὴ θεραπεία χειρὸς ἀρρωστούσης, σκορπίζειν, διδόναι τοῖς πένησιν, ἐξαντλεῖν ὧν ἔχομεν δαψιλῶς, μέχρις ἂν καὶ τοῦ πυθμένος ἀψώμεθα (ἴσως καὶ οὗτος πηγάσει σοι τροφήν, καθάπερ τῇ Σαραφθίᾳ καὶ μάλιστα εἰ τύχοις Ἠλίαν τρέφουσα)[3], καλὴν εὐπορίαν εἰδέναι, τὸ διὰ Χριστὸν ἀπορεῖν, τὸν δι' ἡμᾶς πτωχεύσαντα. Εἰ κωφὸς ἦσθα καὶ ἄλαλος[4], ὁ Λόγος ἐνηχησάτω σοι· μᾶλλον δὲ κάτασχε τὸν ἐνηχήσαντα. Μὴ κλείσῃς τὰ ὦτα πρὸς παιδείαν Κυρίου καὶ νουθεσίαν, ὡς ἀσπὶς πρὸς ἐπάσματα. Εἰ τυφλὸς[5] καὶ ἀφώτιστος, φώτισον τοὺς ὀφθαλμούς σου «μή ποτε ὑπνώσῃς εἰς θάνατον»[6]. Ἐν τῷ φωτὶ Κυρίου θέασαι φῶς[7], ἐν τῷ Πνεύματι τοῦ Θεοῦ τὸν Υἱὸν αὐγάσθητι, τὸ τρισσὸν φῶς καὶ ἀμέριστον. Ἐὰν ὅλον εἰσδέξῃ τὸν Λόγον, πάσας τὰς Χριστοῦ θεραπείας ἐπὶ τὴν σεαυτοῦ συνάξεις ψυχήν, ἃς κατὰ μέρος ἕκαστος τεθεράπευται. Μόνον μὴ ἀγνοήσῃς τὸ μέτρον τῆς χάριτος· μόνον μὴ καθεύδοντί σοι καὶ ἀμεριμνοῦντι κακῶς ἐπισπείρῃ ὁ ἐχθρὸς τὰ ζιζάνια[8]· μόνον ἐπίφθονος τῷ πονηρῷ γεγονὼς διὰ τὴν καθαρότητα, μὴ πάλιν σεαυτὸν ἐλεεινὸν καταστήσῃς διὰ τῆς ἁμαρτίας· μόνον μὴ τῷ ἀγαθῷ περιχαρεὶς καὶ ὑψωθεὶς ἄμετρα, καταπέσῃς ἐν τῷ ἐπαρθῆναι· μόνον ἀεὶ φιλοπόνει τὴν κάθαρσιν, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος[9]· καὶ ἧς ἔτυχες κατὰ δωρεὰν ἀφέσεως, ταύτην ἐπιμελείᾳ συντήρησον· ἵνα τὸ μὲν ἀφεθῆναί σοι παρὰ Θεοῦ, τὸ δὲ συντηρηθῆναι καὶ παρὰ σοῦ γένηται.

[409] ΛΕ′. Γενήσεται δὲ πῶς; Ἀεὶ τῆς παραβολῆς ἐκείνης μέμνησο καὶ σεαυτῷ βοηθήσεις ἄριστά τε καὶ τελεώτατα. Ἐξῆλθεν ἀπὸ σοῦ τὸ ἀκάθαρτον καὶ ὑλικὸν πνεῦμα, διωχθὲν τῷ βαπτίσματι. Οὐ φέρει τὸν διωγμόν· οὐ δέχεται ἄοικον εἶναι καὶ ἀνέστιον. Πορεύεται δι' ἀνύδρων τόπων καὶ ξηρῶν θείας ἐπιρροῆς· ἐκεῖ φιλοχωρῆσαι βούλεται· πλανᾶται ζητοῦν ἀνάπαυσιν, οὐχ εὑρίσκει[10]· βεβαπτισμέναις ἐντυγχάνει ψυχαῖς, ὧν τὴν κακίαν τὸ λουτρὸν ἐξέκλυσεν· φοβεῖται τὸ ὕδωρ· ἐμπνίγεται τῇ καθάρσει, καθάπερ ὁ Λεγεὼν τῇ θαλάσσῃ[11]. Πάλιν ὑποστρέφει πρὸς τὸν οἶκον, ὅθεν ἀνεχώρησεν. Ἀναίσχυντόν ἐστι, φιλόνεικόν ἐστι, προσβάλλει πάλιν, πειρᾶται πάλιν. Ἐὰν μὲν εὕρῃ Χριστὸν εἰσοικισθέντα καὶ πληρώσαντα τὴν χώραν, ἣν αὐτὸς ἐκένωσεν, ἀπεκρούσθη πάλιν, ἀπῆλθεν ἄπρακτον, ἐλεεινὸν ἐγένετο

---

1. Πρβλ. Λουκ. 17,12 ἑξ. 2. Πρβλ. Λουκ. 6,6. 3. Πρβλ. Γ′ Βασ. 17,9. 4. Πρβλ. Μάρκ. 7,32. 5. Πρβλ. Λουκ. 18,35. 6. Ψαλμ. 12,4. 7. Πρβλ. Ψαλ. 35,10. 8. Πρβλ. Ματθ. 13,25. 9. Πρβλ. Ψαλ. 83,6. 10. Πρβλ. Λουκ. 11,24 ἑξ. 11. Πρβλ. Μάρκ. 5,9 ἑξ.

τῆς περιπλανήσεως. Ἐὰν δὲ σεσαρωμένον καὶ κεκοσμημένον τὸν ἐν σοὶ τόπον εὕρῃ, κενὸν καὶ ἄπρακτον, ἕτοιμον ἐπίσης πρὸς ὑποδοχὴν τοῦδε ἢ τοῦδε τοῦ προκαταλαβόντος, εἰσεπήδησεν, εἰσῳκίσθη μετὰ πλείονος τῆς παρασκευῆς καὶ γίνεται τὰ ἔσχατα χείρονα τῶν προτέρων, ὅσῳ τότε μὲν ἐλπὶς ἦν διορθώσεώς τε καὶ ἀσφαλείας· νῦν δὲ πρόδηλος ἡ κακία, τῇ φυγῇ τοῦ καλοῦ τὸ πονηρὸν ἕλκουσα· καὶ διὰ τοῦτο βεβαιοτέρα τῷ οἰκήτορι ἡ κατάσχεσις.

ΛΣ'. Πάλιν ὑπομνήσω σε τῶν φωτισμῶν καὶ πολλάκις ἐκ τῶν θείων λογίων τούτους ἀναλεγόμενος. Αὐτός τε γὰρ ἡδίων ἔσομαι τῇ τούτων μνήμῃ (τί γὰρ φωτὸς ἡδύτερον τοῖς φωτὸς γευσαμένοις;) καὶ σὲ περιαστράψω τοῖς λεγομένοις. «Φῶς μὲν ἀνέτειλε τῷ δικαίῳ», καὶ ἡ τούτου σύζυγος εὐφροσύνη[1]· Φῶς δὲ δικαίοις διὰ παντός[2]· «Φωτίζεις δὲ σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων»[3], πρὸς τὸν Θεὸν λέγεται· ἀγγελικῶν, οἶμαι, δυνάμεων, αἳ συνεργοῦσιν ἡμῖν πρὸς τὰ κρείττονα. «Κύριος δὲ φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι»[4]; Τοῦ Δαβὶδ ἤκουσας λέγοντος· καὶ ποτὲ μὲν αἰτοῦντος ἐξαποσταλῆναι τὸ φῶς αὐτῷ καὶ τὴν ἀλήθειαν[5]· ποτὲ δὲ εὐχαριστοῦντος, ὅτι καὶ τούτου μετείληφεν, ἐν τῷ σημειωθῆναι τὸ τοῦ Θεοῦ φῶς ἐπ' αὐτόν[6], τουτέστιν ἐνσημανθῆναι καὶ γνωρισθῆναι τὰ σημεῖα τῆς δεδομένης ἐλλάμψεως. Ἓν μόνον φῶς φεύγωμεν, τὸ τοῦ πικροῦ πυρὸς ἔκγονον. Μὴ πορευθῶμεν τῷ φωτὶ τοῦ πυρὸς ἡμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσαμεν. Οἶδα γὰρ πῦρ καθαρτήριον, ὃ Χριστὸς [412] ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς[7], πῦρ καὶ αὐτὸς ἀναγωγῆς λόγοις καλούμενος. Ἀναλωτικὸν τοῦτο τῆς ὕλης καὶ τῆς πονηρᾶς ἐστιν ἕξεως, ὃ καὶ ἀναφθῆναι τάχιστα βούλεται. Ποθεῖ γὰρ τῆς εὐεργεσίας τὸ τάχος· ἐπεὶ καὶ πυρὸς ἄνθρακας δίδωσιν ἡμῖν εἰς βοήθειαν. Οἶδα καὶ πῦρ οὐ καθαρτήριον, ἀλλὰ καὶ κολαστήριον· εἴτε καὶ Σοδομητικόν[8], ὃ πᾶσιν ἁμαρτωλοῖς ἐπιβρέχει θείῳ καὶ καταιγίδι[9] μιγνύμενον· εἴτε «τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ»[10], εἴτε ὃ πρὸ προσώπου Κυρίου «πορεύεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ»[11]· καὶ τὸ τούτων ἔτι φοβερώτερον· ὃ τῷ ἀκοιμήτῳ σκώληκι συντέτακται, μὴ σβεννύμενον, ἀλλὰ διαιωνίζον τοῖς πονηροῖς. Πάντα γὰρ ταῦτα τῆς ἀφανιστικῆς ἐστι δυνάμεως· εἰ μή τῳ φίλον κἀνταῦθα νοεῖν τοῦτο φιλανθρωπότερον καὶ τοῦ κολάζοντος ἐπαξίως.

ΛΖ'. Ὥσπερ δὲ πῦρ οἶδα διπλοῦν, οὕτω καὶ φῶς· τὸ μέν, τὴν τοῦ ἡγεμονικοῦ λαμπάδα κατευθῦνον ἡμῖν τὰ κατὰ Θεὸν διαβήματα· τὸ δέ, ἀπατηλὸν καὶ περίεργον καὶ τοῦ ἀληθινοῦ φωτὸς ἀντίθετον, ἐκεῖνο εἶναι ὑποκρινόμενον, ἵνα κλέπτῃ τῷ φαινομένῳ· τοῦτο καὶ σκοτία ἐστὶ καὶ μεσημβρία δοκεῖ, τὸ τοῦ φωτὸς ἀκμαιότατον. Οὕτως

---

1. Πρβλ. Ψαλ. 96,11. 2. Πρβλ. Ἡσ. 60,19. 3. Ψαλ. 75,5. 4. Ψαλ. 26,1. 5. Πρβλ. Ψαλ. 42,3. 6. Πρβλ. Ψαλ. 4,7. 7. Πρβλ. Λουκ. 12,49. 8. Πρβλ. Γεν. 19,24. 9. Πρβλ. Ψαλ. 10,6. 10. Ματθ. 25,41. 11. Ψαλ. 96,3.

ἀκούω τοῖς διαπαντὸς ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσι[1]. Τοῦτο καὶ νύξ ἐστι καὶ φωτισμὸς νομίζεται τοῖς ὑπὸ τῆς τρυφῆς διεφθαρμένοις. Τί γάρ φησιν ὁ Δαβίδ; Νὺξ ἦν περὶ ἐμὲ τὸν δείλαιον καὶ ἠγνόουν· φωτισμὸν γὰρ εἶναι τὴν τρυφὴν ὑπελάμβανον[2]. Ἀλλ' ἐκεῖνοι μὲν τοιοῦτοι καὶ οὕτως ἔχοντες· ἡμεῖς δὲ φωτίσωμεν ἑαυτοῖς φῶς γνώσεως· ἔσται δὲ τοῦτο, ἐκ τοῦ σπείρειν εἰς δικαιοσύνην καὶ τρυγᾶν καρπὸν ζωῆς[3] (πρᾶξις γὰρ θεωρίας πρόξενος), ἵνα τά τε ἄλλα καὶ τοῦτο μάθωμεν, τί μὲν τὸ ἀληθινὸν φῶς, τί δὲ τὸ ψευδόμενον καὶ μὴ λάθωμεν περιπεσόντες, ὡς καλῷ, τῷ χείρονι. Γενώμεθα φῶς, ὥσπερ οἱ μαθηταὶ παρὰ τοῦ μεγάλου Φωτὸς ἤκουσαν, «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου»[4], λέγοντος. Γενώμεθα «φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες», τουτέστι ζωτικὴ τοῖς ἄλλοις δύναμις. Λαβώμεθα θεότητος, λαβώμεθα τοῦ πρώτου καὶ ἀκραιφνεστάτου Φωτός. Ὁδεύσωμεν πρὸς τὴν λάμψιν αὐτοῦ, πρὸ τοῦ προσκόψαι τοὺς πόδας ἡμῶν ἐπ' ὄρη σκοτεινὰ καὶ πολέμια. Ἕως ἡμέρα ἐστίν, «ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις»[5], ἃ νυκτὸς ἐστι κλέμματα.

[413] ΛΗ′. Πᾶν μέλος καθαρισθῶμεν, ἀδελφοί, πᾶσαν ἁγνίσωμεν αἴσθησιν· μηδὲν ἀτελὲς ἡμῖν ἔστω, μηδὲ τῆς πρώτης γενέσεως, μηδὲν ἀφώτιστον καταλείπωμεν. Φωτισθῶμεν τὸν ὀφθαλμόν, ἵν' ὀρθὰ βλέπωμεν καὶ μηδὲν εἴδωλον πορνικὸν ἐν ἡμῖν αὐτοῖς φέρωμεν ἐκ φιλοπόνου θέας καὶ περιέργου. Κἂν γὰρ τῷ πάθει μὴ προσκυνήσωμεν, ἀλλὰ τὴν ψυχὴν ἐμολύνθημεν. Εἴ τις δοκὸς ἐν ἡμῖν, εἴ τι κάρφος, ἀνακαθαίρωμεν· ἵνα καὶ τὰ τῶν ἄλλων ὁρᾶν δυνώμεθα. Φωτισθῶμεν ἀκοήν, φωτισθῶμεν γλῶσσαν· ἵνα ἀκούσωμεν τί λαλήσει Κύριος ὁ Θεός[6] καὶ ἀκουστὸν ἡμῖν γένηται τὸ πρωινὸν ἔλεος[7] καὶ ἀκουτισθῶμεν ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀκοαῖς θείαις ἐνηχουμένην· ἵνα μὴ ὦμεν «μάχαιρα ὀξεῖα»[8], μηδὲ «ξυρὸν ἠκονημένον»[9], μηδὲ ὑπὸ τὴν γλῶσσαν στρέφωμεν κόπον καὶ πόνον[10], ἀλλὰ λαλῶμεν Θεοῦ «σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην»[11], τὰς πυρίνας γλώσσας αἰδούμενοι. Ἰαθῶμεν ὄσφρησιν, ἵνα μὴ θηλυνώμεθα, μηδὲ ἀντὶ ὀσμῆς ἡδείας κονιορτώμεθα· ἀλλ' ὀσφραινώμεθα τοῦ ἐκκενωθέντος δι' ἡμᾶς μύρου πνευματικῶς ἀντιλαμβανόμενοι καὶ τοσοῦτον ἐξ αὐτοῦ ποιούμενοι καὶ μεταποιούμενοι, ὥστε καὶ αὐτῶν ἡμῶν ὀσφραίνεσθαι ὀσμὴν εὐωδίας. Καθαρθῶμεν ἀφήν, γεῦσιν, λάρυγγα, μὴ μαλακῶς ἐπαφώμενοι, καὶ λειότησι χαίροντες, ἀλλὰ τὸν σαρκωθέντα δι' ἡμᾶς Λόγον ψηλαφῶντες, ὡς ἄξιον, καὶ Θωμᾶν κατὰ τοῦτο μιμούμενοι· μὴ χυμοῖς καὶ ὄψοις γαργαλιζόμενοι, τοῖς ἀδελφοῖς τῶν πικροτέρων γαργαλισμῶν, ἀλλὰ γευόμενοι καὶ γινώσκοντες, ὅτι χρηστὸς ὁ Κύριος[12] τὴν κρείττω

---

1. Πρβλ. Ἡσ. 5,20. 2. Πρβλ. Ψαλ. 138,11 ἑξ. 3. Πρβλ. Ὡσ. 10,12. 4. Ματθ. 5,14. 5. Ρωμ. 13,13. 6. Πρβλ. Ψαλ. 84,9. 7. Πρβλ. Ψαλ. 142,8. 8. Ψαλ. 56,5. 9. Ψαλ. 51,4. 10. Πρβλ. Ψαλ. 10,7. 11. Α′ Κορ. 2,7. 12. Πρβλ. Ψαλ. 33,9.

γεῦσιν καὶ μένουσαν· μηδὲ μικρὰ τὸν πικρὸν καὶ ἀχάριστον ἀγωγὸν ἀναψύχοντες, τὸν παραπέμποντα καὶ οὐ κατέχοντα τὸ διδόμενον, ἀλλὰ τοῖς γλυκυτέροις μέλιτος[1] λόγοις τοῦτον εὐφραίνοντες.

ΛΘ′. Καὶ πρὸς τοῖς εἰρημένοις ἔτι καλόν, τὴν κεφαλὴν καθαιρομένους, ὡς καθαίρεται κεφαλή, τὸ τῶν αἰσθήσεων ἐργαστήριον, κρατεῖν τὴν Χριστοῦ κεφαλήν, ἐξ ἧς πᾶν τὸ σῶμα συναρμολογεῖται[2] καὶ συμβιβάζεται· καὶ τὴν ὑπεραίρουσαν ἡμῶν ἁμαρτίαν κάτω βάλλειν, ὑπεραιρομένην τῷ κρείττονι. Καλὸν καὶ ὦμον ἁγιάζεσθαι καὶ καθαίρεσθαι, ἵνα δυνηθῇ τὸν σταυρὸν αἴρειν Χριστοῦ, μὴ παντὶ ῥᾳδίως **[416]** αἰρόμενον. Καλὸν καὶ τὰς χεῖρας τελειοῦσθαι καὶ τοὺς πόδας· τὰς μέν, ὡς ἐν παντὶ τόπῳ ὁσίας αἴρεσθαι καὶ δράσσεσθαι τῆς Χριστοῦ παιδείας, μή ποτε ὀργισθῇ Κύριος[3] καὶ πιστεύεσθαι λόγον διὰ τοῦ πρακτικοῦ, ὡς τὸν ἐν τῇ χειρὶ τοῦδε τοῦ προφήτου[4] δεδομένον· τοὺς δέ, μὴ ὀξεῖς εἶναι πρὸς τὸ ἐκχέειν αἷμα[5], μηδὲ εἰς κακίαν τρέχοντας· ἀλλ' ἑτοίμους εἰς τὸ Εὐαγγέλιον καὶ πρὸς τὸ «βραβεῖον τῆς ἄνω κλήσεως»[6] καὶ Χριστὸν ὑπονίπτοντα καὶ καθαίροντα δέχεσθαι. Εἴ τίς ἐστι καὶ κοιλίας κάθαρσις, χωρητικῆς καὶ ἀναδοτικῆς τῶν ἐκ τοῦ Λόγου τροφῶν, καλὸν καὶ ταύτην μὴ θεοποιεῖν ἐκ τρυφῆς καὶ τῆς καταργουμένης βρώσεως· ἀλλὰ καθαίρειν ὅτι μάλιστα καὶ ποιεῖν λεπτοτέραν, ὥστε τὸν Λόγον Κυρίου ἐν μέσῃ δέχεσθαι καὶ ἀλγεῖν καλῶς ὑπὲρ τοῦ Ἰσραὴλ πταίοντος. Εὑρίσκω καὶ τὴν καρδίαν καὶ τὰ ἐντὸς τιμῆς ἀξιούμενα. Πείθει με τοῦτο Δαβίδ, καρδίαν καθαρὰν ζητῶν ἐν ἑαυτῷ κτίζεσθαι καὶ Πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις ἐγκαινίζεσθαι[7]. Τὸ διανοητικόν, οἶμαι, τούτῳ δηλῶν καὶ τὰ τούτου κινήματα ἢ διανοήματα.

Μ′. Τί δὲ ἡ ὀσφύς; Τί δὲ οἱ νεφροί; Μηδὲ γὰρ τοῦτο παρέλθωμεν. Ἀπτέσθω καὶ τούτων ἡ κάθαρσις· ἔστωσαν ἡμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ ἀνεσταλμέναι δι' ἐγκρατείας, ὥσπερ τῷ Ἰσραὴλ πάλαι, κατὰ τὸν νόμον[8], τοῦ πάσχα μεταλαμβάνοντι. Οὐδεὶς γὰρ καθαρῶς Αἴγυπτον ἐξέρχεται, οὐδὲ φεύγει τὸν ὀλοθρεύοντα, μὴ ταῦτα παιδαγωγήσας. Οἱ δὲ τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούσθωσαν, ὅλον τὸ ἐπιθυμητικὸν πρὸς Θεὸν μεταφέροντες, ὥστε δύνασθαι λέγειν· «Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου»[9]· καί, «Ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα»[10]. Δεῖ γὰρ γενέσθαι ἄνδρα ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος[11]. Οὕτως ἂν ἡμῖν καὶ ὁ τὸ πλεῖστον τῆς ἰσχύος ἐπὶ τοῦ ὀμφαλοῦ καὶ τῆς ὀσφύος φέρων δράκων καταλυθείη, τῆς περὶ ταῦτα δυναστείας αὐτῷ νεκρωθείσης. Μὴ θαυμάσῃς δέ, εἰ καὶ τοῖς ἀσχήμοσιν ἡμῶν, τιμὴν περισσοτέραν[12] τίθημι, λόγῳ νεκρῶν ταῦτα καὶ σωφρονίζων καὶ κατὰ τῆς ὕλης ἱστάμενος. Πάντα δῶμεν Θεῷ τὰ μέλη ἐπὶ τῆς γῆς, πάντα

---

1. Πρβλ. Ψαλ. 18,11. 2. Πρβλ. Κολ. 2,19. 3. Πρβλ. Ψαλ. 2,12. 4. Πρβλ. Ἱερ. 50,1. 5. Πρβλ. Ψαλ. 13,3. 6. Φιλιπ. 3,14. 7. Πρβλ. Ψαλ. 50,12. 8. Πρβλ. Ἐξ. 12,11. 9. Ψαλ. 37,10. 10. Ἱερ. 17,16. 11. Πρβλ. Δαν. 9,23. 12. Πρβλ. Α′ Κορ. 12,23.

καθιερώσωμεν. Μὴ λοβὸν ἥπατος, μηδὲ νεφροὺς μετὰ τῆς πιμελῆς, μηδὲ τὸ μέρος τοῦ σώματος, μηδὲ τὸ καὶ τό. Διὰ τί γὰρ τὰ ἄλλα ἡμῖν ἀτιμαστέα; Ὅλους δὲ **[417]** ἡμᾶς αὐτοὺς ἀνενέγκωμεν· γενώμεθα ὁλοκαυτώματα λογικά, θύματα τέλεια· μηδὲ τὸν βραχίονα μόνον, μηδὲ τὸ στηθύνιον μόνον, ἀφαίρεμα ἱερατικὸν ποιώμεθα (μικρὸν γὰρ τοῦτο)· ἀλλ' ὅλους διδόντες ἡμᾶς αὐτούς, ὅλους ἀντιλαμβάνωμεν· ἐπειδὴ τοῦτό ἐστι λαβεῖν καθαρῶς, τὸ τῷ Θεῷ δοθῆναι καὶ ἱερουργῆσαι τὴν ἡμῶν αὐτῶν σωτηρίαν.

ΜΑ΄. Ἐπὶ πᾶσι καὶ πρὸ πάντων, φύλασσέ μοι τὴν καλὴν παρακαταθήκην[1], ἣ ζῶ καὶ πολιτεύομαι, ἣν καὶ συνέκδημον λάβοιμι, μεθ' ἧς καὶ ἀλγεινὰ πάντα φέρω καὶ τερπνὸν ἅπαν διαπτύω, τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ὁμολογίαν. Ταύτην πιστεύω σοι σήμερον· ταύτῃ καὶ συμβαπτίσω καὶ συνανάξω σε. Ταύτην δίδωμι παντὸς τοῦ βίου κοινωνὸν καὶ προστάτιν, τὴν μίαν θεότητά τε καὶ δύναμιν ἐν τοῖς τρισὶν εὑρισκομένην ἐνικῶς καὶ τὰ τρία συλλαμβάνουσαν μεριστῶς· οὔτε ἀνώμαλον οὐσίαις ἢ φύσεσιν, οὔτε αὐξομένην ἢ μειουμένην ὑπερβολαῖς καὶ ὑφέσεσι, πάντοθεν ἴσην, τὴν αὐτὴν πάντοθεν, ὡς ἓν οὐρανοῦ κάλλος καὶ μέγεθος· τριῶν ἀπείρων ἄπειρον συμφυΐαν, Θεὸν ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον, ὡς Πατέρα καὶ Υἱόν, ὡς Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, φυλασσομένης ἑκάστῳ τῆς ἰδιότητος. Θεὸν τὰ τρία σὺν ἀλλήλοις νοούμενα, ἐκεῖνο διὰ τὴν ὁμοουσιότητα, τοῦτο διὰ τὴν μοναρχίαν. Οὐ φθάνω τὸ ἓν νοῆσαι, καὶ τοῖς τρισὶ περιλάμπομαι· οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι. Ὅταν ἕν τι τῶν τριῶν φαντασθῶ, τοῦτο νομίζω τὸ πᾶν καὶ τὴν ὄψιν πεπλήρωμαι καὶ τὸ πλεῖον διέφυγεν. Οὐκ ἔχω τὸ μέγεθος τούτου καταλαβεῖν, ἵνα δῶ τὸ πλεῖον τῷ λειπομένῳ. Ὅταν τὰ τρία συνέλω τῇ θεωρίᾳ, μίαν ὁρῶ λαμπάδα, οὐκ ἔχων διελεῖν ἢ μετρῆσαι τὸ φῶς ἐνιζόμενον.

ΜΒ΄. Φοβῇ σὺ γέννησιν, ἵνα μή τι πάθῃ Θεός, ὁ μὴ πάσχων; Ἐγὼ φοβοῦμαι τὴν κτίσιν, ἵνα μὴ Θεὸν ἀπολέσω διὰ τῆς ὕβρεως καὶ τῆς ἀδίκου κατατομῆς, ἢ τὸν Υἱὸν τέμνων ἀπὸ τοῦ Πατρὸς ἢ ἀπὸ τοῦ Υἱοῦ τὴν οὐσίαν τοῦ Πνεύματος. Τὸ γὰρ παράδοξον, ὅτι μὴ κτίσις ἐπάγεται μόνον Θεῷ παρὰ τοῖς κακῶς θεότητα ταλαντεύουσιν, ἀλλὰ καὶ αὐτὴ πάλιν ἡ κτίσις εἰς ἑαυτὴν τέμνε**[420]**ται. Ὥσπερ τοῦ Πατρὸς ὑποστέλλεται ὁ Υἱὸς τοῖς ταπεινοῖς καὶ κάτω κειμένοις, οὕτως ὑποστελλομένης πάλιν καὶ ἀπὸ τοῦ Υἱοῦ τῆς ἀξίας τοῦ Πνεύματος· ὡς ἂν καὶ Θεός καὶ κτίσις ὑβρίζηται τῇ καινῇ ταύτῃ θεολογίᾳ. Οὐδὲν τῆς Τριάδος, ὦ οὗτοι, δοῦλον, οὐδὲ κτιστόν, οὐδὲ ἐπείσακτον, ἤκουσα τῶν σοφῶν τινος λέγοντος. «Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην»[2], φησὶν ὁ θεῖος ἀπόστολος. Εἰ ἔτι κτίσματι προσεκύνουν ἢ εἰς κτίσμα ἐβαπτιζόμην, οὐκ ἂν ἐθεούμην, οὐδὲ τὴν

1. Β΄ Τιμ. 1,17. 2. Γαλ. 1,10.

πρώτην μετεποιούμην γέννησιν. Τί φήσω πρὸς τοὺς τὴν Ἀστάρτην προσκυνοῦντας ἢ τὸ Χαμὼς βδέλυγμα Σιδωνίων ἢ τοῦ ἄστρου τὸν τύπον, τοῦ μικρὸν ὑπὲρ ταῦτα Θεοῦ τοῖς εἰδωλολάτραις, πλὴν κτίσματος καὶ ποιήματος· αὐτός, ἢ μὴ προσκυνῶν τὰ δύο, εἰς ἃ συμβάπτισμαι ἢ προσκυνῶν τὰ ὁμόδουλα; Ὁμόδουλα γὰρ καὶ εἰ μικρὸν τιμιώτερα· ἐπεὶ καὶ ἐν ὁμοδούλοις ἐστί τις διαφορὰ καὶ προτίμησις.

ΜΓ′. Θέλω τὸν Πατέρα μείζω εἰπεῖν, ἐξ οὗ καὶ τὸ ἴσοις εἶναι, τοῖς ἴσοις ἐστὶ καὶ τὸ εἶναι. Τοῦτο γὰρ παρὰ πάντων δοθήσεται. Καὶ δέδοικα τὴν ἀρχήν, μὴ ἐλαττόνων ἀρχὴν ποιήσω καὶ καθυβρίσω διὰ τῆς προτιμήσεως· οὐ γὰρ δόξα τῷ ἐξ οὗ ἡ τῶν ἐξ αὐτοῦ ταπείνωσις. Πρὸς δὲ καὶ ὑφορῶμαι τὴν σὴν ἀπληστίαν, μὴ τὸ μεῖζον λαβὼν διχοτομήσῃς τὴν φύσιν, κατὰ πάντα τῷ μείζονι χρώμενος. Οὐ γὰρ κατὰ τὴν φύσιν τὸ μεῖζον, τὴν αἰτίαν δέ. Οὐδὲν γὰρ τῶν ὁμοουσίων τῇ οὐσίᾳ μεῖζον ἢ ἔλαττον. Θέλω τὸν Υἱὸν προτιμῆσαι τοῦ Πνεύματος, ὡς Υἱόν· καὶ οὐ συγχωρεῖ τὸ βάπτισμα τελειοῦν με διὰ τοῦ Πνεύματος. Ἀλλὰ δέδοικας, μὴ τριθεΐαν ὀνειδισθῇς; Ἔχε σὺ τὸ ἀγαθόν, τὴν ἐν τοῖς τρισὶν ἕνωσιν· ἐμοὶ τὴν μάχην παράπεμψον. Ἔασόν με ναυπηγὸν εἶναι, σὺ χρῶ τῇ νηί. Καὶ εἰ ναυπηγός ἐστιν ἕτερος, ἐμὲ λάβε τῆς οἰκίας ἀρχιτέκτονα· σὺ ταύτην οἴκει μετὰ ἀσφαλείας καὶ εἰ μηδὲν ἐμόχθησας. Οὐχ ἧττον εὐπλοήσεις ἢ οἰκήσεις τὴν οἰκίαν, ἐμοῦ τοῦ ταῦτα κατασκευάσαντος, εἰ καὶ μηδὲν περὶ ταῦτα πεφιλοπόνηκας. Ὁρᾷς τὴν εὐγνωμοσύνην ὅση; ὁρᾷς τοῦ Πνεύματος τὴν χρηστότητα; Ἐμὸς ὁ πόλεμος, ἔστω σὸν τὸ ἐκνίκημα. Ἐγὼ βαλλοίμην, σὺ δὲ εἰρήνευε, τῷ προπολεμοῦντι συνευχόμενος· χεῖρα δίδου διὰ τῆς πίστεως. Ἔχω τρεῖς λίθους οἷς σφενδονήσω τὸν ἀλλόφυλον[1]. Ἔχω τρεῖς ἐμπνεύσεις, κατὰ τοῦ υἱοῦ τῆς Σαραφθίας[2] αἷς ζωοποιήσω νε-
[421]νεκρωμένους. Ἔχω τρεῖς ἐπικλύσεις κατὰ τῶν σχιδάκων[3], αἷς καθιερώσω τὴν θυσίαν, ὕδατι πῦρ ἐγείρων, τὸ παραδοξότατον· καὶ τοὺς προφήτας καταβαλῶ τῆς αἰσχύνης, μυστηρίου δυνάμει χρώμενος.

ΜΔ′. Τί μοι δεῖ μακροτέρων λόγων; Διδασκαλίας γὰρ ὁ καιρός, οὐκ ἀντιλογίας. Μαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, μετὰ ταύτης βαπτισθήσῃ τῆς πίστεως. Εἰ μὲν ἄλλως ἐγγέγραψαι ἢ ὡς ὁ ἐμὸς ἀπαιτεῖ λόγος, δεῦρο καὶ μετεγγράφηθι. Ἐγὼ τούτων οὐκ ἀφυὴς καλλιγράφος, γράφων ἃ γέγραμμαι καὶ διδάσκων ἃ καὶ μεμάθηκα καὶ τετήρηκα ἐξ ἀρχῆς εἰς τήνδε τὴν πολιάν. Ἐμὸς ὁ κίνδυνος, ἐμὸν καὶ τὸ γέρας, τοῦ τῆς σῆς ψυχῆς οἰκονόμου καὶ τελειοῦντός σε διὰ τοῦ βαπτίσματος. Εἰ δὲ οὕτως ἔχεις καὶ καλοῖς ἐνεσημάνθης τοῖς γράμμασι, φύλασσέ μοι τὰ γεγραμμένα, ἐν καιροῖς τρεπτοῖς ἄτρεπτος μένων περὶ ἀτρέπτου πράγματος. Μίμησαι τὸν Πιλᾶτον ἐπὶ τὸ κρεῖττον, κακῶς γράφοντα, καλῶς γεγραμμένος. Εἰπὲ

---

1. Πρβλ. Α′ Βασ. 17,40. 2. Πρβλ. Γ′ Βασ. 17,21. 3. Πρβλ. Γ′ Βασ. 18,34.

τοῖς μεταπείθουσί σε· «Ὅ γέγραφα, γέγραφα»[1]. Καὶ γὰρ ἂν αἰσχυνοίμην, εἰ, τοῦ κακοῦ μένοντος ἀκλινοῦς, τὸ καλὸν ῥᾷστα μετακλίνοιτο· δέον εὐμετακινήτους μὲν εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ βελτίονος. Εἰ οὕτως βαπτίζῃ καὶ κατὰ ταύτην τὴν μαθητείαν, «Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω»[2], ἰδοὺ κίχρημι τὰς χεῖρας τῷ Πνεύματι. Ταχύνωμεν τὴν σωτηρίαν, ἀναστῶμεν ἐπὶ τὸ βάπτισμα· σφύζει τὸ Πνεῦμα, πρόθυμος ὁ τελειωτής, τὸ δῶρον ἕτοιμον. Εἰ δὲ σκάζεις ἔτι καὶ μὴ καταδέχῃ τὸ τέλειον τῆς θεότητος, ζήτει σὸν βαπτιστὴν ἢ καταβαπτιστήν. Ἐμοὶ δὲ οὐ σχολὴ τέμνειν θεότητα καὶ νεκρόν σε ποιεῖν ἐν καιρῷ τῆς ἀναγεννήσεως· ἵνα μήτε τὸ χάρισμα ἔχῃς, μήτε τὴν ἐλπίδα τῆς χάριτος, ἐν ὀλίγῳ ναυαγήσας τὴν σωτηρίαν. Ὡς ὅ τι ἂν ὑφέλῃς τῶν τριῶν τῆς θεότητος, τὸ πᾶν ἔσῃ καθῃρημένως καὶ σεαυτῷ τὴν τελείωσιν.

ΜΕ′. Ἀλλ᾽ οὔπω τύπος οὐδεὶς ἐν τῇ σῇ ψυχῇ, οὔτε χείρονος γράμματος, οὐδὲ βελτίονος· σήμερον δέ σε γραφῆναι δεήσει καὶ παρ᾽ ἡμῶν τυπωθῆναι πρὸς τελειότητα; Εἴσω τῆς νεφέλης χωρήσωμεν· δός μοι τὰς πλάκας τῆς σῆς καρδίας· γίνομαί σοι Μωσῆς, εἰ καὶ τολμηρὸν εἰπεῖν· ἐγγράφω δακτύλῳ Θεοῦ νέαν δεκάλογον· ἐγγράφω σύντομον σωτηρίαν. **[424]** Εἰ δέ τι θηρίον αἱρετικὸν καὶ ἀλόγιστον, κάτω μεινάτω· ἢ κινδυνεύσει λιθοβολούμενον τῷ λόγῳ τῆς ἀληθείας. Βαπτίσω σε μαθητεύων, εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος[3]. Ὄνομα δὲ κοινὸν τῶν τριῶν ἕν, ἡ θεότης. Γνώσῃ καὶ τοῖς σχήμασι καὶ τοῖς ῥήμασιν, ὡς ὅλην ἀποπέμπῃ τὴν ἀθεΐαν, οὕτως ὅλῃ θεότητι συντασσόμενος. Πίστευε τὸν σύμπαντα κόσμον, ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος, ἐξ οὐκ ὄντων παρὰ Θεοῦ γενόμενον καὶ προνοίᾳ τοῦ ποιήσαντος διοικούμενον, δέξασθαι τὴν εἰς τὸ κρεῖττον μεταβολήν. Πίστευε, μὴ οὐσίαν εἶναί τινα τοῦ κακοῦ, μήτε βασιλείαν ἢ ἄναρχον ἢ παρ᾽ ἑαυτῆς ὑποστᾶσαν ἢ παρὰ τοῦ Θεοῦ γενομένην, ἀλλ᾽ ἡμέτερον ἔργον εἶναι τοῦτο καὶ τοῦ πονηροῦ, ἐκ τῆς ἀπροσεξίας ἐπεισελθὸν ἡμῖν, ἀλλ᾽ οὐχὶ τοῦ κτίσαντος. Πίστευε τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν προαιώνιον Λόγον, τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς ἀχρόνως καὶ ἀσωμάτως, τοῦτον ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν γεγενῆσθαι διὰ σὲ καὶ Υἱὸν ἀνθρώπου, ἐκ τῆς Παρθένου προελθόντα Μαρίας, ἀρρήτως καὶ ἀρυπάρως (οὐδὲν γὰρ ῥυπαρὸν οὗ Θεὸς καὶ δι᾽ οὗ σωτηρία), ὅλον ἄνθρωπον, τὸν αὐτὸν καὶ Θεόν, ὑπὲρ ὅλου τοῦ πεπονθότος, ἵνα ὅλῳ σοι τὴν σωτηρίαν χαρίσηται, ὅλον τὸ κατάκριμα λύσας τῆς ἁμαρτίας· ἀπαθῆ θεότητι, παθητὸν τῷ προσλήμματι· τοσοῦτον ἄνθρωπον διὰ σέ, ὅσον σὺ γίνῃ δι᾽ ἐκεῖνον θεός· τοῦτον ὑπὲρ τῶν ἀνομιῶν ἦχθαι εἰς θάνατον, σταυρωθέντα τε καὶ ταφέντα, ὅσον θανάτου γεύσασθαι καὶ ἀναστάντα τριήμερον, ἀνελῆλυθέναι εἰς τοὺς οὐρανούς, ἵνα σε συναγάγῃ κάτω κείμενον· ἥξειν τε πάλιν μετὰ τῆς ἐνδόξου αὐτοῦ παρουσίας, κρίνοντα ζῶντας καὶ νεκρούς· οὐκ ἔτι μὲν σάρκα,

1. Ἰω. 19,22. 2. Ψαλ. 39,10. 3. Πρβλ. Ματθ. 28,19.

οὐκ ἀσώματον δέ, οἷς αὐτὸς οἶδε λόγοις, θεοειδεστέρου σώματος, ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων[1] καὶ μείνῃ Θεὸς ἔξω παχύτητος. Δέχου πρὸς τούτοις ἀνάστασιν, κρίσιν, ἀνταπόδοσιν τοῖς δικαίοις τοῦ Θεοῦ σταθμοῖς. Ταύτην δὲ εἶναι φῶς τοῖς κεκαθαρμένοις τὴν διάνοιαν, τουτέστι Θεὸν ὁρώμενόν τε καὶ γινωσκόμενον, κατὰ τὴν ἀναλογίαν τῆς καθαρότητος, ὃ δὴ καὶ βασιλείαν οὐρανῶν ὀνομάζομεν· σκότος δὲ τοῖς τυφλώττουσι τὸ ἡγεμονικόν, τουτέστιν ἀλλοτρίωσιν Θεοῦ κατὰ τὴν ἀναλογίαν τῆς ἐντεῦθεν ἀμβλυωπίας. Δέκατον, ἐργάζου τὸ ἀγαθὸν ἐπὶ τούτῳ τῷ θεμελίῳ τῶν δογμάτων· ἐπειδή, «Πίστις χωρὶς ἔργων νεκρά»[2], ὡς ἔργα δίχα πίστεως. Ἔχεις **[425]** τοῦ μυστηρίου τὰ ἔκφορα καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς οὐκ ἀπόρρητα. Τὰ δὲ ἄλλα εἴσω μαθήσῃ, τῆς Τριάδος χαριζομένης, ἃ καὶ κρύψεις παρὰ σεαυτῷ σφραγῖδι κρατούμενα.

ΜΣ'. Πλὴν ἐκεῖνο εὐαγγελίζομαί σοι. Ἡ στάσις, ἣν αὐτίκα στήσῃ μετὰ τὸ βάπτισμα πρὸ τοῦ μεγάλου βήματος, τῆς ἐκεῖθεν δόξης ἐστὶ προχάραγμα. Ἡ ψαλμῳδία, μεθ' ἧς δεχθήσῃ, τῆς ἐκεῖθεν ὑμνῳδίας προοίμιον. Αἱ λαμπάδες, ἅσπερ ἀνάψεις, τῆς ἐκεῖθεν φωταγωγίας μυστήριον, μεθ' ἧς ἀπαντήσομεν τῷ νυμφίῳ φαιδραὶ καὶ παρθένοι ψυχαί, φαιδραῖς ταῖς λαμπάσι τῆς πίστεως, μήτε καθεύδουσαι διὰ ῥᾳθυμίαν, ἵνα μὴ λάθῃ παρὼν ἀδοκήτως ὁ προσδοκώμενος, μήτε ἄτροφοι καὶ ἀνέλαιοι καὶ καλῶν ἔργων ἐπιδεεῖς, ἵνα μὴ τοῦ νυμφῶνος ἐκπέσωμεν. Ὁρῶ γὰρ τὸ πάθος, ὡς ἐλεεινόν. Ὁ μὲν παρέσται, ἀπαιτούσης τῆς κραυγῆς τὴν ἀπάντησιν· αἱ δὲ ἀπαντήσονται, ὅσαι φρόνιμοι, μετὰ λαμπροῦ τοῦ φωτὸς καὶ δαψιλεστέρας τῆς τούτου τροφῆς· αἱ δὲ ταραχθήσονται ζητοῦσαι τὸ ἔλαιον οὐκ ἐν καιρῷ παρὰ τῶν ἐχόντων. Ὁ δὲ εἰσελεύσεται δρομαῖος· αἱ δὲ συνεισελεύσονται· αἱ δὲ ἀποκλεισθήσονται, τὸν τοῦ εἰσελθεῖν καιρὸν εἰς τὸ παρασκευάσασθαι δαπανήσασαι καὶ πολλὰ μετακλαύσονται, ὀψὲ μαθοῦσαι τὴν ζημίαν τῆς ῥᾳθυμίας, ὅταν μηκέτι ὁ νυμφὼν αὐταῖς εἰσιτητὸς ᾖ καὶ πολλὰ δεομέναις, ὃν κακῶς ἑαυταῖς ἀπέκλεισαν[3]· ἄλλον τρόπον μιμησάμεναι τοὺς ὑστεροῦντας τοῦ γάμου, ὃν ὁ καλὸς πατὴρ ἑστιᾷ τῷ καλῷ νυμφίῳ, διὰ τὴν γυναῖκα τὴν νεόνυμφον, ἢ διὰ τὸν ἀγρὸν τὸν νεώνητον, ἢ τὸ ζεῦγος τῶν βοῶν[4], ἃ κακῶς ἐκτήσαντο, διὰ τῶν μικρῶν τὰ μείζονα ζημιούμενοι. Οὐδεὶς γὰρ ἐκεῖ τῶν ὑπεροπτικῶν καὶ ῥᾳθύμων, οὐδὲ τῶν ῥυπαρῶς, ἀλλ' οὐ νυμφικῶς ἐστολισμένων, κἂν ἐντεῦθεν ἑαυτὸν ἀξιώσῃ τῆς ἐκεῖθεν λαμπροφορίας καὶ λαθὼν ἑαυτὸν παρενείρῃ, κεναῖς ἐλπίσιν ἐξαπατώμενος. Εἶτα τί; Ὅταν ἔνδον γενώμεθα, τότε οἶδεν ὁ νυμφίος ἃ διδάξει καὶ ἃ συνέσται ταῖς συνεισελθούσαις ψυχαῖς. Συνέσται δέ, ὡς οἶμαι, διδάσκων τὰ τελεώτερά τε καὶ καθαρώτερα· ὧν καὶ ἡμεῖς μεταλάβοιμεν, οἵ τε διδάσκοντες ταῦτα καὶ οἱ μανθάνοντες, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1. Πρβλ. Ἀποκ. 1,7. 2. Ἰακ. 2,20. 3. Πρβλ. Ματθ. 25,1 ἑξ. 4. Πρβλ. Λουκ. 14,18 ἑξ.

ΛΟΓΟΣ ΜΑ΄

ΕΙΣ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ

[428] Α΄. Περὶ τῆς ἑορτῆς βραχέα φιλοσοφήσωμεν, ἵνα πνευματικῶς ἑορτάσωμεν. Ἄλλη μὲν γὰρ ἄλλῳ **[429]** πανήγυρις· τῷ δὲ θεραπευτῇ τοῦ Λόγου λόγος καὶ λόγων ὁ τῷ καιρῷ προσφορώτατος. Καὶ οὐδὲν οὕτως εὐφραίνει καλὸν τῶν φιλοκάλων οὐδένα, ὡς τὸ πανηγυρίζειν πνευματικῶς τὸν φιλέορτον. Σκοπῶμεν δὲ οὕτως· Ἑορτάζει καὶ Ἰουδαῖος, ἀλλὰ κατὰ τὸ γράμμα· τὸν γὰρ σωματικὸν διώκων νόμον, εἰς τὸν πνευματικὸν νόμον οὐκ ἔφθασεν. Ἑορτάζει καὶ Ἕλλην, ἀλλὰ κατὰ τὸ σῶμα καὶ τοὺς ἑαυτοῦ θεούς τε καὶ δαίμονας· ὧν οἱ μέν εἰσι παθῶν δημιουργοὶ κατ' αὐτοὺς ἐκείνους, οἱ δὲ ἐκ παθῶν ἐτιμήθησαν. Διὰ τοῦτο ἐμπαθὲς αὐτῶν καὶ τὸ ἑορτάζειν· ἵν' ᾗ τιμὴ Θεοῦ τὸ ἁμαρτάνειν, πρὸς ὃν καταφεύγει τὸ πάθος, ὡς σεμνολόγημα. Ἑορτάζομεν καὶ ἡμεῖς, ἀλλ' ὡς δοκεῖ τῷ Πνεύματι. Δοκεῖ δέ, ἢ λέγοντάς τι τῶν δεόντων ἢ πράττοντας. Καὶ τοῦτό ἐστι τὸ ἑορτάζειν ἡμῶν, ψυχῇ τι θησαυρίσαι τῶν ἑστώτων καὶ κρατουμένων, ἀλλὰ μὴ τῶν ὑποχωρούντων καὶ λυομένων καὶ μικρὰ σαινόντων τὴν αἴσθησιν, τὰ πλείω δὲ λυμαινομένων τε καὶ βλαπτόντων, κατά γε τὸν ἐμὸν λόγον. Ἀρκετὸν γὰρ τῷ σώματι ἡ κακία αὐτοῦ[1]. Τί δὲ δεῖ τῇ φλογὶ πλείονος ὕλης ἢ τῷ θηρίῳ δαψιλεστέρας τροφῆς, ἵνα μᾶλλον δυσκάθεκτον γένηται καὶ τοῦ λογισμοῦ βιαιότερον;

Β΄. Διὰ ταῦτα μὲν οὖν ἑορταστέον πνευματικῶς. Ἀρχὴ δὲ τοῦ λόγου (ῥητέον γὰρ καὶ εἰ μικρόν τι παρεκβατικώτερος ἡμῖν ὁ λόγος καὶ φιλοπονητέον τοῖς φιλολόγοις, ἵν' ὥσπερ ἥδυσμά τι τῇ πανηγύρει συγκαταμίξωμεν)· Τὴν ἑβδομάδα τιμῶσιν Ἑβραίων παῖδες, ἐκ τῆς Μωυσέως νομοθεσίας, ὥσπερ οἱ Πυθαγορικοὶ τὴν τετρακτὺν ὕστερον, ἣν δὴ καὶ ὅρκον πεποίηνται· καὶ τὴν ὀγδοάδα καὶ τριακάδα, οἱ ἀπὸ Σίμωνος καὶ Μαρκίωνος, οἷς δὴ καὶ ἰσαρίθμους τινὰς Αἰῶνας ἐπονομάζουσι καὶ τιμῶσιν. Οὐκ οἶδα μὲν οἵστισι λόγοις ἀναλογίας ἢ κατὰ τίνα τοῦ ἀριθμοῦ τούτου δύναμιν τιμῶσι δ' οὖν. Τὸ μὲν πρόδηλον, ὅτι ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὴν ὕλην ὑποστήσας τε καὶ μορφώσας καὶ διακοσμήσας παντοίοις εἴδεσι καὶ συγκρίμασι[2] καὶ τὸν νῦν ὁρώμενον τοῦτον κόσμον ποιήσας, τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ τῶν ἔργων[3], ὡς δηλοῖ καὶ ἡ τοῦ Σαββάτου προσηγορία, κατάπαυσιν Ἑβραϊκῶς σημαίνουσα. Εἰ δέ τις καὶ ὑψηλότερος περὶ ταῦτα λόγος, ἄλλοι φιλοσοφείτωσαν. Ἡ τιμὴ δὲ αὐτοῖς οὐκ ἐν ἡμέραις μόνον, ἀλλὰ καὶ εἰς ἐνιαυτοὺς φθάνουσα. Ἡ μὲν οὖν τῶν **[432]** ἡμερῶν, τὸ

---

1. Πρβλ. Ματθ. 6,34. 2. Πρβλ. Γεν. 1,1 ἑξ. 3. Πρβλ. Γεν. 2,3.

Σάββατον[1], τοῦτο δηλοῖ τὸ συνεχῶς παρ' αὐτοῖς τιμώμενον, καθὸ καὶ ἡ τῆς ζύμης ἄρσις ἰσάριθμος· ἡ δὲ τῶν ἐτῶν, ὁ ἑβδοματικὸς ἐνιαυτὸς τῆς ἀφέσεως[2]. Καὶ οὐκ ἐν ἑβδομάσι μόνον, ἀλλὰ καὶ ἐν ἑβδομάσιν ἑβδομάδων, ὁμοίως ἔν τε ἡμέραις καὶ ἔτεσιν. Αἱ μὲν οὖν τῶν ἡμερῶν ἑβδομάδες γεννῶσι τὴν Πεντηκοστήν, κλητὴν ἁγίαν παρ' αὐτοῖς ἡμέραν· αἱ δὲ τῶν ἐτῶν, τὸν Ἰωβυλαῖον παρ' αὐτοῖς ὀνομαζόμενον, ὁμοίως γῆς τε ἄφεσιν ἔχοντα καὶ δούλων ἐλευθερίαν καὶ κτήσεων ὠνητῶν ἀναχώρησιν[3]. Καθιεροῦσι γάρ, οὐ γεννημάτων μόνον, οὐδὲ πρωτοτόκων, ἀλλ' ἤδη καὶ ἡμερῶν καὶ ἐτῶν ἀπαρχὰς τῷ Θεῷ τοῦτο τὸ γένος. Οὕτως ὁ ἑπτὰ τιμώμενος ἀριθμὸς τὴν τιμὴν τῆς Πεντηκοστῆς συνεισήγαγεν. Ὁ γὰρ ἑπτὰ ἐπὶ ἑαυτὸν συντιθέμενος, γεννᾷ τὸν πεντήκοντα, μιᾶς δεούσης ἡμέρας, ἣν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τὴν αὐτὴν καὶ πρώτην, μᾶλλον δὲ μίαν καὶ ἀκατάλυτον. Δεῖ γὰρ ἐκεῖσε καταλῆξαι τὸν ἐνταῦθα Σαββατισμὸν τῶν ψυχῶν, ὡς δοθῆναι «μερίδα, τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ»[4] καθὼς ἤδη τινὲς τῶν πρὸ ἡμῶν τὸ Σολομώντειον ἐξειλήφασι.

Γ'. Τῆς δὲ τοῦ ἑπτὰ τιμῆς, πολλὰ μὲν τὰ μαρτύρια, ὀλίγα δὲ ἐκ πολλῶν ἡμῖν ἀρκέσει. Ὡς ἑπτὰ μὲν ὀνομαζόμενα τίμια Πνεύματα. Τὰς γὰρ ἐνεργείας, οἶμαι, τοῦ Πνεύματος, Πνεύματα φίλον τῷ Ἡσαΐᾳ καλεῖν[5]. Κεκαθαρμένα δὲ τὰ λόγια τοῦ Κυρίου, κατὰ τὸν Δαβίδ, ἑπταπλασίως[6]. Καὶ ὁ μὲν δίκαιος, ἑξάκις μὲν ἐξ ἀναγκῶν ἐξαιρούμενος[7], ἐν δὲ τῷ ἑβδόμῳ μηδὲ πλησσόμενος. Ὁ δὲ ἁμαρτωλός, οὐχ ἑπτάκις μόνον, ἀλλὰ καὶ ἑβδομηκοντάκις ἑπτὰ συγχωρούμενος[8]. Καὶ μέντοι πάλιν ἐκ τῶν ἐναντίων (ἐπαινετὴ γὰρ καὶ ἡ τῆς κακίας κόλασις), Κάϊν μὲν ἐκδικούμενος ἑπτάκις[9], τουτέστι δίκας εἰσπραττόμενος τῆς ἀδελφοκτονίας· ὁ δὲ «Λάμεχ ἑβδομηκοντάκις ἑπτά»[10], ὅτι φονεὺς ἦν μετὰ τὸν νόμον καὶ τὸ κατάκριμα. Οἱ δὲ πονηροὶ γείτονες ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν ἀπολαμβάνοντες[11]· ἑπτὰ δὲ στύλοις ὁ τῆς Σοφίας οἶκος ὑπερειδόμενος[12]· τοσούτοις δὲ ὀφθαλμοῖς ὁ τοῦ Ζοροβάβελ λίθος κοσμούμενος[13]. Ἑπτάκις δὲ τῆς ἡμέρας ὁ Θεὸς αἰνούμενος[14]. Καὶ μὴν **[433]** καὶ στεῖρα τίκτουσα ἑπτά[15], τὸν τέλειον ἀριθμόν, ἡ τῆς ἀτελοῦς ἐν τέκνοις ἀντίθετος.

Δ'. Εἰ δὲ δεῖ καὶ τὰς παλαιὰς ἱστορίας σκοπεῖν, ἐννοῶ μὲν τὸν ἕβδομον ἐν προγόνοις Ἐνώχ, τῇ μεταθέσει τετιμημένον[16]. Ἐννοῶ δὲ τὸν εἰκοστὸν πρῶτον Ἀβραάμ, τῇ πατριαρχίᾳ δεδοξασμένον, μυστηρίου προσθήκη μείζονος[17]. Τρισσουμένη γὰρ ἡ ἑβδομὰς τὸν ἀριθμὸν τοῦτον ἐργάζεται. Τολμήσειε δ' ἄν τις τῶν πάντα νεανικῶν καὶ ἐπὶ

---

1. Πρβλ. Ἐξ. 16,26. 2. Πρβλ. Λευϊτ. 25,4. 3. Πρβλ. Λευϊτ. 25,8 ἑξ. 4. Πρβλ. Ἐκκλ. 11,2. 5. Πρβλ. Ἡσ. 11,2. 6. Πρβλ. Ψαλ. 11,7. 7. Πρβλ. Ἰώβ 5,19. 8. Πρβλ. Ματθ. 18,21-22. 9. Πρβλ. Γεν. 4,15. 10. Γεν. 4,24. 11. Πρβλ. Ψαλ. 78,12. 12. Πρβλ. Παρμ. 9,1. 13. Πρβλ. Ζαχ. 3,9. 14. Πρβλ. Ψαλ. 118,164. 15. Πρβλ. Α' Βασ. 2,5. 16. Πρβλ. Γεν. 5,24. 17. Πρβλ. Γεν. 12,1 ἑξ.

τὸν νέον Ἀδὰμ ἐλθεῖν, τὸν Θεόν μου καὶ Κύριον Ἰησοῦν Χριστόν, ἀπὸ τοῦ παλαιοῦ καὶ τοῦ ὑπὸ τὴν ἁμαρτίαν Ἀδάμ, ἑβδομηκοστὸν ἕβδομον ἀριθμούμενον, κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν ἀναποδίζουσαν[1]. Ἐννοῶ δὲ καὶ τὰς ἑπτὰ σάλπιγγας Ἰησοῦ τοῦ Ναυῆ καὶ περιόδους τοσαύτας καὶ ἡμέρας καὶ ἱερέας, ἐξ ὧν τὰ Ἱεριχούντια τείχη κατασείεται[2]. Ὡς δὲ καὶ τὴν ἑβδόμην ἀναστροφήν, ὥσπερ δὲ μυστικὴν τὴν τρισσὴν ἐμφύσησιν Ἠλιοῦ τοῦ προφήτου[3], τῷ τῆς Σαραφθίας χήρας υἱῷ τὸ ζῆν ἐμπνεύσασαν καὶ τοῦ αὐτοῦ τὴν ἰσάριθμον κατὰ τῶν σχιδάκων ἐπίκλυσιν, ἡνίκα πυρὶ θεοπέμπτῳ τὴν θυσίαν ἀνήλωσε καὶ τοὺς τῆς αἰσχύνης προφήτας κατέκρινε, τὸ ἴσον οὐ δυνηθέντας ἐκ τῆς προκλήσεως[4]. Οὕτω δὲ καὶ τὴν ἑβδόμην κατασκοπὴν τοῦ νέφους τῷ παιδαρίῳ προστεταγμένην[5], Ἐλισσαίου τε τὴν ἴσην διάκαμψιν ἐπὶ τὸν παῖδα τῆς Σουναμίτιδος, τὴν πνοὴν ζωπυρίσασαν[6]. Τοῦ δὲ αὐτοῦ, οἶμαι, δόγματος (ἵνα μὴ λέγω τὴν ἑπτάκαυλον καὶ ἑπτάλυχνον τοῦ ναοῦ λυχνίαν[7]) ἐν ἑπτὰ μὲν ἡμέραις ὁ ἱερεὺς τελειούμενος[8], ἐν ἑπτὰ δὲ ὁ λεπρὸς καθαιρόμενος[9], ἐν τοσαύταις δὲ ὁ ναὸς ἐγκαινιζόμενος[10]. Ἑβδομηκοστῷ δὲ ἔτει ὁ λαὸς ἐκ τῆς αἰχμαλωσίας ἐπαναγόμενος[11], ἵν' ὅπερ ἐστὶν ἐν μονάσι, τοῦτο ἐν δεκάσι γένηται καὶ ἀριθμῷ τελεωτέρῳ τὸ τῆς ἑβδομάδος τιμηθῇ μυστήριον. Τί μοι τὰ πόρρω λέγειν; Ἰησοῦς αὐτός, ἡ καθαρὰ τελειότης, οἶδε τρέφειν μὲν ἐν ἐρημίᾳ καὶ πέντε ἄρτοις πεντακισχιλίους[12], οἶδε δὲ καὶ ἑπτὰ πάλιν τετρακισχιλίους[13]. Καὶ τὰ τοῦ κόρου λείψανα, ἐκεῖ μὲν δώδεκα κόφινοι[14], ἐνταῦθα δὲ σπυρίδες ἑπτά[15]· **[436]** οὐδέτερον ἀλόγως, οἶμαι, οὐδὲ ἀναξίως τοῦ Πνεύματος. Καὶ σὺ δ' ἂν κατὰ σαυτὸν ἀναλεγόμενος, πολλοὺς τηρήσαις ἀριθμούς, ἔχοντάς τι τοῦ φαινομένου βαθύτερον. Ὅ δὲ τῷ παρόντι καιρῷ χρησιμώτατον, ὅτι κατὰ τούτους ἴσως τοὺς λόγους ἢ ὅτι ἐγγύτατα τούτων ἢ καὶ θειοτέρους τινάς, τιμῶσι μὲν Ἑβραῖοι τὴν Πεντηκοστὴν ἡμέραν, τιμῶμεν δὲ καὶ ἡμεῖς· ὥσπερ ἐστὶ καὶ ἄλλα τινὰ τῶν Ἑβραϊκῶν, τυπικῶς μὲν παρ' ἐκείνοις τελούμενα, μυστικῶς δὲ ἡμῖν ἀποκαθιστάμενα. Τοσαῦτα περὶ τῆς ἡμέρας προδιαλεχθέντες, ἐπὶ τὸ ἑξῆς τοῦ λόγου προΐωμεν.

Ε′. Πεντηκοστὴν ἑορτάζομεν καὶ Πνεύματος ἐπιδημίαν καὶ προθεσμίαν ἐπαγγελίας καὶ ἐλπίδος συμπλήρωσιν. Καὶ τὸ μυστήριον ὅσον! ὡς μέγα τε καὶ σεβάσμιον! Τὰ μὲν δὴ σωματικὰ τοῦ Χριστοῦ πέρας ἔχει, μᾶλλον δὲ τὰ τῆς σωματικῆς ἐνδημίας· ὀκνῶ γὰρ εἰπεῖν τὰ τοῦ σώματος, ἕως ἂν μηδεὶς πείθῃ με λόγος, ὅτι κάλλιον ἀπεσκευάσθαι τοῦ σώματος. Τὰ δὲ τοῦ Πνεύματος ἄρχεται. Τίνα

---

1. Πρβλ. Λουκ. 3,23. 2. Πρβλ. Ἰησ. Ν. 6,3 ἑξ. 3. Πρβλ. Γ′ Βασ. 17,18 ἑξ. 4. Πρβλ. Γ′ Βασ. 18,34 ἑξ. 5. Πρβλ. Γ′ Βασ. 18,43 ἑξ. 6. Πρβλ. Δ′ Βασ. 4,35. 7. Πρβλ. Ἐξ. 25,31. 8. Πρβλ. Λευϊτ. 8,33. Ἐξ. 29,30. 9. Πρβλ. Λευϊτ. 14,38 ἑξ. 10. Πρβλ. Γ′ Βασ. 8,65. 11. Ἱερ. 25,11 ἑξ. 12. Πρβλ. Ματθ. 14,19. 13. Πρβλ. Ματθ. 15,34. 14. Πρβλ. Ματθ. 14,20. 15. Πρβλ. Ματθ. 15,37.

δὲ ἦν τὰ τοῦ Χριστοῦ; Παρθένος, γέννησις, φάτνη, σπαργάνωσις, ἄγγελοι δοξάζοντες, ποιμένες προστρέχοντες, ἀστέρος δρόμος, μάγων προσκύνησις καὶ δωροφορία, Ἡρώδου παιδοφονία, φεύγων Ἰησοῦς εἰς Αἴγυπτον, ἐπανιὼν ἐξ Αἰγύπτου, περιτεμνόμενος, βαπτιζόμενος, μαρτυρούμενος ἄνωθεν, πειραζόμενος, λιθαζόμενος δι' ἡμᾶς, οἷς τύπον ἔδει δοθῆναι τῆς ὑπὲρ τοῦ λόγου κακοπαθείας, προδιδόμενος, προσηλούμενος, θαπτόμενος, ἀνιστάμενος, ἀνερχόμενος, ὧν καὶ νῦν πάσχει πολλά· παρὰ μὲν τῶν μισοχρίστων, τὰ τῆς ἀτιμίας καὶ φέρει (μακρόθυμος γάρ)· παρὰ δὲ τῶν φιλοχρίστων, τὰ τῆς ἐπιτιμίας. Καὶ ἀναβάλλεται, ὥσπερ ἐκείνοις τὴν ὀργήν, οὕτως ἡμῖν τὴν χρηστότητα· τοῖς μὲν ἴσως μετανοίας διδοὺς καιρόν, ἡμῶν δὲ δοκιμάζων τὸν πόθον, εἰ μὴ ἐκκακοῦμεν ἐν ταῖς θλίψεσι[1] καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν· ὥσπερ ἄνωθεν θείας οἰκονομίας λόγος καὶ τῶν ἀνεφίκτων αὐτοῦ κριμάτων, οἷς εὐθύνει σοφῶς τὰ ἡμέτερα. Τὰ μὲν δὴ Χριστοῦ τοιαῦτα· καὶ τὰ ἑξῆς ὀψόμεθα ἐνδοξότερα καὶ ὀφθείημεν. Τὰ δὲ τοῦ Πνεύματος, παρέστω μοι τὸ Πνεῦμα καὶ διδότω λόγον, ὅσον καὶ βούλομαι· εἰ δὲ μὴ τοσοῦτον, ἀλλ' ὅσος γε τῷ καιρῷ σύμμετρος. Πάντως δὲ **[437]** παρέσται δεσποτικῶς, ἀλλ' οὐ δουλικῶς, οὐδὲ ἀναμένον ἐπίταγμα, ὥς τινες οἴονται. Πνεῖ γὰρ ὅπου θέλει[2] καὶ ἐφ' οὓς βούλεται καὶ ἡνίκα καὶ ὅσον. Οὕτως ἡμεῖς καὶ νοεῖν καὶ λέγειν ἐμπνεόμεθα περὶ τοῦ Πνεύματος.

Ϛ'. Τὸ Πνεῦμα τὸ Ἅγιον οἱ μὲν εἰς κτίσμα κατάγοντες, ὑβρισταὶ καὶ δοῦλοι κακοὶ καὶ κακῶν κάκιστοι. Δούλων γὰρ κακῶν ἀθετεῖν δεσποτείαν καὶ ἐπανίστασθαι κυριότητι καὶ ὁμόδουλον ποιεῖν ἑαυτοῖς τὸ ἐλεύθερον. Οἱ δὲ Θεὸν νομίζοντες, ἔνθεοι καὶ λαμπροὶ τὴν διάνοιαν. Οἱ δὲ καὶ ὀνομάζοντες, εἰ μὲν εὐγνώμοσιν, ὑψηλοί· εἰ δὲ ταπεινοῖς, οὐκ οἰκονομικοί· πηλῷ μαργαρίτην πιστεύοντες καὶ ἀκοῇ σαθρᾷ βροντῆς ἦχον καὶ ὀφθαλμοῖς ἀσθενεστέροις ἥλιον καὶ τροφὴν στερεὰν τοῖς ἔτι γάλα ποτιζομένοις[3]· δέον κατὰ μικρὸν προάγειν αὐτοὺς εἰς τὸ ἔμπροσθεν καὶ προβιβάζειν τοῖς ὑψηλοτέροις, φωτὶ φῶς χαριζομένους καὶ ἀληθείᾳ προξενοῦντας ἀλήθειαν· διὸ καὶ ἡμεῖς τὸν τελεώτερον τέως ἀφέντες λόγον (οὔπω γὰρ καιρὸς), οὕτως αὐτοῖς διαλεξόμεθα.

Ζ'. Εἰ μὲν οὐδὲ ἄκτιστον, ὦ οὗτοι, ὁμολογεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον, οὐδὲ ἄχρονον, τοῦ ἐναντίου πνεύματος σαφῶς ἡ ἐνέργεια· δότε γὰρ τῷ ζήλῳ τι καὶ παρατολμῆσαι μικρόν. Εἰ δὲ τοσοῦτον γοῦν ὑγιαίνετε, ὥστε τὴν πρόδηλον φεύγειν ἀσέβειαν καὶ τῆς δουλείας ἔξω τιθέναι τὸ καὶ ἡμᾶς ποιοῦν ἐλευθέρους, τὸ ἑξῆς αὐτοὶ σκέψασθε μετὰ τοῦ Ἁγίου Πνεύματος καὶ ἡμῶν. Πείθομαι γὰρ ποσῶς τούτου μετέχειν ὑμᾶς καὶ ὡς οἰκείοις ἤδη συνδιασκέψομαι. Ἢ δότε μοι τὸ μέσον τῆς δουλείας καὶ τῆς δεσποτείας, ἵν' ἐκεῖ θῶ τὴν ἀξίαν τοῦ Πνεύματος· ἢ τὴν δουλείαν φεύγοντες, οὐκ ἄδηλον, ὅποι τάξετε τὸ ζητού-

---

1. Πρβλ. Ἐφ. 3,13. 2. Πρβλ. Ἰω. 3,8. 3. Πρβλ. Ἑβρ. 5,12.

μενον. Ἀλλὰ ταῖς συλλαβαῖς δυσχεραίνετε καὶ προσπταίετε τῇ φωνῇ καὶ λίθος προσκόμματος ὑμῖν τοῦτο γίνεται καὶ πέτρα σκανδάλου[1] ἐπεὶ καὶ Χριστός τισιν. Ἀνθρώπινον τὸ πάθος. Συμβῶμεν ἀλλήλοις πνευματικῶς. Γενώμεθα φιλάδελφοι μᾶλλον ἢ φίλαυτοι. Δότε τὴν δύναμιν τῆς θεότητος καὶ δώσομεν ὑμῖν τῆς φωνῆς τὴν συγχώρησιν· ὁμο[440]λογήσατε τὴν φύσιν ἐν ἄλλαις φωναῖς, αἷς αἰδεῖσθε μᾶλλον καὶ ὡς ἀσθενεῖς ὑμᾶς ἰατρεύσομεν· ἔστιν ἃ καὶ τῶν πρὸς ἡδονὴν παρακλέψαντες. Αἰσχρὸν μὲν γάρ, αἰσχρὸν καὶ ἱκανῶς ἄλογον, κατὰ ψυχὴν ἐρρωμένους, μικρολογεῖσθαι περὶ τὸν ἦχον καὶ κρύπτειν τὸν θησαυρόν, ὥσπερ ἄλλοις βασκαίνοντας ἢ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότας· αἴσχιον δὲ ἡμῖν ὃ ἐγκαλοῦμεν παθεῖν καὶ μικρολογίαν καταγινώσκοντας, αὐτοὺς μικρολογεῖσθαι περὶ τὰ γράμματα.

Η΄. Μιᾶς Θεότητος, ὦ οὗτοι, τὴν Τριάδα ὁμολογήσατε, εἰ δὲ βούλεσθε, μιᾶς φύσεως· καὶ τὴν Θεὸς φωνὴν παρὰ τοῦ Πνεύματος ὑμῖν αἰτήσομεν. Δώσει γάρ, εὖ οἶδα, ὁ τὸ πρῶτον δοὺς καὶ τὸ δεύτερον καὶ μάλιστα, εἰ δειλία τις εἴη πνευματικὴ καὶ μὴ ἔνστασις διαβολική, τὸ μαχόμενον. Ἔτι σαφέστερον εἴπω καὶ συντομώτερον· Μήτε ὑμεῖς ἡμᾶς εὐθύνητε τῆς ὑψηλοτέρας φωνῆς (φθόνος γὰρ οὐδεὶς ἀναβάσεως), οὔτε ἡμεῖς τὴν ἐφικτὴν τέως ὑμῖν ἐγκαλέσομεν, ἕως ἂν καὶ δι' ἄλλης ὁδοῦ πρὸς τὸ αὐτὸ φέρησθε καταγώγιον. Οὐ γὰρ νικῆσαι ζητοῦμεν, ἀλλὰ προσλαβεῖν ἀδελφούς, ὧν τὸ χωρισμῷ σπαρασσόμεθα. Ταῦτα ὑμῖν, παρ' οἷς τι καὶ ζωτικὸν εὑρίσκομεν, τοῖς περὶ τὸν Υἱὸν ὑγιαίνουσιν· ὧν τὸν βίον θαυμάζοντες, οὐκ ἐπαινοῦμεν πάντη τὸν λόγον· οἱ τὰ τοῦ Πνεύματος ἔχοντες, καὶ τὸ Πνεῦμα προσλάβετε, ἵνα μὴ ἀθλῆτε μόνον, ἀλλὰ καὶ νομίμως, ἐξ οὗ καὶ ὁ στέφανος. Οὗτος ὑμῖν δοθείη τῆς πολιτείας μισθός, ὁμολογῆσαι τὸ Πνεῦμα τελείως καὶ κηρύξαι σὺν ἡμῖν τε καὶ πρὸ ἡμῶν ὅσον ἄξιον. Τολμῶ τι καὶ μεῖζον ὑπὲρ ὑμῶν τὸ τοῦ Ἀποστόλου φθέγξασθαι. Τοσοῦτον ὑμῶν περιέχομαι καὶ τοσοῦτον ὑμῶν αἰδοῦμαι τὴν εὔκοσμον ταύτην στολὴν καὶ τὸ χρῶμα τῆς ἐγκρατείας καὶ τὰ ἱερὰ ταῦτα συστήματα καὶ τὴν σεμνὴν παρθενίαν καὶ κάθαρσιν καὶ τὴν πάννυχον ψαλμῳδίαν καὶ τὸ φιλόπτωχον καὶ φιλάδελφον καὶ φιλόξενον, ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ[3] καὶ παθεῖν τι, ὡς κατάκριτος, δέχομαι· μόνον εἰ σταίητε μεθ' ἡμῶν καὶ κοινῇ τὴν Τριάδα δοξάσαιμεν. Περὶ γὰρ τῶν ἄλλων, τί χρὴ καὶ λέγειν, σαφῶς τεθνηκότων (οὓς Χριστοῦ μόνου ἐγεῖραι, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς[4] κατὰ τὴν αὐτοῦ **[441]** δύναμιν), οἳ κακῶς τῷ τόπῳ χωρίζονται, τῷ λόγῳ συνδεδεμένοι καὶ τοσοῦτον πρὸς ἀλλήλους ζυγομαχοῦσιν, ὅσον ὀφθαλμοὶ διάστροφοι, τὸ ἓν βλέποντες καὶ οὐ τῇ ὄψει, τῇ θέσει δὲ στασιάζοντες· εἶ γε καὶ διαστροφὴν αὐτοῖς ἐγκλητέον, ἀλλὰ μὴ τύφλωσιν; Ἐπεὶ δὲ μετρίως ἐθέ-

---

1. Πρβλ. Ἡσ. 8,14. Ρωμ. 9,33. 2. Πρβλ. Β΄ Τιμ. 2,5. 3. Πρβλ. Ρωμ. 9,3. 4. Πρβλ. Ρωμ. 4,17.

μην τὰ πρὸς ὑμᾶς, φέρε καὶ πρὸς τὸ Πνεῦμα πάλιν ἐπανέλθωμεν· οἶμαι δὲ καὶ ὑμεῖς ἤδη συνέψεσθε.

Θ′. Τὸ Πνεῦμα τὸ Ἅγιον ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον καὶ συναριθμούμενον· οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτέ, ἢ Υἱὸν Πατρὶ ἢ Πνεῦμα Υἱῷ. Τῷ μεγίστῳ γὰρ ἂν ἦν ἄδοξος ἡ θεότης, ὥσπερ ἐκ μεταμελείας ἐλθοῦσα εἰς συμπλήρωσιν τελειότητος. Ἦν οὖν ἀεὶ μεταληπτόν, οὐ μεταληπτικόν· τελειοῦν, οὐ τελειούμενον· πληροῦν, οὐ πληρούμενον· ἁγιάζον, οὐχ ἁγιαζόμενον· θεοῦν, οὐ θεούμενον· αὐτὸ ἑαυτῷ ταὐτὸν ἀεὶ καὶ οἷς συντέτακται· ἀόρατον, ἄχρονον, ἀχώρητον, ἀναλλοίωτον, ἄποιον, ἄποσον, ἀνείδεον, ἀναφές, αὐτοκίνητον, ἀεικίνητον, αὐτεξούσιον, αὐτοδύναμον, παντοδύναμον (εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν, ὥσπερ τὰ τοῦ Μονογενοῦς ἅπαντα, οὕτω δὴ καὶ τὰ τοῦ Πνεύματος ἀναπέμπεται)· ζωὴ καὶ ζωοποιόν· φῶς καὶ χορηγὸν φωτός· αὐτοαγαθὸν καὶ πηγὴ ἀγαθότητος· Πνεῦμα εὐθές, ἡγεμονικόν, κύριον, ἀποστέλλον, ἀφορίζον, ναοποιοῦν ἑαυτῷ, ὁδηγοῦν, ἐνεργοῦν ὡς βούλεται, διαιροῦν χαρίσματα· Πνεῦμα υἱοθεσίας, ἀληθείας, σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς, ἰσχύος[1], φόβου, τῶν ἀπηριθμημένων· δι' οὗ Πατὴρ γινώσκεται καὶ Υἱὸς δοξάζεται καὶ παρ' ὧν μόνων γινώσκεται, μία σύνταξις, λατρεία μία, προσκύνησις, δύναμις, τελειότης, ἁγιασμός. Τί μοι μακρολογεῖν; Πάντα ὅσα ὁ Πατήρ, τοῦ Υἱοῦ, πλὴν τῆς ἀγεννησίας. Πάντα ὅσα ὁ Υἱός, τοῦ Πνεύματος, πλὴν τῆς γεννήσεως. Ταῦτα δὲ οὐκ οὐσίας ἀφορίζει, κατά γε τὸν ἐμὸν λόγον, περὶ οὐσίαν δὲ ἀφορίζεται.

Ι′. Ὠδίνεις τὰς ἀντιθέσεις; ἐγὼ δὲ τοῦ λόγου τὸν δρόμον. Τίμησον τὴν ἡμέραν τοῦ Πνεύματος· ἐπίσχες μικρὸν τὴν γλῶτταν, εἰ δυνατόν. Περὶ ἄλλων γλωσσῶν ὁ λόγος· ταύτας αἰδέσθητι ἢ φοβήθητι, **[444]** μετὰ πυρὸς ὁρωμένας. Σήμερον δογματίσωμεν, αὔριον τεχνολογήσωμεν· σήμερον ἑορτάσωμεν, αὔριον ἀσχημονήσωμεν. Ταῦτα μυστικῶς, ἐκεῖνα θεατρικῶς· ταῦτα ταῖς ἐκκλησίαις, ἐκεῖνα ταῖς ἀγοραῖς· ταῦτα τοῖς νήφουσιν, ἐκεῖνα τοῖς μεθύουσιν· ταῦτα σπουδαζόντων, ἐκεῖνα παιζόντων κατὰ τοῦ Πνεύματος. Ἐπεὶ δὲ ἀπεσκευασάμεθα τὸ ἀλλότριον, φέρε καταρτίσωμεν τὸ ἡμέτερον.

ΙΑ′. Τοῦτο ἐνήργει, πρότερον μὲν ἐν ταῖς ἀγγελικαῖς καὶ οὐρανίοις δυνάμεσι καὶ ὅσαι πρῶταί μετὰ Θεὸν καὶ περὶ Θεόν. Οὐ γὰρ ἄλλοθεν αὐταῖς ἡ τελείωσις καὶ ἡ ἔλλαμψις καὶ τὸ πρὸς κακίαν δυσκίνητον ἢ ἀκίνητον, ἢ παρὰ τοῦ Ἁγίου Πνεύματος. Ἔπειτα ἐν τοῖς Πατράσι καὶ ἐν τοῖς προφήταις, ὧν οἱ μὲν ἐφαντάσθησαν Θεὸν ἢ ἔγνωσαν, οἱ δὲ καὶ τὸ μέλλον προέγνωσαν τυπούμενοι τῷ Πνεύματι τὸ ἡγεμονικὸν καὶ ὡς παροῦσι συνόντες τοῖς ἐσομένοις. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος δύναμις. Ἔπειτα ἐν τοῖς Χριστοῦ μαθηταῖς (ἐῶ γὰρ

---

1. Πρβλ. Ἡσ. 11,2.

Χριστὸν εἰπεῖν, ᾧ παρῆν, οὐχ ὡς ἐνεργοῦν, ἀλλ' ὡς ὁμοτίμῳ συμπαροματρτοῦν)· καὶ τούτοις τρισσῶς, καθ' ὅσον οἷοί τε ἦσαν χωρεῖν καὶ κατὰ καιροὺς τρεῖς· πρὶν δοξασθῆναι Χριστὸν τῷ Πάθει· μετὰ τὸ δοξασθῆναι τῇ Ἀναστάσει· μετὰ τὴν εἰς οὐρανοὺς Ἀνάβασιν ἢ ἀποκατάστασιν ἢ ὅ τι χρὴ λέγειν. Δηλοῖ δὲ ἡ πρώτη τῶν νόσων καὶ ἡ τῶν πνευμάτων κάθαρσις, οὐκ ἄνευ Πνεύματος δηλαδὴ γενομένη· καὶ τὸ μετὰ τὴν οἰκονομίαν ἐμφύσημα, σαφῶς ὂν ἔμπνευσις θειοτέρα· καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν, ὃ καὶ πανηγυρίζομεν. Ἀλλὰ τὸ μὲν πρῶτον, ἀμυδρῶς· τὸ δὲ δεύτερον, ἐκτυπώτερον· τὸ δὲ νῦν, τελεώτερον, οὐκ ἔτι ἐνεργεία παρόν, ὡς πρότερον, οὐσιωδῶς δέ, ὡς ἂν εἴποι τις, συγγινόμενόν τε καὶ συμπολιτευόμενον. Ἔπρεπε γὰρ Υἱοῦ σωματικῶς ἡμῖν ὁμιλήσαντος καὶ αὐτὸ φανῆναι σωματικῶς· καὶ Χριστοῦ πρὸς ἑαυτὸν ἐπανελθόντος, ἐκεῖνο πρὸς ἡμᾶς κατελθεῖν· ἐρχόμενον μὲν ὡς Κύριον, πεμπόμενον δὲ ὡς οὐκ ἀντίθεον. Αἱ γὰρ τοιαῦται φωναὶ οὐχ ἧττον τὴν ὁμόνοιαν δηλοῦσιν ἢ φύσεις χωρίζουσιν.

ΙΒ′. Διὰ τοῦτο, μετὰ Χριστὸν μέν, ἵνα Παράκλητος ἡμῖν μὴ λείπῃ· «Ἄλλος» δέ, ἵνα σὺ τὴν ὁμοτιμίαν ἐνθυμηθῇς. Τὸ γάρ, «ἄλλος», ἄλλος οἷος **[445]** ἐγώ, καθίσταται. Τοῦτο δὲ συνδεσποτείας, ἀλλ' οὐκ ἀτιμίας ὄνομα. Τὸ γάρ, «ἄλλος», οὐκ ἐπὶ τῶν ἀλλοτρίων, ἀλλ' ἐπὶ τῶν ὁμοουσίων οἶδα λεγόμενον. Ἐν γλώσσαις δέ, διὰ τὴν πρὸς τὸν Λόγον οἰκείωσιν. Πυρίναις δέ[1], ζητῶ πότερον διὰ τὴν κάθαρσιν (οἶδε γὰρ ὁ λόγος ἡμῶν καὶ πῦρ καθαρτήριον, ὡς πανταχόθεν βουλομένοις ὑπάρχει μαθεῖν)· ἢ διὰ τὴν οὐσίαν. Πῦρ γὰρ ὁ Θεὸς ἡμῶν καὶ πῦρ καταναλίσκον[2] τὴν μοχθηρίαν, κἂν πάλιν ἀγανακτῇς τῷ ὁμοουσίῳ στενοχωρούμενος. Μεριζομέναις[3] δέ, διὰ τὸ τῶν χαρισμάτων διάφορον· καθεζομέναις[4] δέ, διὰ τὸ βασιλικὸν καὶ τὴν ἐν τοῖς ἁγίοις ἀνάπαυσιν· ἐπεὶ καὶ Θεοῦ θρόνος τὰ χερουβίμ[5]. Ἐν ὑπερῴῳ[6] δὲ (εἰ μή τῳ περιεργότερος εἶναι δοκῶ τοῦ δέοντος), διὰ τὴν ἀνάβασιν τῶν δεξομένων καὶ τὴν χαμόθεν ἔπαρσιν· ἐπεὶ καὶ ὕδασι θείοις ὑπερῷά[7] τινα στεγάζεται, δι' ὧν ὑμνεῖται Θεός. Καὶ Ἰησοῦς αὐτὸς ἐν ὑπερῴῳ τοῦ μυστηρίου κοινωνεῖ[8] τοῖς τὰ ὑψηλότερα τελουμένοις, ἵνα ἐκεῖνο παραδειχθῇ, ὅτι τὸ μέν τι καταβῆναι δεῖ Θεὸν πρὸς ἡμᾶς, ὃ καὶ πρότερον ἐπὶ Μωυσέως οἶδα γενόμενον[9], τὸ δὲ ἡμᾶς ἀναβῆναι καὶ οὕτω γενέσθαι κοινωνίαν Θεοῦ πρὸς ἀνθρώπους, τῆς ἀξίας συγκιρναμένης. Ἕως δ' ἂν ἑκάτερον ἐπὶ τῆς ἰδίας μένῃ, τὸ μὲν περιωπῆς, τὸ δὲ ταπεινώσεως, ἄμικτος ἡ ἀγαθότης καὶ τὸ φιλάνθρωπον ἀκοινώνητον· καὶ χάσμα ἐν μέσῳ μέγα καὶ ἀδιάβατον[10], οὐ τὸν πλούσιον τοῦ Λαζάρου μόνον καὶ τῶν ὀρεκτῶν Ἀβραὰμ κόλπων διεῖργον, τὴν δὲ γενητὴν φύσιν καὶ ῥέουσαν, τῆς ἀγενήτου καὶ ἑστηκυίας.

---

1. Πρβλ. Πράξ. 2,3 ἑξ. 2. Πρβλ. Δευτ. 4,24. 3. Πρβλ. Πράξ. 2,3. 4. Ἔνθ' ἀν. 5. Πρβλ. Ἡσ. 37,16. 6. Πρβλ. Πράξ. 1,13. 7. Πρβλ. Β′ Βασ. 19,1. Πράξ. 9,37. 8. Πρβλ. Λουκ. 22,12 ἑξ. 9. Πρβλ. Ἐξ. 3,2. 10. Πρβλ. Λουκ. 16,26.

ΙΓ′. Τοῦτο ἐκηρύχθη μὲν ὑπὸ τῶν προφητῶν, ὡς ἐν τῷ «Πνεῦμα Κυρίου ἐπ' ἐμέ»[1]· καί, 'Αναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ Πνεύματα[2]· καί, «Κατέβη Πνεῦμα Κυρίου καὶ ὡδήγησεν αὐτούς»[3]· καί, Πνεῦμα ἐπιστήμης ἐμπλῆσαν Βεσελεὴλ τὸν ἀρχιτέκτονα τῆς σκηνῆς[4]· καί, Πνεῦμα παροξυνόμενον[5]· καί, Πνεῦμα ἐξᾶραν 'Ηλίαν ἐν ἅρματι καὶ ζητηθὲν παρὰ 'Ελισσαίου διπλάσιον[6]· καί, πνεύματι ἀγαθῷ καὶ ἡγεμονικῷ[7] Δαβὶδ ὁδηγούμενός τε καὶ στηριζόμενος. 'Επηγγέλθη δέ, ὑπὸ μὲν 'Ιωὴλ πρότερον· «Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγοντος· 'Εκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα **[448]** (δηλαδὴ τὴν πιστεύουσαν) καὶ ἐπὶ τοὺς υἱούς ὑμῶν καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν»[8], καὶ τὰ ἑξῆς· ὑπὸ δὲ 'Ιησοῦ καὶ ὕστερον, δοξαζομένου[9] τε καὶ ἀντιδοξάζοντος, ὡς τὸν Πατέρα καὶ ὑπὸ τοῦ Πατρός[10]. Καὶ ἡ ἐπαγγελία, ὡς δαψιλής, συνδιαιωνίζειν καὶ συμπαραμενεῖν[11], εἴτουν νῦν τοῖς κατὰ καιρὸν ἀξίοις, εἴτε ὕστερον τοῖς τῶν ἐκεῖσε ἀξιουμένοις, ὅταν ὁλόκληρον αὐτὸ τῇ πολιτείᾳ φυλάξωμεν, ἀλλὰ μὴ τοσοῦτον ἀποβάλωμεν, καθ' ὅσον ἂν ἁμαρτάνωμεν.

ΙΔ′. Τοῦτο τὸ Πνεῦμα συνδημιουργεῖ μὲν Υἱῷ καὶ τὴν κτίσιν καὶ τὴν ἀνάστασιν. Καὶ πειθέτω σε τό, «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»[12]· «Πνεῦμά τε θεῖον τὸ ποιῆσάν με· Πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με»[13]· καὶ πάλιν· «'Εξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς»[14]. Δημιουργεῖ δὲ τὴν πνευματικὴν ἀναγέννησιν· καὶ πειθέτω σε τό, Μηδένα δύνασθαι τὴν βασιλείαν ἰδεῖν ἢ λαβεῖν, ὅς τις μὴ ἄνωθεν ἐγεννήθη Πνεύματι[15] καὶ τὴν προτέραν ἐκαθαρίσθη γέννησιν, ἣ νυκτός ἐστι μυστήριον, ἡμερινῇ καὶ φωτεινῇ διαπλάσει, ἣν καθ' ἑαυτὸν ἕκαστος διαπλάττεται. Τοῦτο τὸ Πνεῦμα (σοφώτατον γὰρ καὶ φιλανθρωπότατον), ἂν ποιμένα λάβῃ, ψάλτην ποιεῖ, πνευμάτων πονηρῶν κατεπάδοντα καὶ βασιλέα τοῦ 'Ισραὴλ ἀναδείκνυσιν[16]. 'Εὰν αἰπόλον συκάμινα κνίζοντα, προφήτην ἐργάζεται. Τὸν Δαβὶδ[17] καὶ τὸν 'Αμὼς[18] ἐνθυμήθητι. 'Εὰν μειράκιον εὐφυὲς λάβῃ, πρεσβυτέρων ποιεῖ κριτὴν καὶ παρ' ἡλικίαν. Μαρτυρεῖ Δανιήλ[19], ὁ νικήσας ἐν λάκκῳ λέοντας. 'Εὰν ἁλιέας εὕρῃ, σαγηνεύει Χριστῷ, κόσμον ὅλον τῇ τοῦ λόγου πλοκῇ συλλαμβάνοντας. Πέτρον λάβε μοι καὶ 'Ανδρέαν καὶ τοὺς υἱοὺς τῆς βροντῆς[20], τὰ πνευματικὰ βροντήσαντας. 'Εὰν τελώνας, εἰς μαθητείαν κερδαίνει καὶ ψυχῶν ἐμπόρους δημιουργεῖ. Φησὶ Ματθαῖος[21], ὁ χθὲς τελώνης καὶ σήμερον

---

1. 'Ησ. 61,1. 2. Πρβλ. 'Ησ. 11,2. 3. 'Ησ. 63,14. 4. Πρβλ. 'Εξ. 35,30 ἑξ. 5. Πρβλ. 'Ησ. 63,10. 6. Πρβλ. Δ′ Βασ. 2,9 ἑξ. 7. Πρβλ. Ψαλ. 50,14. 8. Πρβλ. 'Ιωὴλ 2,28. 9. Πρβλ. 'Ιω. 16,14. 10. Πρβλ. 'Ιω. 8,54. 11. Πρβλ. 'Ιω. 14,16. 12. Ψαλ. 32,6. 13. 'Ιὼβ 33,4. 14. Ψαλ. 103,30. 15. Πρβλ. 'Ιω. 3,5. 16. Πρβλ. Α′ Βασ. 16,14 ἑξ. 17. Α′ Βασ. 16,12. 18. Πρβλ. 'Αμ. 1,1. 19. Πρβλ. Δαν. (Βὴλ) 31 ἑξ. 20. Πρβλ. Ματθ. 4,18,21. 21. Πρβλ. Ματθ. 9,9.

εὐαγγελιστής. Ἐὰν διώκτας θερμούς, τὸν ζῆλον μετατίθησι καὶ ποιεῖ Παύλους ἀντὶ Σαύλων καὶ τοσοῦτον εἰς εὐσέβειαν, ὅσον εἰς κακίαν κατέλαβεν[1]. Τοῦτο καὶ Πνεῦμά ἐστι πραότητος· καὶ παροξύνεται τοῖς ἁμαρτάνουσιν. Τοιγαροῦν πειραθῶμεν ὡς πράου καὶ μὴ ὀργίλου, τὴν ἀξίαν ὁμολογοῦντες καὶ τὸ βλάσφημον φεύγοντες καὶ μὴ βουληθῶμεν ἰδεῖν ὀργιζόμενον ἀσυγχώρητα. Τοῦτο κἀμὲ ποιεῖ σήμερον ὑμῖν τολμηρὸν κήρυκα· εἰ μὲν **[449]** οὖν οὐδὲν πεισόμενον, τῷ Θεῷ χάρις· εἰ δὲ πεισόμενον καὶ οὕτω χάρις· τὸ μέν, ἵνα φείσηται τῶν μισούντων ἡμᾶς· τὸ δέ, ἵν' ἡμᾶς ἁγιάσῃ, μισθὸν τοῦτον λαβόντας τῆς ἱερουργίας τοῦ Εὐαγγελίου, τὸ τελειωθῆναι δι' αἵματος.

ΙΕ′. Ἐλάλουν μὲν οὖν ξέναις γλώσσαις[2] καὶ οὐ πατρίοις καὶ τὸ θαῦμα μέγα, λόγος ὑπὸ τῶν οὐ μαθόντων λαλούμενος· καὶ τὸ σημεῖον τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν, ἵν' ᾖ τῶν ἀπίστων κατήγορον, καθὼς γέγραπται· «Ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις, λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος»[3]. Ἤκουον δέ. Μικρὸν ἐνταῦθα ἐπίσχες καὶ διαπόρησον, πῶς διαιρήσεις τὸν λόγον. Ἔχει γάρ τι ἀμφίβολον ἡ λέξις, τῇ στιγμῇ διαιρούμενον. Ἆρα γὰρ ἤκουον ταῖς ἑαυτῶν διαλέκτοις ἕκαστος, ὡς φέρε εἰπεῖν, μίαν μὲν ἐξηχεῖσθαι φωνήν, πολλὰς δὲ ἀκούεσθαι, οὕτω κτυπουμένου τοῦ ἀέρος καί, ἵν' εἴπω σαφέστερον, τῆς φωνῆς φωνῶν γινομένων, ἢ τὸ μέν, «Ἤκουον», ἀναπαυστέον, τὸ δέ, Λαλούντων ταῖς ἰδίαις φωναῖς[4], τῷ ἑξῆς προσθετέον, ἵν' ᾖ, Λαλούντων φωναῖς, ταῖς ἰδίαις τῶν ἀκουόντων, ὅπερ γίνεται, ἀλλοτρίαις· καθὰ καὶ μᾶλλον τίθεμαι. Ἐκείνως μὲν γὰρ τῶν ἀκουόντων ἂν εἴη μᾶλλον ἢ τῶν λεγόντων, τὸ θαῦμα· οὕτω δὲ τῶν λεγόντων· οἳ καὶ μέθην καταγινώσκονται, δῆλον ὡς αὐτοὶ θαυματουργοῦντες περὶ τὰς φωνὰς τῷ Πνεύματι.

ΙϚ′. Πλὴν ἐπαινετὴ μὲν καὶ ἡ παλαιὰ διαίρεσις τῶν φωνῶν (ἡνίκα τὸν πύργον ᾠκοδόμουν οἱ κακῶς καὶ ἀθέως ὁμοφωνοῦντες[5], ὥσπερ καὶ τῶν νῦν τολμῶσί τινες)· τῇ γὰρ τῆς φωνῆς διαστάσει συνδιαλυθὲν τὸ ὁμόγνωμον, τὴν ἐγχείρησιν ἔλυσεν· ἀξιεπαινετωτέρα δὲ ἡ νῦν θαυματουργουμένη. Ἀπὸ γὰρ ἑνὸς Πνεύματος εἰς πολλοὺς χυθεῖσα, εἰς μίαν ἁρμονίαν πάλιν συνάγεται. Καὶ ἔστι διαφορὰ χαρισμάτων, ἄλλου δεομένη χαρίσματος, πρὸς διάκρισιν τοῦ βελτίονος· ἐπειδὴ πᾶσαι τὸ ἐπαινετὸν ἔχουσι. Καλὴ δ' ἂν κἀκείνη λέγοιτο, περὶ ἧς Δαβὶδ λέγει· «Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς **[452]** γλώσσας αὐτῶν»[6]. Διατί; «Ὅτι ἠγάπησαν πάντα τὰ ῥήματα καταποντισμοῦ γλῶσσαν δολίαν»[7]· μόνον οὐχὶ φανερῶς τὰς ἐνταῦθα γλώσσας καταιτιώμενος, αἳ θεότητα τέμνουσιν. Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον.

---

1. Πράξ. 8,3. 9,1 ἑξ. 2. Πρβλ. Πράξ. 2,4. 3. Α′ Κορ. 14,21. Πρβλ. Ἡσ. 28,11. 4. Πρβλ. Πράξ. 2,6. 5. Πρβλ. Γεν. 11,1 ἑξ. 6. Ψαλ. 54,10. 7. Πρβλ. Ψαλ. 51,6.

ΙΖ′. Ἐπεὶ δὲ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ εὐλαβεστάτοις Ἰουδαίοις, Πάρθοις καὶ Μήδοις καὶ Ἐλαμίταις, Αἰγυπτίοις καὶ Λίβυσι, Κρησί τε καὶ Ἄραψι, Μεσοποταμίταις τε καὶ τοῖς ἐμοῖς Καππαδόκαις, ἐλάλουν αἱ γλῶσσαι καὶ τοῖς ἐκ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν Ἰουδαίοις (εἴ τῳ φίλον οὕτω νοεῖν), ἐκεῖσε συνειλεγμένοις, ἄξιον ἰδεῖν, τίνες ἦσαν οὗτοι καὶ τῆς ποίας αἰχμαλωσίας. Ἡ μὲν γὰρ εἰς Αἴγυπτον καὶ Βαβυλῶνα περίγραπτός τε ἦν καὶ πάλαι τῇ ἐπανόδῳ λέλυτο. Ἡ δὲ ὑπὸ Ῥωμαίων οὔπω γεγένητο, ἔμελλε δέ, εἴσπραξις οὖσα τῆς κατὰ τοῦ Σωτῆρος θρασύτητος. Λείπεται δὴ τὴν ὑπ' Ἀντιόχου ταύτην ὑπολαμβάνειν, οὐ πολὺ τούτων οὖσαν τῶν καιρῶν πρεσβυτέραν. Εἰ δέ τις ταύτην μὲν οὐ προσίεται τὴν ἐξήγησιν, ὡς περιεργοτέραν (οὔτε γὰρ παλαιὰν εἶναι τὴν αἰχμαλωσίαν, οὔτ' ἐπὶ πολὺ τῆς οἰκουμένης χεθεῖσαν), ζητεῖ δὲ τὴν πιθανωτέραν, ἐκεῖνο ἴσως ὑπολαβεῖν ἄμεινον, ὅτι πολλάκις καὶ ὑπὸ πλειόνων, τοῦ ἔθνους μεταναστάντος, ὡς τῷ Ἔσδρᾳ ἱστόρηται, αἱ μὲν τῶν φυλῶν ἀνεσώθησαν, αἱ δὲ ὑπελείφθησαν· ὧν εἰκὸς διασπαρεισῶν εἰς ἔθνη πλείονα, τηνικαῦτα παρεῖναί τινας καὶ μετέχειν τοῦ θαύματος.

ΙΗ′. Καὶ ταῦτα προεξήτασται τοῖς φιλομαθέσιν, ἴσως οὐ περιέργως. Καὶ ὅτι ἂν ἄλλο συνεισφέρῃ τις εἰς τὴν παροῦσαν ἡμέραν καὶ ἡμῖν τοῦτο ἔσται συνειλοχώς. Ἡμῖν δὲ τὸν μὲν σύλλογον ἤδη διαλυτέον (ἱκανὸς γὰρ ὁ λόγος), τὴν δὲ πανήγυριν οὐδέποτε. Ἀλλ' ἑορταστέον, νῦν μὲν καὶ σωματικῶς, μικρὸν δὲ ὕστερον ὅλον πνευματικῶς· ἔνθα καὶ τοὺς λόγους τούτων εἰσόμεθα καθαρώτερον καὶ σαφέστερον, ἐν αὐτῷ τῷ Λόγῳ καὶ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῇ ἀληθινῇ τῶν σῳζομένων ἑορτῇ καὶ ἀγαλλιάσει· μεθ' οὗ ἡ δόξα καὶ τὸ σέβας τῷ Πατρί, σὺν τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΜΒ΄

ΣΥΝΤΑΚΤΗΡΙΟΣ
ΕΙΣ ΤΗΝ ΤΩΝ ΡΝ΄ ΕΠΙΣΚΟΠΩΝ ΠΑΡΟΥΣΙΑΝ

[457] Α΄. Πῶς ὑμῖν τὰ ἡμέτερα, ὦ φίλοι ποιμένες καὶ συμποιμένες· ὧν ὡραῖοι μὲν οἱ πόδες, εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθά[1], μεθ' ὧν ἐληλύθατε· ὡραῖοι δὲ τὰ πρὸς ἡμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπιστρέψητε, ἀλλ' ἵνα ποιμένα ἔκδημον ἐπισκέψησθε; Πῶς τὰ τῆς ἐκδημίας ὑμῖν ἔχει τῆς ἡμετέρας; καὶ τίς ὁ ταύτης καρπός[2], μᾶλλον δέ, τοῦ ἐν ἡμῖν Πνεύματος[3], ᾧ κινούμεθά τε ἀεὶ καὶ νῦν κεκινήμεθα[4], μηδὲν ἴδιον ἔχειν ἐπιθυμοῦντες, μήτ' ἴσως ἔχοντες; Ἆρά γε συνίετε παρ' ὑμῶν αὐτῶν καὶ καταμανθάνετε καὶ λογισταὶ τῶν ἡμετέρων ἐστὲ χρηστότεροι; ἢ δεῖ, καθάπερ τοὺς στρατηγίας ἢ δημαγωγίας ἢ διοικήσεως χρημάτων λόγον ἀπαιτουμένους, δημοσίᾳ καὶ αὐτοὺς ὑποσχεῖν ὑμῖν τὰς εὐθύνας, ὧν διωκήκαμεν; Οὐ γὰρ αἰσχυνόμεθα κρινόμενοι, ὅτι καὶ κρίνομεν ἐν τῷ μέρει καὶ μετὰ τῆς αὐτῆς ἀγάπης ἀμφότερα. Παλαιὸς δὲ ὁ νόμος· ἐπεὶ καὶ Παῦλος τοῖς ἀποστόλοις ἐκοινοῦτο τὸ Εὐαγγέλιον[5]· οὐχ ἵνα φιλοτιμήσηται (πόρρω γὰρ τὸ Πνεῦμα πάσης φιλοτιμίας), ἀλλ' ἵν', ἢ βεβαιωθῇ τὸ κατορθούμενον ἢ διορθωθῇ τὸ ὑστερούμενον, εἴ ἄρα τι καὶ τοιοῦτον ἦν ἐν τοῖς ὑπ' ἐκείνου λεγομένοις ἢ πραττομένοις, ὡς αὐτὸς παραδηλοῖ περὶ ἑαυτοῦ γράφων· Ἐπειδὴ «καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται»[6], κατὰ τὴν εὐταξίαν τοῦ πάντα καλῶς οἰκονομοῦντος καὶ διαιροῦντος Πνεύματος. Εἰ δὲ ἐκεῖνος μὲν ἰδίᾳ καί τισιν, ἐγὼ δὲ δημοσίᾳ καὶ πᾶσιν ὑπέχω λόγον, μηδὲν θαυμάσητε. Καὶ γὰρ χρῄζω μᾶλλον ὠφεληθῆναι τῇ τῶν ἐλέγχων ἐλευθερίᾳ, ἥπερ ἐκεῖνος, εἴ τι φαινοίμην ἐλλείπων τοῦ δέοντος, «μή πως εἰς κενὸν τρέχω ἢ ἔδραμον»[7]. Καὶ οὐκ ἔστιν ἄλλως ἀπολογήσασθαι ἢ ἐν εἰδόσι τοὺς λόγους ποιούμενον.

Β΄. Τίς οὖν ἡ ἀπολογία; Καὶ εἰ μὲν ψευδής, ἐλέγξατε· εἰ δὲ ἀληθής, μαρτυρήσατε ὑμεῖς, ὑπὲρ ὧν καὶ ἐν οἷς ὁ λόγος. Ὑμεῖς γάρ μοι καὶ ἀπολογία καὶ **[460]** μάρτυρες «καὶ καυχήσεως στέφανος»[8], ἵνα τολμήσω κἀγώ τι τῶν τοῦ Ἀποστόλου νεανιεύσασθαι. Τοῦτο τὸ ποίμνιον ἦν, ὅτε μικρόν τε καὶ ἀτελὲς ἦν, ὅσον ἐπὶ τοῖς ὁρωμένοις καὶ οὐδὲ ποίμνιον, ἀλλὰ ποίμνης τι μικρὸν ἴχνος ἢ λείψανον, ἀσύντακτον καὶ ἀνεπίσκοπον καὶ ἀόριστον, μήτε νομὴν ἐλευθέραν ἔχον,

---

1. Πρβλ. Ἡσ. 52,7. Ρωμ. 10,15. 2. Πρβλ. Γαλ. 5,22. 3. Πρβλ. Β΄ Τιμ. 1,14. 4. Πρβλ. Πράξ. 17,28. 5. Πρβλ. Γαλ. 2,2. 6. Α΄ Κορ. 14,32. 7. Γαλ. 2,2. 8. Α΄ Θεσ. 2,19.

μήτε μάνδρᾳ περιεχόμενον, πλανώμενον «ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς»[1], ἄλλο ἀλλαχοῦ διεσπαρμένον τε καὶ διερριμμένον, ὡς ἕκαστον ἔτυχε σκεπόμενον ἢ νεμόμενον καὶ διακλέπτον ἀγαπητικῶς τὴν ἑαυτοῦ σωτηρίαν· οἷον ἐκεῖνο τὸ ποίμνιον, ὃ λέοντες ἐξῶσαν, ἢ ζάλη διέλυσεν ἢ σκοτόμαινα διεσκέδασεν· ὃ θρηνοῦσι μὲν προφῆται, τοῖς τοῦ Ἰσραὴλ ἀπεικάζοντες πάθεσι, παραδεδομένου τοῖς ἔθνεσιν· ἐθρηνήσαμεν δὲ καὶ ἡμεῖς, ἐφ' ὅσον θρήνων ἐπράττομεν ἄξια. Τῷ ὄντι γὰρ καὶ ἡμεῖς ἐξώσθημεν καὶ ἀπερρίφημεν καὶ ἐπὶ πᾶν ὄρος καὶ βουνὸν διεσπάρημεν, ὡς ἐν ἐρημίᾳ ποιμένος· καὶ πονηρός τις χειμὼν κατέσχε τὴν Ἐκκλησίαν καὶ δεινοὶ θῆρες ἐπιπεπτώκασιν, οἱ μηδὲ νῦν μετὰ τὴν αἱθρίαν ἡμῶν φειδόμενοι· ἀλλ' ἀναισχυντοῦντες εἶναι καὶ τοῦ καιροῦ δυνατώτεροι· καὶ σκυθρωπή τις σκοτόμαινα ἐπέλαβε πάντα καὶ συνεκάλυψε, πολὺ τῆς ἐνάτης τῶν Αἰγυπτίων πληγῆς[2] βαρυτέρα, τοῦ ψηλαφητοῦ λέγω σκότους, ὑφ' οὗ μικροῦ δεῖν μηδὲ ἀλλήλους ἰδεῖν ἐδυνήθημεν.

Γ'. Καί, ἵν' εἴπω τι συμπαθέστερον, ὡς πατρὶ τῷ παραδεδωκότι θαρρήσας· «Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σὺ Πατὴρ ἡμῶν εἶ»[3]· καὶ πρὸς σὲ βλέπομεν· ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν. Διὰ τοῦτο «ἀπολογήσομαι, πλὴν κρίματα λαλήσω πρὸς σέ»[4], φησὶν Ἱερεμίας, «ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν»[5] καὶ ἐπελάθου διαθήκης ἁγίας σου καὶ ἀπέκλεισας ἀφ' ἡμῶν τὰ ἐλέη σου. Διὰ τοῦτο ἐγενήθημεν ὄνειδος τῷ ἀγαπητῷ σου, οἱ τῆς Τριάδος προσκυνηταί, οἱ τέλειοι τῆς τελείας θεότητος πρόσφυγες· καὶ μὴ τολμῶντές τι τῶν ὑπὲρ ἡμᾶς εἰς ἡμᾶς κατάγειν· μηδὲ τοσοῦτον ἐπαίρεσθαι κατὰ τὰς ἀθέους γλώσσας καὶ θεομάχους, ὥστε τὴν δεσποτείαν ποιεῖν ὁμόδουλον· ἀλλὰ παρεδόθημεν δηλαδὴ διὰ τὰς ἄλλας ἁμαρτίας ἡμῶν καὶ τὸ μὴ **[461]** ἀξίως τῶν ἐντολῶν σου ἀναστραφῆναι, ἀλλ' ὀπίσω τῆς διανοίας ἡμῶν τῆς πονηρᾶς πορευθῆναι. Διὰ τί γὰρ ἕτερον ἀνδράσιν ἀδικωτάτοις καὶ πονηροτάτοις παρὰ πάντας τοὺς κατοικοῦντας τὴν γῆν; Ὁ πρῶτος Ναβουχοδονόσορ ἐξέθλιψεν ἡμᾶς, ὁ μετὰ Χριστὸν κατὰ Χριστοῦ μανεὶς καὶ διὰ τοῦτο μισήσας Χριστόν, ὅτι δι' αὐτοῦ σέσωστο· καὶ τῶν ἱερῶν βίβλων τὰς ἀθέους θυσίας ἀντιλαβών. «Κατέφαγέ με, ἐμερίσατό με[6], ἐκάλυψέ με σκότος λεπτόν»[7], ἵνα μὴ ἀποστῶ, μηδὲ θρηνῶν, τῆς Γραφῆς. «Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι»[8] καὶ χερσὶν ἀνόμων δικαίως αὐτὸν παρέδωκεν, ἐκτοπίσας εἰς Πέρσας, (οἷα τὰ τοῦ Θεοῦ κρίματα!) καὶ ὑπὲρ αἱμάτων ἀνοσίων αἷμα ἐχέθη δίκαιον, ἐνταῦθα μόνον οὐδὲ μακροθυμῆσαι ἀνασχομένης τῆς δίκης, «παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου»[9]. Ὁ δεύτερος, οὐδὲν ἐκείνου φιλανθρωπότερος, ὅτι μὴ καὶ βαρύτερος, ὅσῳ τοῦ Χριστοῦ φέρων ὄνομα,

1. Ἑβρ. 11,38. 2. Πρβλ. Ἐξ. 10,21. 3. Ἡσ. 63,16. 4. Ἱερ. 12,1. 5. Ἡσ. 63,19. 6. Ἱερ. 28,31. 7. Πρβλ. Ἱερ. 28,34. Ψαλ. 54,6. 8. Ψαλ. 93,17. 9. Ἐνθ' ἀν.

ψευδόχριστος ἦν καὶ Χριστιανοῖς βάρος ὁμοῦ τε καὶ ὄνειδος, οἷς καὶ τὸ ποιεῖν ἄθεον καὶ τὸ πάσχειν ἄδοξον· τῷ μηδὲ ἀδικεῖσθαι δοκεῖν, μηδὲ τὸ μεγαλοπρεπὲς ὄνομα τῷ πάσχειν προσεῖναι τὴν μαρτυρίαν· ἀλλὰ κἀνταῦθα κλέπτεσθαι τὴν ἀλήθειαν, πάσχοντας ὡς Χριστιανούς, ὡς ἀσεβεῖς κολάζεσθαι. Οἴμοι, ὅτι ἐπλουτήσαμεν ἐν τοῖς κακοῖς, «ὅτι πῦρ κατέφαγε τὰ ὡραῖα τῆς οἰκουμένης[1]. «Τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρὶς καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ἡ ἐρυσίβη»[2]· εἶτα ὁ βροῦχος, εἶτα οὐκ οἶδ' ὅ τι πρὸς τούτοις, καὶ ἄλλο ἐπ' ἄλλῳ κακῷ φυόμενον. Τί ἄν τις ἐκτραγῳδοίη πάντα τὰ τοῦ καιροῦ κακὰ καὶ τὴν τότε κατασχοῦσαν ἡμᾶς, εἴτε εἴσπραξιν χρὴ λέγειν, εἴτε δοκιμασίαν καὶ πύρωσιν; Πλὴν ὅτι «διήλθομεν διὰ πυρὸς καὶ ὕδατος»[3] καὶ προήλθομεν εἰς ἀναψυχὴν εὐδοκίᾳ τοῦ σῴζοντος Θεοῦ.

Δ΄. Ἀλλ' ὅ μοι λέγειν ἀπ' ἀρχῆς ὁ λόγος ὥρμητο· τοῦτο τὸ γεώργιον ἦν, ὅτε μικρόν τε καὶ πενιχρὸν ἦν καὶ οὐχ ὅπως Θεοῦ, τοῦ τὸν κόσμον ὅλον γεωργήσαντός τε καὶ γεωργοῦντος τοῖς καλοῖς τῆς εὐσεβείας σπέρμασί τε καὶ δόγμασιν, ἀλλ' οὐδὲ πένητος ἑνὸς τῶν ἐνδεῶν καὶ μετρίων, ὥς γε ἐδόκει· ἀλλ' οὐδὲ γεώργιον ὅλως, οὐδὲ ἀποθηκῶν, οὐδὲ ἄλω τυχόν, οὐδὲ δρεπάνης ἄξιον· οὐδὲ θημώνων, οὐδὲ δράγματα, ἢ δράγματα μικρά τε καὶ ἄωρα καὶ οἷα τὰ ἐκ δωμάτων, μήτε χεῖρα πληροῦντα τοῦ **[464]** θερίζοντος[4], μήτε τῶν παριόντων εὐλογίαν προκαλούμενα. Τοιοῦτον ἡμῶν τὸ γεώργιον, τοσοῦτον τὸ θέρος· μέγα μὲν καὶ εὔσταχυ καὶ πῖον τῷ θεωρητῇ τῶν κρυπτῶν καὶ τοιούτου γεωργοῦ πρέπον εἶναι, ὃ πληθύνουσι κοιλάδες ψυχῶν καλῶς τῷ λόγῳ γεωργουμένων· οὐ μὴν γνωριζόμενον τοῖς πολλοῖς, οὐδὲ εἰς ἓν συναγόμενον, ἀλλὰ κατὰ μικρὸν συλλεγόμενον, ὡς καλάμη ἐν ἀμητῷ καὶ ὡς ἐπιφυλλὶς ἐν τρυγητῷ, μὴ ὑπάρχοντος βότρυος[5]. Προσθήσειν μοι δοκῶ κἀκεῖνα, καὶ λίαν κατὰ καιρόν, ὡς συκῆν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ[6] καὶ ὡς ῥάγα μίαν ἢ δευτέραν ὥριμον ἐν ἀώρῳ τῷ βότρυϊ, εὐλογίαν μὲν Κυρίου τετηρημένην[7] καὶ ἀπαρχὴν καθιερωμένην, πλὴν ὀλίγην ἔτι καὶ σπάνιον καὶ οὐ πληροῦσαν στόμα ἔσθοντος· καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ καὶ ὡς ἱστὸν ἐπ' ὄρους[8], ἤ εἴ τι ἄλλο τῶν μοναδικῶν τε καὶ οὐ πλείοσι θεωρουμένων. Ταῦτα μὲν τὰ τῆς προτέρας πενίας καὶ κατηφείας.

Ε΄. Ἀφ' οὗ δὲ ὁ πτωχίζων καὶ πλουτίζων Θεός, ὁ θανατῶν καὶ ζωογονῶν[9], ὁ ποιῶν πάντα καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι, ὁ ποιῶν ἐκ μὲν νυκτὸς ἡμέραν, ἐκ δὲ χειμῶνος ἔαρ, ἐκ δὲ ζάλης γαλήνην[10], ἐκ δὲ αὐχμῶν ἐπομβρίαν[11]· καὶ τοῦτο δι' ἑνὸς δικαίου πολλάκις εὐχὴν ἐπὶ πολὺ διωχθέντος· ὁ ἀναλαμβάνων πραεῖς εἰς ὕψος καὶ ταπεινῶν ἁμαρτωλοὺς ἕως γῆς[12], ἐκεῖνο πρὸς αὐτὸν εἶπεν· «Ἰδὼν εἶδον

---

1. Πρβλ. Ἰωὴλ 1,19. 2. Ἰωὴλ 1,4. 3. Ψαλ. 65,12. 4. Πρβλ.. Ψαλ. 128,6 ἑξ. 5. Πρβλ. Μιχ. 7,1. 6. Πρβλ. Ὡσ. 9,10. 7. Πρβλ. Ἡσ. 65,8. 8. Πρβλ. Ἡσ. 30,17. 9. Πρβλ. Α΄ Βασ. 2,6. 10. Πρβλ. Ἀμ. 5,8. 11. Πρβλ. Γ΄ Βασ. 18,45. 12. Πρβλ. Ψαλ. 146,6.

τὴν κάκωσιν τοῦ Ἰσραήλ»[1]· καὶ οὐ μὴ προσθῶσιν ἔτι τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρεῖν· καὶ εἰπών, ἐπεσκέψατο καὶ ἐπισκεψάμενος ἔσωσε καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ[2] «ἐν χειρὶ Μωσῆ καὶ Ἀαρών»[3] τῶν ἐκλεκτῶν αὐτοῦ. Τί γίνεται καὶ τί θαυματουργεῖται; Ἃ βίβλοι καὶ μνῆμαι φέρουσιν. Ἐκτὸς γὰρ τῶν κατὰ τὴν ὁδὸν θαυμασίων καὶ τῆς μεγάλης ἐκείνης βομβήσεως, ἵν' εἴπω τι συντομώτατον, Ἰωσὴφ εἰς Αἴγυπτον εἷς[4] καὶ μυριάδες ἑξήκοντα μετ' ὀλίγον ἐξ Αἰγύπτου[5]. Τί τούτου θαυμασιώτερον ἢ μεῖζον τῆς τοῦ Θεοῦ μεγαλονοίας τεκμήριον, ὅταν ἐκ τῶν ἀπόρων θέλῃ πόρον δοῦναι τοῖς πράγμασιν; Καὶ γῆ τῆς ἐπαγγελίας κληροδοτεῖται δι' ἑνὸς μισηθέντος καὶ ὁ πραθεὶς ἔθνη μεθίστησι καὶ εἰς ἔθνος καθίσταται μέγα, καὶ ἡ μικρὰ παραφυὰς ἐκείνη ἄμπελος εὐκλήματοῦσα γίνεται καὶ τοσαύτη, ὡς ἐπεμβαίνειν μὲν ποταμοῖς, ἐκτείνεσθαι δὲ μέχρι θαλάσσης, ἐξ ὁρίων εἰς ὅρια πλατυνομένην[6], καλύπτειν δὲ **[465]** ὄρη τῷ ὕψει τῆς δόξης, κέδρων δὲ ὑπεραίρεσθαι καὶ ταῦτα τῶν τοῦ Θεοῦ, ἄτινα δὴ τὰ ὄρη ταῦτα καὶ ἄστινας τὰς κέδρους ὑπολεπτέον.

Ϛ'. Τοιοῦτόν ποτε τοῦτο τὸ ποίμνιον καὶ τοιοῦτον νῦν, οὕτως εὐεκτοῦν τε καὶ πλατυνόμενον· εἰ δὲ μήπω τελείως, ἀλλ' εἰς τοῦτό γε ταῖς κατὰ μέρος ὁδεῦον προσθήκαις· προφητεύω δέ, ὅτι καὶ ὁδεῦσον. Τοῦτό μοι τὸ Πνεῦμα προλέγει τὸ Ἅγιον, εἴ τι προφητικὸς ἐγώ, καὶ βλέπων τὰ ἔμπροσθεν· καὶ ἅμα τοῖς προλαβοῦσιν ἔχω θαρρεῖν καὶ λογισμῷ γινώσκειν, ὡς λόγου σύντροφος. Πολὺ γὰρ παραδοξότερον, ἐξ ἐκείνου τοσαύτην γενέσθαι ἢ τὴν νῦν οὖσαν εἰς ἄκρον προελθεῖν λαμπρότητος. Ἐξ οὗ γὰρ συνάγεσθαι ἤρξατο παρὰ τοῦ ζωογονοῦντος τοὺς νεκρούς, ὀστᾶ πρὸς ὀστᾶ καὶ ἁρμονία πρὸς ἁρμονίαν καὶ τοῖς ξηροῖς ἐδόθη Πνεῦμα ζωῆς καὶ παλιγγενεσίας[7], πᾶσαν, εὖ οἶδα, πληρωθῆναι δεῖ τὴν ἀνάστασιν, «ὥστε μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς οἱ παραπικραίνοντες»[8], μηδὲ σκιὰν κρατοῦντες ἢ ἐνύπνιον ἐξεγειρομένων[9] ἢ αὔρας διαπνεούσας ἢ νηὸς ἴχνη καθ' ὕδατος ἔχειν τι νομιζέτωσαν. «Ὀλολυζέτω πίτυς, ὅτι πέπτωκε κέδρος»[10]. Τοῖς τῶν ἄλλων κακοῖς παιδευέσθωσαν καὶ μανθανέτωσαν, ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός[11]· οὐδὲ ἀνέξεται, μὴ ἐν ἐκστάσει διακόψαι κεφαλὰς δυναστῶν, ὡς ὁ Ἀμβακούμ φησιν[12], ἡ διακοπτομένη θεότης καὶ διαιρουμένη κακῶς εἴς τε τὸ ἄρχον καὶ τὸ ἀρχόμενον· ὡς ἂν μάλιστα καὶ θεότης ὑβρισθείη καταγομένη καὶ βαρηθείη κτίσις ὁμοτιμίᾳ θεότητος.

Ζ'. Δοκῶ μοι κἀκείνης ἀκούειν τῆς φωνῆς, παρὰ τοῦ συνάγοντος τοὺς συντετριμμένους καὶ τοὺς πεπιεσμένους εἰσδεχομένου.

---

1. Ἐξ. 3,7. 2. Πρβλ. Ψαλ. 135,11-12. 3. Ψαλ. 76,21. 4. Πρβλ. Γεν. 37,28. 5. Πρβλ. Ἐξ. 12,37. 6. Πρβλ. Ἐξ. 34,24. 7. Πρβλ. Ἰεζ. 37,7,10. 8. Ψαλ. 65,7. 9. Πρβλ. Ψαλ. 72,20. 10. Ζαχ. 11,2. 11. Ψαλ. 9,19. 12. Πρβλ. Ἀββ. 3,13.

«Πλάτυνον τὰ σχοινίσματά σου ἔτι· ἐκπέτασον εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερά· πῆξον, τῶν αὐλαιῶν μὴ φείσῃ»[1]. Ἐγὼ παραδέδωκά σε, καὶ ἐγὼ βοηθήσω σοι. Ἐν θυμῷ μικρῷ ἐπάταξά σε καὶ ἐν ἐλέῳ αἰωνίῳ δοξάσω σε. Μεῖζον τὸ μέτρον τῆς φιλανθρωπίας, ὑπὲρ τὸ μέτρον τῆς παιδαγωγίας. Ἐκεῖνα, διὰ τὴν πονηρίαν· ταῦτα, διὰ τὴν Τριάδα προσκυνουμένην. Ἐκεῖνα, διὰ τὴν κάθαρσιν· ταῦτα, διὰ τὴν ἐμὴν δόξαν· ὃς «Δοξάζω τοὺς δοξάζοντας»[2] καὶ «παραζηλῶ τοὺς παραζηλοῦντας»[3]. Ἰδοὺ ταῦτα ἐσφράγισται παρ' ἐμοί[4], καὶ οὗτος ἄλυτος νόμος ἀντιμετρήσεως. Σὺ δέ μοι περιείχου τῶν τοίχων καὶ τῶν πλακῶν καὶ τῆς **[468]** κομψευμένης ψηφῖδος καὶ τῶν μακρῶν δρόμων καὶ περιδρόμων καὶ χρυσῷ κατελάμπου καὶ περιελάμπου, τὸν μέν, ὡς ὕδωρ ἔσπειρες, τὸν δέ, ὡς ἄμμον ἐθησαύριζες· ἀγνοῶν, ὅτι κρείσσων ὕπαιθρος πίστις πολυτελοῦς ἀσεβείας καὶ πλέους Θεῷ τρεῖς συνηγμένοι ἐν ὀνόματι Κυρίου[5], πολλῶν μυριάδων ἀρνουμένων θεότητα. Ἢ καὶ τοὺς Χαναναίους ἅπαντας προτιμήσεις ἑνός, τοῦ Ἀβραάμ[6]; ἢ καὶ τοὺς Σοδομίτας ἑνός, τοῦ Λώτ[7]; ἢ καὶ Μαδιηναίους Μωσέως[8], τῶν παροίκων καὶ ξένων; Τί δὲ τοὺς μετὰ Γεδεὼν τριακοσίους[9], τοὺς λάμψαντας ἀνδρικῶς, τῶν ἀποστραφεισῶν χιλιάδων; τί δὲ τοὺς οἰκογενεῖς Ἀβραάμ[10], τοὺς μικρὸν ὑπὲρ τούτους τῷ ἀριθμῷ τῶν πολλῶν βασιλέων καὶ τῶν τοῦ στρατοῦ μυριάδων, ἅς, καίπερ ὄντες ὀλίγοι, κατεδίωξαν καὶ ἐτρέψαντο; ἐκεῖνο δὲ πῶς νοεῖς, ὅτι «Ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται»[11]; τί δὲ τό, «Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ»[12]; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. «Οὐκ ἐν τοῖς πλείοσιν εὐδόκησεν ὁ Θεός»[13].

Η΄. Σὺ μὲν ἀριθμεῖς τὰς μυριάδας, Θεὸς δὲ τοὺς σῳζομένους· καὶ σὺ μὲν τὸν ἀμέτρητον χοῦν, ἐγὼ δὲ τὰ σκεύη τῆς ἐκλογῆς. Οὐδὲν γὰρ οὕτω Θεῷ μεγαλοπρεπὲς ὡς λόγος κεκαθαρμένος καὶ ψυχὴ τελεία τοῖς τῆς ἀληθείας δόγμασιν. Ἄξιον μὲν γὰρ οὐδέν ἐστι τοῦ τὰ πάντα πεποιηκότος καὶ παρ' οὗ τὰ πάντα καὶ εἰς ὃν τὰ πάντα[14], δοῦναι Θεῷ καὶ προσενεγκεῖν· μὴ ὅτι μιᾶς χειρὸς ἔργον ἢ περιουσίας, ἀλλ' οὐδ' εἰ πᾶσάν τις τὴν ἐν ἀνθρώποις εὐπορίαν ἢ χεῖρα εἰς ἓν συνενεγκών, τιμῆσαι θελήσειεν. «Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος»[15]· καί, «Ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ τίς τόπος τῆς καταπαύσεώς μου;»[16]· ἐπεὶ δὲ τῆς ἀξίας διαμαρτεῖν ἀναγκαῖον, ὃ δεύτερόν ἐστιν, αἰτῶ παρ' ὑμῶν τὴν εὐσέβειαν, τὸν κοινὸν πλοῦτον ἐμοὶ καὶ ὁμότιμον, ἐν ᾧ τυχὸν ὑπερβαλεῖται καὶ τὸν λίαν λαμπρὸν ὁ πάνυ πένης, ἂν

---

1. Ἡσ. 54,2. 2. Α΄ Βασ. 2,30. 3. Πρβλ. Δευτ. 32,21. 4. Πρβλ. Δευτ. 32,34. 5. Πρβλ. Ματθ. 18,20. 6. Πρβλ. Γεν. 12,6 ἑξ. 7. Πρβλ. Γεν. 19,1 ἑξ. 8. Πρβλ. Ἐξ. 2,15. 9. Πρβλ. Κριτ. 7,5. 10. Πρβλ. Γεν. 14,14. 11. Ἡσ. 10,22. Ρωμ. 9,27. 12. Ρωμ. 11,4. Πρβλ. Γ΄ Βασ. 19,18. 13. Α΄ Κορ. 10,5. 14. Πρβλ. Α΄ Κορ. 8,6. 15. Ἱερ. 23,24. 16. Ἡσ. 66,1.

ἢ μεγαλόψυχος. Προαιρέσεως γάρ, οὐκ εὐπορίας ἡ τοιαύτη φιλοτιμία. Λήψομαι μὲν καὶ ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν, εὖ ἴστε. Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε, ἀλλὰ πατήσουσιν αὐτὴν πόδες πραέων[1], τῶν ἐπεγνωκότων ἐμὲ καὶ τὸν μονογενῆ μου Λόγον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ὑγιῶς καὶ γνησίως. Μέχρι τίνος κληρονομήσετε τὸ ὄρος τὸ ἅγιόν μου; μέχρι τίνος ἡ κιβωτὸς παρὰ τοῖς ἀλλοφύλοις; Νῦν δὲ μικρὸν ἔτι ἐντρυφήσατε τοῖς ἀλλοτρίοις καὶ τοῦ βούλεσθαι ἀπολαύσατε. Ὅτι δν τρόπον ἐβουλεύσασθε τοῦ ἀπώσασθαί με, κἀγὼ ἀπώσομαι ὑμᾶς, λέγει Κύριος παντοκράτωρ[2].

[469] Θ′. Ταῦτα καὶ ἀκούειν λέγοντος ἐδόκουν καὶ ποιοῦντος αἰσθάνεσθαι· καὶ ἔτι πρὸς τούτοις, πρὸς μὲν τὸν λαὸν βοῶντος, τὸν ἐξ ὀλίγου πολὺν ἤδη καὶ συγκείμενον ἱκανῶς ἐκ διεσπαρμένου καὶ ἐξ ἐλεουμένου τυχὸν καὶ ἐπίφθονον. «Πορεύεσθε διὰ τῶν πυλῶν μου καὶ πλατύνεσθε»[3]. Μὴ διαπαντὸς δεῖ κάμνειν ὑμᾶς ἐν σκηναῖς κατοικοῦντας καὶ τοὺς θλίβοντας ὑμᾶς ὑπερευφραίνεσθαι; Πρὸς δὲ τοὺς ἐφεστῶτας ἀγγέλους (πείθομαι γὰρ ἄλλους ἄλλης προστατεῖν Ἐκκλησίας, ὡς Ἰωάννης διδάσκει με διὰ τῆς ἀποκαλύψεως[4])· «Ὁδοποιήσατε τῷ λαῷ μου καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε»[5], ἵνα μηδὲν ᾖ σκῶλον, μηδὲ κώλυμα τῷ λαῷ τῆς θείας ὁδοῦ καὶ εἰσόδου· νῦν μὲν ἐπὶ τὰ χειροποίητα, μικρὸν δὲ ὕστερον ἐπὶ τὴν ἄνω Ἱερουσαλὴμ καὶ τὰ ἐκεῖσε Ἅγια τῶν ἁγίων, ἃ τέλος οἶδα τῆς ἐνταῦθα κακοπαθείας καὶ συντονίας τοῖς καλῶς ὁδεύουσιν. «Ἐν οἷς ἐστε καὶ ὑμεῖς, κλητοὶ»[6] ἅγιοι, «λαὸς περιούσιος»[7], «βασίλειον ἱεράτευμα»[8], σχοίνισμα Κυρίου τὸ κράτιστον, ἀπὸ σταγόνας ποταμὸς ὅλος, ἀπὸ σπινθῆρος λαμπὰς οὐράνιος, ἀπὸ κόκκου νάπυος δένδρον[9], πτηνῶν ἀνάπαυμα.

Ι′. Τούτους δωροφοροῦμεν ὑμῖν, ὦ φίλοι ποιμένες, τούτους προσάγομεν, τούτοις δεξιούμεθα τοὺς ἡμετέρους φίλους καὶ ξένους καὶ συνεκδήμους. Τούτων οὐδὲν κάλλιον προσενεγκεῖν εἴχομεν ὑμῖν, οὐδὲ λαμπρότερον, ὧν ἔχομεν τὸ μεῖζον ἐπιζητήσαντες· ἵν' εἰδῆτε καὶ ξένους ὄντας ἡμᾶς καὶ οὐκ ἐνδεεῖς· ἀλλὰ πτωχοὺς μέν, πολλοὺς δὲ πλουτίζοντας[10]. Ταῦτα εἰ μὲν μικρὰ καὶ οὐδενὸς ἄξια λόγου, πεισθῆναι βούλομαι, τίνα τὰ μείζω καὶ λόγου πλείονος. Εἰ γὰρ τὸ πόλιν τῆς οἰκουμένης ὀφθαλμόν, γῆς καὶ θαλάσσης ὅτι κράτιστον, ἑῴας τε καὶ ἑσπερίου λήξεως οἷον σύνδεσμον, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχει καὶ ὅθεν ἄρχεται, ὡς ἀπὸ ἐμπορίου κοινοῦ τῆς πίστεως· εἰ τὸ ταύτην στηρίξαι τε καὶ σθενῶσαι τοῖς ὑγιαίνουσι λόγοις, τῶν οὐ μεγάλων, καὶ ταῦτα τοσαύταις δονουμένην γλώσσαις καὶ οὕτω πανταχόθεν, σχολῇ γ' ἂν ἄλλο τι φανείη μέγα καὶ σπουδῆς ἄξιον. Εἰ δὲ τῶν ἐπαινουμένων (δότε τι καὶ ἡμῖν τῆς ἐπὶ τούτοις φιλοτι-

---

1. Πρβλ. Ἡσ. 16,10. 26,6. 2. Πρβλ. Ὡσ. 4,6. 3. Ἡσ. 62,10. 4. Πρβλ. Ἀποκ. 2,1. 5. Ἡσ. 62,10. Πρβλ. Ἡσ. 57,14. 6. Ρωμ. 1,6. 7. Πρβλ. Τίτ. 2,14. 8. Α′ Πέτρ. 2,9. 9. Πρβλ. Ματθ. 13,31. 10. Πρβλ. Β′ Κορ. 6,10.

μίας) καὶ αὐτοὶ μερίδα τινὰ τοῖς ὁρωμένοις τούτοις συνεισηνέγκαμεν.

[472] ΙΑ′. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε, πᾶς ὁ τῶν ἐμῶν λόγων ἐξεταστής. Ἴδε τὸν στέφανον τὸν πλακέντα τῆς δόξης, ἀντὶ τῶν μισθωτῶν Ἐφραὶμ καὶ τοῦ στεφάνου τῆς ὕβρεως[1]. Ἴδε πρεσβυτέρων συνέδριον, πολιᾷ καὶ συνέσει τετιμημένων, διακόνων εὐταξίαν, οὐ πόρρῳ τοῦ αὐτοῦ Πνεύματος, ἀναγνωστῶν εὐκοσμίαν, λαοῦ φιλομάθειαν, ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν γυναιξί, τὴν ἀρετὴν ὁμοτίμοις· καὶ ἀνδρῶν, ὅσον ἐν φιλοσόφοις, ὅσον ἐν ἁπλουστέροις, πᾶσι σοφοῖς τὰ θεῖα· ὅσον ἐν ἄρχουσιν, ὅσον ἐν ἀρχομένοις, ἐνταῦθα πᾶσι καλῶς ἀρχομένοις· ὅσον ἐν στρατιώταις, ὅσον ἐν εὐγενέσιν, ὅσον ἐν λόγοις καὶ περὶ λόγους, πᾶσι Θεοῦ στρατιώταις, ἡμέροις τἄλλα, πολεμικοῖς ὑπὲρ Πνεύματος, πᾶσι τὴν ἄνω τιμῶσι σύγκλητον (εἰς ἣν οὐ τὸ γράμμα εἰσάγει τὸ πεζόν, ἀλλὰ τὸ ζωοποιοῦν Πνεῦμα), ἅπασι λογίοις ὡς ἀληθῶς καὶ τοῦ ὄντως Λόγου θεραπευταῖς· καὶ γυναικῶν, ὅσον ὑπὸ ζυγόν, Θεῷ μᾶλλον ἢ σαρκὶ συνδεδεμένον, ὅσον ἄζυγον καὶ ἐλεύθερον, Θεῷ τὸ πᾶν καθιερωμένον· ὅσον ἐν νέοις, ὅσον ἐν γέρουσιν, ὧν τὸ μὲν ἐπὶ γῆρας καλῶς ὁδεύει, τὸ δὲ βιάζεται μεῖναι ἀθάνατον, ταῖς κρείττοσι τῶν ἐλπίδων ἀνακαινούμενον.

ΙΒ′. Τούτου τοῦ στεφάνου (ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, λαλήσω δὲ ὅμως) κἀγώ τι συνεβαλόμην τοῖς πλέκουσι. Τούτων τις καὶ τῶν ἐμῶν λόγων ἔργον, οὐχ οὓς ἐρρίψαμεν, ἀλλ᾽ οὓς ἠγαπήσαμεν· οὐδὲ τῶν πορνικῶν, ὥς τις ἔφη διασύρων ἡμᾶς τῶν πόρνων καὶ λόγον καὶ τρόπον, ἀλλὰ καὶ λίαν σωφρόνων. Τούτων τις καὶ τοῦ ἐμοῦ Πνεύματος γέννημα καὶ καρπός, ὡς γεννᾶν οἶδε Πνεῦμα τοὺς ἀπανισταμένους σώματος. Μαρτυρήσουσιν, εὖ οἶδ᾽ ὅτι καὶ ὑμῶν οἱ εὐγνώμονες, ἢ καὶ πάντες, ἐπεὶ καὶ πάντας ἐγεωργήσαμεν· καὶ μισθός, ἡ ὁμολογία μόνη. Οὐ γὰρ ἄλλο τι ἐπιζητοῦμεν ἢ ἐζητήσαμεν. Ἄμισθος γὰρ ἡ ἀρετή, ἵνα καὶ ἀρετὴ μείνῃ, πρὸς τὸ καλὸν μόνον βλέπουσα.

ΙΓ′. Βούλεσθε προσθῶμέν τι καὶ νεανικώτερον; Ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμερουμένας καὶ τοὺς θεότητι πολεμοῦντας ἡμῖν ἡσυχάζοντας; Καὶ τοῦτο τοῦ Πνεύματος καὶ τοῦτο τῆς γεωργίας τῆς ἡμετέρας. Οὐ γὰρ ἀπαιδεύτως παιδεύομεν, οὐδὲ ταῖς ὕβρεσι βάλλομεν, ὅπερ πάσχουσιν οἱ πολλοί, μὴ τῷ **[473]** λόγῳ μαχόμενοι, τοῖς δὲ λέγουσι καὶ τὴν ἀσθένειαν ἔστιν ὅτε τῶν λογισμῶν ταῖς ὕβρεσι συγκαλύπτοντες· ὥσπερ τὰς σηπίας λόγος ἐμεῖν τὸ μέλαν πρὸ ἑαυτῶν, ἵνα τοὺς θηρεύοντας διαφύγωσιν ἢ τῷ λανθάνειν θηράσωσιν. Ἀλλὰ τὸ περὶ Χριστοῦ πολεμεῖν δείκνυμεν, ἐν τῷ μάχεσθαι κατὰ Χριστόν, τὸν εἰρηνικόν τε καὶ πρᾶον[2] καὶ τὰς ἀσθενείας ἡμῶν βαστάσαντα[3]. Οὔτε εἰρηνεύομεν κατὰ τοῦ λόγου τῆς ἀληθείας, ὑφιέντες τι διὰ δόξαν ἐπιεικείας· οὐ γὰρ κακῶς τὸ καλὸν θηρεύομεν· καὶ εἰρη-

---

1. Πρβλ. Ἡσ. 28,1. 2. Πρβλ. Ματθ. 11,29. 3. Πρβλ. Ἡσ. 53,4.

νεύομεν ἐννόμως μαχόμενοι καὶ εἴσω τῶν ἡμετέρων ὅρων καὶ κανόνων τοῦ Πνεύματος. Περὶ μὲν οὖν τούτων οὕτω γινώσκω καὶ νόμον τίθημι πᾶσι τοῖς ψυχῶν οἰκονόμοις καὶ τοῦ λόγου ταμίαις· μήτε τῷ σκληρῷ τραχύνειν, μήτε τῷ ὑπεσταλμένῳ κατεπαίρειν· ἀλλ' εὐλόγους εἶναι περὶ τὸν λόγον, μηδετέρῳ τὸ μέτρον ὑπερβαίνοντας.

ΙΔ'. Δεῖ δὲ ἴσως ποθοῦσιν ὑμῖν καὶ τὸν τῆς πίστεως αὐτῆς ἐπιδείξασθαι λόγον, ἥτις ποτέ ἐστιν ἡ καθ' ἡμᾶς. Ἐγώ τε γὰρ ἁγιασθήσομαι τῷ συνεχεῖ τῆς μνήμης· ὅ τε λαὸς οὗτος ὀνήσεται χαίρων, εἴπερ ἄλλῳ τινί, τοῖς τοιούτοις λόγοις· καὶ ὑμεῖς ἐπιγνώσεσθε, εἰ μὴ μάτην φθονούμεθα, τῇ φανερώσει τῆς ἀληθείας, τοῖς μὲν ἁμιλλώμενοι, τοὺς δὲ φθάνοντες. Ὥσπερ γὰρ τῶν βρυχίων ὑδάτων, τὰ μὲν ἐν βάθει κρύπτεται παντελῶς, τὰ δὲ παφλάζει στενοχωρούμενα καὶ τὴν ἔκρηξιν ὑπισχνεῖται μὲν ταῖς ἀκοαῖς, μέλλει δὲ ἔτι, τὰ δὲ καὶ ἀναρρήγνυται· οὕτω καὶ τῶν φιλοσοφούντων περὶ Θεοῦ, ἵνα μὴ λέγω τοὺς παντελῶς ἀγνώμονας, οἱ μὲν πάντη κρύφιον καὶ λανθάνουσαν ἔχουσιν ἐν ἑαυτοῖς τὴν εὐσέβειαν· οἱ δὲ τῆς ὠδῖνος ἐγγύς, ὅσοι τὸ μὲν ἀσεβὲς φεύγουσι, τὸ δὲ εὐσεβὲς οὐ παρρησιάζονται, εἴτε οἰκονομίᾳ τινὶ χρώμενοι περὶ τὸν λόγον, εἴτε δειλίᾳ πρὸς τοῦτο καταφεύγουσιν· ἀλλὰ τὴν μὲν διάνοιαν ὑγιαίνουσιν, ὡς φασι, τὸν λαὸν δὲ οὐχ ὑγιάζουσιν, ὥσπερ ἑαυτῶν οὐκ ἄλλων προστασίαν ἐγχειρισθέντες· οἱ δὲ καὶ δημοσιεύουσι τὸν θησαυρόν, οὐ στέγοντες τὴν ὠδῖνα τῆς εὐσεβείας, οὐδὲ τὸ μόνοι σώζεσθαι σωτηρίαν νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβλύσειεν. Μεθ' ὧν ἐγὼ ταττοίμην, ἢ οἵτινες μετ' ἐμοῦ τὴν καλὴν τόλμαν τολμῶντες ὁμολογεῖν τὴν εὐσέβειαν.

[476] ΙΕ'. Ἓν μὲν οὖν καὶ σύντομον πρόγραμμα τοῦ καθ' ἡμᾶς λόγου καὶ οἷον στηλογραφία τις πᾶσι γνώριμος, ὁ λαὸς οὗτος, γνήσιος ὢν τῆς Τριάδος προσκυνητής, ὡς θᾶττον ἄν τινα διαζευχθῆναι τῆς ζωῆς ταύτης ἢ τι τῶν τριῶν ἓν διαζεῦξαι τῆς θεότητος, σύμφρονες, ὁμόζηλοι, ἑνὶ λόγῳ πρὸς τε ἀλλήλους καὶ πρὸς ἡμᾶς καὶ τὴν Τριάδα κρατούμενοι· τὰ δὲ καθ' ἕκαστον, ἵν' ἐπέλθω συντόμως, ἄναρχον, καὶ ἀρχὴ καὶ τὸ μετὰ τῆς ἀρχῆς, εἷς Θεός. Οὔτε τοῦ ἀνάρχου τὸ ἄναρχον φύσις ἢ τὸ ἀγέννητον· οὐδεμία γὰρ φύσις ὅ τι μὴ τόδε ἐστίν, ἀλλ' ὅ τι τόδε. Ἡ τοῦ ὄντος θέσις, οὐχὶ τοῦ μὴ ὄντος ἀναίρεσις. Οὔτε ἡ ἀρχή, τῷ ἀρχὴ εἶναι, τοῦ ἀνάρχου διείργεται. Οὐ γὰρ φύσις αὐτῷ ἡ ἀρχή, ὥσπερ οὐδ' ἐκείνῳ τὸ ἄναρχον. Περὶ γὰρ τὴν φύσιν, οὐ ταῦτα φύσις. Καὶ τὸ μετὰ τοῦ ἀνάρχου καὶ τῆς ἀρχῆς, οὐκ ἄλλο τι ἢ ὅπερ ἐκεῖνα. Ὄνομα δέ, τῷ μὲν ἀνάρχῳ, Πατήρ· τῇ δὲ ἀρχῇ, Υἱός· τῷ δὲ μετὰ τῆς ἀρχῆς, Πνεῦμα Ἅγιον. Φύσις δὲ τοῖς τρισὶ μία, Θεός. Ἕνωσις δέ, ὁ Πατήρ, ἐξ οὗ καὶ πρὸς ὃν ἀνάγεται τὰ ἑξῆς· οὐχ ὡς συναλείφεσθαι, ἀλλ' ὡς ἔχεσθαι, μήτε χρόνου διείργοντος, μήτε θελήματος, μήτε δυνάμεως. Ταῦτα γὰρ ἡμᾶς πολλὰ εἶναι πεποίηκεν, αὐτοῦ τε ἑκάστου πρὸς ἑαυτὸ καὶ πρὸς τὸ ἕτερον στασιάζοντος. Οἷς δὲ ἁπλῆ φύσις καὶ τὸ εἶναι ταὐτόν, τούτοις καὶ τὸ ἓν κύριον.

ΙΣ′. Τὰς μὲν οὖν φιλονείκους ἐπὶ θάτερα μετακλίσεις τοῦ λόγου καὶ ἀντισηκώσεις, χαίρειν ἐάσωμεν· οὔτε τῷ ἑνὶ Σαβελλίζοντες κατὰ τῶν τριῶν καὶ συναιρέσει κακῇ τὴν διαίρεσιν λύοντες, οὔτε τοῖς τρισὶν Ἀρειανίζοντες κατὰ τοῦ ἑνὸς καὶ πονηρᾷ διαιρέσει τὸ ἓν ἀνατρέποντες. Οὐ γὰρ κακοῦ τὸ κακὸν ἀλλάξασθαι τὸ ζητούμενον, ἀλλὰ τοῦ καλοῦ μὴ διαμαρτεῖν. Ὡς ταῦτά γε τοῦ πονηροῦ παίγνια, κακῶς τὰ ἡμέτερα ταλαντεύοντος. Αὐτοὶ δὲ τὴν μέσην βαδίζοντες καὶ βασιλικήν, ἐν ᾧ καὶ τὸ τῶν ἀρετῶν ἔστηκεν, ὡς δοκεῖ τοῖς ταῦτα δεινοῖς, πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον, ὁμοούσιά τε καὶ ὁμόδοξα· ἐν οἷς καὶ τὸ βάπτισμα τὴν τελείωσιν **[477]** ἔχει ἔν τε ὀνόμασι καὶ πράγμασι (οἶδας ὁ μυηθείς)[1], ἄρνησις ὂν ἀθεΐας καὶ ὁμολογία θεότητος, καὶ οὕτω καταρτιζόμεθα· τὸ μὲν ἓν τῇ οὐσίᾳ γινώσκοντες καὶ τῷ ἀμερίστῳ τῆς προσκυνήσεως· τὰ δὲ τρία ταῖς ὑποστάσεσιν, εἴτουν προσώποις, ὅ τισι φίλον. Μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀσχημονείτωσαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ᾽ οὐκ ἐν πράγμασι. Τί γάρ φατε οἱ τὰς τρεῖς ὑποστάσεις εἰσφέροντες; μὴ τρεῖς οὐσίας ὑπολαμβάνοντες τοῦτο λέγετε; Μέγα οἶδ᾽, ὅτι βοήσετε κατὰ τῶν οὕτως ὑπειληφότων. Μίαν γὰρ καὶ τὴν αὐτὴν τῶν τριῶν δογματίζετε. Τί δὲ οἱ τὰ πρόσωπα; μὴ ἕν, οἷόν τι σύνθετον, ἀναπλάσσετε καὶ τριπρόσωπον ἢ ἀνθρωπόμορφον ὅλως; Ἄπαγε, καὶ ὑμεῖς ἀντιβοήσετε, μηδὲ πρόσωπον, ὅ τί ποτέ ἐστιν, ἴδοι Θεοῦ, ὃς οὕτως ἔχει. Τί οὖν ἡμῖν αἱ ὑποστάσεις βούλονται, ἢ ὑμῖν τὰ πρόσωπα; προσερήσομαι γάρ. Τὸ τρία εἶναι τὰ διαιρούμενα, οὐ φύσεσιν, ἀλλ᾽ ἰδιότησιν. Ὑπέφευγε. Πῶς ἄν τινες συμφρονοῖεν μᾶλλον καὶ τὸ αὐτὸ λέγοιεν ἢ οὕτως ἔχοντες, κἂν ταῖς συλλαβαῖς διαφέρωσιν; Ὁρᾶτε οἷος ἐγὼ διαλλακτὴς ὑμῖν, πρὸς τὸν νοῦν ἄγων ἀπὸ τοῦ γράμματος, ὥσπερ τὴν Παλαιὰν καὶ τὴν Νέαν.

ΙΖ′. Ἀλλ᾽ ἐπανιτέον μοι πάλιν πρὸς τὸν αὐτὸν λόγον. Τὸ μὲν οὖν ἀγέννητον καὶ τὸ γεννητὸν καὶ τὸ ἐκπορευτὸν λεγέσθω τε καὶ νοείσθω, εἴ τῳ φίλον δημιουργεῖν ὀνόματα· οὐ γὰρ δείσομεν, μή ποτε νοῆται σωματικῶς τὰ ἀσώματα, ὅπερ δοκεῖ τοῖς ἐπηρεασταῖς θεότητος. Κτίσμα δὲ Θεοῦ μὲν λεγέσθω· μέγα γὰρ ἡμῖν καὶ τοῦτο· Θεὸς δέ, μηδαμῶς. Ἢ τότε δέξομαι κτίσμα εἶναι Θεόν, ὅταν κἀγὼ γένωμαι κυρίως Θεός. Ἔχει γὰρ οὕτως. Εἰ μὲν Θεός, οὐ κτίσμα· μεθ᾽ ἡμῶν γὰρ τὸ κτίσμα, τῶν οὐ θεῶν. Εἰ κτίσμα δέ, οὐ Θεός· ἤρξατο γὰρ χρονικῶς. Ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν. Οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν. Τὸ δὲ μὴ κυρίως ὄν, πῶς Θεός; Οὔτε οὖν κτίσμα τῶν τριῶν οὐδὲ ἕν· οὔτε, ὃ τούτου χεῖρον, δι᾽ ἐμὲ γενόμενον· ἵνα μὴ κτίσμα ᾖ μόνον, ἀλλὰ καὶ ἡμῶν ἀτιμότερον. Εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν Θεοῦ, τοῦτο δὲ δι᾽ ἐμὲ (ἡ πυράγρα διὰ τὴν ἄμαξαν ἢ ὁ πρίων διὰ τὴν θύραν), νικῶ τῇ αἰτίᾳ. Ὅσῳ γὰρ κτισμά-

1. Πρβλ. Ματθ. 28,19.

των Θεὸς **[480]** ὑψηλότερος, τοσοῦτον τοῦ διὰ Θεὸν ὑποστάντος ἐμοῦ, τὸ δι' ἐμὲ γινόμενον, ἀτιμότερον.

ΙΗ'. Πρὸς ταῦτα, Μοαβίταις μὲν καὶ Ἀμμωνίταις μηδὲ εἰσιτητὸν εἰς Ἐκκλησίαν ἔστω Θεοῦ, λόγοις διαλεκτικοῖς τε καὶ κακοπράγμοσιν, οἳ γέννησιν Θεοῦ πολυπραγμονοῦντες καὶ πρόοδον ἄρρητον, κατεξανίστανται τολμηρῶς θεότητος· ὡς δέον ἢ ἐφικτὰ μόνοις εἶναι τὰ ὑπὲρ λόγον ἢ μηδὲ εἶναι, ὅτι μὴ αὐτοὶ κατειλήφασιν. Ἡμεῖς δὲ ταῖς θείαις Γραφαῖς ἑπόμενοι καὶ τὰ ἐγκείμενα σκῶλα τοῖς τυφλώττουσι λύοντες, τῆς σωτηρίας ἐξόμεθα, πάντα τολμῶντες πρότερον ἢ κατὰ Θεοῦ τι νεανιεύεσθαι. Τὰς μὲν δὴ μαρτυρίας ἄλλοις παρήσομεν, πολλοῖς τε λογογραφηθείσας ἤδη πολλάκις καὶ ἡμῖν οὐ παρέργως. Καὶ ἅμα λίαν αἰσχρὸν ἐμοί γοῦν, νῦν τὰς πίστεις συλλέγειν τῶν πάλαι πεπιστευμένων. Τάξις γὰρ οὐκ ἀρίστη διδάσκειν πρότερον, εἶτα μανθάνειν, μὴ ὅτι τὰ θεῖα καὶ τηλικαῦτα τὸ μέγεθος, ἀλλ' οὐδὲ ἄλλο τι τῶν μικρῶν καὶ τοῦ μηδενὸς ἀξίων. Καὶ τὰ ἐκ τῆς Γραφῆς προσκόμματα λύειν καὶ διαρθροῦν, οὐ τοῦ παρόντος καιροῦ, σπουδῆς δὲ τελεωτέρας καὶ μείζονος ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τῆς ὑποθέσεως. Ὁ δ' οὖν λόγος ἡμῶν, ὡς ἐν κεφαλαίῳ περιλαβεῖν, ἔστιν οὗτος. Καὶ ταῦτα διῆλθον, οὐχ ἵν' ἀγωνίσωμαι πρὸς τοὺς ἀντιθέτους (πολλάκις γὰρ ἤδη διηγωνισάμεθα, εἰ καὶ μετρίως), ἀλλ' ἵν' ὑμῖν ἐπιδείξω τὸν χαρακτῆρα τῶν ἐμῶν διδαγμάτων, εἰ μὴ τῶν ὑμετέρων ἐγὼ συναγωνιστὴς καὶ κατὰ τῶν αὐτῶν καὶ ὑπὲρ τῶν αὐτῶν ἱστάμενος.

ΙΘ'. Οὗτος ὑμῖν, ὦ ἄνδρες, ὁ τῆς ἐμῆς ἀπόλογος παρουσίας· εἰ μὲν ἐπαινετῶς ἔχων, τῷ Θεῷ χάρις καὶ ὑμῖν τοῖς καλέσασιν· εἰ δὲ τῆς ἐλπίδος ἐνδεέστερον, καὶ οὕτω χάρις. Οὐ γὰρ πάντη ψεκτῶς, εὖ οἶδα, καὶ ὑμῖν οὐκ ἀπιστῶ λέγουσιν. Μή τι τὸν λαὸν τοῦτον ἐπλεονεκτήσαμεν; μή τι τῶν ἡμετέρων ᾠκονομήσαμεν, ὃ τοὺς πολλοὺς ὁρῶ πάσχοντας; μή τι τὴν Ἐκκλησίαν παρελυπήσαμεν; Ἄλλους μὲν ἴσως, οἷς ἐρήμην ἡμᾶς ἠρηκέναι νομίζουσι, τὸν ἡμέτερον ἀντεστήσαμεν λόγον· ὑμᾶς δὲ οὐδέν, ὅσα ἐμαυτῷ συνεπίσταμαι. «Οὐ βοῦν ὑμῶν εἴληφα», φησὶ Σα**[481]**μουὴλ ὁ μέγας πρὸς τὸν Ἰσραὴλ ὑπὲρ τοῦ βασιλέως διαφερόμενος· «οὐ ψυχῶν ὑμῶν ἐξίλασμα, μάρτυς Κύριος ἐν ὑμῖν»[1]· οὐ τὸ καὶ τό, πλείονα λέγων, ἵνα μὴ αὐτὸς ἀπαριθμῶμαι καθ' ἕκαστον· ἀλλὰ καθαρὰν καὶ ἀκίβδηλον τὴν ἱερωσύνην ἐφύλαξα. Εἰ δὲ δυναστείαν ἠγάπησα ἢ θρόνων ὕψος ἢ βασιλέων πατεῖν αὐλάς, μηδὲ ἄλλο τι λαμπρὸν ἔχοιμι, ἢ ῥίψαιμι κεκτημένος.

Κ'. Τί οὖν ἔστιν ὅ φημι; Οὐ γὰρ ἄμισθος ἐγὼ τῆς ἀρετῆς ἐργάτης, οὐδ' εἰς τοσοῦτον ἀρετῆς ἀφικόμην. Δότε μοι τῶν πόνων μισθόν. Τίνα τοῦτον; Οὐχ ὃν ἄν τινες ὑπολάβοιεν τῶν πάντα ῥᾳδίων· ἀλλ' ὃν ἐμοὶ ζητεῖν ἀσφαλές. Ἀναπαύσατε τῶν μακρῶν πόνων ἡμᾶς· αἰδέσθητε τὴν πολιὰν ταύτην· τιμήσατε τὴν ξενιτείαν· ἄλλον ἀντεισα-

---

1. Πρβλ. Α' Βασ. 12,3 ἑξ.

γάγετε, τὸν ὑπὲρ ὑμῶν διωκόμενον, ὅστις καθαρὸς χεῖρας, ὅστις φωνὴν οὐκ ἀσύνετος, ὅστις ἱκανὸς τὰ πάντα ὑμῖν χαρίζεσθαι καὶ συνδιαφέρειν τὰς ἐκκλησιαστικὰς φροντίδας· ἐπειδὴ τούτων μάλιστα νῦν ὁ καιρός. Ἐμοὶ δὲ ὁρᾶτε καὶ τὸ σῶμα ὡς ἔχει τοῦτο, καὶ χρόνῳ καὶ νόσῳ καὶ πόνῳ δαπανηθέν. Τί δεῖ γέροντος ὑμῖν δειλοῦ καὶ ἀνάνδρου καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, ἀποθνήσκοντος τὴν ἡμέραν, οὐ τῷ σώματι μόνον, ἀλλὰ καὶ ταῖς φροντίσιν· ὃς μόλις καὶ ταῦτα ὑμῖν διαλέγομαι; Μὴ ἀπιστήσητε φωνῇ διδασκάλου· καὶ γὰρ οὐδὲ ἠπιστήσατε πώποτε. Κέκμηκα, τὴν ἐπιείκειαν ἐγκαλούμενος. Κέκμηκα καὶ λόγῳ καὶ φθόνῳ μαχόμενος, καὶ πολεμίοις καὶ ἡμετέροις. Οἱ μὲν τὰ στέρνα παίουσι καὶ ἧττον ἐπιτυγχάνουσι· τὸ γὰρ προδήλως ἐχθρόν, εὐφύλακτον. Οἱ δέ, τὰ νῶτα τηροῦσι καὶ μᾶλλόν εἰσι λυπηροί· τὸ γὰρ ἀνύποπτον, καιριώτερον. Εἰ δὲ καὶ κυβερνήτης ἦν, καὶ τῶν λίαν ἐπιστημόνων· εἶτα πολλὴ μὲν ἦν περὶ ἡμᾶς ἡ θάλασσα καὶ περὶ τὴν ναῦν ζέουσα· πολλὴ δὲ τῶν ἐμπλεόντων ἡ στάσις, ἄλλων περὶ ἄλλου ζυγομαχούντων καὶ ἀντικτυπούντων ἀλλήλοις τε καὶ τοῖς κύμασι, πόσον ἀντέσχον ἂν ἐπὶ τῶν οἰάκων καθήμενος, ὥστε καὶ θαλάσσῃ καὶ τοῖς ἐμπλέουσι μάχεσθαι καὶ διασώζειν ἀκινδύνως τὴν ναῦν ἐκ διπλοῦ τοῦ κλύδωνος; Ὧν γὰρ παντὶ τρόπῳ συναγωνιζομένων, χαλεπὸν ἦν τὸ τῆς σωτηρίας, τούτων πῶς οἷόν τε ἀνταγωνιζομένων μὴ καταδύεσθαι;

ΚΑ′. Τί τἄλλα δεῖ λέγειν; Ἀλλὰ πῶς οἴσω τὸν ἱερὸν τοῦτον πόλεμον; Λεγέσθω γάρ τις καὶ πόλεμος **[484]** ἱερός, ὥσπερ καὶ βαρβαρικός. Πῶς συνάψω καὶ εἰς ἓν ἀγάγω τοὺς ἀντικαθεζομένους τούτους καὶ ἀντιποιμαίνοντας καὶ τὸν συναπερρωγότα τούτοις λαὸν καὶ ἀντίθετον· ὥσπερ ἐν τοῖς χάσμασι τῶν σεισμῶν, τὰ γειτονοῦντα καὶ πλησιάζοντα· ἢ ταῖς λοιμικαῖς νόσοις τοὺς θεραπευτὰς καὶ οἰκείους, ἄλλοις ἀπ' ἄλλων διαδιδομένης εὐκόλως τῆς ἀρρωστίας· οὐ μόνον δέ, ἀλλὰ καὶ τὰ τῆς οἰκουμένης τμήματα συμπεπονθότα τοῖς στασιάζουσιν, ὥστε καὶ εἰς ἀντίπαλον μοῖραν ἀποκριθῆναι τό τε Ἑῷον καὶ τὸ Ἑσπέριον καὶ κινδυνεύειν τῆς γνώμης οὐχ ἧττον ἢ τῶν περάτων ταῦτα γενέσθαι τμήματα; Μέχρι τίνος γὰρ ὁ ἐμὸς καὶ ὁ σός, καὶ ὁ παλαιὸς καὶ ὁ νέος, ὁ λογιώτερος ἢ ὁ πνευματικώτερος, ὁ εὐγενέστερος ἢ ὁ δυσγενέστερος, ὁ τῷ πλήθει πλουσιώτερος ἢ ὁ πενέστερος. Αἰσχύνομαι τὸ γῆρας, ἄλλων καλούμενος, ὑπὸ Χριστοῦ σεσωσμένος.

ΚΒ′. Οὐ φέρω τοὺς ἱππικοὺς ὑμῶν καὶ τὰ θέατρα καὶ τὴν ἀντίρροπον ταύτην μανίαν, ἔν τε δαπανήμασι καὶ σπουδάσμασι. Μεταζεύγνυμεν, ἀντιζεύγνυμεν, ἀντιφρυασσόμεθα, μικροῦ καὶ τὸν ἀέρα παίομεν, ὥσπερ ἐκεῖνοι, καὶ βάλλομεν κόνιν εἰς οὐρανόν, ὥσπερ οἱ ἐξεστηκότες· καὶ ὑπ' ἄλλοις προσώποις τὰς ἡμετέρας ἐκπληροῦμεν φιλονεικίας, κακοὶ γινόμεθα τῆς φιλοτιμίας διαιτηταὶ καὶ κριταὶ τῶν πραγμάτων ἀγνώμονες. Σήμερον σύνθρονοι καὶ ὁμόδοξοι, ἂν οὕτω φέρωσιν ἡμᾶς οἱ ἄγοντες· αὔριον ἀντίθρονοι καὶ ἀντίδοξοι, ἐὰν ἀντιπνεύσῃ τὸ πνεῦμα. Μετὰ τῆς ἔχθρας καὶ τῆς φιλίας, καὶ τὰ

ὀνόματα· καί, τὸ δεινότατον, οὐκ αἰσχυνόμεθα τοῖς αὐτοῖς χρώμενοι τῶν ἐναντίων ἀκροαταῖς· οὐδὲ ἐπὶ τῶν αὐτῶν βεβήκαμεν, ἄλλοτε ἄλλους ποιούσης ἡμᾶς τῆς φιλονεικίας. Εὐρίπων μεταβολαί τινες ἢ ἀμπώτιδες. Ὥσπερ οὖν εἰ μειρακίων ἐν ἀγορᾷ παιζόντων ἐν μέσῳ καὶ παιζομένων, αἰσχρὸν ἂν ἦν λίαν καὶ οὐχ ἡμῶν, καταλιπόντας τὰς οἰκείας διατριβάς, ἐκείνοις συμφέρεσθαι (οὐ γὰρ ὡραῖον γήρᾳ, παίδων ἀθύρματα)· οὕτως οὐδ' εἰ, φερόντων καὶ φερομένων τῶν ἄλλων, αὐτός τι βέλτιον τῶν πολλῶν γινώσκων, δεξαίμην ἂν ἐκείνων εἷς εἶναι μᾶλλον ἢ, ὅπερ εἰμί, μετὰ τῆς ἀφανίας ἐλεύθερος. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις πάσχω τι καὶ τοιοῦτον, οὐ τὰ πολλὰ συμφέρομαι τοῖς πολλοῖς, οὐδὲ τὴν αὐτὴν βα[485]δίζειν ἀνέχομαι· θρασέως μὲν ἴσως καὶ ἀμαθῶς, πάσχω δ' οὖν ὅμως. Ἀνιᾷ με τὰ τῶν ἄλλων τερπνὰ καὶ τέρπομαι τοῖς ἑτέρων ἀνιαροῖς. Ὥστε οὐκ ἂν θαυμάσαιμι οὐδὲ τοῦτο, εἰ καὶ δεθείην, ὡς δύσχρηστος καὶ ἀνοηταίνειν δόξαιμι τοῖς πολλοῖς, ὅ τις λέγεται τῶν παρ' Ἕλλησι φιλοσοφησάντων παθεῖν, ἐγκληθεὶς ὡς μανίαν τὴν σωφροσύνην, ὅτι διεγέλα τὰ πάντα, γέλωτος ὁρῶν ἄξια τὰ τοῖς πολλοῖς σπουδαζόμενα· ἢ καὶ γλεύκους νομισθείην εἶναι μεστός, ὡς ὕστερον οἱ Χριστοῦ μαθηταὶ τῷ λαλεῖν γλώσσαις[1]· ἀγνοηθέντες, ὅτι Πνεύματος δύναμις ἦν, οὐ φρενῶν ἔκστασις.

ΚΓ'. Σκοπεῖτε γὰρ καὶ ἡμῶν τὰ ἐγκλήματα. Τοσοῦτος χρόνος, φησίν, ἐξ οὗ τὴν Ἐκκλησίαν ἄγεις, μετὰ τῆς τοῦ καιροῦ ῥοπῆς καὶ τῆς τοῦ κρατοῦντος ὁρμῆς, τοσούτου πράγματος· τί τῆς μεταβολῆς ἡμῖν ἐπεσήμηνε; Πόσοι καθ' ἡμῶν ἔμπροσθεν γεγόνασιν ὑβρισταί; Τί δεινὸν οὐ πεπόνθαμεν; οὐχ ὕβρεις; οὐκ ἀπειλάς; οὐ φυγάς; οὐ χρημάτων ἁρπαγάς; οὐ δημεύσεις; οὐ πρεσβυτέρων ἐμπρησμοὺς θαλαττίους; οὐ ναοὺς βεβηλωμένους ἁγίων αἵμασι καὶ γενομένους ἀντὶ ναῶν πολυάνδρια; οὐ πρεσβυτέρων ἐπισκόπων, οἰκειότερον δὲ πατριαρχῶν εἰπεῖν, σφαγὰς δημοσίας; οὐ τὸ πάντα τόπον ἄβατον εἶναι τοῖς εὐσεβέσι μόνοις; οὐχ ὅ τι ἂν εἴποι τις τῶν δεινῶν; Ὧν τί τοῖς πεποιηκόσιν ἀντιδεδώκαμεν, ἐπειδὴ τὸ ἐξεῖναι ποιεῖν εὖ ποιοῦν ἀντεστράφη καὶ παιδεύειν ἔδει τοὺς ὑβριστάς; Ἐῶ τἄλλα· τὰ δὲ ἡμέτερα, ἵνα μὴ τὰ σὰ λέγωμεν, οὐ δεδιώγμεθα; οὐχ ὑβρίσμεθα; οὐκ ἀπεληλάμεθα ἐκκλησιῶν, οἰκιῶν, ἐρήμων αὐτῶν, τὸ δεινότατον· οὐκ ἠνέγκαμεν δῆμον μαινόμενον; ὑπάρχους ὑβρίζοντας; βασιλέας ὑβριζομένους καὶ μετὰ τῶν προσταγμάτων; Εἶτα τί; Γεγόναμεν ἰσχυρότεροι καὶ διαπεφεύγασιν οἱ διώκοντες. Τοῦτο γάρ· αὐτάρκης ἐμοὶ τιμωρία κατὰ τῶν ἀδικούντων ἡ τοῦ ἀντιδρᾶν ἐξουσία. Τοῖς δὲ οὐχ οὕτω δοκεῖ· λίαν γάρ εἰσιν ἐντελεῖς καὶ δίκαιοι περὶ τὴν ἀντίδοσιν· καὶ διὰ τοῦτο ἀπαιτοῦσι τὰ τοῦ καιροῦ. Τίς ὕπαρχος, φησίν, ἐζημίωται; τίς δῆμος σεσωφρόνισται; τίνες δήμων ἀνάπτται; τίνα φόβον ἡμῖν αὐτοῖς καὶ πρὸς τὸ μέλλον ἐχαρισάμεθα;

---

1. Πρβλ. Πράξ. 2,4 ἑξ.

[488] ΚΔ΄. Τάχα δ' ἂν καὶ ταῦτα ἡμῖν ὀνειδίσαιεν (καὶ γὰρ ὠνειδίκασι)· τὸ δὲ τῆς τραπέζης φιλότιμον, τὸ δὲ τῆς ἐσθῆτος αἰδέσιμον, αἱ δὲ πρόοδοι, τὸ δὲ σοβαρὸν πρὸς τοὺς ἐντυγχάνοντας. Ἠγνόουν γάρ, ὅτι πρὸς ὑπάτους ἡμῖν καὶ ὑπάρχους ἡ ἅμιλλα καὶ στρατηγῶν τοὺς εὐδοκιμωτάτους, οἳ μὴ ἔχουσιν, ὅποι τὰ ἑαυτῶν ῥίψουσι. Καὶ δεῖ περιστένειν μὲν ἡμῖν τὴν γαστέρα κατατρυφῶσι τῶν πτωχικῶν, ὡς δὲ εἰς τὰ περιττὰ κεχρῆσθαι τοῖς ἀναγκαίοις καὶ τῶν θυσιαστηρίων κατερεύγεσθαι. Ἵπποις δὲ φέρεσθαι τρυφεροῖς καὶ δίφρων ὑπεραίρεσθαι περιλάμπρως, προπομπεύεσθαί τε καὶ περιποππύζεσθαι καὶ πάντας ὑποχωρεῖν ἡμῖν, ὥσπερ θηρίοις καὶ περισχίζεσθαι ἢ καὶ πόρρωθεν εἶναι δήλους ἐπερχομένους. Εἰ ταῦτα δεινὰ γέγονε, παρελήλυθε· χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην Ἄλλον προστήσασθε τὸν ἀρέσοντα τοῖς πολλοῖς· ἐμοὶ δὲ δότε τὴν ἐρημίαν καὶ τὴν ἀγροικίαν καὶ τὸν Θεόν, ᾧ μόνῳ, καὶ διὰ τῆς εὐτελείας, ἀρέσομεν. Δεινόν, εἰ στερησόμεθα λόγων καὶ συλλόγων καὶ πανηγύρεων καὶ τῶν κρότων τούτων ὑφ' ὧν πτερούμεθα καὶ οἰκείων καὶ φίλων καὶ τιμῶν καὶ κάλλους πόλεως καὶ μεγέθους καὶ τῆς πανταχόθεν περιλαμπούσης ἀστραπῆς τοὺς πρὸς αὐτὰ βλέποντας, ἀλλὰ μὴ εἴσω συννενευκότας· ἀλλ' οὔπω τοσοῦτον ὅσον εἰ θορυβήσομαι καὶ χρανθήσομαι τοῖς ἐν μέσῳ ταράχοις καὶ βράσμασι καὶ ταῖς πρὸς τοὺς πολλοὺς μετακλίσεσιν. Οὐ γὰρ ζητοῦσιν ἱερεῖς, ἀλλὰ ῥήτορας· οὐδὲ ψυχῶν οἰκονόμους, ἀλλὰ χρημάτων φύλακας· οὐδὲ θύτας καθαρούς, ἀλλὰ προστάτας ἰσχυρούς. Ἀπολογήσομαί τι περὶ αὐτῶν· οὕτως ἡμεῖς αὐτοὺς ἐπαιδεύσαμεν, οἳ πᾶσι πάντα γινόμεθα[1], οὐκ οἶδα πότερον, ἵνα σώσωμεν πάντας ἢ ἀπωλέσωμεν.

ΚΕ΄. Τί φατε; Πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις καὶ νενικήκαμεν; Ἢ δεῖ καὶ στερροτέρων λόγων ἡμῖν πρὸς τὸ πείθειν; Ναί, πρὸς τῆς Τριάδος αὐτῆς, ἣν πρεσβεύομεν καὶ πρεσβεύετε, πρὸς τῆς κοινῆς ἡμῶν ἐλπίδος καὶ τῆς τοῦ λαοῦ τοῦδε συμπήξεως, δότε μοι τὴν χάριν ταύτην· μετὰ εὐχῶν ἡμᾶς ἀποπέμψατε· αὕτη γενέσθω μοι τῆς ἀθλήσεως ἡ ἀνάρρησις· δότε μοι τὸ γράμμα τῆς ἀφέσεως, ὥσπερ τοῖς στρατιωτικοῖς οἱ βασιλεῖς· καί, εἰ βούλεσθε, μετὰ δεξιᾶς τῆς μαρτυρίας, ἵν' ἔχω τὸ ἐπιτίμιον· εἰ δὲ μή, ὅπως βούλεσθε· οὐδὲν περὶ τούτου διοίσο**[489]**μαι, ἕως ἂν Θεὸς ἴδῃ τὰ ἡμέτερα ὅπως ἂν ἔχῃ. Τίνα οὖν ἀντεισάξομεν; Ὄψεται ἑαυτῷ Κύριος ποιμένα εἰς προστασίαν, ὡς πρόβατον εἶδεν εἰς ὁλοκάρπωσιν. Ἓν τοῦτο ἐπιζητῶ μόνον, τῶν φθονουμένων ἔστω τις, μὴ τῶν ἐλεουμένων· μὴ τῶν πάντα πᾶσι χαριζομένων, ἀλλ' ἔστιν ἃ καὶ προσκρούειν εἰδότων ὑπὲρ τοῦ βελτίονος· τὸ μὲν γὰρ ἐνταῦθα ἥδιστον, τὸ δ' ἐκεῖθεν λυσιτελέστατον. Ὑμεῖς μὲν οὖν τοὺς προπεμπτηρίους ἡμῖν μελετήσατε λόγους· ἐγὼ δὲ ὑμῖν ἀποδώσω τὸν συντακτήριον.

---

1. Πρβλ. Α΄ Κορ. 9,22.

ΚΣ'. Χαίροις, Ἀναστασία μοι τῆς εὐσεβείας ἐπώνυμε. Σὺ γὰρ τὸν λόγον ἡμῖν ἐξανέστησας ἔτι καταφρονούμενον· τὸ τῆς κοινῆς νίκης χωρίον, ἡ νέα Σηλώμ[1], ἐν ᾗ πρῶτον τὴν σκηνὴν ἐπήξαμεν, τεσσαράκοντα ἔτη περιφερομένην ἐν τῇ ἐρήμῳ καὶ πλανωμένην. Σύ τε ὁ μέγας ναὸς οὗτος καὶ περιβόητος, ἡ νέα κληρονομία, τὸ νῦν μέγας εἶναι παρὰ τοῦ Λόγου λαβών, ὃν Ἰεβοῦς πρότερον ὄντα, Ἱερουσαλὴμ πεποιήκαμεν· ὑμεῖς τε ὅσοι μετὰ τοῦτον εὐθὺς τοῖς κάλλεσιν, ἄλλος ἄλλο τι τῆς πόλεως μέρος διειληφότες, ὥσπερ σύνδεσμοί τινες καὶ τὸ γειτονοῦν οἰκειούμενοι· οὓς μετὰ τῆς ἀσθενείας ταύτης, οὐχ ἡμεῖς, ἡ χάρις δὲ σὺν ἡμῖν[2] ἐπλήρωσε τοῖς ἀπεγνωσμένοις. Χαίρετε, ἀπόστολοι, ἡ καλὴ μετοικία, οἱ ἐμοὶ διδάσκαλοι τῆς ἀθλήσεως, εἰ καὶ μὴ πολλάκις ὑμῖν ἐπανηγύρισα, ἴσως τὸν τοῦ ὑμετέρου Παύλου Σατᾶν[3] περιφέρων ἐν τῷ σώματι πρὸς τὸ συμφέρον, δι' ὃν νῦν ὑμῶν ἀποικίζομαι. Χαῖρέ μοι, ὦ καθέδρα, τὸ ἐπίφθονον ὕψος τοῦτο καὶ ἐπικίνδυνον, ἀρχιερέων συνέδριον, ἱερέων αἰδοῖ καὶ χρόνῳ τετιμημένον, ὅσον τε ἄλλο περὶ τὴν ἱερὰν τράπεζαν λειτουργικὸν Θεοῦ καὶ ἐγγίζον Θεῷ τῷ ἐγγίζοντι. Χαίρετε, Ναζαραίων χοροστασίαι, ψαλμῳδιῶν ἁρμονίαι, στάσεις πάννυχοι, παρθένων σεμνότης, γυναικῶν εὐκοσμία, χηρῶν, ὀρφανῶν συστήματα, πτωχῶν ὀφθαλμοί, πρὸς Θεὸν καὶ πρὸς ἡμᾶς βλέποντες. Χαίρετε, οἶκοι φιλόξενοι καὶ **[492]** φιλόχριστοι καὶ τῆς ἐμῆς ἀσθενείας ἀντιλήπτορες. Χαίρετε, τῶν ἐμῶν λόγων ἐραστὰι καὶ δρόμοι καὶ συνδρομαὶ καὶ γραφίδες φανεραὶ καὶ λανθάνουσαι καὶ ἡ βιαζομένη κιγκλίς, αὕτη τοῖς περὶ τὸν λόγον ὠθιζομένοις. Χαίρετε, ὦ βασιλεῖς καὶ βασίλεια, ὅσον τε περὶ τὸν βασιλέα θεραπευτικὸν καὶ οἰκίδιον· εἰ μὲν καὶ βασιλεῖ πιστόν, οὐκ οἶδα· Θεῷ δὲ τὸ πλεῖον ἄπιστον. Κροτήσατε χεῖρας, ὀξὺ βοήσατε, ἄρατε εἰς ὕψος τὸν ῥήτορα ὑμῶν. Σεσίγηκεν ὑμῖν ἡ πονηρὰ γλῶσσα καὶ λάλος· οὐ μὴν σιγήσεται παντάπασιν· μαχήσεται γὰρ διὰ χειρὸς καὶ μέλανος· τὸ δ' οὖν παρὸν σεσιγήκαμεν.

ΚΖ'. Χαῖρε, ὦ μεγαλόπολι καὶ φιλόχριστε (μαρτυρήσω γὰρ τἀληθῆ καὶ εἰ μὴ κατ' ἐπίγνωσιν ὁ ζῆλος[4]· πεποίηκε χρηστοτέρους ἡμᾶς ἡ διάζευξις). Πρόσιτε τῇ ἀληθείᾳ· μετασκευάζεσθε ὀψὲ γοῦν· τιμήσατε Θεόν, πλέον τῆς συνηθείας. Οὐχ ἡ μετάθεσις τὸ αἰσχρὸν ἔχει, ἀλλ' ἡ τοῦ κακοῦ τήρησις τὴν ἀπώλειαν. Χαίροις, Ἀνατολὴ καὶ Δύσις, ὑπὲρ ὧν καὶ ὑφ' ὧν πολεμούμεθα· μάρτυς ὁ εἰρηνεύσων ὑμᾶς, ἂν ὀλίγοι μιμήσωνται τὴν ἐμὴν ὑποχώρησιν. Οὐ γὰρ καὶ τὸν Θεὸν ἀπολοῦσιν οἱ τῶν θρόνων παραχωρήσαντες, ἀλλ' ἔξουσι τὴν ἄνω καθέδραν, ἣ πολὺ τούτων ἐστὶν ὑψηλοτέρα τε καὶ ἀσφαλεστέρα. Ἐπὶ πᾶσί τε καὶ πρὸ πάντων βοήσομαι· Χαίρετε, ἄγγελοι, τῇσδε τῆς Ἐκκλησίας ἔφοροι καὶ τῆς ἐμῆς παρουσίας καὶ ἐκδημίας, εἴπερ ἐν χειρὶ

---

1. Πρβλ. Ἰησ. Ν. 18,1. 2. Πρβλ. Α' Κορ. 15,10. 3. Πρβλ. Β' Κορ. 12,7. 4. Πρβλ. Ρωμ. 10,2.

Θεοῦ τὰ ἡμέτερα. Χαῖρέ μοι, ὦ Τριάς, τὸ ἐμὸν μελέτημα καὶ καλλώπισμα· καὶ σῴζοιο τοῖσδε καὶ σῴζοις τούσδε, τὸν ἐμὸν λαὸν (ἐμὸς γάρ, κἂν ἄλλως οἰκονομώμεθα)· καὶ ἀγγέλοιό μοι διαπαντὸς ὑψουμένη καὶ αὐξουμένη καὶ λόγῳ καὶ πολιτείᾳ. Τεκνία, φυλάσσοιτέ μοι τὴν παρακαταθήκην[1]· μέμνησθέ μου τῶν λιθασμῶν[2]. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

1. Πρβλ. Α' Τιμ. 6,20. 2. Πρβλ. Κολ. 6,18.

ΛΟΓΟΣ ΜΓ'

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ ΕΠΙΤΑΦΙΟΣ *

[493] 58 Α'. Ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προθεὶς ὁ μέγας Βασίλειος καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς, ἑαυτὸν νῦν ἡμῖν προθήσειν, ὑπόθεσιν ἀγώνων μεγίστην τοῖς περὶ λόγους ἐσπουδακόσιν. Οἶμαι γάρ, εἴ τις τῆς ἐν λόγοις δυνάμεως πεῖραν ποιούμενος, ἔπειτα πρὸς μέτρον κρῖναι ταύτην θελήσειε, μίαν ἐκ πασῶν ὑπόθεσιν προστησάμενος, καθάπερ οἱ ζωγράφοι τοὺς ἀρχετύπους πίνακας, ταύτην ἂν ὑφελὼν μόνην, ὡς λόγου κρείττονα, τῶν ἄλλων ἑλέσθαι τὴν πρώτην· τοσοῦτον ἔργον ἡ τοῦ ἀνδρὸς εὐφημία, μὴ ὅτι γε ἡμῖν τοῖς πάλαι πᾶν τὸ φιλότιμον καταλύσασιν, ἀλλὰ καὶ οἷς βίος ἐστὶν ὁ λόγος, ἓν τοῦτο ἐσπουδακόσι καὶ μόνον, ταῖς τοιαύταις ἐνευδοκιμεῖν ὑποθέσεσιν! Ἔχω μὲν οὕτω **[496]** περὶ τούτων καί, ὡς ἐμαυτὸν πείθω, λίαν ὀρθῶς. Οὐκ οἶδα δὲ εἰς ὅ τι ἂν ἄλλο χρησαίμην τοῖς λόγοις μὴ νῦν χρησάμενος, ἢ ὅ τί ποτ' ἂν μᾶλλον ἢ ἐμαυτῷ χαρισαίμην ἢ τοῖς ἀρετῆς ἐπαινέταις ἢ τοῖς λόγοις αὐτοῖς **60** ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας. Ἐμοί τε γὰρ ἔσται τοῦτο χρέος ἱκανῶς ἀφωσιωμένον· χρέος δέ, εἴπερ ἄλλο τι, τοῖς ἀγαθοῖς τά τε ἄλλα καὶ περὶ τὸν λόγον, ὁ λόγος. Ἐκείνοις θ' ἅμα μὲν ἡδονὴ ⟨ἂν⟩ γένοιτο, καὶ ἅμα παράκλησις εἰς ἀρετήν, [ὁ λόγος]. Ὧν γὰρ τοὺς ἐπαίνους, οἶδα τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις· [ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων, οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων]. Τοῖς τε λόγοις αὐτοῖς ἀμφοτέρωθεν ἂν ἔχοι τὸ πρᾶγμα καλῶς· εἰ μὲν ἐγγὺς ἔλθοιεν τῆς ἀξίας, τὴν ἑαυτῶν ἐπιδεδειγμένοις δύναμιν· εἰ δὲ πλεῖστον ἀπολειφθεῖεν, ὃ πᾶσα παθεῖν ἀνάγκη τοῖς ἐκεῖνον ἐγκωμιάζουσιν, ἔργῳ δεδηλωκόσι τὴν ἧτταν καὶ τὸ κρείττω ἢ κατὰ λόγου δύναμιν εἶναι τὸν εὐφημούμενον.

Β'. Ἃ μὲν οὖν πεποίηκέ μοι τὸν λόγον καὶ δι' ἃ τὸν ἀγῶνα τοῦτον ἐνεστησάμην, ταῦτά ἐστιν. Εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος καὶ μετὰ τοσούτους ἐπαινέτας, ἰδίᾳ τε καὶ δημοσίᾳ τὰ ἐκείνου σεμνύναντας, μηδεὶς θαυμαζέτω. Ἀλλὰ συγγινωσκέτω μὲν ἡ θεία ἡ ψυχή, καὶ πάντ' ἐμοὶ σεβασμία καὶ νῦν καὶ πρότερον. Πάντως

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ F. Boulenger, Grégoire de Nazianze, Discours funèbres en l' honneur de son frère Césaire et de Basile de Cérarée, Paris, 1908. pp. 58-230.

δὲ ὡς σὺν ἡμῖν ὢν ἐπηνώρθου πολλὰ τῶν ἐμῶν ὅρῳ τε φιλίας καὶ νόμῳ κρείττονι (οὐ γὰρ αἰσχύνομαι τοῦτο λέγειν, ὅτι καὶ πᾶσι νόμος ἦν ἀρετῆς), οὕτω καὶ ὑπὲρ ἡμᾶς γενόμενος, συγγνώμων ἔσται τοῖς ἡμετέροις. Συγγινωσκέτωσαν δὲ καὶ ὑμῶν ὅσοι θερμότεροι τοῦ ἀνδρὸς ἐπαινέται, εἴπερ τις ἔστιν **62** ἄλλου θερμότερος, ἀλλὰ μὴ τοῦτο μόνον πάντες ὁμότιμοι, τὴν τοῦ ἀνδρὸς εὐφημίαν.

Οὐ γὰρ ὀλιγωρίᾳ τὸ εἰκὸς ἐνελίπομεν· μή ποτε τοσοῦτον ἀμελήσαιμεν ἢ ἀρετῆς ἢ τοῦ φιλικοῦ καθήκοντος· οὐδὲ τῷ νομίζειν ἄλλοις μᾶλλον ἡμῶν προσήκειν τὸν ἔπαινον. Ἀλλὰ πρῶτον μὲν ὠκνουν τὸν λόγον, εἰρήσεται γὰρ τἀληθές, ὥσπερ οἱ τοῖς ἱεροῖς προσιόντες, πρὶν καθαρθῆναι καὶ φωνὴν καὶ διάνοιαν. Ἔπειτα, οὐκ ἀγνοοῦντας μέν, ὑπομνήσω δ' οὖν ὅμως, ὧν μεταξὺ περὶ τὸν ἀληθῆ λόγον ἠσχολήμεθα κινδυνεύοντα, καλῶς βιασθέντες καὶ κατὰ Θεὸν ἴσως ἔκ**[497]**δημοι γεγονότες καὶ οὐδὲ ἀπὸ γνώμης ἐκείνῳ τῷ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ καὶ μηδὲν ἕτερον ἀναπνεύσαντι ὅτι μὴ λόγον εὐσεβῆ καὶ κόσμου παντὸς σωτήριον. Τὰ γὰρ τοῦ σώματος ἴσως οὐδὲ θαρρῆσαι χρὴ λέγειν ἀνδρὶ γενναίῳ καὶ ὑπὲρ τὸ σῶμα πρὶν ἐνθένδε μεταναστῆναι καὶ μηδὲν ἀξιοῦντι τῶν τῆς ψυχῆς καλῶν ὑπὸ τοῦ δεσμοῦ παραβλάπτεσθαι.

Τὰ μὲν δὴ τῆς ἀπολογίας ἐνταῦθα κείσθω· καὶ γὰρ οὐδὲ μακροτέρας οἶμαι ταύτης δεήσειν ἡμῖν, πρὸς ἐκεῖνόν γε ποιουμένοις τὸν λόγον καὶ τοὺς εἰδότας σαφῶς τὰ ἡμέτερα. Ἤδη δὲ πρὸς αὐτὴν ἡμῖν ἰτέον τὴν εὐφημίαν, αὐτὸν προστησαμένοις τοῦ λόγου τὸν ἐκείνου Θεόν, μὴ καθυβρίσαι τὸν ἄνδρα τοῖς ἐγκωμίοις, μηδὲ πολὺ δεύτερον τῶν ἄλλων ἐλθεῖν, κἂν ἐκείνου πάντες ἴσον ἀπολειπώμεθα, **64** καθάπερ οὐρανοῦ καὶ ἡλιακῆς ἀκτῖνος οἱ πρὸς αὐτὰ βλέποντες.

Γ'. Εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον ἢ τινι τῶν μικρῶν ὅλως καὶ οἷς οἱ χαμαὶ βλέποντες, ἄλλος ἂν ἡρώων ὤφθη κατάλογος. Ὅσα τῶν ὑπὲρ ἐκεῖνον τοῖς χρόνοις ἐκείνῳ συνεισενεγκεῖν ⟨ἂν⟩ εἴχομεν καὶ οὐδ' ἂν ταῖς ἱστορίαις παρήκαμεν ἔχειν τι πλέον ἡμῶν ἐκεῖνό γε πλέον ἔχοντες πάντως, τὸ μὴ πλάσματι μηδὲ μύθοις, αὐτοῖς δὲ τοῖς πράγμασι καλλωπίζεσθαι, καὶ ὧν πολλοὶ μάρτυρες. Πολλὰ μὲν γὰρ ὁ Πόντος ἡμῖν ἐκ τοῦ πατρὸς προβάλλει τὰ διηγήματα καὶ οὐδενὸς ἐλάττω τῶν πάλαι περὶ αὐτὸν θαυμάτων, ὧν πλήρης πᾶσα συγγραφή τε καὶ ποίησις· πολλὰ δὲ τὸ ἐμὸν ἔδαφος τοῦτο, οἱ σεμνοὶ Καππαδόκαι, τὸ μηδὲν ἧττον κουροτρόφον ἢ εὔιππον. Ὅθεν τῷ πατρῴῳ γένει τὸ μητρῷον ἡμεῖς ἀντανίσχομεν. Στρατηγίαι τε καὶ δημαγωγίαι καὶ κράτος ἐν βασιλείοις αὐλαῖς· ἔτι δὲ περιουσίαι καὶ θρόνων ὕψη καὶ τιμαὶ δημόσιαι καὶ λόγων λαμπρότητες, τίνων ἢ πλείους ἢ μείζους; Ὧν ἡμῖν, εἰ βουλομένοις εἰπεῖν ἐξῆν, οὐδὲν ἂν ἦσαν ἡμῖν οἱ Πελοπίδαι καὶ Κεκροπίδαι καὶ οἱ Ἀλκμαίωνες, Αἰακίδαι **[500]** τε καὶ Ἡρακλεῖδαι καὶ ὧν οὐδὲν ὑψηλότερον, οἵτινες ἐκ τῶν οἰκείων φανερῶς εἰπεῖν οὐκ ἔχοντες ἐπὶ τὸ ἀφανὲς

ΛΟΓΟΣ ΜΓ'

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ ΕΠΙΤΑΦΙΟΣ *

[493] 58 Α'. Ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προθεὶς ὁ μέγας Βασίλειος καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς, ἑαυτὸν νῦν ἡμῖν προθήσειν, ὑπόθεσιν ἀγώνων μεγίστην τοῖς περὶ λόγους ἐσπουδακόσιν. Οἶμαι γάρ, εἴ τις τῆς ἐν λόγοις δυνάμεως πεῖραν ποιούμενος, ἔπειτα πρὸς μέτρον κρῖναι ταύτην θελήσειε, μίαν ἐκ πασῶν ὑπόθεσιν προστησάμενος, καθάπερ οἱ ζωγράφοι τοὺς ἀρχετύπους πίνακας, ταύτην ἂν ὑφελὼν μόνην, ὡς λόγου κρείττονα, τῶν ἄλλων ἑλέσθαι τὴν πρώτην· τοσοῦτον ἔργον ἡ τοῦ ἀνδρὸς εὐφημία, μὴ ὅτι γε ἡμῖν τοῖς πάλαι πᾶν τὸ φιλότιμον καταλύσασιν, ἀλλὰ καὶ οἷς βίος ἐστὶν ὁ λόγος, ἓν τοῦτο ἐσπουδακόσι καὶ μόνον, ταῖς τοιαύταις ἐνευδοκιμεῖν ὑποθέσεσιν! Ἔχω μὲν οὕτω **[496]** περὶ τούτων καί, ὡς ἐμαυτὸν πείθω, λίαν ὀρθῶς. Οὐκ οἶδα δὲ εἰς ὅ τι ἂν ἄλλο χρησαίμην τοῖς λόγοις μὴ νῦν χρησάμενος, ἢ ὅ τί ποτ' ἂν μᾶλλον ἢ ἐμαυτῷ χαρισαίμην ἢ τοῖς ἀρετῆς ἐπαινέταις ἢ τοῖς λόγοις αὐτοῖς **60** ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας. Ἐμοί τε γὰρ ἔσται τοῦτο χρέος ἱκανῶς ἀφωσιωμένον· χρέος δέ, εἴπερ ἄλλο τι, τοῖς ἀγαθοῖς τά τε ἄλλα καὶ περὶ τὸν λόγον, ὁ λόγος. Ἐκείνοις θ' ἅμα μὲν ἡδονὴ ⟨ἂν⟩ γένοιτο, καὶ ἅμα παράκλησις εἰς ἀρετήν, [ὁ λόγος]. Ὧν γὰρ τοὺς ἐπαίνους, οἶδα τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις· [ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων, οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων]. Τοῖς τε λόγοις αὐτοῖς ἀμφοτέρωθεν ἂν ἔχοι τὸ πρᾶγμα καλῶς· εἰ μὲν ἐγγὺς ἔλθοιεν τῆς ἀξίας, τὴν ἑαυτῶν ἐπιδεδειγμένοις δύναμιν· εἰ δὲ πλεῖστον ἀπολειφθεῖεν, ὃ πᾶσα παθεῖν ἀνάγκη τοῖς ἐκεῖνον ἐγκωμιάζουσιν, ἔργῳ δεδηλωκόσι τὴν ἧτταν καὶ τὸ κρείττω ἢ κατὰ λόγου δύναμιν εἶναι τὸν εὐφημούμενον.

Β'. Ἃ μὲν οὖν πεποίηκέ μοι τὸν λόγον καὶ δι' ἃ τὸν ἀγῶνα τοῦτον ἐνεστησάμην, ταῦτά ἐστιν. Εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος καὶ μετὰ τοσούτους ἐπαινέτας, ἰδίᾳ τε καὶ δημοσίᾳ τὰ ἐκείνου σεμνύναντας, μηδεὶς θαυμαζέτω. Ἀλλὰ συγγινωσκέτω μὲν ἡ θεία ἡ ψυχή, καὶ πάντ' ἐμοὶ σεβασμία καὶ νῦν καὶ πρότερον. Πάντως

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ F. Boulenger, Grégoire de Nazianze, Discours funèbres en l' honneur de son frère Césaire et de Basile de Cérarée, Paris, 1908. pp. 58-230.

δὲ ὡς σὺν ἡμῖν ὢν ἐπηνώρθου πολλὰ τῶν ἐμῶν ὅρῳ τε φιλίας καὶ νόμῳ κρείττονι (οὐ γὰρ αἰσχύνομαι τοῦτο λέγειν, ὅτι καὶ πᾶσι νόμος ἦν ἀρετῆς), οὕτω καὶ ὑπὲρ ἡμᾶς γενόμενος, συγγνώμων ἔσται τοῖς ἡμετέροις. Συγγινωσκέτωσαν δὲ καὶ ὑμῶν ὅσοι θερμότεροι τοῦ ἀνδρὸς ἐπαινέται, εἴπερ τις ἔστιν **62** ἄλλου θερμότερος, ἀλλὰ μὴ τοῦτο μόνον πάντες ὁμότιμοι, τὴν τοῦ ἀνδρὸς εὐφημίαν.

Οὐ γὰρ ὀλιγωρίᾳ τὸ εἰκὸς ἐνελίπομεν· μή ποτε τοσοῦτον ἀμελήσαιμεν ἢ ἀρετῆς ἢ τοῦ φιλικοῦ καθήκοντος· οὐδὲ τῷ νομίζειν ἄλλοις μᾶλλον ἡμῶν προσήκειν τὸν ἔπαινον. Ἀλλὰ πρῶτον μὲν ὤκνουν τὸν λόγον, εἰρήσεται γὰρ τἀληθές, ὥσπερ οἱ τοῖς ἱεροῖς προσιόντες, πρὶν καθαρθῆναι καὶ φωνὴν καὶ διάνοιαν. Ἔπειτα, οὐκ ἀγνοοῦντας μέν, ὑπομνήσω δ' οὖν ὅμως, ὧν μεταξὺ περὶ τὸν ἀληθῆ λόγον ἠσχολήμεθα κινδυνεύοντα, καλῶς βιασθέντες καὶ κατὰ Θεὸν ἴσως ἔκ**[497]**δημοι γεγονότες καὶ οὐδὲ ἀπὸ γνώμης ἐκείνῳ τῷ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ καὶ μηδὲν ἕτερον ἀναπνεύσαντι ὅτι μὴ λόγον εὐσεβῆ καὶ κόσμου παντὸς σωτήριον. Τὰ γὰρ τοῦ σώματος ἴσως οὐδὲ θαρρῆσαι χρὴ λέγειν ἀνδρὶ γενναίῳ καὶ ὑπὲρ τὸ σῶμα πρὶν ἐνθένδε μεταναστῆναι καὶ μηδὲν ἀξιοῦντι τῶν τῆς ψυχῆς καλῶν ὑπὸ τοῦ δεσμοῦ παραβλάπτεσθαι.

Τὰ μὲν δὴ τῆς ἀπολογίας ἐνταῦθα κείσθω· καὶ γὰρ οὐδὲ μακροτέρας οἶμαι ταύτης δεήσειν ἡμῖν, πρὸς ἐκεῖνόν γε ποιουμένοις τὸν λόγον καὶ τοὺς εἰδότας σαφῶς τὰ ἡμέτερα. Ἤδη δὲ πρὸς αὐτὴν ἡμῖν ἰτέον τὴν εὐφημίαν, αὐτὸν προστησαμένοις τοῦ λόγου τὸν ἐκείνου Θεόν, μὴ καθυβρίσαι τὸν ἄνδρα τοῖς ἐγκωμίοις, μηδὲ πολὺ δεύτερον τῶν ἄλλων ἐλθεῖν, κἂν ἐκείνου πάντες ἴσον ἀπολειπώμεθα, **64** καθάπερ οὐρανοῦ καὶ ἡλιακῆς ἀκτῖνος οἱ πρὸς αὐτὰ βλέποντες.

Γ΄. Εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον ἢ τινι τῶν μικρῶν ὅλως καὶ οἷς οἱ χαμαὶ βλέποντες, ἄλλος ἂν ἡρώων ὤφθη κατάλογος. Ὅσα τῶν ὑπὲρ ἐκεῖνον τοῖς χρόνοις ἐκείνῳ συνεισενεγκεῖν ⟨ἂν⟩ εἴχομεν καὶ οὐδ' ἂν ταῖς ἱστορίαις παρήκαμεν ἔχειν τι πλέον ἡμῶν ἐκεῖνό γε πλέον ἔχοντες πάντως, τὸ μὴ πλάσματι μηδὲ μύθοις, αὐτοῖς δὲ τοῖς πράγμασι καλλωπίζεσθαι, καὶ ὧν πολλοὶ μάρτυρες. Πολλὰ μὲν γὰρ ὁ Πόντος ἡμῖν ἐκ τοῦ πατρὸς προβάλλει τὰ διηγήματα καὶ οὐδενὸς ἐλάττω τῶν πάλαι περὶ αὐτὸν θαυμάτων, ὧν πλήρης πᾶσα συγγραφή τε καὶ ποίησις· πολλὰ δὲ τὸ ἐμὸν ἔδαφος τοῦτο, οἱ σεμνοὶ Καππαδόκαι, τὸ μηδὲν ἧττον κουροτρόφον ἢ εὔιππον. Ὅθεν τῷ πατρῴῳ γένει τὸ μητρῷον ἡμεῖς ἀντανίσχομεν. Στρατηγίαι τε καὶ δημαγωγίαι καὶ κράτος ἐν βασιλείοις αὐλαῖς· ἔτι δὲ περιουσίαι καὶ θρόνων ὕψη καὶ τιμαὶ δημόσιαι καὶ λόγων λαμπρότητες, τίνων ἢ πλείους ἢ μείζους; Ὧν ἡμῖν, εἰ βουλομένοις εἰπεῖν ἐξῆν, οὐδὲν ἂν ἦσαν ἡμῖν οἱ Πελοπίδαι καὶ Κεκροπίδαι καὶ οἱ Ἀλκμαίωνες, Αἰακίδαι **[500]** τε καὶ Ἡρακλεῖδαι καὶ ὧν οὐδὲν ὑψηλότερον, οἵτινες ἐκ τῶν οἰκείων φανερῶς εἰπεῖν οὐκ ἔχοντες ἐπὶ τὸ ἀφανὲς

καταφεύγουσι, δαίμονας δή τινας καὶ θεοὺς **66** καὶ μύθους τοῖς προγόνοις ἐπιφημίζοντες, ὧν τὸ σεμνότατον ἀπιστία καὶ ὕβρις τὸ πιστευόμενον.

Δ΄. Ἐπειδὴ δὲ ὑπὲρ ἀνδρὸς ἡμῖν ὁ λόγος κατ' ἄνδρα κρίνεσθαι τὴν εὐγένειαν ἀξιοῦντος, καὶ μὴ τὰς μὲν μορφὰς καὶ τὰς χρόας ἐξ ἑαυτῶν δοκιμάζεσθαι καί τῶν ἵππων τοὺς εὐγενεστάτους ἢ ἀτιμοτάτους, ἡμᾶς δὲ ζωγραφεῖσθαι τοῖς ἔξωθεν, ἓν ἢ δύο τῶν ἐξ ἀρχῆς ὑπαρχόντων αὐτῷ καὶ ταῦτα οἰκεῖα τῷ ἐκείνου βίῳ καὶ οἷς ἂν μάλιστα ἡσθείη λεγομένοις εἰπών, ἐπ' αὐτὸν καὶ δὴ τρέψομαι.

Ἄλλου μὲν οὖν ἄλλο τι γνώρισμα καὶ διήγημα καὶ γένους καὶ τοῦ καθέκαστον, ἢ μικρὸν ἢ μεῖζον, καθάπερ τις κλῆρος πατρῴος ἢ πόρρωθεν ἢ ἐγγύθεν ἠργμένος, κάτεισιν εἰς τοὺς ὕστερον· τούτῳ δὲ γενοῖν τοῖν ἀμφοτέροιν τὸ εὐσεβὲς ἐπίσημον, δηλώσει δὲ νῦν ὁ λόγος.

Ε΄. Διωγμὸς ἦν καὶ διωγμῶν ὁ φρικωδέστατος καὶ βαρύτατος· εἰδόσι λέγω τὸν Μαξιμίνου, ὃς πολλοῖς τοῖς ἐγγύθεν γενομένοις ἐπιφυεὶς πάντας φιλανθρώπους ἀπέδειξε, θράσει τε πολλῷ ῥέων καὶ φιλονεικῶν τὸ τῆς ἀσεβείας κράτος ἀναδήσασθαι. Τοῦτον πολλοὶ μὲν ὑπερέσχον τῶν ἡμετέρων ἀγωνιστῶν καὶ μέχρι θανάτου διηγωνισμένοι καὶ πρὸ θανάτου μικρόν, τοσοῦτον ἀπολειφθέντες ὅσον ἐπιβιῶναι τῇ νίκῃ καὶ μὴ συναπελθεῖν τοῖς παλαίσμασιν, ἀλλ' ὑπολειφθῆναι τοῖς ἄλλοις ἀλεῖπται τῆς ἀρετῆς, ζῶντες μάρτυρες, ἔμπνοοι στῆλαι, σιγῶντα κηρύγματα, σὺν πολλοῖς δὲ τοῖς ἀριθμουμένοις καὶ οἱ πρὸς πατρὸς τούτῳ **68** πατέρες, οἷς πᾶσαν ἀσκήσασιν εὐσεβείας ὁδὸν καλὴν ἐπήνεγκεν ὁ καιρὸς ἐκεῖνος τὴν κορωνίδα· παρασκευῆς μὲν γὰρ οὕτως εἶχον καὶ γνώμης ὡς πάντα ῥᾳδίως οἴσοντες, ἐξ ὧν στεφανοῖ Χριστὸς τοὺς τὴν ἐκείνου μιμησαμένους ὑπὲρ ἡμῶν ἄθλησιν.

Ϛ΄. Ἐπεὶ δὲ νόμιμον αὐτοῖς ἔδει καὶ τὸν ἀγῶνα γενέσθαι· νόμος δὲ μαρτυρίας μήτε ἐθελοντὰς πρὸς τὸν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων, μήτε παρόντας ἀναδύεσθαι· τὸ μὲν γὰρ θράσους, τὸ δὲ ἀνανδρίας ἐστίν· καὶ **[501]** τοῦτο τιμῶντες ἐκεῖνοι τὸν νομοθέτην, τί μηχανῶνται; μᾶλλον δέ, πρὸς τί φέρονται παρὰ τῆς πάντα τὰ ἐκείνων ἀγούσης προνοίας; Ἐπί τινα τῶν Ποντικῶν ὀρῶν λόχμην, πολλαὶ δὲ αὗται παρ' αὐτοῖς εἰσι καὶ βαθεῖαι καὶ ἐπὶ πλεῖστον διήκουσαι, καταφεύγουσι, λίαν ὀλίγοις χρώμενοι καὶ τῆς φυγῆς συνεργοῖς καὶ τῆς τροφῆς ὑπηρέταις. Ἄλλοι μὲν οὖν θαυμαζέτωσαν τὸ τοῦ χρόνου μῆκος· καὶ γὰρ ἐπὶ πλεῖστον αὐτοῖς, ὥς φασι, τὸ τῆς φυγῆς παρετάθη ἔτος που ἕβδομον καὶ μικρόν τι πρὸς τό τε τῆς διαίτης σώμασιν εὖ γεγονόσι στενόν τε καὶ παρηλλαγμένον, ὡς τὸ εἰκός, καὶ τὸ ὑπαιθρίοις κρυμοῖς καὶ θάλπεσι καὶ ὄμβροις ταλαιπωρεῖν, ἥ τε ἄφιλος ἐρημία καὶ τὸ ἀκοινώνητόν τε καὶ ἄμικτον, ὅσον εἰς κακοπάθειαν τοῖς ὑπὸ πολλῶν δορυφορουμένοις καὶ τιμωμένοις. Ἐγὼ δέ, ὃ τούτων μεῖζόν ἐστι καὶ παραδοξότερον, λέξων ἔρχομαι· ἀπιστήσει δ' οὐδεὶς ἢ ὅστις **70** οὐδὲν μέγα οἴεται

τοὺς ὑπὲρ Χριστοῦ διωγμοὺς καὶ κινδύνους, κακῶς γινώσκων καὶ λίαν ἐπικινδύνως.

Ζ′. Ἐπόθουν τι καὶ τῶν πρὸς ἡδονὴν οἱ γεννάδαι, τῷ χρόνῳ κάμνοντες καὶ τῶν ἀναγκαίων ὄντες διακορεῖς· καὶ τὰ μὲν τοῦ Ἰσραὴλ οὐκ ἐφθέγξαντο· οὐ γὰρ ἦσαν γογγυσταὶ κατὰ τοὺς ἐκείνους ἐν τῇ ἐρήμῳ ταλαιπωροῦντας μετὰ τὴν ἐξ Αἰγύπτου φυγήν, ὡς ἄρα βελτίων Αἴγυπτος αὐτοῖς εἴη τῆς ἐρημίας, πολλὴν τῶν λεβήτων καὶ τῶν κρεῶν χορηγοῦσα τὴν ἀφθονίαν τῶν τε ἄλλων ὅσα ἐκεῖσε ἀπέλιπον· ἡ γὰρ πλινθεία καὶ ὁ πηλὸς οὐδὲν ἦν αὐτοῖς τότε διὰ τὴν ἄνοιαν· ἄλλα δέ, ὡς εὐσεβέστερα καὶ πιστότερα!

Τί γάρ ἐστιν, ἔλεγον, τῶν ἀπίστων, εἰ ὁ τῶν θαυμασίων Θεός, ὁ θρέψας πλουσίως ἐν ἐρήμῳ ξένον λαὸν καὶ φυγάδα, ὥστε καὶ ἄρτον ὀμβρῆσαι καὶ βλύσαι ὄρνιθας, τρέφων οὐ τοῖς ἀναγκαίοις μόνον, ἀλλὰ καὶ τοῖς περιττοῖς· εἰ ὁ τεμὼν θάλασσαν καὶ στήσας ἥλιον καὶ ποταμὸν ἀνακόψας καὶ τἄλλα δὴ ὑπειπόντες ὅσα πεποίηκε (φιλεῖ γὰρ ἐν τοῖς τοιούτοις φιλιστορεῖν ἡ ψυχὴ καὶ πολλοῖς θαύμασιν ἀνυμνεῖν τὸν Θεὸν)· οὗτος, ἐπῆγον, καὶ ἡμᾶς θρέψειε σήμερον τοῖς τῆς τρυφῆς τοὺς τῆς εὐσεβείας ἀγωνιστάς; Πολλοὶ μὲν θῆρες τὰς τῶν πλουσίων διαφυγόντες τραπέζας, ἅπερ ἦν ποτε καὶ ἡμῖν, τοῖς ὄρεσι τούτοις ἐμφωλεύουσι· πολλοὶ δὲ ὄρνιθες τῶν ἐδωδίμων τοὺς ποθοῦντας ἡμᾶς ὑπερίπτανται, ὧν τί μὴ θηράσιμόν σοι θελήσαντι μόνον’; **72** Ταῦτ’ ἔλεγον καὶ ἡ θήρα παρῆν, ὄψον αὐτόματον, ἀπραγμάτευτος πανδαισία, ἔλαφοι τῶν λόφων **[504]** ποθὲν ὑπερφανέντες ἀθρόως. Ὡς μὲν εὐμεγέθεις, ὡς δὲ πίονες, ὡς δὲ πρόθυμοι πρὸς σφαγήν! Μονονουχὶ καὶ τοῦτο εἰκάζειν ἦν, ὅτι μὴ τάχιον ἐκλήθησαν ἐδυσχέραινον. Οἱ μὲν εἶλκον τοῖς νεύμασι, οἱ δὲ ἤγοντο. Τίνος διώκοντος ἢ συναναγκάζοντος; Οὐδενός. Τίνων ἱππέων; ποίων κυνῶν; τίνος ὑλακῆς ἢ κραυγῆς ἢ νέων προκαταλαβόντων τὰς διεξόδους τοῖς θήρας νόμοις; Εὐχῆς δέσμιοι καὶ δικαίας αἰτήσεως. Τίς ἔγνω τοιοῦτον θήραμα τῶν νῦν ἢ τῶν πώποτε.

Η′. Ὦ τοῦ θαύματος! αὐτοὶ τοῦ θηράματος ἦσαν ταμίαι. Ὅσον φίλον εἶχετο θελήμασι μόνον· ὅσον περιττὸν ἀπεπέμφθη ταῖς λόχμαις εἰς δευτέραν τράπεζαν. Οἱ ὀψοποιοὶ σχέδιοι, τὸ δεῖπνον εὐτρεπές, οἱ δαιτύμονες εὐχάριστοι, προοίμιον ἔχοντες ἤδη τῶν ἐλπιζομένων τὸ παρὸν θαῦμα. Ἐξ οὗ καὶ πρὸς τὴν ἄθλησιν, ὑπὲρ ἧς ταῦτα ἦν αὐτοῖς, ἐγίνοντο προθυμότεροι. Τοιαῦτα τὰ ἐμὰ διηγήματα. Σὺ δέ μοι λέγε τὰς ἐλαφηβόλους σου καὶ τοὺς Ὡρίωνας καὶ τοὺς Ἀκταίωνας, τοὺς κακοδαίμονας θηρευτάς, ὁ ἐμὸς διώκτης, ὁ τοὺς μύθους θαυμάζων καὶ τὴν ἀντιδοθεῖσαν ἔλαφον τῆς παρθένου, εἴ τι τοσοῦτον εἰς φιλοτιμίαν ἔστι σοι, κἂν δῶμεν μὴ μῦθον εἶναι τὸ ἱστορούμενον. Ὡς τὰ γε ἐξῆς τοῦ λόγου καὶ λίαν αἰσχρά! Τί γὰρ ὄφελος τῆς ἀντιδόσεως, εἰ σώζει παρθένον ἵνα ξενοκτονεῖν **74** διδαχθῇ, ἀπανθρωπίαν μαθοῦσα φιλανθρωπίας ἀντίδοσιν;

Τοῦτο μὲν οὖν τοσοῦτον ἐκ πολλῶν ἓν καὶ ἀντὶ πολλῶν, ὡς ὁ ἐμὸς λόγος. Καὶ τοῦτο διῆλθον, οὐχ ἵν' ἐκείνῳ προσθῶ τι τῆς εὐδοξίας· οὔτε γὰρ θάλασσα δεῖται τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν κἂν εἰσρέωσιν ὅτι πλεῖστοι καὶ μέγιστοι, οὔτε τῶν εἰσοισόντων τι πρὸς εὐφημίαν ὁ νῦν ἐπαινούμενος· ἀλλ' ἵν' ἐπιδείξαιμι, οἵων αὐτῷ τῶν ἐξ ἀρχῆς ὑπαρχόντων καὶ πρὸς ὃ παράδειγμα βλέπων, ὅσον ὑπερηκόντισεν. Εἰ γὰρ μέγα τοῖς ἄλλοις τὸ προσλαβεῖν τι παρὰ τῶν ἄνωθεν εἰς φιλοτιμίαν, μεῖζον ἐκείνῳ τὸ προσθεῖναι τοῖς ἄνω παρ' ἑαυτοῦ, καθάπερ ῥεύματος ἀνατρέχοντος.

Θ'. Τῆς δὲ τῶν πατέρων συζυγίας οὐχ ἧττον κατὰ τὸ τῆς ἀρετῆς ὁμότιμον ἢ καὶ τὰ σώματα, πολλὰ **[505]** μὲν καὶ ἄλλα γνωρίσματα, πτωχοτροφίαι, ξενοδοχίαι, ψυχῆς κάθαρσις ἐξ ἐγκρατείας, ἀπόμοιρα κτήσεως Θεῷ καθιερωθείσης, πρᾶγμα οὔπω τότε πολλοῖς σπουδαζόμενον, ὥσπερ νῦν αὐξηθέν τε καὶ τιμηθὲν ἐκ τῶν πρώτων ὑποδειγμάτων, τά τε ἄλλα, ὅσα Πόντῳ καὶ Καππαδόκαις μερισαμένοις ἤρκεσε πολλῶν πληροῦν ἀκοάς· ἐμοὶ δὲ μέγιστον δοκεῖ καὶ περιφανέστατον ἡ εὐκτεκνία.

Τοὺς γὰρ αὐτοὺς πολύπαιδας καὶ καλλίπαιδας μῦθοι μὲν ἴσως ἔχουσιν· ἡμᾶς δὲ τούτους ἡ πεῖρα παρέστησε, τοιούτους μὲν αὐτοὺς γεγονότας ὥστε, εἰ καὶ μὴ **76** τοιούτων ἦσαν πατέρες, ἑαυτοῖς εἰς εὐδοξίαν ἀρκεῖν· τοιούτων δὲ πεφηνότας πατέρας ὥστε, εἰ καὶ μὴ αὐτοὶ τοσοῦτον ἦσαν εἰς ἀρετήν, πάντας ὑπεραίρειν τῇ εὐτεκνίᾳ. Ἕνα μὲν γὰρ ἢ δύο γενέσθαι τῶν ἐπαινουμένων, κἂν τῇ φύσει δοίη τις· ἡ δὲ διὰ πάντων ἀκρότης, σαφὲς τῶν ἀγαγόντων ἐγκώμιον. Δηλοῖ δὲ ὁ μακαριστὸς τῶν ἱερέων καὶ τῶν παρθένων ἀριθμὸς καὶ τῶν ἐν γάμῳ, μηδὲν τῇ συζυγίᾳ βλαβῆναι βιασαμένων πρὸς τὴν ἴσην τῆς ἀρετῆς εὐδοκίμησιν, ἀλλὰ βίων αἱρέσεις μᾶλλον ἢ πολιτείας ταῦτα ποιησαμένων.

Ι'. Τίς οὐκ οἶδε τὸν τούτου πατέρα, Βασίλειον, τὸ μέγα παρὰ πᾶσιν ὄνομα, ὃς πατρικῆς εὐχῆς ἔτυχεν, ἵνα μὴ λέγω μόνος, εἴπερ τις ἀνθρώπων; Παντὸς γὰρ κρατῶν ἀρετῇ, παρὰ τοῦ παιδὸς κωλύεται μόνου τὸ πρωτεῖον ἔχειν. Τίς Ἐμμελίαν, τὴν ὅπερ ἐγένετο προκληθεῖσαν ἢ γενομένην ὃ προεκλήθη, τὴν τῆς ἐμμελείας ὄντως φερώνυμον ἢ τοῦτο ἐν γυναιξὶν ὤφθη, εἰ δεῖ συντόμως εἰπεῖν, ὅπερ ἐν ἀνδράσιν ἐκεῖνος· ὥστ' εἴπερ ἔδει δουλεύσαντα πάντως τῇ φύσει τὸν νῦν εὐφημούμενον ἀνθρώποις δοθῆναι ὥσπερ τινὰ τῶν πάλαι παρὰ Θεοῦ δεδομένων εἰς κοινὸν ὄφελος, μήτε ἐξ ἄλλων μᾶλλον ἁρμόζειν ἢ ἐκείνων τοῦτον γενέσθαι, μήτε ἐκείνοις ἑτέρου μᾶλλον ἢ τοῦδε πατράσιν ὀνομασθῆναι, ὅπερ οὖν καλῶς ποιοῦν καὶ συνέδραμεν.

Ἐπεὶ δὲ τὰς ἀπαρχὰς τῶν ἐπαίνων νόμῳ θείῳ πειθόμενοι, ὃς πατράσι κελεύει πᾶσαν νέμειν τιμήν, τοῖς μνημονευθεῖσιν ἀποδεδώκαμεν, ἐπ' αὐτὸν ἴωμεν ἤδη, τοσοῦτον **78** εἰπόντες, ὃ καὶ πᾶσιν ἂν οἶμαι δόξειεν ἀληθῶς λέγεσθαι τοῖς ἐκεῖνον ἐπισταμένοις, ὅτι μόνης

ἡμῖν ἔδει τῆς ἐκεί[508]νου φωνῆς ἐκεῖνον ἐγκωμιάζουσιν. Ὁ γὰρ αὐτὸς ὑπόθεσίς τε λαμπρὰ τοῖς ἐπαινοῦσι καὶ μόνος τῇ τοῦ λόγου δυνάμει τῆς ὑποθέσεως ἄξιος. Κάλλους μὲν δὴ καὶ ῥώμης καὶ μεγέθους, οἷς τοὺς πολλοὺς ὁρῶ χαίροντας, τοῖς βουλομένοις παραχωρήσομεν· οὐχ ὅτι κἂν τούτοις ἔλαττόν τινος ἠνέγκατο τῶν μικρολόγων καὶ περὶ τὸ σῶμα καλινδουμένων, ἕως ἦν ἔτι νέος καὶ οὔπω φιλοσοφίᾳ τῶν σαρκῶν κατεκράτησεν· ἀλλ' ἵνα μὴ ταὐτὸν πάθω τοῖς ἀπειροτέροις τῶν ἀθλητῶν, οἳ τὴν ἰσχὺν ἐν τοῖς εἰκῇ παλαιομένοις καὶ παρέργοις κενώσαντες, ἥττους ἐν τοῖς καιρίοις εὑρίσκονται καὶ τοῖς ἐξ ὧν τὸ νικᾶν ὑπάρχει καὶ στεφανίτας ἀναγορεύεσθαι. Ἃ δὲ οὐδαμῶς ἂν εἰπὼν οἶμαι περιττὸς δόξειν οὐδὲ ἔξω τοῦ σκοποῦ βάλλειν τὸν λόγον, ταῦτ' ἐπαινέσομαι.

ΙΑ'. Οἶμαι δὲ πᾶσιν ἀνωμολογῆσθαι τὸν νοῦν ἐχόντων, παίδευσιν τῶν παρ' ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον· οὐ ταύτην μόνην τὴν εὐγενεστέραν καὶ ἡμετέραν, ἣ πᾶν τὸ ἐν λόγοις κομψὸν καὶ φιλότιμον ἀτιμάζουσα μόνης ἔχεται τῆς σωτηρίας καὶ τοῦ κάλλους τῶν νοουμένων· ἀλλὰ καὶ τὴν ἔξωθεν, ἣν οἱ πολλοὶ Χριστιανῶν διαπτύουσιν ὡς ἐπίβουλον καὶ σφαλερὰν καὶ Θεοῦ πόρρω βάλλουσαν, κακῶς εἰδότες. Ὥσπερ γὰρ οὐρανὸν καὶ γῆν καὶ ἀέρα καὶ ὅσα τούτων, οὐκ ἐπειδὴ κακῶς τινες ἐξειλήφασιν ἀντὶ Θεοῦ τὰ τοῦ Θεοῦ σέβοντες, διὰ τοῦτο περιφρονητέον· ἀλλ' ὅσον χρή**80**σιμον αὐτῶν καρπούμενοι πρός τε ζωὴν καὶ ἀπόλαυσιν ὅσον ἐπικίνδυνον διαφεύγομεν, οὐ τῷ κτίστῃ τὴν κτίσιν ἐπανιστάντες κατὰ τοὺς ἄφρονας, ἀλλ' ἐκ τῶν δημιουργημάτων τὸν δημιουργὸν καταλαμβάνοντες[1] καί, ὅ φησιν ὁ θεῖος Ἀπόστολος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν[2]· ὡς δὲ καὶ πυρὸς καὶ τροφῆς καὶ σιδήρου καὶ τῶν ἄλλων οὐδὲν καθ' ἑαυτὸ χρησιμώτατον ἴσμεν ἢ βλαβερώτατον, ἀλλ' ὅπως ἂν δοκῇ τοῖς χρωμένοις· ἤδη δὲ καὶ τῶν ἑρπυστικῶν θηρίων ἔστιν ἃ τοῖς πρὸς σωτηρίαν φαρμάκοις συνεκεράσαμεν· οὕτω καὶ τούτων τὸ μὲν ἐξεταστικόν τε καὶ θεωρητικὸν ἐδεξάμεθα, ὅσον δὲ εἰς δαίμονας φέρει καὶ πλάνην καὶ ἀπωλείας βυθὸν διεπτύσαμεν· ὅτι μὴ κἀκ τούτων πρὸς θεοσέβειαν ὠφελήμεθα, ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθόντες καὶ τὴν **[509]** ἀσθένειαν ἐκείνων ἰσχὺν τοῦ καθ' ἡμᾶς λόγου πεποιημένοι.

Οὔκουν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισιν· ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑπολεπτέον τοὺς οὕτως ἔχοντας, οἳ βούλοιντ' ἂν ἅπαντας εἶναι καθ' ἑαυτούς, ἵν' ἐν τῷ κοινῷ τὸ κατ' αὐτοὺς κρύπτηται καὶ τοὺς τῆς ἀπαιδευσίας ἐλέγχους διαδιδράσκωσιν. Ἐπεὶ δὲ τοῦτο ὑπεθέμεθα καὶ ἀνωμολογησάμεθα, φέρε τὰ κατ' αὐτὴν θεωρήσωμεν.

ΙΒ'. Τὰ μὲν δὴ πρῶτα τῆς ἡλικίας ὑπὸ τῷ μεγάλῳ πατρί, ὃν κοινὸν παιδευτὴν ἀρετῆς ὁ Πόντος τηνικαῦτα προὐβάλλετο, σπαργα-

---

1. Πρβλ. Σ. Σολ. 13,5. 2. Πρβλ. Β' Κορ. 10,5.

νοῦται καὶ διαπλάττεται πλάσιν τὴν ἀρίστην τε καὶ καθαρωτάτην, ἣν ἡμερινὴν ὁ θεῖος Δαβὶδ **82** καλῶς ὀνομάζει καὶ τῆς νυκτερινῆς ἀντίθετον[1]. Ὑπὸ δὴ τούτῳ καὶ βίον καὶ λόγον συναυξανομένους τε καὶ συνανιόντας ἀλλήλοις ὁ θαυμάσιος ἐκπαιδεύεται· οὐ Θετταλικόν τι καὶ ὄρειον ἄντρον αὐχῶν ὡς ἀρετῆς ἐργαστήριον, οὐδέ τινα Κένταυρον ἀλαζόνα τῶν κατ' αὐτὸν ἡρώων διδάσκαλον· οὐδὲ πτῶκας βάλλειν ἢ κατατρέχειν νεβρῶν ἢ θηρεύειν ἐλάφους ὑπ' αὐτοῦ διδασκόμενος ἢ τὰ πολεμικὰ κράτιστος εἶναι ἢ πωλοδαμνεῖν ἄριστα, τῷ αὐτῷ πώλῳ καὶ διδασκάλῳ χρώμενος ἢ μυελοῖς ἐλάφων τε καὶ λεόντων τοῖς μυθικοῖς ἐκτρεφόμενος· ἀλλὰ τὴν ἐγκύκλιον παίδευσιν παιδευόμενος καὶ θεοσέβειαν ἐξασκούμενος καί, συνελόντι φάναι, πρὸς τὴν μέλλουσαν τελειότητα διὰ τῶν ἐξ ἀρχῆς μαθημάτων ἀγόμενος.

Οἱ μὲν γὰρ ἢ βίον μόνον ἢ λόγον κατωρθωκότες, τῷ ἑτέρῳ δὲ λείποντες, οὐδὲν τῶν ἑτεροφθάλμων, ἐμοὶ δοκεῖν, διαφέρουσιν, οἷς μεγάλη μὲν ἡ ζημία, μεῖζον δὲ τὸ αἶσχος ὁρῶσι καὶ ὁρωμένοις. Οἷς δὲ κατ' ἀμφότερα εὐδοκιμεῖν ὑπάρχει καὶ εἶναι περιδεξίοις, τούτοις καὶ τὸ εἶναι τελείοις καὶ βιοτεύειν μετὰ τῆς ἐκεῖθεν μακαριότητος. Ὅπερ οὖν ἐκείνῳ συμβέβηκεν εὖ ποιοῦν οἴκοθεν ἔχοντι τῆς ἀρετῆς τὸ παράδειγμα, πρὸς ὃ βλέπων εὐθὺς ἄριστος ἦν. Ὥσπερ τοὺς πώλους καὶ τοὺς μόσχους ὁρῶμεν ὁμοῦ τῇ γενέσει ταῖς μητράσιν ἑαυτῶν παρασκαίροντας, οὕτω καὶ αὐτὸς τῷ **84** πατρὶ παραθέων ἐγγύθεν ἐν πωλικῷ τῷ φρυάγματι καὶ τῶν ἄκρων τῆς ἀρετῆς κινημάτων οὐ παρὰ πολὺ λειπόμενος· εἰ βούλει δέ, κἂν τῇ **[512]** σκιαγραφίᾳ τὸ μέλλον τῆς ἀρετῆς κάλλος ὑποσημαίνων καὶ πρὸ τοῦ καιροῦ τῆς ἀκριβείας τὰ τῆς ἀκριβείας προχαραττόμενος.

ΙΓ'. Ἐπεὶ δὲ ἱκανῶς εἶχε τῆς ἐνταῦθα παιδεύσεως, ἔδει δ' αὐτὸν μηδὲν τῶν καλῶν διαφυγεῖν, μηδὲ τῷ φιλοπόνῳ τῆς μελίσσης ἀπολειφθῆναι συλλεγούσης ἐκ παντὸς ἄνθους τὰ χρησιμώτατα, ἐπὶ τὴν Καισαρέων πόλιν ἐπείγεται, τῶν τῇδε μεθέξων παιδευτηρίων· ταύτην δὲ λέγω τὴν περιφανῆ τε καὶ ἡμετέραν, ἐπεὶ καὶ τῶν ἐμῶν λόγων αὕτη καθηγεμὼν καὶ διδάσκαλος, τὴν οὐχ ἧττον λόγων μητρόπολιν ἢ τῶν πόλεων ὧν ὑπέρκειται καὶ καθ' ὧν ἔχει τὴν δυναστείαν· ἣν εἴ τις τοῦ ἐν λόγοις κράτους ἀποστερήσειεν, ἀφῃρηκὼς ἔσται αὐτὸ τὸ κάλλιστόν τε καὶ ἰδιώτατον. Ἄλλαι μὲν γὰρ τῶν πόλεων ἄλλοις ἀγάλλονται καλλωπίσμασιν ἢ παλαιοῖς ἢ νέοις, ὅπως ἂν οἶμαι τῶν διηγημάτων ἔχωσιν ἢ τῶν ὁρωμένων· τῇδε λόγοι τὸ γνώρισμα, ὥσπερ ἐν τοῖς ὅπλοις ἢ τοῖς δράμασι τὰ ἐπίσημα. Τὰ δὲ ἑξῆς αὐτοὶ διηγείσθωσαν, οἱ καὶ παιδεύσαντες τὸν ἄνδρα παρ' ἑαυτοῖς καὶ τῆς παιδεύσεως ἀπολαύσαντες· ὅσος μὲν ἦν διδασκάλοις, ὅσος δὲ ἥλιξι, τοῖς μὲν παρεκτεινόμενος, τοὺς δὲ ὑπεραίρων κατὰ πᾶν εἶδος παιδεύσεως· ὅσον κλέος ἐντὸς ὀλίγου χρόνου παρὰ πᾶσιν ἠνέγκατο καὶ τοῖς ἐκ τοῦ

---

1. Πρβλ. Ψαλ. 138,16.

δήμου καὶ τοῖς πρώτοις τῆς πόλεως, μείζω μὲν τῆς ἡλικίας τὴν παίδευσιν, μείζω δὲ τῆς παιδεύσεως τὴν τοῦ **86** ἤθους πῆξιν ἐπιδεικνύμενος· ῥήτωρ ἐν ῥήτορσι καὶ πρὸ τῶν σοφιστικῶν θρόνων, φιλόσοφος ἐν φιλοσόφοις καὶ πρὸ τῶν ἐν φιλοσοφίᾳ δογμάτων· τὸ μέγιστον, ἱερεὺς Χριστιανοῖς καὶ πρὸ τῆς ἱερωσύνης· τοσοῦτον ἦν αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐν ἅπασιν! Τῷ δὲ λόγοι μὲν τὸ πάρεργον ἦσαν, τοσοῦτον ἐξ αὐτῶν δρεπομένῳ ὅσον εἰς τὴν καθ' ἡμᾶς φιλοσοφίαν συνεργοὺς ἔχειν, ἐπειδὴ δεῖ καὶ τῆς ἐν τούτοις δυνάμεως πρὸς τὴν τῶν νοουμένων δήλωσιν· κίνημα γὰρ ναρκώντων ἐστὶ νοῦς ἀνεκλάλητος. Φιλοσοφία δὲ ἡ σπουδὴ καὶ τὸ ῥαγῆναι κόσμου καὶ μετὰ Θεοῦ γενέσθαι, τοῖς κάτω τὰ ἄνω πραγματευόμενον καὶ τοῖς ἀστάτοις καὶ ῥέουσι τὰ ἑστῶτα καὶ μένοντα κατακτώμενον.

[513] ΙΔ'. Ἐντεῦθεν ἐπὶ τὸ Βυζάντιον, τὴν προκαθεζομένην τῆς Ἑῴας πόλιν· καὶ γὰρ ηὐδοκίμει σοφιστῶν τε καὶ φιλοσόφων τοῖς τελεωτάτοις, ὧν ἐν βραχεῖ χρόνῳ τὰ κράτιστα συνελέξατο τάχει τε καὶ μεγέθει φύσεως. Ἐντεῦθεν ἐπὶ τὸ τῶν λόγων ἔδαφος, τὰς Ἀθήνας, ὑπὸ τοῦ Θεοῦ πέμπεται καὶ τῆς καλῆς περὶ τὴν παίδευσιν ἀπληστίας, Ἀθήνας τὰς χρυσᾶς ὄντως ἐμοὶ καὶ τῶν καλῶν προξένους εἴπερ τινί! Ἐκεῖναι γάρ μοι τὸν ἄνδρα τοῦτον ἐγνώρισαν τελεώτερον οὐδὲ πρὶν ἀγνοούμενον· καὶ λόγους ἐπιζητῶν εὐδαιμονίαν ἐκομισάμην· καὶ τρόπον ἕτερον ταὐτὸ πέπονθα τῷ Σαούλ, ὅς, τὰς ὄνους τοῦ πατρὸς ἐπιζητῶν, βασιλείαν ηὕρατο, μεῖζον τοῦ ἔργου τὸ πάρεργον ἐμπορευσάμενος[1].

88 Τὸ μὲν δὴ μέχρι τούτων εὔδρομος ἡμῖν ὁ λόγος καὶ διὰ λείας τῆς ὁδοῦ φέρων καὶ ἄγαν εὐπόρου καὶ βασιλικῆς ὄντως τῶν τοῦ ἀνδρὸς ἐγκωμίων· τὸ δ' ἐντεῦθεν, οὐκ οἶδ' ὅ τι τῷ λόγῳ χρήσωμαι καὶ ποῖ τράπωμαι· ἔχει γάρ τι καὶ πρόσαντες ἡμῖν ὁ λόγος. Ποθῶ μὲν γάρ, ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ τοῦ καιροῦ τούτου λαβόμενος, καὶ τῶν κατ' ἐμαυτόν τι προσθεῖναι τοῖς εἰρημένοις καὶ μικρόν τι προσδιατρίψαι τῷ διηγήματι, ὅθεν τε καὶ ὅπως ἡμῖν κἀκ τίνος τῆς ἀρχῆς συνέστη τὸ τῆς φιλίας, ἤτ' οὖν συμπνοίας καὶ συμφυίας, εἰ χρὴ προσειπεῖν οἰκειότερον. Φιλεῖ γὰρ οὔτε ὄψις ῥᾳδίως ἀναχωρεῖν τῶν τερπνῶν θεαμάτων, κἂν ἀφέλκῃ τις βίᾳ, πρὸς αὐτὰ πάλιν φέρεσθαι· οὔτε λόγος τῶν ἡδίστων διηγημάτων. Δέδοικα δὲ τὸ φορτικὸν τῆς ἐγχειρήσεως. Πειράσομαι μὲν οὖν, ὡς οἷόν τε μετρίως, τοῦτο ποιεῖν. Ἂν δ' ἄρα τι καὶ βιαζώμεθα ὑπὸ τοῦ πόθου, συγγνώμη τῷ πάθει, πάντων παθῶν ὄντι δικαιοτάτῳ καὶ ὃ μὴ παθεῖν ἡ ζημία τοῖς γε νοῦν ἔχουσιν.

ΙΕ'. Εἶχον ἡμᾶς Ἀθῆναι, καθάπερ τι ῥεῦμα ποτάμιον, ἀπὸ μιᾶς σχισθέντας πηγῆς τῆς πατρίδος εἰς διάφορον ὑπερορίαν κατ' ἔρωτα τῆς παιδεύσεως καὶ πάλιν εἰς τὸ αὐτὸ συνελθόντας, ὥσπερ ἀπὸ συνθήματος οὕτω Θεοῦ κινήσαντος. Εἶχον δὲ μικρῷ μὲν ἐμὲ πρότερον,

1. Πρβλ. Α' Βασ. 9,3 ἑξ.

τὸν δ' εὐθὺς μετ' ἐμέ, μετὰ πολλῆς προσδεχθέντα καὶ περιφανοῦς τῆς ἐλπίδος. Καὶ γὰρ ἐν πολλῶν γλώσσαις ἔκειτο πρὶν ἐπιστῆναι καὶ μέγα ἑκάστοις ἦν προκαταλαβεῖν τὸ σπουδαζόμενον. Οὐδὲν δὲ οἷον καὶ ἥδυσμά τι προσθεῖναι τῷ **90** λόγῳ μικρὸν ἀφήγημα, τοῖς μὲν εἰδόσιν ὑπόμνησιν, τοῖς δὲ ἀγνοοῦσι διδασκαλίαν.

Σοφιστομανοῦσιν Ἀθήνησι τῶν νέων οἱ πλεῖστοι καὶ ἀφρονέστεροι· οὐ τῶν ἀγεννῶν μόνον καὶ τῶν ἀνωνύμων, ἀλλ' ἤδη καὶ τῶν εὖ γεγονότων καὶ περιφανεστέρων, ἅτε πλῆθος σύμμικτον ὄντες καὶ νέοι καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς. Ὅπερ οὖν πάσχοντας ἔστιν ἰδεῖν περὶ τὰς **[516]** ἀντιθέτους ἱπποδρομίας τοὺς φιλίππους τε καὶ φιλοθεάμονας· πηδῶσι, βοῶσιν, οὐρανῷ πέμπουσι κόνιν, ἡνιοχοῦσι καθήμενοι, παίουσι τὸν ἀέρα, τοὺς ἵππους δὴ τοῖς δακτύλοις ὡς μάστιξι, ζευγνύουσι, μεταζευγνύουσιν· οὐδενὸς ὄντες κύριοι ἀντιδιδόασι ἀλλήλοις ῥᾳδίως ἡνιόχους, ἵππους, ἱππόστασίας, στρατηγούς· καὶ ταῦτα τίνες; οἱ πένητες πολλάκις καὶ ἄποροι καὶ μηδ' ἂν εἰς μίαν ἡμέραν τροφῆς εὐπορήσαντες. Τοῦτο καὶ αὐτοὶ πάσχουσι ἀτεχνῶς περὶ τοὺς ἑαυτῶν διδασκάλους καὶ ἀντιτέχνους, ὅπως πλείους τε ὦσιν αὐτοὶ κἀκείνους εὐπορωτέρους ποιῶσι δι' ἑαυτῶν σπουδὴν ἔχοντες· καὶ τὸ πρᾶγμά ἐστιν ἐπιεικῶς ἄτοπον καὶ δαιμόνιον. Προκαταλαμβάνονται πόλεις, ὁδοί, λιμένες, ὀρῶν ἄκρα, πεδία, ἐσχατιαί, οὐδὲν ὅ τι μὴ τῆς Ἀττικῆς μέρος ἢ τῆς λοιπῆς Ἑλλάδος, αὐτῶν τῶν οἰκητόρων οἱ πλεῖστοι· καὶ γὰρ τούτους μεμερισμένους ταῖς σπουδαῖς ἔχουσιν.

ΙϚ'. Ἐπειδὰν οὖν τις ἐπιστῇ τῶν νέων καὶ ἐν χερσὶ γένηται τῶν ἑλόντων, γίνεται δὲ ἢ βιασθεὶς ἢ ἑκών, νόμος οὗτός ἐστιν αὐτοῖς Ἀττικὸς καὶ παιδιὰ σπουδῇ σύμμικτος. **92** Πρῶτον μὲν ξεναγεῖται παρά τινι τῶν προειληφότων ἢ φίλων ἢ συγγενῶν ἢ τῶν ἐκ τῆς αὐτῆς πατρίδος ἢ τῶν ὅσοι περιττοὶ τὰ σοφιστικὰ καὶ προσαγωγοὶ τῶν λημμάτων, κἀντεῦθεν μάλιστα διὰ τιμῆς ἐκείνοις· ἐπεὶ καὶ τοῦτο μισθός ἐστιν αὐτοῖς τῶν σπουδαστῶν τυγχάνειν. Ἔπειτα ἐρεσχελεῖται παρὰ τοῦ βουλομένου παντός· βούλεται δὲ αὐτοῖς, οἶμαι, τοῦτο τῶν νεηλύδων συστέλλειν τὸ φρόνημα καὶ ὑπὸ χεῖρα σφῶν ἀπ' ἀρχῆς ἄγειν· ἐρεσχελεῖται δέ, παρὰ μὲν τῶν θρασύτερον, παρὰ δὲ τῶν λογικώτερον, ὅπως ἂν ἀγροικίας ἢ ἀστειότητος ἔχῃ. Καὶ τὸ πρᾶγμα, τοῖς μὲν ἀγνοοῦσι λίαν φοβερὸν καὶ ἀνήμερον, τοῖς δὲ προειδόσι καὶ μάλα ἡδὺ καὶ φιλάνθρωπον· πλείων γάρ ἐστιν ἡ ἔνδειξις ἢ τὸ ἔργον τῶν ἀπειλουμένων. Ἔπειτα πομπεύει διὰ τῆς ἀγορᾶς ἐπὶ τὸ λουτρὸν προαγόμενος. Ἡ πομπὴ δὲ διατάξαντες ἑαυτοὺς στοιχηδὸν κατὰ συζυγίαν ἐκ διαστήματος, οἱ τελοῦντες τῷ νέῳ τὴν πρόοδον ἐπὶ τὸ λουτρὸν προπέμπουσιν. Ἐπειδὰν δὲ πλησιάσωσι, βοῇ τε πολλῇ καὶ ἐξάλμασι χρώμενοι καθάπερ ἐνθουσιῶντες· κελεύει δὲ ἡ βοὴ μὴ προβαίνειν, ἀλλ' ἵστασθαι, ὡς τοῦ λουτροῦ σφᾶς οὐ παραδεχομένου· καὶ ἅμα τῶν θυρῶν ἀρασσομένων, πατάγῳ τὸν νέον φοβήσαντες, εἶτα τὴν εἴσοδον συγχωρήσαντες, οὕτως ἤδη τὴν ἐλευθερίαν διδόασιν, ὁμότιμον ἐκ

τοῦ λουτροῦ καὶ ὡς αὐτῶν ἕνα δεχόμενοι· καὶ τοῦτό ἐστιν αὐτοῖς τῆς τελετῆς τὸ τερπνότατον, ἡ ταχίστη τῶν λυπούντων ἀπαλλαγὴ καὶ κατάλυσις.

Τότε τοίνυν ἐγὼ τὸν ἐμὸν καὶ μέγαν Βασίλειον, **94** οὐκ αὐτὸς δι' αἰδοῦς ἦγον μόνον, τό τε τοῦ ἤθους στάσιμον καθορῶν καὶ τὸ ἐν λόγοις καίριον, ἀλλὰ καὶ τοὺς ἄλλους ἔπειθον ὁμοίως ἔχειν, ὅσοι τῶν νέων ἀγνοοῦντες τὸν ἄνδρα ἐτύγχανον· τοῖς γὰρ πολλοῖς εὐθὺς αἰδέσιμος ἦν, ἀκοῇ προκατειλημμένος. Ἐξ οὗ τί γίνεται; Μόνος σχεδὸν τῶν ἐπιδημούντων, τὸν κοινὸν διέφυγε νόμον, κρείττονος ἢ κατὰ νέηλυν ἀξιωθεὶς τῆς τιμῆς.

ΙΖ'. Τοῦτο ἡμῖν τῆς φιλίας προοίμιον· ἐντεῦθεν ὁ τῆς συναφείας σπινθὴρ· οὕτως ἐπ' ἀλλήλοις ἐτρώθημεν. Ἔπειτα συνηνέχθη τι καὶ τοιοῦτον· οὐδὲ γὰρ τοῦτο παραλιπεῖν ἄξιον.

Οὐχ ἁπλοῦν γένος εὑρίσκω τοὺς Ἀρμενίους, ἀλλὰ καὶ λίαν κρυπτόν τι καὶ ὕφαλον. Τότε τοίνυν τῶν ἐκ πλείονος αὐτῷ συνήθων καὶ φίλων τινές, ἔτ' ἐκ τοῦ πατρὸς καὶ τῆς ἄνωθεν ἑταιρίας, [καὶ γὰρ ἐκείνης τῆς διατριβῆς ὄντες ἐτύγχανον] προσιόντες αὐτῷ μετὰ φιλικοῦ πλάσματος, [φθόνος δὲ ἦν, οὐκ εὔνοια τὸ προσάγον] ἐπηρώτων τε αὐτὸν φιλονείκως μᾶλλον ἢ λογικῶς καὶ ὑποκλίνειν ἑαυτοῖς ἐπειρῶντο διὰ τῆς πρώτης ἐπιχειρήσεως, τήν τε ἄνωθεν τοῦ ἀνδρὸς εὐφυΐαν εἰδότες καὶ τὴν τότε τιμὴν οὐ φέροντες· δεινὸν γὰρ εἶναι, εἰ προειληφότες τοὺς τρίβωνας καὶ λαρυγγίζειν προμελετήσαντες μὴ πλέον ἔχοιεν τοῦ ξένου τε καὶ νεήλυδος. Ἐγὼ δὲ ὁ φιλαθήναιος καὶ μάταιος, οὐ γὰρ ἠσθόμην τοῦ φθόνου, πιστεύων τῷ **96** πλάσματι, ἤδη κλινομένων αὐτῶν καὶ τὰ νῶτα μεταβαλλόντων καὶ γὰρ ἐζηλοτύπουν τὸ τῶν Ἀθηνῶν κλέος ἐν ἐκείνοις καταλυθῆναι καὶ τάχιστα περιφρονηθῆναι, ὑπήρειδόν τε τοὺς νεανίας ἐπανάγων τὸν λόγον· καὶ τὴν παρ' ἐμαυτοῦ ῥοπὴν χαριζόμενος, δύναται δὲ καὶ ἡ μικρὰ προσθήκη τὸ πᾶν ἐν τοιούτοις, ἴσας ὑσμίνῃ τὰς κεφαλάς, τὸ τοῦ λόγου, κατέστησα. Ὡς δὲ τὸ τῆς διαλέξεως ἔγνων ἀπόρρητον, οὐδὲ καθεκτὸν ἔτι ἐτύγχανον, ἀλλὰ σαφῶς ἤδη παρα**[520]**γυμνούμενον, ἐξαίφνης μεταβαλών, πρύμναν τε ἐκρουσάμην ἐκείνῳ θέμενος καὶ ἑτεραλκέα τὴν νίκην ἐποίησα. Ὁ δὲ ἥσθη τε αὐτίκα τῷ γενομένῳ· καὶ γὰρ ἦν ἀγχίνους, εἰ καί τις ἄλλος· καὶ προθυμίας πλησθείς, ἵνα τελέως αὐτὸν καθομηρίσω, ἔφεπε κλονέων τῷ λόγῳ τοὺς γεννάδας ἐκείνους καὶ παίων συλλογισμοῖς, οὐ πρὶν ἀνῆκεν ἢ τελέως τρέψασθαι καὶ τὸ κράτος καθαρῶς ἀναδήσασθαι. Οὗτος δεύτερος ἡμῖν τῆς φιλίας οὐκ ἔτι σπινθήρ, ἀλλ' ἤδη πυρσὸς ἀνάπτεται περιφανὴς καὶ ἀέριος.

ΙΗ'. Οἱ μὲν οὖν οὕτως ἀπῆλθον ἄπρακτοι, πολλὰ μὲν τῆς προπετείας ἑαυτοῖς καταμεμψάμενοι, πολλὰ δὲ τῆς ἐπιβουλῆς ἐμοὶ δυσχεράναντες, ὡς καὶ φανερὰν ἔχθραν ὁμολογῆσαι καὶ προδοσίαν ἐπικαλεῖν, οὐκ ἐκείνων μόνον, ἀλλὰ καὶ αὐτῶν Ἀθηνῶν, ὡς διὰ τῆς πρώτης πείρας ἐληλεγμένων καὶ ἡσχυμμένων ὑφ' ἑνὸς ἀνδρὸς καὶ

ταῦτα μηδὲ τοῦ θαρρεῖν καιρὸν ἔχοντος. Ὁ δέ, καὶ γὰρ **98** ἀνθρώπινον τὸ πάθος , ὅταν μεγάλα ἐλπίσαντες ἀθρόως τοῖς ἐλπισθεῖσιν ἐντύχωμεν, ἐλάττω τῆς δόξης ὁρᾶν τὰ φαινόμενα, τοῦτο καὶ αὐτὸς πάσχων ἐσκυθρώπαζεν, ἐδυσφόρει, τῆς ἐπιδημίας ἑαυτὸν ἐπαινεῖν οὐκ εἶχεν, ἐζήτει τὸ ἐλπισθέν, κενὴν μακαρίαν τὰς Ἀθήνας ὠνόμαζεν. Ὁ μὲν δὴ ταῦτα· ἐγὼ δὲ τῆς λύπης ἀφῄρουν τὸ πλεῖστον καὶ λογικῶς συγγινόμενος καὶ κατεπάδων τοῖς λογισμοῖς καί, ὅπερ ἦν ἀληθές, οὔτε ἦθος ἀνδρὸς εὐθὺς ἁλωτὸν εἶναι λέγων, ὅτι μὴ χρόνῳ πολλῷ καὶ συνουσίᾳ τελεωτέρᾳ, οὔτε παίδευσιν τοῖς πειρωμένοις ἐξ ὀλίγων τε καὶ ἐν ὀλίγῳ γνωρίζεσθαι. Ὅθεν ἐπανῆγον αὐτὸν εἰς τὸ εὔθυμον καὶ πεῖραν διδοὺς καὶ λαμβάνων πλέον ἐμαυτῷ συνέδησα.

ΙΘ′. Ὡς δὲ προϊόντος τοῦ χρόνου τὸν πόθον ἀλλήλοις καθωμολογήσαμεν καὶ φιλοσοφίαν εἶναι τὸ σπουδαζόμενον, τηνικαῦτα ἤδη τὰ πάντα ἦμεν ἀλλήλοις, ὁμόστεγοι, ὁμοδίαιτοι, συμφυεῖς, τὸ ἓν βλέποντες, ἀεὶ τὸν πόθον ἀλλήλοις συναύξοντες θερμότερόν τε καὶ βεβαιότερον. Οἱ μὲν γὰρ τῶν σωμάτων ἔρωτες, ἐπειδὴ ῥεόντων εἰσὶ καὶ **[521]** ῥέουσιν ἴσα καὶ ἠρινοῖς ἄνθεσιν· οὔτε γὰρ φλὸξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλὰ τῷ ἀνάπτοντι συναπέρχεται, οὔτε πόθος ὑφίσταται, μαραινομένου τοῦ ὑπεκκαύματος. Οἱ δὲ κατὰ Θεόν τε καὶ σώφρονες, ἐπειδὴ πράγματος ἑστῶτός εἰσι, διὰ τοῦτο καὶ μονιμώτεροι καὶ ὅσῳ πλέον αὐτοῖς τὸ κάλλος φαντάζεται, τοσούτῳ μᾶλλον ἑαυτῷ τε καὶ ἀλλήλοις **100** συνδεῖ τοὺς τῶν αὐτῶν ἐραστάς. Οὗτος τοῦ ὑπὲρ ἡμᾶς ἔρωτος νόμος.

Αἰσθάνομαι μὲν οὖν ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος καὶ οὐκ οἶδ' ὅπως εἰς τούτους ἐμπίπτω τοὺς λόγους, οὐκ ἔχω δ' ὅπως ἐμαυτὸν ἐπίσχω τοῦ διηγήματος· ἀεὶ γάρ μοι τὸ παρεθὲν ἀναγκαῖον φαίνεται καὶ κρεῖττον τοῦ προληφθέντος· κἂν μέ τις ἀπάγῃ τοῦ πρόσω τυραννικῶς, τὸ τῶν πολυπόδων πείσομαι, ὧν τῆς θαλάμης ἐξελκομένων προσέξονται ταῖς κοτύλαις αἱ πέτραι καὶ οὐ πρὶν ἀφεθήσονται ἢ παρ' ἀλλήλων τι προσλαβεῖν ἐκ τῆς βίας. Εἰ μὲν οὖν συγχωρήσοι τις, ἔχω τὸ ζητούμενον· εἰ δὲ μή, παρ' ἐμαυτοῦ λήψομαι.

Κ′. Οὕτω δὴ τὰ πρὸς ἀλλήλους ἔχοντες καὶ τοιαύτας ὑποστήσαντες εὐτειχεῖ θαλάμῳ χρυσέας κίονας, ὅ φησι Πίνδαρος, οὕτως ἤειμεν εἰς τὸ πρόσω, Θεῷ καὶ πόθῳ συνεργοῖς χρώμενοι. Ὦ! πῶς ἀδακρυτὶ τὴν τούτων ἐνέγκω μνήμην! Ἴσαι μὲν ἐλπίδες ἦγον ἡμᾶς πράγματος ἐπιφθονωτάτου, τῶν λόγων· φθόνος δὲ ἀπῆν, ζῆλος δ' ἐσπουδάζετο. Ἀγὼν δὲ ἀμφοτέροις, οὐχ ὅστις αὐτὸς τὸ πρωτεῖον ἔχοι, ἀλλ' ὅπως τῷ ἑτέρῳ τούτου παραχωρήσειεν· τὸ γὰρ ἀλλήλων εὐδόκιμον, ἴδιον ἐποιούμεθα. Μία μὲν ἀμφοτέροις ἐδόκει ψυχὴ δύο σώματα φέρουσα· καὶ εἰ τό, πάντα ἐν πᾶσι κεῖσθαι, μὴ πειστέον τοῖς λέγουσιν, ἀλλ' ἡμῖν γε πειστέον, ὡς ἐν ἀλλήλοις καὶ παρ' ἀλλήλοις ἐκείμεθα. **102** Ἓν δ' ἀμφοτέροις ἔργον ἡ ἀρετὴ καὶ τὸ ζῆν πρὸς τὰς μελλούσας ἐλπίδας, πρὶν ἐνθένδε ἀπελθεῖν ἐνθένδε μεθισταμένοις·

πρὸς ὃ βλέποντες καὶ βίον καὶ πρᾶξιν ἅπασαν ἀπηυθύνομεν, παρά τε τῆς ἐντολῆς οὕτως ἀγόμενοι καὶ ἀλλήλοις τὴν ἀρετὴν παραθήγοντες καί, εἰ μὴ μέγα ἐμοὶ τοῦτο εἰπεῖν, κανόνες ὄντες ἀλλήλοις καὶ στάθμαι, οἷς τὸ εὐθὲς καὶ μὴ διακρίνεται. Ἑταίρων τε γὰρ ὡμιλοῦμεν, οὐ τοῖς ἀσελγεστάτοις, ἀλλὰ τοῖς σωφρονεστάτοις, οὐδὲ τοῖς μαχιμωτάτοις ἀλλὰ τοῖς εἰρηνικωτάτοις καὶ οἷς συνεῖναι λυσιτελέστατον· εἰδότες, ὅτι κακίας ῥᾷον μετα[524]λαβεῖν ἢ ἀρετῆς μεταδοῦναι, ἐπεὶ καὶ νόσου μετασχεῖν μᾶλλον ἢ ὑγιείαν χαρίσασθαι. Μαθημάτων δὲ οὐ τοῖς ἡδίστοις πλέον ἢ τοῖς καλλίστοις ἐχαίρομεν· ἐπειδὴ κἀντεῦθέν ἐστιν ἢ πρὸς ἀρετὴν τυποῦσθαι τοὺς νέους ἢ πρὸς κακίαν.

ΚΑ'. Δύο μὲν ἐγνωρίζοντο ἡμῖν ὁδοί· ἡ μὲν πρώτη καὶ τιμιωτέρα, ἡ δὲ δευτέρα καὶ οὐ τοῦ ἴσου λόγου· ἥ τε πρὸς τοὺς ἱεροὺς ἡμῶν οἴκους καὶ τοὺς ἐκεῖσε διδασκάλους φέρουσα, καὶ ἡ πρὸς τοὺς ἔξωθεν παιδευτάς. Τὰς ἄλλας δὲ τοῖς βουλομένοις παρήκαμεν ἑορτάς, θέατρα, πανηγύρεις, συμπόσια. Οὐδὲν γὰρ οἶμαι τίμιον, ὃ μὴ πρὸς ἀρετὴν φέρει, μηδὲ ποιεῖ βελτίους τοὺς περὶ αὐτὸ σπουδάζοντας. Ἄλλοις μὲν οὖν ἄλλαι προσηγορίαι τινές εἰσιν, ἢ πατρόθεν ἢ οἴκοθεν, ἐκ τῶν ἰδίων ἐπιτηδευμάτων ἢ πράξεων· ἡμῖν δὲ τὸ μέγα πρᾶγμα καὶ ὄνομα, Χριστιανοὺς καὶ εἶναι καὶ ὀνομάζεσθαι· ᾧ πλέον ἐφρονοῦμεν ἢ τῇ στροφῇ τῆς σφενδόνης ὁ Γύγης, εἴπερ μὴ μῦθος ἦν, ἐξ ἧς **104** Λυδῶν ἐτυράννησεν· ἢ τῷ χρυσῷ ποτε Μίδας, δι' ὃν ἀπώλετο, ἐπιτυχὼν τῆς εὐχῆς καὶ πάντα χρυσὸν κτησάμενος, ἄλλος οὗτος Φρύγιος μῦθος. Τὸν γὰρ Ἀβάριδος ὀϊστὸν τί ἂν λέγοιμι τοῦ Ὑπερβορέου ἢ τὸν Ἀργεῖον Πήγασον, οἷς οὐ τοσοῦτον ἦν τὸ δι' ἀέρος φέρεσθαι ὅσον ἡμῖν τὸ πρὸς Θεὸν αἴρεσθαι δι' ἀλλήλων καὶ σὺν ἀλλήλοις.

Εἴπω τι συντομώτερον· βλαβεραὶ μὲν τοῖς ἄλλοις Ἀθῆναι τὰ εἰς ψυχήν· οὐ γὰρ φαύλως τοῦτο ὑπολαμβάνεται τοῖς εὐσεβεστέροις· καὶ γὰρ πλουτοῦσι τὸν κακὸν πλοῦτον εἴδωλα, μᾶλλον τῆς ἄλλης Ἑλλάδος καὶ χαλεπὸν μὴ συναρπασθῆναι τοῖς τούτων ἐπαινέταις καὶ συνηγόροις· ἡμῖν δ' οὐδεμία παρὰ τούτων ζημία τὴν διάνοιαν πεπυκνωμένοις καὶ πεφραγμένοις. Τοὐναντίον μὲν οὖν, εἴ τι χρὴ καὶ παράδοξον εἰπεῖν, εἰς τὴν πίστιν ἐντεῦθεν ἐβεβαιώθημεν, καταμαθόντες αὐτῶν τὸ ἀπατηλὸν καὶ κίβδηλον, ἐνταῦθα δαιμόνων καταφρονήσαντες, οὗ θαυμάζονται δαίμονες. Καὶ εἴ τις ἔστιν ἢ πιστεύεται ποταμός, δι' ἅλμης ῥέων γλυκύς, ἢ ζῷον ἐν πυρὶ σκαῖρον, ᾧ τὰ πάντα ἁλίσκεται, τοῦτο ἦμεν ἡμεῖς ἐν πᾶσι τοῖς ἥλιξι.

[525] ΚΒ'. Καὶ τὸ κάλλιστον, ὅτι καὶ φρατρία τις περὶ ἡμᾶς οὐκ ἀγεννὴς ἦν, ὑπ' ἐκείνῳ καθηγεμόνι παιδευομένη καὶ ἀγομένη καὶ τοῖς αὐτοῖς χαίρουσα· εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν, τὸν ἐκείνου δρόμον καὶ τρόπον· ἐξ ὧν ὑπῆρχεν ἡμῖν ἐπισήμοις μὲν εἶναι παρὰ τοῖς ἡμετέ**106**ροις παιδευταῖς καὶ συμπράκτορσιν, ἐπισήμοις δὲ παρὰ τῇ Ἑλλάδι πάσῃ καὶ ταύτης μάλιστα τοῖς γνωριμωτάτοις. Ἤδη δὲ καὶ μέχρι τῆς ὑπερορίας προήλθομεν, ὡς σαφὲς γέ-

γονεν ἐκ πλειόνων τῶν ταῦτα διηγουμένων. Παρὰ τοσούτοις μὲν γὰρ οἱ ἡμέτεροι παιδευταί, παρ᾽ ὅσοις Ἀθῆναι· παρὰ τοσούτοις δὲ ἡμεῖς, παρ᾽ ὅσοις οἱ παιδευταί, συνακουόμενοί τε ἀλλήλοις καὶ συλλαλούμενοι καὶ ξυνωρὶς οὐκ ἀνώνυμος καὶ ὄντες παρ᾽ αὐτοῖς καὶ ἀκούοντες. Οὐδὲν τοιοῦτον αὐτοῖς οἱ Ὀρέσται καὶ οἱ Πυλάδαι· οὐδὲν οἱ Μολιονίδαι, τῆς Ὁμηρικῆς δέλτου τὸ θαῦμα, οὓς κοινωνία συμφορῶν ἐγνώρισε καὶ τὸ καλῶς ἅρμα ἐλαύνειν μεριζομένους ἐν ταὐτῷ ἡνίας καὶ μάστιγας.

Ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν εἰς τοὺς ἐμοὺς ὑπαχθεὶς ἐπαίνους, ὁ μηδὲ παρ᾽ ἑτέρου ποτὲ τοῦτο δεξάμενος· καὶ θαυμαστὸν οὐδέν, εἰ κἀνταῦθα τῆς ἐκείνου φιλίας τι παραπέλαυσα, ὥσπερ ζῶντος εἰς ἀρετήν, οὕτω μεταστάντος εἰς εὐφημίαν. Ἀλλ᾽ ἐπὶ τὴν νύσσαν ἐπαναγέσθω πάλιν ἡμῖν ὁ λόγος.

ΚΓ′. Τίς μὲν οὕτω πολιὸς ἦν τὴν σύνεσιν καὶ πρὸ τῆς πολιᾶς; Ἐπειδὴ τούτῳ καὶ Σολομῶν τὸ γῆρας ὁρίζεται[1]. Τίς δὲ οὕτως αἰδέσιμος ἢ παλαιοῖς ἢ νέοις, μὴ ὅτι τῶν κατὰ τὸν αὐτὸν ἡμῖν χρόνον, ἀλλὰ καὶ τῶν πλεῖστον προειληφότων; Τίς μὲν ἧττον ἐδεῖτο λόγων διὰ τὸν τρόπον; Τίς δὲ μᾶλλον μετέσχε λόγου καὶ μετὰ τοῦ τρόπου; Ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; Μᾶλλον δέ, ποῖον οὐ μεθ᾽ ὑπερβολῆς ὡς μόνον; Οὕτω μὲν ἅπαντα **108** διελθών, ὡς οὐδεὶς ἕν· οὕτω δὲ εἰς ἄκρον ἕκαστον, ὡς τῶν ἄλλων οὐδέν· σπουδὴ γὰρ εὐφυΐᾳ συνέδραμεν, ἐξ ὧν ἐπιστῆμαι καὶ τέχναι τὸ κράτος ἔχουσιν. Ἥκιστα μὲν τάχους φύσεως διὰ τόνον δεόμενος, ἥκιστα δὲ τόνου διὰ τάχος· οὕτω δ᾽ **[528]** ἀμφότερα συλλαβὼν καὶ εἰς ἓν ἀγαγών, ὥστε ἄδηλον εἶναι ποτέρῳ τούτων ἐκεῖνος θαυμασιώτερος.

Τίς μὲν ῥητορικὴν τοσοῦτος, τὴν πυρὸς μένος πνέουσαν, εἰ καὶ τὸ ἦθος αὐτῷ μὴ κατὰ ῥήτορας ἦν; Τίς δὲ γραμματικήν, ἣ γλῶσσαν ἐξελληνίζει καὶ ἱστορίαν συνάγει καὶ μέτροις ἐπιστατεῖ καὶ νομοθετεῖ ποιήμασιν; Τίς δὲ φιλοσοφίαν, τὴν ὄντως ὑψηλήν τε καὶ ἄνω βαίνουσαν, ὅση τε πρακτικὴ καὶ θεωρητική, ὅση τε περὶ τὰς λογικὰς ἀποδείξεις καὶ ἀντιθέσεις ἔχει καὶ τὰ παλαίσματα, ἣν δὴ διαλεκτικὴν ὀνομάζουσιν· ὡς ῥᾷον εἶναι τοὺς λαβυρίνθους διεξελθεῖν ἢ τὰς ἐκείνου τῶν λόγων ἄρκυς διαφυγεῖν, εἰ τούτου δεήσειεν; Ἀστρονομίας δὲ καὶ γεωμετρίας καὶ ἀριθμῶν ἀναλογίας τοσοῦτον λαβών, ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς, τὸ περιττὸν διέπτυσεν ὡς ἄχρηστον τοῖς εὐσεβεῖν ἐθέλουσιν· ὥστε μᾶλλον μὲν τὸ αἱρεθὲν τοῦ παρεθέντος ἐξεῖναι θαυμάζειν, μᾶλλον δὲ τοῦ αἱρεθέντος τὸ παρεθέν. Ἰατρικὴν μὲν γὰρ καὶ ἡ τοῦ σώματος ἀρρωστία καὶ νοσοκομία, φιλοσοφίας καὶ φιλοπονίας οὖσαν καρπόν, ἀναγκαίαν αὐτῷ πεποιήκασιν· ὅθεν ἁρξάμενος, εἰς ἕξιν τῆς τέχνης ἀφίκετο· καὶ ταύτης, οὐχ ὅση περὶ τὸ **110** φαινόμενον ἔχει καὶ κάτω κείμενον, ἀλλ᾽ ὅσον δογματικὸν καὶ

---

1. Πρβλ. Σ. Σολ. 4,8-9.

φιλόσοφον. Ἀλλὰ τί ταῦτα, καίπερ τηλικαῦτα τυγχάνοντα, πρὸς τὴν ἐν τῷ ἤθει τοῦ ἀνδρὸς παίδευσιν; Λῆρος τοῖς τοῦ ἀνδρὸς πεπειραμένοις ὁ Μίνως ἐκεῖνος καὶ ὁ Ῥαδάμανθυς, οὓς ἀσφοδελῶν λειμώνων καὶ Ἠλυσίων πεδίων ἠξίωσαν Ἕλληνες, ἐν φαντασίᾳ τοῦ καθ' ἡμᾶς Παραδείσου γενόμενοι, ἐκ τῶν Μωσαϊκῶν οἶμαι βιβλίων καὶ ἡμετέρων, εἰ καὶ περὶ τὴν κλῆσίν τι διηνέχθησαν, ἐν ἄλλοις ὀνόμασι τοῦτο παραδηλώσαντες.

ΚΔ'. Εἶχε μὲν οὖν οὕτω ταῦτα καὶ πλήρης παιδεύσεως ἡ φορτίς, ὡς γοῦν ἐφικτὸν ἀνθρωπίνῃ φύσει· τὸ γὰρ ἐπέκεινα Γαδείρων οὐ περατόν· ἔδει δὲ λοιπὸν ἐπανόδου καὶ βίου τελεωτέρου καὶ τοῦ λαβέσθαι τῶν ἐλπιζομένων ἡμῖν καὶ συγκειμένων. Παρῆν ἡ τῆς ἐκδημίας ἡμέρα καὶ ὅσα τῆς **[529]** ἐκδημίας· ἐξιτήριοι λόγοι, προπόμπιοι, ἀνακλήσεις, οἰμωγαί, περιπλοκαί, δάκρυα. Οὐδὲν γὰρ οὕτως οὐδενὶ λυπηρόν, ὡς τοῖς ἐκεῖσε συννόμοις Ἀθηνῶν καὶ ἀλλήλων τέμνεσθαι. Γίνεται δὴ τότε θέαμά τι ἐλεεινὸν καὶ ἱστορίας ἄξιον. Περιστάντες ἡμᾶς ὁ τῶν ἑταίρων καὶ ἡλίκων χορός, ἔστι δὲ ὧν καὶ διδασκάλων, οὐδ' ἄν εἴ τι γένοιτο μεθήσειν ἔφασκον, ἀντιβολοῦντες, βιαζόμενοι, πείθοντες· τί γὰρ οὐ λέγοντες; τί δ' οὐ πράττοντες, ὧν τοὺς ἀλγοῦντας εἰκός;

Ἐνταῦθά τι κατηγορήσω μὲν ἐμαυτοῦ, κατηγορήσω **112** δὲ τῆς θείας ἐκείνης καὶ ἀλήπτου ψυχῆς, εἰ καὶ τολμηρόν. Ὁ μὲν γάρ, τὰς αἰτίας εἰπὼν τῆς περὶ τὴν ἐπάνοδον φιλονεικίας, κρειττων ὤφθη τῶν κατεχόντων· καὶ βίᾳ μέν, συνεχωρήθη δ' οὖν ὅμως τὴν ἐκδημίαν· ἐγὼ δὲ ὑπελείφθην Ἀθήνησι· τὸ μέν τι μαλακισθείς, εἰρήσεται γὰρ τἀληθές, τὸ δέ τι προδοθεὶς παρ' ἐκείνου, πεισθέντος ἀφεῖναι μὴ ἀφιέντα καὶ παραχωρῆσαι τοῖς ἕλκουσι. Πρᾶγμα, πρὶν γενέσθαι, μὴ πιστευόμενον· γίνεται γὰρ ὥσπερ ἑνὸς σώματος εἰς δύο τομὴ καὶ ἀμφοτέρων νέκρωσις ἢ μόσχων συντρόφων καὶ ὁμοζύγων διάζευξις, γοερὸν μυκωμένων ἐπ' ἀλλήλοις καὶ οὐ φερόντων τὴν ἀλλοτρίωσιν. Οὐ μὴν μακρότερόν μοι τὸ τῆς ζημίας· οὐ γὰρ ἠνειχόμην ἐπὶ πλέον ἐλεεινὸς ὁρᾶσθαι καὶ πᾶσι λόγον ὑπέχειν τῆς διαστάσεως· ἀλλ' ἐπιμείναντά με ταῖς Ἀθήναις χρόνον οὐχὶ συχνόν, ποιεῖ τὸν Ὁμηρικόν ἵππον ὁ πόθος· καὶ τὰ δεσμὰ ῥήξας τῶν κατεχόντων κροαίνω κατὰ πεδίων καὶ πρὸς τὸν σύννομον ἐφερόμην.

ΚΕ'. Ὡς δ' οὖν ἐπανήκαμεν, μικρὰ τῷ κόσμῳ καὶ τῇ σκηνῇ χαρισάμενοι καὶ ὅσον τὸν τῶν πολλῶν πόθον ἀφοσιώσασθαι· οὐ γὰρ αὐτοί γε εἴχομεν θεατρικῶς οὐδ' ἐπιδεικτικῶς· τάχιστα ἐγενόμεθα ἡμῶν αὐτῶν καὶ τελοῦμεν εἰς ἄνδρας ἐξ ἀγενείων, ἀνδρικώτερον τῇ φιλοσοφίᾳ προσβαίνοντες· οὐ σὺν ἀλλήλοις μὲν ἔτι, οὐ γὰρ ἀφῆκεν ὁ φθόνος, τῷ πόθῳ δὲ σὺν ἀλλήλοις. Τὸν μὲν γὰρ ἡ Καισαρέων **114** κατέχει πόλις, ὡς τινα δεύτερον οἰκιστήν τε καὶ πολιοῦχον· ἔπειτα ἐκδημίαι τινές, ἐπειδή γε ἡμᾶς οὐκ εἶχε, τῶν ἀναγκαίων ὑπολαμβάνουσι καὶ οὐκ ἀπὸ σκοποῦ τῆς προκειμένης φιλοσοφίας. Ἐμὲ δὲ πατέρων

εὐλάβεια καὶ γηροκομία καὶ συμφορῶν ἐπανάστασις κατασχοῦσα τοῦ ἀνδρὸς ἀπήγαγεν· **[532]** οὐ καλῶς μὲν ἴσως οὐδὲ δικαίως, ἀπήγαγε δ' οὖν. Σκοπῶ δέ, εἰ μὴ κἀντεῦθέν μοι πᾶσα ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ δυσκολία συνέπεσε καὶ τὸ πρὸς τὴν φιλοσοφίαν οὐκ εὔοδον οὐδὲ τῆς ἐπιθυμίας καὶ τῆς ὑποθέσεως ἄξιον. Τὰ μὲν οὖν ἡμέτερα, ὅπη τῷ Θεῷ φίλον, ἀγέσθω· ἄγοιτο δὲ ταῖς ἐκείνου πρεσβείαις ἄμεινον. Τὸν δέ, ἡ πολύτροπος τοῦ Θεοῦ φιλανθρωπία καὶ περὶ τὸ ἡμέτερον γένος οἰκονομία, διὰ πολλῶν τῶν ἐν μέσῳ γνωρίσασα καὶ ἀεὶ λαμπρότερον ἀποδείξασα, λαμπτῆρα τῆς Ἐκκλησίας προτίθησι περιφανῆ τε καὶ περιβόητον, τοῖς ἱεροῖς τοῦ πρεσβυτερίου θρόνοις τέως ἐγκαταλέξασα καὶ διὰ μιᾶς τῆς Καισαρέων πόλεως τῇ οἰκουμένῃ πάσῃ πυρσεύουσα. Καὶ τίνα τρόπον; Οὐ σχεδιάσασα τὸν βαθμὸν οὐδὲ ὁμοῦ τε πλύνασα καὶ σοφίσασα, κατὰ τοὺς πολλοὺς τῶν νῦν τῆς προστασίας ἐφιεμένων· ἀλλὰ τάξει καὶ νόμῳ πνευματικῆς ἀναβάσεως τῆς τιμῆς ἀξιώσασα.

ΚΣ'. Οὐκ ἐπαινῶ γὰρ ἐγὼ τὴν παρ' ἡμῖν ἀταξίαν καὶ ἀκοσμίαν, ἔστιν ὅτε καὶ ἐφ' ὧν προεδρευόντων ἐν βήμα**116**σιν· οὐ γὰρ ἁπάντων τολμήσω κατηγορεῖν, οὐδὲ δίκαιον. Ἐπαινῶ τὸν νηίτην νόμον, ὃς τὴν κώπην πρότερον ἐγχειρίσας τῷ νῦν κυβερνήτῃ κἀκεῖθεν ἐπὶ τὴν πρῴραν ἀγαγὼν καὶ πιστεύσας τὰ ἔμπροσθεν, οὕτως ἐπὶ τῶν οἰάκων καθίζει, μετὰ τὴν πολλὴν τυφθεῖσαν θάλασσαν καὶ τὴν τῶν ἀνέμων διάσκεψιν· ὡς δὲ κἀν τοῖς πολεμικοῖς ἔχει· στρατιώτης, ταξίαρχος, στρατηγός. Αὕτη ἡ τάξις ἀρίστη καὶ λυσιτελεστάτη τοῖς ἀρχομένοις. Τὸ δ' ἡμέτερον πολλοῦ ἂν ἦν ἄξιον, εἰ οὕτως εἶχε. Νῦν δὲ κινδυνεύει τὸ πάντων ἁγιώτατον τάγμα τῶν παρ' ἡμῖν πάντων εἶναι καταγελαστότατον. Οὐ γὰρ ἐξ ἀρετῆς μᾶλλον ἢ κακουργίας ἡ προεδρία, οὐδὲ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν δυνατωτέρων οἱ θρόνοι.

Σαμουὴλ ἐν προφήταις, ὁ τὰ ἔμπροσθεν βλέπων· ἀλλὰ καὶ Σαούλ, ὁ ἀπόβλητος. Ῥοβοὰμ ἐν βασιλεῦσι, ὁ Σολομῶντος· ἀλλὰ καὶ Ἱεροβοάμ, ὁ δοῦλος καὶ ἀποστάτης. Καὶ ἰατρὸς μὲν οὐδεὶς οὐδὲ ζωγράφος, ὅστις οὐ φύσεις ἀρρωστημάτων ἐσκέψατο πρότερον, ἢ πολλὰ χρώματα συνεκέρασεν ἢ ἐμόρφωσεν· ὁ δὲ πρόεδρος εὑρίσκεται ῥᾳδίως μὴ πονηθεὶς καὶ πρόσφατος τὴν ἀξίαν, ὁμοῦ τε σπαρεὶς καὶ ἀναδοθείς, ὡς ὁ μῦθος ποιεῖ τοὺς Γίγαντας. Πλάττομεν αὐθημερὸν τοὺς ἁγίους καὶ σοφοὺς εἶναι κελεύομεν, τοὺς **[533]** οὐδὲν σοφισθέντας, οὐδὲ τοῦ βαθμοῦ προεισενεγκόντάς τι, πλὴν τοῦ βούλεσθαι. Καὶ ὁ μὲν στέργει τὴν κάτω χώραν καὶ ταπεινῶς ἕστηκεν, ὁ τῆς ὑψηλῆς ἄξιος καὶ πολλὰ μὲν τοῖς θείοις λόγοις ἐμμελετήσας, πολλὰ δὲ τῇ σαρκὶ νομοθετήσας εἰς ὑποταγὴν πνεύματος· ὁ δὲ σοβαρῶς **118** προκαθέζεται καὶ τὴν ὀφρὺν αἴρει κατὰ τῶν βελτιόνων καὶ οὐκ ἐπιτρέμει τοῖς θρόνοις, οὐδὲ φρίσσει τὴν ὄψιν τὸν ἐγκρατῇ κάτω βλέπων· ἀλλ' ὁμοῦ τῷ κράτει, καὶ σοφώτερον ἑαυτὸν ὑπολαμβάνει, κακῶς εἰδὼς καὶ τὸ φρονεῖν ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένος.

ΚΖ'. Ἀλλ' οὐχ ὁ πολὺς οὕτω καὶ μέγας Βασίλειος· ἀλλ' ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω καὶ τοῦ περὶ ταῦτα κόσμου τοῖς πολλοῖς τύπος καθίσταται. Τὰς γὰρ ἱερὰς πρότερον ὑπαναγινώσκων τῷ λαῷ βίβλους, ὁ τούτων ἐξηγητής, καὶ ταύτην οὐκ ἀπαξιώσας τὴν τάξιν τοῦ βήματος, οὕτως ἐν καθέδρᾳ πρεσβυτέρων, οὕτως ἐν ἐπισκόπων αἰνεῖ τὸν Κύριον, οὐ κλέψας τὴν ἐξουσίαν οὐδ' ἁρπάσας, οὐδὲ διώξας τὴν τιμήν, ἀλλ' ὑπὸ τῆς τιμῆς διωχθείς, οὐδ' ἀνθρωπίνην χάριν, ἀλλ' ἐκ Θεοῦ καὶ θείαν δεξάμενος.

Ὁ μὲν οὖν τῆς προεδρίας λόγος ἀναμεινάτω· τῷ δὲ τῆς ὑφεδρίας μικρόν τι προσδιατρίψωμεν. Οἷον γάρ με καὶ τοῦτο μικροῦ παρέδραμεν, ἐν μέσῳ τῶν εἰρημένων κείμενον!

ΚΗ'. Ἐγένετό τις πρὸς τὸν ἄνδρα διαφορὰ τῷ πρὸ τούτου καθηγεμόνι τῆς Ἐκκλησίας· τὸ μὲν ὅθεν καὶ ὅπως σιωπᾶν ἄμεινον, πλὴν ἐγένετο· ἀνδρὶ τἄλλα μὲν οὐκ ἀγεννεῖ καὶ θαυμαστῷ τὴν εὐσέβειαν, ὡς ἔδειξεν ὁ τότε διωγμὸς καὶ ἡ πρὸς αὐτὸν ἔνστασις, ὅμως δέ τι παθόντι πρὸς ἐκεῖνον ἀνθρώπινον· ἅπτεται γὰρ οὐ τῶν **120** πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ Μῶμος, ὡς μόνον ἂν εἶναι τοῦ Θεοῦ τὸ παντελῶς ἄπταιστον καὶ ἀνάλωτον πάθεσι.

Κινεῖται οὖν ἐπ' αὐτὸν τῆς Ἐκκλησίας ὅσον ἔκκριτον καὶ σοφώτερον, εἴπερ σοφώτεροι τῶν πολλῶν, οἱ κόσμου χωρίσαντες ἑαυτοὺς καὶ τῷ Θεῷ τὸν βίον καθιερώσαντες· λέγω δὲ τοὺς καθ' ἡμᾶς Ναζιραίους καὶ περὶ τὰ τοιαῦτα μάλιστα ἐσπουδακότας· οἳ δεινὸν ποιησάμενοι τὸ σφῶν κράτος παριδεῖν περιυβρισμένον καὶ ἀπωσμένον, **[536]** πρᾶγμα τολμῶσιν ἐπικινδυνότατον· ἀπόστασιν ἐννοοῦσι καὶ ῥῆξιν τοῦ μεγάλου καὶ ἀστασιάστου τῆς Ἐκκλησίας σώματος, οὐκ ὀλίγην καὶ τοῦ λαοῦ μοῖραν παρατεμόμενοι, ὅση τε τῶν κάτω καὶ ὅση τῶν ἐπ' ἀξίας. Ῥᾷστον δὲ τοῦτο ἦν ἐκ τριῶν τῶν ἰσχυροτάτων. Ὅ τε γὰρ ἀνὴρ αἰδέσιμος, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν καθ' ἡμᾶς φιλοσόφων καὶ ἱκανὸς θάρσος παρασχεῖν, εἴπερ ἐβούλετο, τῷ συστήματι· τόν τε λυποῦντα δι' ὑποψίας εἶχεν ἡ πόλις ἐκ τῆς περὶ τὴν κατάστασιν ταραχῆς, ὡς οὐκ ἔννομον οὐδὲ κανονικῶς μᾶλλον ἢ τυραννικῶς τὴν προστασίαν δεξάμενον· καὶ παρῆσαν τῶν δυτικῶν ἀρχιερέων τινές, μεθέλκοντες πρὸς ἑαυτοὺς τῆς Ἐκκλησίας ὅσον ὀρθόδοξον.

ΚΘ'. Τί οὖν ὁ γεννάδας ἐκεῖνος καὶ τοῦ εἰρηνικοῦ μαθητής; Οὔτε γὰρ ἀντιτείνειν εἶχε πρὸς τοὺς ὑβριστὰς ἢ τοὺς σπουδαστάς, οὔτε πρὸς αὐτοῦ τὸ μάχεσθαι ἢ διαβ122σπᾶν τὸ σῶμα τῆς Ἐκκλησίας καὶ ἄλλως πολεμουμένης καὶ σφαλερῶς διακειμένης ὑπὸ τῆς τότε τῶν αἱρετικῶν δυναστείας. Καὶ ἅμα συμβούλοις ἡμῖν περὶ τούτου χρησάμενος καὶ παραινέταις γνησίοις, φυγὰς ἐνθένδε σὺν ἡμῖν πρὸς τὸν Πόντον μεταχωρεῖ καὶ τοῖς ἐκεῖσε φροντιστηρίοις ἐπιστατεῖ· αὐτοῖς τε καθιστᾷ τι μνήμης ἄξιον καὶ τὴν ἔρημον ἀσπάζεται μετὰ Ἡλιοὺ καὶ Ἰωάννου, τῶν πάνυ φιλοσόφων, τοῦτο λυσιτελεῖν αὐτῷ μᾶλλον ἡγούμενος ἤ τι διανοηθῆναι περὶ τῶν παρόντων τῆς

ἑαυτοῦ φιλοσοφίας ἀνάξιον καὶ διαφθείρειν ἐν ζάλῃ τὴν ἐν γαλήνῃ τῶν λογισμῶν κυβέρνησιν. Καίπερ δὲ οὕτω φιλοσόφου καὶ θαυμασίας οὔσης τῆς ἀναχωρήσεως, κρείττω καὶ θαυμασιωτέραν εὑρήσομεν τὴν ἐπάνοδον· ἔσχε γὰρ οὕτως.

Λ′. Ἐν τούτοις ὄντων ἡμῶν, ἐξαίφνης ἐφίσταται νέφος χαλάζης πλῆρες καὶ τετριγὸς ὀλέθριον, πᾶσαν ἐκτρίψαν Ἐκκλησίαν, καθ' ἧς ἐρράγη καὶ ὅσην ἐπέλαβε· βασιλεὺς ὁ φιλοχρυσότατος καὶ μισοχριστότατος, καὶ δύο τὰ μέγιστα ταῦτα νοσῶν, **[537]** ἀπληστίαν καὶ βλασφημίαν· ὁ μετὰ τὸν διώκτην διώκτης καὶ μετὰ τὸν ἀποστάτην οὐκ ἀποστάτης μέν, οὐδὲν δὲ ἀμείνων Χριστιανοῖς, μᾶλλον δὲ Χριστιανῶν τῷ εὐσεβεστάτῳ μέρει καὶ καθαρωτάτῳ καὶ προσκυνητῇ τῆς Τριάδος, ἣν δὴ μόνην εὐσέβειαν ἐγὼ καλῶ καὶ δόξαν σωτήριον. Οὐ γὰρ θεότητα ταλαντεύομεν, οὐδὲ τὴν μίαν καὶ ἀπρόσιτον φύσιν ἀποξενοῦμεν ἑαυτῆς ἐκφύλοις ἀλλοτριότησιν, οὐδὲ κακῷ τὸ κακὸν ἰώμεθα, τὴν **124** ἄθεον Σαβελλίου συναίρεσιν ἀσεβεστέρᾳ διαιρέσει καὶ κατατομῇ λύοντες· ἣν Ἄρειος νοσήσας, ὁ τῆς μανίας ἐπώνυμος, τὸ πολὺ τῆς Ἐκκλησίας διέσεισε καὶ διέφθειρεν, οὔτε τὸν Πατέρα τιμήσας καὶ ἀτιμάσας τὰ ἐξ αὐτοῦ διὰ τῶν ἀνίσων βαθμῶν τῆς θεότητος. Ἀλλὰ μίαν μὲν δόξαν Πατρὸς γινώσκομεν, τὴν ὁμοτιμίαν τοῦ Μονογενοῦς· μίαν δὲ Υἱοῦ, τὴν τοῦ Πνεύματος. Καὶ ὅ τι ἂν τῶν τριῶν κάτω θῶμεν, τὸ πᾶν καθαιρεῖν νομίζομεν· τρία μὲν ταῖς ἰδιότησιν, ἕν δὲ τῇ θεότητι σέβοντες καὶ γινώσκοντες. Ὧν οὐδὲν ἐννοῶν ἐκεῖνος οὐδὲ ἄνω βλέπειν δυνάμενος, ἀλλ' ὑπὸ τῶν ἀγόντων αὐτὸν ταπεινούμενος, συνταπεινοῦν ἐτόλμησεν ἑαυτῷ καὶ φύσιν θεότητος· καὶ κτίσμα γίνεται πονηρόν, εἰς δουλείαν κατάγων τὴν δεσποτείαν καὶ μετὰ τῆς κτίσεως τιθεὶς τὴν ἄκτιστον φύσιν καὶ ὑπέρχρονον.

ΛΑ′. Ὁ μὲν οὖν οὕτω φρονῶν καὶ μετὰ τοιαύτης ἡμῖν ἐπιστρατεύει τῆς ἀσεβείας· οὐ γὰρ ἄλλο τι ἢ βαρβαρικὴν καταδρομὴν τοῦτο ὑπολῃπτέον, καθαιροῦσαν οὐ τείχη καὶ πόλεις καὶ οἰκίας, οὐδέ τι τῶν μικρῶν καὶ χειροποιήτων καὶ αὖθις ἀνορθουμένων, ἀλλὰ τὰς ψυχὰς αὐτὰς κατασύρουσαν. Συνεισβάλλει δὲ αὐτῷ καὶ στρατὸς ἄξιος, οἱ κακοὶ τῶν Ἐκκλησιῶν ἡγεμόνες, οἱ πικροὶ τετράρχαι τῆς ὑπ' αὐτὸν οἰκουμένης· οἱ τὸ μὲν ἔχοντες ἤδη τῶν Ἐκκλησιῶν, τῷ δὲ προσβάλλοντες, τὸ δὲ ἐλπίζοντες ἐκ τῆς τοῦ βασιλέως ῥοπῆς καὶ χειρός, τῆς μὲν ἐπαγομένης, τῆς δὲ ἀπει**126**λουμένης, ἦκον καὶ τὴν ἡμετέραν καταστρεψόμενοι, οὐδενὶ τοσοῦτον θαρρεῖν ἔχοντες τῶν ἁπάντων ὅσον τῇ τῶν προειρημένων μικροψυχίᾳ καὶ ἀπειρίᾳ τοῦ τηνικαῦτα ἡμῶν προεδρεύοντος καὶ τοῖς ἐν ἡμῖν ἀρρωστήμασιν.

Ὁ μὲν οὖν ἀγὼν πολύς· ἡ δὲ προθυμία τῶν πλείστων οὐκ ἀγεννής, ἡ δὲ παράταξις ἀσθενής, οὐκ ἔχουσα τὸν προαγωνιστὴν **[540]** καὶ τεχνίτην ὑπέρμαχον ἐν δυνάμει λόγου καὶ Πνεύματος. Τί οὖν ἡ γενναία καὶ μεγαλόφρων ἐκείνη ψυχὴ καὶ ὄντως φιλόχριστος; Οὐ δὲ πολλῶν ἐδεήθη λόγων πρὸς τὸ παρεῖναι καὶ συμμαχεῖν· ἀλλ' ὁμοῦ τε

εἶδεν ἡμᾶς πρεσβεύοντας, κοινὸς γὰρ ἦν ὁ ἀγὼν ἀμφοτέροις ὡς τοῦ λόγου προβεβλημένοις, καὶ τῆς πρεσβείας ἡττήθη· καὶ διελὼν ἄριστα παρ' ἑαυτῷ καὶ φιλοσοφώτατα τοῖς τοῦ Πνεύματος λογισμοῖς, ἄλλον μὲν εἶναι μικροψυχίας καιρόν, εἴ τι καὶ τοιοῦτον ἔδει παθεῖν, τὸν τῆς ἀδείας· ἄλλον δὲ μακροθυμίας, τὸν τῆς ἀνάγκης· εὐθὺς τοῦ Πόντου μεθ' ἡμῶν ἀπανίσταται καὶ ζηλοτυπεῖ τὴν ἀλήθειαν κινδυνεύουσαν καὶ γίνεται σύμμαχος ἐθελοντὴς καὶ τῇ μητρὶ φέρων ἑαυτὸν τῇ Ἐκκλησίᾳ δίδωσιν.

ΛΒ′. Ἆρ' οὖν προεθυμήθη μὲν οὕτως, ἠγώνισται δὲ τῆς προθυμίας ἔλαττον; Ἢ διαγωνίζεται μὲν ἀνδρικῶς, οὐ συνετῶς δέ; Ἢ πεπαιδευμένως μέν, ἀκινδύνως δέ; Ἢ πάντα μὲν ταῦτα τελείως καὶ ὑπὲρ λόγον, ὑπελείπετο δέ τι τῆς μικροψυχίας ἐν ἑαυτῷ λείψανον; Οὐδαμῶς. Ἀλλ' ὁμοῦ τὰ πάντα καταλλάττεται, βουλεύεται, παρα-
128τάττεται· λύει τὰ ἐν τῷ μέσῳ σκῶλα καὶ προσκόμματα καὶ οἷς ἐκεῖνοι θαρροῦντες καθ' ἡμῶν ἐστρατεύσαντο· τὸ μὲν προσλαμβάνει, τὸ δὲ κατέχει, τὸ δὲ ἀποκρούεται· γίνεται τοῖς μὲν τεῖχος ὀχυρὸν καὶ χαράκωμα[1], τοῖς δὲ πέλεκυς κόπτων πέτραν[2], ἢ πῦρ ἐν ἀκάνθαις[3], ὅ φησιν ἡ θεία Γραφή, ῥᾳδίως ἀναλίσκον τοὺς φρυγανώδεις καὶ ὑβριστὰς τῆς θεότητος. Εἰ δέ τι καὶ Βαρνάβας, ὁ ταῦτα λέγων καὶ γράφων, Παύλῳ συνηγωνίσατο, Παύλῳ χάρις τῷ προελομένῳ καὶ συνεργὸν ποιησαμένῳ τοῦ ἀγωνίσματος.

ΛΓ′. Οἱ μὲν οὖν οὕτως ἀπῆλθον ἄπρακτοι καὶ κακοὶ κακῶς τότε πρῶτον αἰσχυνθέντες καὶ ἡττηθέντες καὶ μαθόντες μὴ ῥᾳδίως Καππαδοκῶν καταφρονεῖν, εἰ καὶ πάντων ἀνθρώπων· ὧν οὐδὲν οὕτως ἴδιον, ὡς τὸ τῆς πίστεως ἀρραγὲς καὶ πρὸς τὴν Τριάδα πιστὸν καὶ γνήσιον· παρ' ἧς καὶ τὸ ἡνῶσθαι καὶ τὸ ἰσχύειν αὐτοῖς, ἃ βοηθοῦσι βοηθουμένοις, μᾶλλον δὲ πολλῷ κρείττω καὶ ἰσχυροτέρα. Τῷ δέ τι δεύτερον ἔργον καὶ σπούδασμα γίνεται, θεραπεύειν τὸν πρόεδρον, λύειν τὴν ὑποψίαν, πείθειν πάντας ἀνθρώπους ὡς ἃ μὲν λελύπητο πεῖρά τις ἦν τοῦ πονηροῦ καὶ πάλη ταῖς εἰς τὸ καλὸν ὁμονοίαις βασκαίνοντος· αὐτὸς δὲ ἤδει νόμους εὐπειθίας καὶ πνευματικῆς τάξεως. Διὰ τοῦτο παρῆν, ἐσόφιζεν, **[541]** ὑπήκουεν, ἐνουθέτει, πάντα ἦν αὐτῷ· σύμβουλος ἀγαθός, παραστάτης δεξιός, τῶν θείων ἐξηγητής, τῶν
130 πρακτέων καθηγητής, γήρως βακτηρία, πίστεως ἔρεισμα, τῶν ἔνδον ὁ πιστότατος, τῶν ἐκτὸς ὁ πρακτικώτατος· ἑνὶ λόγῳ, τοσοῦτος εἰς εὔνοιαν ὅσος εἰς ἔχθραν τὸ πρὶν ἐνομίζετο. Ἐντεῦθεν αὐτῷ περιῆν καὶ τὸ κράτος τῆς Ἐκκλησίας, εἰ καὶ τῆς καθέδρας εἶχε τὰ δεύτερα· τὴν γὰρ εὔνοιαν εἰσφέρων, τὴν ἐξουσίαν ἀντελάμβανε· καὶ ἦν θαυμαστή τις ἡ συμφωνία καὶ ἡ πλοκὴ τοῦ δύνασθαι. Ὁ μὲν τὸν λαὸν ἦγεν, ὁ δὲ τὸν ἄγοντα· καὶ οἷον λεοντοκόμος τις ἦν, τέχνῃ τιθασσεύων τὸν δυναστεύοντα· καὶ γὰρ ἐδεῖτο, νεωστὶ μὲν ἐπὶ τὴν καθέδραν τεθείς,

---

1. Πρβλ. Ἱερ. 1,18. 2. Πρβλ. Ἱερ. 23,29. 3. Πρβλ. Ψαλ. 117,12.

ἔτι δὲ τῆς κοσμικῆς ὕλης τι πνέων, οὔπω δὲ κατηρτισμένος ἐν τοῖς τοῦ Πνεύματος, πολλοῦ δὲ τοῦ κλύδωνος περιζέοντος καὶ τῶν ἐπικειμένων τῆς Ἐκκλησίας ἐχθρῶν, τοῦ χειραγωγοῦντος καὶ ὑπερείδοντος. Διὰ τοῦτο καὶ τὴν συμμαχίαν ἠγάπα, καὶ κρατοῦντος ἐκείνου κρατεῖν αὐτὸς ὑπελάμβανε.

ΛΔ′. Τῆς δὲ περὶ τὴν Ἐκκλησίαν τοῦ ἀνδρὸς κηδεμονίας καὶ προστασίας πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα· παρρησία πρὸς ἄρχοντας τούς τε ἄλλους καὶ τοὺς δυνατωτάτους τῆς πόλεως· διαφορῶν λύσεις οὐκ ἀπιστούμεναι, ἀλλ' ὑπὸ τῆς ἐκείνου φωνῆς τυπούμεναι, νόμῳ τῷ τρόπῳ χρώμεναι· προστασίαι τῶν δεομένων, αἱ μὲν πλείους πνευματικαί, οὐκ ὀλίγαι δὲ καὶ σωματικαί· καὶ γὰρ καὶ τοῦτο πολλάκις εἰς ψυχὴν φέρει δι' εὐνοίας δουλούμενον· πτωχοτροφίαι, ξενοδοχίαι, παρθενοκομίαι· νομοθεσίαι μοναστῶν, ἔγγραφοί τε καὶ ἄγραφοι· εὐχῶν διατάξεις, εὐκοσμίαι τοῦ βήματος, τὰ ἄλλα οἷς ἂν ὁ ἀληθῶς ἄνθρωπος **132** τοῦ Θεοῦ καὶ μετὰ Θεοῦ τεταγμένος λαὸν ὠφελήσειεν· ἓν δέ, ὃ μέγιστόν τε καὶ γνωριμώτατον.

Λιμὸς ἦν, καὶ τῶν πώποτε μνημονευομένων ὁ χαλεπώτατος. Ἔκαμνε δὲ ἡ πόλις, ἐπικουρία δ' ἦν οὐδαμόθεν, οὐδέ τι φάρμακον τῆς κακώσεως. Αἱ μὲν γὰρ παραλίαι τὰς τοιαύτας ἐνδείας οὐ χαλεπῶς ἀναφέρουσι, διδοῦσαι τὰ παρ' ἑαυτῶν καὶ τὰ παρὰ τῆς θαλάσσης δεχόμεναι· τοῖς δ' ἠπειρώταις ἡμῖν καὶ τὸ περιττεῦον ἀνόνητον καὶ τὸ ἐνδέον ἀνεπινόητον, **[544]** οὐκ ἔχουσιν ὅπως ἢ διαθώμεθά τι τῶν ὄντων ἢ τῶν οὐκ ὄντων εἰσκομισώμεθα. Καὶ ὃ χαλεπώτατόν ἐστιν ἐν τοῖς τοιούτοις, ἡ τῶν ἐχόντων ἀναλγησία καὶ ἀπληστία. Τηροῦσι γὰρ τοὺς καιροὺς καὶ καταπραγματεύονται τῆς ἐνδείας καὶ γεωργοῦσι τὰς συμφοράς· οὔτε τῷ Κυρίῳ δανείζειν τὸν ἐλεοῦντα πτωχοὺς[1] ἀκούοντες· οὐδ' ὅτι ὁ συνέχων σῖτον δημοκατάρατος[2]· οὔτ' ἄλλο οὐδὲν τῶν ἢ τοῖς φιλανθρώποις ἐπηγγελμένων ἢ τοῖς ἀπανθρώποις ἠπειλημμένων. Ἀλλ' εἰσὶ τοῦ δέοντος ἀπληστότεροι καὶ φρονοῦσι κακῶς· ἐκείνοις μὲν τὰ ἑαυτῶν, ἑαυτοῖς δὲ τὰ τοῦ Θεοῦ σπλάγχνα κλείοντες, οὗ καὶ μᾶλλον χρῄζοντες ἀγνοοῦσιν ἢ αὐτῶν ἕτεροι. Ταῦτα μὲν οἱ σιτῶναι καὶ σιτοκάπηλοι καὶ μήτε τὸ συγγενὲς αἰδούμενοι, μήτε περὶ τὸ θεῖον εὐχάριστοι, παρ' οὗ τὸ ἔχειν αὐτοῖς, ἄλλων πιεζομένων.

ΛΕ′. Ὁ δὲ ὗειν μὲν οὐκ εἶχεν ἄρτον ἐξ οὐρανοῦ[3] δι' **134** εὐχῆς, καὶ τρέφειν ἐν ἐρήμῳ λαὸν φυγάδα, οὐδὲ πυθμέσι πηγάζειν τροφὴν ἀδάπανον κενώσει πληρουμένοις[4], ὃ καὶ παράδοξον, ἵνα τρέφῃ τρέφουσαν εἰς φιλοξενίας ἀντίδοσιν· οὐδὲ πέντε ἄρτοις ἑστιᾶν χιλιάδας, ὧν καὶ τὰ λείψανα πολλῶν τραπεζῶν ἄλλη δύναμις[5]. Ταῦτα γὰρ Μωυσέως ἦν καὶ Ἡλιοῦ καὶ τοῦ ἐμοῦ Θεοῦ, παρ' οὗ κἀκείνοις τὸ

---

1. Πρβλ. Παρμ. 19,17. 2. Πρβλ. Παρμ. 11,26. 3. Πρβλ. Ἐξ. 16,15. 4. Πρβλ. Γ′ Βασ. 17,14. 5. Πρβλ. Ματθ. 16,9. Λουκ. 9,16. Ἰω. 16,11.

ταῦτα δύνασθαι· ἴσως δὲ καὶ τῶν καιρῶν ἐκείνων καὶ τῆς τότε καταστάσεως, ἐπειδὴ τὰ σημεῖα τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν[1]. Ἃ δὲ τούτοις ἐστὶν ἀκόλουθα καὶ εἰς ταὐτὸν φέρει, ταῦτα καὶ διενοήθη καὶ κατεπράξατο μετὰ τῆς αὐτῆς πίστεως· λόγῳ γὰρ τὰς τῶν ἐχόντων ἀποθήκας ἀνοίξας καὶ παραινέσεσι, ποιεῖ τὸ τῆς Γραφῆς, διαθρύπτει πεινῶσι τροφὴν[2] καὶ χορτάζει πτωχοὺς ἄρτων[3] καὶ διατρέφει αὐτοὺς ἐν λιμῷ[4] καὶ ψυχὰς πεινώσας ἐμπίπλησιν ἀγαθῶν[5]. Καὶ τίνα τρόπον; Οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς προσθήκην. Συναγαγὼν γὰρ ἐν ταὐτῷ τοὺς λιμοῦ τραυματίας, ἔστι δὲ οὓς καὶ μικρὸν ἀναπνέοντας, ἄνδρας καὶ γυναῖκας, νηπίους, γέροντας, πᾶσαν ἡλικίαν ἐλεεινήν, πᾶν εἶδος τροφῆς ἐρανίζων, ὅση τυγχάνει λιμοῦ βοήθεια, ἔτνους τε πλήρεις προθεὶς λέβητας καὶ τοῦ ταριχευτοῦ παρ' ἡμῖν ὄψου καὶ πέννητας τρέφοντος· ἔπειτα τὴν τοῦ Χριστοῦ διακονίαν μιμούμενος, ὃς καὶ λεντίῳ διαζωννύμενος οὐκ ἀπηξίου **136** νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ τοῖς ἑαυτοῦ παισίν, ἤτ' οὖν συνδούλοις, πρὸς τοῦτο συνεργοῖς **[545]** χρώμενος, ἐθεράπευε μὲν τὰ σώματα τῶν δεομένων, ἐθεράπευε δὲ τὰς ψυχάς, συμπλέκων τῇ χρείᾳ τὸ τῆς τιμῆς καὶ ῥᾴους ποιῶν ἀμφοτέρωθεν.

ΛΣ'. Τοιοῦτος ἦν ὁ νέος σιτοδότης ἡμῖν καὶ δεύτερος Ἰωσήφ· πλὴν ὅτι καὶ πλέον τι λέγειν ἔχομεν. Ὁ μὲν γὰρ καταπραγματεύεται τοῦ λιμοῦ καὶ τὴν Αἴγυπτον ἐξωνεῖται τῷ φιλανθρώπῳ, τὸν τῆς ἀφθονίας καιρὸν εἰς τὸν τοῦ λιμοῦ διαθέμενος καὶ τοῖς ἑτέρων ὀνείροις εἰς τοῦτο διαταττόμενος· ὁ δὲ προῖκα χρηστὸς ἦν καὶ τῆς σιτοδείας ἐπίκουρος ἀπραγμάτευτος, πρὸς ἓν ὁρῶν, τῷ φιλανθρώπῳ τὸ φιλάνθρωπον κτήσασθαι καὶ τῶν ἐκεῖθεν τυχεῖν ἀγαθῶν διὰ τῆς ἐνταῦθα σιτομετρίας. Ταῦτα μετὰ τῆς τοῦ λόγου τροφῆς καὶ τῆς τελεωτέρας εὐεργεσίας καὶ διαδόσεως, τῆς ὄντως οὐρανίου καὶ ὑψηλῆς· εἴπερ ἄρτος Ἀγγέλων λόγος, ᾧ ψυχαὶ τρέφονται καὶ ποτίζονται, Θεὸν πεινῶσαι καὶ ζητοῦσαι τροφὴν οὐ ῥέουσαν οὐδ' ἀπιοῦσαν, ἀλλ' ἀεὶ μένουσαν· ἧς σιτοδότης ἦν ἐκεῖνος καὶ μάλα πλούσιος, ὁ πενέστατος ὢν ἴσμεν καὶ ἀπορώτατος, οὐ λιμὸν ἄρτων, οὐδὲ δίψαν ὕδατος ἐξιώμενος, λόγου δὲ πόθον τοῦ ἀληθῶς ζωτικοῦ καὶ τροφίμου καὶ εἰς αὔξησιν ἄγοντος πνευματικῆς ἡλικίας τὸν καλῶς τρεφόμενον.

ΛΖ'. Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων, — τί γὰρ δεῖ πάντα λέγοντα διατρίβειν; — ἄρτι τοῦ φερωνύμου τῆς **138** εὐσεβείας μετατεθέντος καὶ ταῖς ἐκείνου χερσὶν ἡδέως ἐναποψύξαντος, ἐπὶ τὸν ὑψηλὸν τῆς ἐπισκοπῆς θρόνον ἀνάγεται· οὐκ ἀμογητὶ μὲν οὐδὲ ἄνευ βασκανίας καὶ πάλης τῶν τε τῆς πατρίδος προεδρευόντων καὶ τῶν πονηροτάτων τῆς πόλεως ἐκείνοις συντεταγμένων. Πλὴν ἔδει νικῆσαι τὸ Πνεῦμα τὸ Ἅγιον· καὶ μέντοι καὶ νικᾷ πολλῇ τῇ περιουσίᾳ. Κινεῖ

---

1. Πρβλ. Α' Κορ. 14,22. 2. Πρβλ. Ἡσ. 58,7. 3. Πρβλ. Ψαλ. 131,15. 4. Πρβλ. Ψαλ. 32,19. 5. Πρβλ. Λουκ. 1,53.

γὰρ ἐκ τῆς ὑπερορίας τοὺς χρίσοντας, ἄνδρας ἐπ᾽ εὐσεβείᾳ γνωρίμους καὶ ζηλωτὰς καὶ μετὰ τούτων τὸν νέον Ἀβραὰμ καὶ Πατριάρχην ἡμέτερον, τὸν ἐμὸν λέγω πατέρα, περὶ ὅν τι καὶ συμβαίνει θαυμάσιον. Οὐ γὰρ τῷ πλήθει τῶν ἐτῶν μόνον ἐκλελοιπώς, ἀλλὰ καὶ νόσῳ τετρυχωμένος καὶ πρὸ ταῖς ἐσχάταις ἀναπνοαῖς ὤν, κατατολμᾷ τῆς ὁδοῦ, βοηθήσων τῇ ψήφῳ καὶ θαρρήσας τῷ Πνεύματι. Καί τι σύντομον φθέγξομαι, νεκρὸς ἐντεθεὶς ὡς τάφῳ τινὶ τῷ φορείῳ, νέος ἐπάνεισιν, εὐσθενὴς, ἄνω βλέπων, ῥωσθεὶς ἐκ τῆς χειρὸς καὶ **[548]** τῆς χρίσεως, οὐ πολὺ δὲ εἰπεῖν ὅτι καὶ τῆς κεφαλῆς τοῦ χρισθέντος. Τοῦτο προσκείσθω τοῖς παλαιοῖς διηγήμασιν, ὅτι πόνος ὑγιείαν χαρίζεται καὶ προθυμία νεκροὺς ἀνίστησι καὶ πηδᾷ γῆρας χρισθὲν τῷ Πνεύματι.

ΛΗ′. Οὕτω δὲ τῆς προεδρίας ἀξιωθείς, ὡς τοὺς τοιούτους μὲν γεγονότας, τοιαύτης δὲ χάριτος τετυχηκότας, οὕτω δὲ ὑπειλημμένους εἰκός, οὐ κατήσχυνεν οὐδενὶ τῶν ἐξῆς ἢ τὴν ἑαυτοῦ φιλοσοφίαν ἢ τὰς τῶν πεπιστευκότων ἐλπίδας· ἀλλὰ τοσοῦτον ἑαυτὸν ὑπερβάλλων ἀεὶ ὅσον πρὸ τούτου τοὺς ἄλλους ἐδείκνυτο, κάλλιστά τε καὶ φιλο-**140**σοφώτατα περὶ τούτων διανοούμενος. Ἡγεῖτο γὰρ ἰδιώτου μὲν ἀρετὴν εἶναι, τὸ μὴ κακὸν εἶναι, ἤ τι καὶ ποσῶς ἀγαθόν· ἄρχοντος δὲ καὶ προστάτου κακίαν, καὶ μάλιστα τὴν τοιαύτην ἀρχήν, τὸ μὴ πολὺ τῶν πολλῶν προέχειν μηδὲ ἀεὶ κρείττω φαίνεσθαι, μηδὲ συμμετρεῖν τῇ ἀξίᾳ καὶ τῷ θρόνῳ τὴν ἀρετήν· μόγις γὰρ εἶναι τῷ ἄκρῳ τοῦ μέσου κατατυγχάνειν καὶ τῷ περιόντι τῆς ἀρετῆς ἕλκειν τοὺς πολλοὺς εἰς τὸ μέτριον· μᾶλλον δέ, ἵνα τι φιλοσοφήσω περὶ τούτων ἄμεινον, ὅπερ ἐπὶ τοῦ Σωτῆρος ἐγὼ θεωρῶ, οἶμαι δὲ καὶ σοφωτέρων ἕκαστος, ἡνίκα μεθ᾽ ἡμῶν ἐγένετο, μορφωθεὶς τὸ ὑπὲρ ἡμᾶς καὶ ἡμέτερον, τοῦτο κἀνταῦθα συμβεβηκέναι λογίζομαι. Ἐκεῖνός τε γὰρ προέκοπτε, φησίν, ὥσπερ ἡλικίᾳ οὕτω δὲ καὶ σοφίᾳ καὶ χάριτι[1] οὐ τῷ ταῦτα λαμβάνειν αὔξησιν, (τί γὰρ τοῦ ἀπ᾽ ἀρχῆς τελείου γένοιτ᾽ ἂν τελεώτερον;) ἀλλὰ τῷ κατὰ μικρὸν ταῦτα παραγυμνοῦσθαι καὶ παρεκφαίνεσθαι. Τήν τε τοῦ ἀνδρὸς ἀρετήν, οὐχὶ προσθήκην, ἀλλ᾽ ἐργασίαν οἶμαι μείζω τηνικαῦτα λαμβάνειν, ὕλῃ πλείονι τῇ ἐξουσίᾳ χρωμένην.

ΛΘ′. Πρῶτον μὲν ἐκεῖνο πᾶσι ποιεῖ φανερόν, ὡς οὐκ ἀνθρωπίνης χάριτος ἦν αὐτῷ ἔργον, ἀλλὰ Θεοῦ δῶρον τὸ δεδομένον· δηλώσει δὲ καὶ τὸ ἡμέτερον. Οἷα γάρ μοι φιλοσοφοῦντι περὶ τὸν καιρὸν ἐκεῖνον συνεφιλοσόφει! Τῶν γὰρ **142** ἄλλων ἁπάντων οἰομένων καὶ προσδραμεῖσθαί με τῷ γεγονότι καὶ περιχαρήσεσθαι, ὅπερ ἑτέρου καὶ παθεῖν ἴσως ἦν καὶ συνδιανεμεῖσθαι τὴν ἀρχὴν μᾶλλον ἢ παραδυναστεύειν καὶ τῇ φιλίᾳ τοῦτο τεκμαιρομένων· ἐπειδὴ τὸ φορτικὸν φεύγων ἐγώ, καὶ γὰρ ἐν ἅπασιν, εἴπερ ἄλλος τις καὶ ἅμα τοῦ καιροῦ τὸ ἐπίφθονον, ἄλλως τε καὶ τῶν κατ᾽ αὐτὸν ὠδινόντων ἔτι καὶ ταρασ-

---

1. Πρβλ. Λουκ. 2,52.

σομένων, οἴκοι κατέμεινα, βίᾳ χαλινώσας τὸν πόθον, μέμφεται **[549]** μέν, συγγινώσκει δέ. Καὶ μετὰ τοῦτο ἐπιστάνται μέν, τὴν δὲ τῆς καθέδρας τιμὴν οὐ δεξάμενον, τῆς αὐτῆς ἕνεκεν αἰτίας, οὐδὲ τὴν τῶν πρεσβυτέρων προτίμησιν, οὔτε ἐμέμψατο καὶ προσεπήνεσεν, εὖ ποιῶν, τῦφον κατηγορηθῆναι μᾶλλον ὑπ' ὀλίγων ἑλόμενος, τῶν ταύτην ἀγνοησάντων τὴν οἰκονομίαν, ἢ τι πρᾶξαι τῷ λόγῳ καὶ τοῖς αὐτοῦ βουλεύμασιν ἐναντίον. Καίτοι πῶς ἂν μᾶλλον ἔδειξεν ἄνθρωπος πάσης θωπείας καὶ κολακείας κρείττω τὴν ψυχὴν ἔχων καὶ πρὸς ἓν μόνον βλέπων, τὸν τοῦ καλοῦ νόμον, ἢ περὶ ἡμῶν οὕτω διανοηθείς, οὓς ἐν πρώτοις τῶν ἑαυτοῦ φίλων καὶ συνήθων ἐγνώρισεν.

Μ'. Ἔπειτα τὸ στασιάζον πρὸς ἑαυτὸν μαλάσσει καὶ θεραπεύει λόγοις ἰατρικῆς μεγαλόφρονος· οὐ γὰρ θωπευτικῶς οὐδὲ ἀνελευθέρως τοῦτο ποιεῖ, ἀλλὰ καὶ λίαν νεανικῶς καὶ μεγαλοπρεπῶς, ὡς ἄν τις οὐ τὸ παρὸν σκοπῶν μόνον, ἀλλὰ καὶ τὴν μέλλουσαν εὐπείθειαν οἰκονομῶν. Ὁρῶν **144** γὰρ τὸ μὲν ἁπαλὸν ἕκλυτον καὶ μαλακίζον, τὸ δὲ αὐστηρὸν τραχῦνον καὶ ἀπαυθαδιάζον, ἀμφοτέροις βοηθεῖ δι' ἀλλήλων· ἐπιεικείᾳ μὲν τὸ ἀντιτυπές, στερρότητι δὲ τὸ ἁπαλὸν κερασάμενος· ὀλίγα μὲν λόγου προδεηθείς, ἔργῳ δὲ τὰ πλείω δυνηθεὶς πρὸς τὴν θεραπείαν· οὐ τέχνῃ δουλούμενος, ἀλλ' εὐνοίᾳ σφετεριζόμενος· οὐ δυναστείᾳ προσχρώμενος, ἀλλὰ τῷ δύνασθαι μέν, φείδεσθαι δὲ προσαγόμενος· τὸ δὲ μέγιστον, τῷ πάντας ἡττᾶσθαι τῆς αὐτοῦ διανοίας καὶ ἀπρόσιτον εἰδέναι τὴν ἀρετὴν καὶ μίαν μὲν ἑαυτοῖς σωτηρίαν ἡγεῖσθαι, τὸ μετ' ἐκείνου τε καὶ ὑπ' ἐκείνῳ τετάχθαι, ἕνα δὲ κίνδυνον, τὸ προσκρούειν ἐκείνῳ καὶ ἀλλοτρίωσιν ἀπὸ Θεοῦ νομίζειν τὴν ἀπ' ἐκείνου διάστασιν· οὕτως ἑκόντες ὑπεχώρησαν καὶ ἡττήθησαν καὶ ὡς ἤχῳ βροντῆς ὑπεκλίθησαν, ἄλλος ἄλλον εἰς ἀπολογίαν προφθάνοντες καὶ τὸ μέτρον τῆς ἀπεχθείας εἰς μέτρον μετενεγκόντες εὐνοίας καὶ τῆς εἰς ἀρετὴν ἐπιδόσεως, ἣν δὴ μόνην ἀπολογίαν ἰσχυροτάτην ηὕρισκον· πλὴν εἴ τις διὰ κακίαν ἀνίατον ἠμελήθη καὶ παρερρίφη, ἵν' αὐτὸς ἐν ἑαυτῷ συντριβῇ καὶ καταναλωθῇ, καθάπερ ἰὸς σιδήρῳ συνδαπανώμενος.

ΜΑ'. Ἐπεὶ δὲ τὰ οἴκοι κατὰ νοῦν εἶχεν αὐτῷ καὶ ὡς οὐκ ἄν τις ᾠήθη τῶν ἀπίστων κἀκεῖνον ἠγνοηκό**[552]**των, περινοεῖ τι τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον. Τῶν γὰρ ἄλλων ἁπάντων τὸ ἐν ποσὶ μόνον ὁρώντων καὶ τὸ κατ' αὐτοὺς ὅπως ἀσφαλῶς ἕξει λογιζομένων, εἴπερ τοῦτο ἀσφαλές, περαιτέρω δ' οὐ προϊόντων, οὐδέ τι μέγα καὶ νεανικόν ἢ **146** ἐννοῆσαι ἢ καταπράξασθαι δυναμένων· καίτοι τἄλλα μέτριος ὤν, ἐν τούτοις οὐ μετριάζει· ἀλλ' ὑψοῦ τὴν κεφαλὴν διάρας καὶ κύκλῳ τὸ τῆς ψυχῆς ὄμμα περιαγαγών, πᾶσαν εἴσω ποιεῖται τὴν οἰκουμένην, ὅσην ὁ σωτήριος λόγος ἐπέδραμεν. Ὁρῶν δὲ τὸν μέγαν τοῦ Θεοῦ κλῆρον καὶ τοῖς αὐτοῦ λόγοις καὶ νόμοις καὶ πάθεσι περιποιηθέντα, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα, κακῶς διακείμενον, εἴς τε μυρίας δόξας καὶ πλάνας διεσπασμένον· καὶ τὴν ἐξ Αἰ-

γύπτου μετηρμένην καὶ μεταφυτευμένην ἄμπελον, ἐκ τῆς ἀθέου καὶ σκοτεινῆς ἀγνοίας εἰς κάλλος τε καὶ μέγεθος ἄπειρον προελθοῦσαν, ὡς καλύψαι πᾶσαν τὴν γῆν καὶ ὀρῶν καὶ κέδρων ὑπερεκτείνεσθαι· ταύτην πονηρῷ καὶ ἀγρίῳ συτ, τῷ διαβόλῳ, λελυμασμένην· οὐκ αὔταρκες ὑπολαμβάνει θρηνεῖν ἡσυχῇ τὸ πάθος καὶ πρὸς Θεὸν μόνον αἴρειν τὰς χεῖρας καὶ παρ' ἐκείνου τῶν κατεχόντων κακῶν λύσιν ζητεῖν, αὐτὸς δὲ καθεύδειν· ἀλλά τι καὶ βοηθεῖν καὶ παρ' ἑαυτοῦ συνεισφέρειν ᾤετο δεῖν.

ΜΒ'. Τί γὰρ εἶναι τῆς συμφορᾶς ταύτης ἀνιαρότερον, ὑπὲρ δὲ τοῦ κοινοῦ χρῆναι μᾶλλον σπουδάζειν τὸν ἄνω βλέποντα; Ἑνὸς μὲν γὰρ εὖ πράττοντος ἢ κακῶς, οὐδὲν τῷ κοινῷ τοῦτο ἐπισημαίνειν· τοῦ κοινοῦ δὲ οὕτως ἢ ἐκείνως ἔχοντος, καὶ τὸν καθ' ἕκαστον ὁμοίως ἔχειν πᾶσαν εἶναι ἀνάγκην. Ταῦτ' οὖν ἐννοῶν καὶ σκοπῶν ἐκεῖνος, ὁ τοῦ κοινοῦ κηδεμὼν καὶ προστάτης, ἐπειδὴ σὴς ὀστέων καρδία αἰσθητική[1], ὡς Σολομῶντι καὶ τῇ ἀληθείᾳ δοκεῖ· καὶ τὸ μὲν **148** ἀνάλγητον εὔθυμον, τὸ δὲ συμπαθὲς λυπηρόν· καὶ τῆξις καρδίας ἔμμονος λογισμός· διὰ τοῦτο ἐσφάδαζεν, ἠνιᾶτο, κατετιτρώσκετο, ἔπασχε τὸ Ἰωνᾶ, τὸ Δαβίδ, ἀπελέγετο τὴν ψυχήν, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις[2]· προσεδαπάναι τὸ λειπόμενον τῶν σαρκῶν ταῖς φροντίσιν, ἕως εὕρῃ τοῦ κακοῦ λύσιν· ἐπιζητεῖ θείαν βοήθειαν ἢ ἀνθρωπίνην, ἥ τις στήσει τὸν κοινὸν ἐμπρησμὸν καὶ τὴν ἐπέχουσαν ἡμᾶς σκοτόμαιναν.

ΜΓ'. Ἓν μὲν οὖν ἐκεῖνο ἐπινοεῖ καὶ λίαν σωτήριον. Συναγαγὼν ἑαυτόν, ὡς οἷόν τε ἦν, καὶ συγ**[553]**κλείσας τῷ Πνεύματι καὶ πάντας μὲν ἀνθρωπίνους λογισμοὺς κινήσας, πᾶν δὲ τῶν Γραφῶν βάθος ἀναλεξάμενος, λογογραφεῖ τὴν εὐσέβειαν καὶ ἀντιθέτοις πάλαις καὶ μάχαις τὸ πολὺ τῶν αἱρετικῶν ἀποκρούεται θράσος· τοὺς μὲν καὶ εἰς χεῖρας ἰόντας, ἀγχεμάχοις ὅπλοις τοῖς ἀπὸ γλώσσης καταστρεφόμενος· τοὺς δὲ πόρρωθεν, βάλλων τοξεύμασι τοῖς ἐκ μέλανος, οὐδὲν ἀτιμοτέρου τῶν ἐν ταῖς πλαξὶ χαραγμάτων· οὐδὲ ἑνὶ τῆς Ἰουδαίας ἔθνει, καὶ μικρῷ τούτῳ, νομοθετοῦντος περὶ βρωμάτων καὶ πομάτων καὶ προσκαίρων θυσιῶν καὶ σαρκὸς καθαρσίων· ἀλλὰ παντὶ γένει καὶ μέρει τῆς οἰκουμένης, περὶ τοῦ λόγου τῆς ἀληθείας, ἐξ οὗ καὶ τὸ σῴζεσθαι περιγίνεται. Δεύτερον δέ· καὶ γὰρ ὁμοίως ἀτελὲς ἄλογος πρᾶξις καὶ λόγος ἄπρακτος, προσετίθει τῷ λόγῳ καὶ τὴν ἐκ **150** τοῦ πράττειν ἐπικουρίαν· τοῖς μὲν ἐπιδημῶν, πρὸς δὲ τοὺς πρεσβεύων, τοὺς δὲ καλῶν, νουθετῶν, ἐλέγχων, ἐπιτιμῶν[3], ἀπειλῶν, ὀνειδίζων, προπολεμῶν ἐθνῶν, πόλεων, τῶν καθ' ἕκαστον, πᾶν εἶδος ἐπινοῶν σωτηρίας, πανταχόθεν ἰώμενος· ὁ Βεσελιὴλ ἐκεῖνος ὁ τῆς θείας ἀρχιτέκτων σκηνῆς, πάσῃ πρὸς τὸ ἔργον ὕλῃ καὶ τέχνῃ χρώ-

---

1. Πρβλ. Παρμ. 14,30. 2. Πρβλ. Ψαλ. 131,4. 3. Πρβλ. Β' Τιμ. 4,2.

μενος καὶ πάντα πλέκων εἰς κάλλους ἑνὸς περιουσίαν καὶ ἁρμονίαν[1].

ΜΔ' Τί τἄλλα χρὴ λέγειν; Ἀλλ' ἦκεν αὖθις ἡμῖν ὁ χριστομάχος βασιλεὺς καὶ τῆς πίστεως τύραννος, μετὰ πλείονος τῆς ἀσεβείας καὶ θερμοτέρας τῆς παρατάξεως, ὡς πρὸς ἀνταγωνιστὴν ἰσχυρότερον ὄντος αὐτῷ τοῦ λόγου, κατὰ τὸ ἀκάθαρτον ἐκεῖνο πνεῦμα καὶ πονηρόν, ὃ τοῦ ἀνθρώπου λυθὲν καὶ περιπλανηθέν, πρὸς τὸν αὐτὸν ἀναστρέφει μετὰ πλειόνων πνευμάτων εἰσοικισθησόμενον, ὥσπερ ἐν τοῖς Εὐαγγελίοις ἠκούσαμεν[2]. Τούτου γίνεται μιμητὴς ἐκεῖνος, ὁμοῦ τε τὴν προτέραν ἧτταν ἀνακαλεσόμενος καὶ προσθήσων τι τοῖς πρώτοις παλαίσμασι· δεινὸν γὰρ εἶναι καὶ σχέτλιον, πολλῶν μὲν ἐθνῶν ἐπάρχοντα, πολλῆς δὲ δόξης ἠξιωμένον, πάντας δὲ τοὺς κύκλῳ καταστρεψάμενον τῷ κράτει τῆς ἀσεβείας, καὶ χειρωσάμενον πᾶν τὸ προστυχόν, ἑνὸς ἀνδρὸς καὶ μιᾶς πόλεως ἥττω ὀφθῆναι, καὶ γέλωτα ὄφλειν, οὐ τοῖς ἄγουσι μόνον αὐτὸν προστάταις τῆς ἀθεΐας, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις, ὡς ὑπελάμβανε.

ΜΕ'. Τὸν μὲν δὴ Περσῶν βασιλέα φασίν, ἐπειδή ποτε **152** κατὰ τῆς Ἑλλάδος ἐστράτευε, πᾶν μὲν γένος ἀνθρώπων ἐπ' αὐτοὺς ἐλαύνων, παντὶ δὲ ζέων θυμῷ καὶ φρονήματι, οὐ ταύτῃ μόνον ἐπαίρεσθαι **[556]** καὶ ἄμετρον εἶναι ταῖς ἀπειλαῖς, ἀλλ' ὡς ἂν μᾶλλον αὐτοὺς καταπλήξειε, φοβερὸν ἑαυτὸν ποιεῖν, καὶ ταῖς κατὰ τῶν στοιχείων καινοτομίαις. Γῆ τις ἠκούετο ξένη καὶ θάλασσα τοῦ νέου δημιουργοῦ καὶ στρατὸς ἤπειρον πλέων καὶ πεζεύων πέλαγος νῆσοί τε ἁρπαζόμεναι καὶ θάλασσα μαστιζομένη καὶ ὅσα τῆς ἐμπλήκτου σαφῶς ἦν στρατιᾶς καὶ στρατηγίας, κατάπληξις μὲν τοῖς ἀγενεστέροις, γέλως δὲ τοῖς ἀνδρικωτέροις καὶ στερροτέροις τὸ φρόνημα. Ὁ δὲ τοιούτου μὲν οὐδενὸς ἐδεῖτο καθ' ἡμῶν στρατεύων· ὃ δὲ ἦν ἐκείνων χεῖρον καὶ βλαβερώτερον, τοῦτο ποιῶν καὶ λέγων ἠκούετο. Ἔθετο εἰς οὐρανὸν τὸ στόμα αὐτοῦ, βλασφημίαν λαλῶν εἰς τὸ ὕψος, καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς[3]. Καλῶς γὰρ αὐτὸν ὁ θεῖος Δαβὶδ πρὸ ἡμῶν ἐστηλίτευσε, τὸν οὐρανὸν εἰς γῆν κλίναντα καὶ μετὰ τῆς κτίσεως ἀριθμοῦντα φύσιν τὴν ὑπερκόσμιον, ἣν οὐδὲ χωρεῖν ἡ κτίσις δύναται, κἂν μεθ' ἡμῶν τι γένηται λόγῳ φιλανθρωπίας, ἵν' ἡμᾶς ἑλκύσῃ πρὸς ἑαυτὴν χαμαὶ κειμένους.

ΜΣ'. Καὶ δὴ λαμπρὰ μὲν αὐτοῦ τὰ πρῶτα νεανιεύματα, λαμπρότερα δὲ τὰ τελευταῖα καθ' ἡμῶν ἀγωνίσματα. Τίνα δὴ λέγω τὰ πρῶτα; Ἐξορίαι, φυγαί, δημεύσεις, ἐπιβουλαὶ φανεραί τε καὶ ἀφανεῖς· τὸ πείθειν, οὗ καιρός ἦν· τὸ βιά**154**ζεσθαι τοῦ πείθειν οὐκ ὄντος. Οἱ μὲν ἐξωθούμενοι τῶν ἐκκλησιῶν, ὅσοι τοῦ ὀρθοῦ λόγου καὶ τοῦ καθ' ἡμᾶς· οἱ δὲ εἰσαγόμενοι, ὅσοι τῆς βασιλικῆς ἀπωλείας ἐτύγχανον, οἱ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτοῦντες, οἱ γράφοντες τὰ τούτων

---

1. Πρβλ. Ἐξ. 31,2 ἑξ. 2. Πρβλ. Λουκ. 11,24 ἑξ. 3. Πρβλ. Ψαλ. 72,9.

ἔτι χαλεπώτερα. Πρεσβυτέρων ἐμπρησμοὶ θαλάττιοι· στρατηγοὶ δυσσεβεῖς, οὐ Περσῶν κρατοῦντες, οὐ Σκύθας χειρούμεναι, οὐκ ἄλλο τι βαρβαρικὸν ἔθνος ἀνακαθαίροντες· ἀλλ' ἐκκλησίαις ἐπιστρατεύοντες καὶ θυσιαστηρίων κατορχούμενοι καὶ τὰς ἀναιμάκτους θυσίας ἀνθρώπων καὶ θυσιῶν αἵμασι χραίνοντες καὶ παρθένων αἰδῶ καθυβρίζοντες. Ἵνα τί γένηται; Ἵν' ἐξωσθῇ μὲν Ἰακὼβ ὁ πατριάρχης, ἀντεισαχθῇ δὲ Ἡσαῦ, ὁ μεμισημένος καὶ πρὸ γενέσεως. Ταῦτα τῶν πρώτων αὐτοῦ νεανιευμάτων τὰ διηγήματα, ἃ καὶ μέχρι τοῦ νῦν κινεῖ **[557]** τοῖς πολλοῖς δάκρυον εἰς μνήμην ἰόντα καὶ ἀκουόμενα.

ΜΖ'. Ἐπεὶ δὲ πάντα διεξελθών, ἐπὶ τὴν ἄσειστον καὶ ἀνεπηρέαστον τήνδε τῶν ἐκκλησιῶν μητέρα ὡς δουλωσόμενος ὥρμησε, καὶ τὸν λειπόμενον ἔτι μόναν ζωτικὸν σπινθῆρα τῆς ἀληθείας· τότε πρῶτον ἥσθετο κακῶς βουλευσάμενος. Ὡς γὰρ βέλος ἰσχυροτέρῳ προσπεσὸν ἀπεκρούσθη καὶ ὡς κάλως ῥαγεὶς ὑπεχώρησε, τοιούτῳ τῷ προστάτῃ τῆς Ἐκκλησίας ἐνέτυχε καὶ τοσούτῳ προβόλῳ περιρραγεὶς διελύθη.

Τὰ μὲν οὖν ἄλλα λεγόντων τε καὶ ἱστορούντων, τῶν τότε πεπειραμένων, ἔστιν ἀκούειν· ἱστορεῖ δὲ οὐδεὶς ὅς τις οὐ τῶν ἁπάντων. Ἀλλὰ τοσοῦτοι θαυμάζουσι ὅσοι τοὺς **156** τότε ἀγῶνας γνωρίζουσι, τὰς προσβολάς, τὰς ὑποσχέσεις, τὰς ἀπειλάς, τοὺς ἐκ τοῦ δικαστικοῦ τάγματος προσπεμπομένους αὐτῷ καὶ πείθειν ἐπιχειροῦντας, τοὺς ἐκ τοῦ στρατιωτικοῦ, τοὺς ἐκ τῆς γυναικωνίτιδος, τοὺς ἐν γυναιξὶν ἄνδρας καὶ ἐν ἀνδράσι γυναῖκας, τοὺς τοῦτο μόνον ἀνδρικοὺς τὴν ἀσέβειαν, οἳ τὸ φυσικῶς ἀσελγαίνειν οὐκ ἔχοντες, ᾧ δύνανται μόνον, τῇ γλώσσῃ πορνεύουσι, τὸν ἀρχιμάγειρον Ναβουζαρδάν, τὰς ἐκ τῆς τέχνης μαχαίρας ἐπαπειλοῦντα καὶ τῷ οἰκείῳ πυρὶ πεμπόμενον. Ὃ δὲ μάλιστά μοι τῶν ἐκείνου θαυμάσιον καὶ οὐδὲ βουλομένῳ παρελθεῖν δυνατόν, τοῦτο δώσω τῷ λόγῳ συνελὼν ὅσον ἐνδέχεται.

ΜΗ'. Τίς οὐκ οἶδε τὸν τηνικαῦτα ὕπαρχον, πολλῷ μὲν τῷ οἰκείῳ θράσει καθ' ἡμῶν μάλιστα χρώμενον, ἐπειδὴ καὶ παρ' ἐκείνων ἦν τῷ βαπτίσματι τελεσθεὶς ἢ συντελεσθείς· πλείω δὲ τῶν ἀναγκαίων ὑπηρετοῦντα τῷ ἐπιτάττοντι, καὶ διὰ τοῦ πάντα χαρίζεσθαι, τὸ κράτος ἑαυτῷ συντηροῦντα καὶ φυλάττοντα χρονιώτερον; Τούτῳ βρέμοντι κατὰ τῆς Ἐκκλησίας καὶ λεόντειον μὲν τὸ εἶδος προβεβλημένῳ, λεόντειον δὲ βρυχωμένῳ καὶ μηδὲ προσιτὸν τοῖς πλείοσιν, ὁ γεννάδας ἐκεῖνος εἰσάγεται· μᾶλλον δὲ εἴσεισιν ὥσπερ εἰς ἑορτήν, οὐκ εἰς κρίσιν καλούμενος. Πῶς ἂν ἀξίως διηγησάμην, ἢ τὴν τοῦ ὑπάρχου θρασύτητα ἢ τὴν τοῦ ἀνδρὸς πρὸς αὐτὸν μετὰ συνέσεως ἔνστασιν.

«Τί σοι, φησίν, ὦ οὗτος, βούλεται, τοὔνομα προσειπών, οὔπω γὰρ ἐπίσκοπον ἠξίου καλεῖν, τὸ κατὰ τοσούτου **158** κράτους τολμᾶν, καὶ μόνον τῶν ἄλλων ἀπαυθαδιάζεσθαι; — Τοῦ χάριν, ὁ γεννάδας φησί, καὶ τί ἡ ἀπόνοια; Οὔπω γὰρ ἔχω γινώσκειν. — Ὅτι μὴ τὰ βασιλέως θρησκεύεις, φησί, τῶν ἄλλων ἁπάντων ὑποκλιθέντων καὶ

ἡττημένων. — Οὐ γὰρ ταῦτα, ἔφη, βασιλεὺς ὁ ἐμὸς βούλεται, οὐδὲ κτίσμα τι προσκυνεῖν ἀνέχομαι, Θεοῦ τε κτίσμα τυγχάνων καὶ θεὸς εἶναι κεκελευσμένος. — Ἡμεῖς δέ, τί σοι δοκοῦμεν; — Ἢ οὐδέν, ἔφη, ταῦτα προστάττοντες. — Τί δέ; Οὐ μέγα σοι τὸ μεθ' ἡμῶν τετάχθαι καὶ κοινωνοὺς ἔχειν ἡμᾶς; — Ὑπάρχοι μέν, φησίν, ὑμεῖς καὶ τῶν ἐπιφανῶν, οὐκ ἀρνήσομαι, οὔπω δὲ Θεοῦ τιμιώτεροι. Καὶ τὸ κοινωνοὺς ἔχειν, μέγα μέν· πῶς γὰρ οὔ; Πλάσμα Θεοῦ καὶ ὑμεῖς, ἀλλ' ὡσεί τινας ἄλλους τῶν ὑφ' ἡμῖν τεταγμένων· οὐ γὰρ προσώποις τὸν χριστιανισμόν, ἀλλὰ πίστει χαρακτηρίζεσθαι».

ΜΘ΄. Τότε δὴ κινηθέντα τὸν ὕπαρχον ζέσαι τε πλέον τῷ θυμῷ καὶ τῆς καθέδρας ἐξαναστῆναι καὶ τραχυτέροις πρὸς αὐτὸν χρήσασθαι λόγοις. «Τί δέ; Οὐ φοβεῖ τὴν ἐξουσίαν; φησί. — Μὴ τί γέγηται, μὴ δὲ τί πάθω; — Μή τι τῶν πολλῶν ἓν ἃ τῆς ἐμῆς δυναστείας ἐστίν. — Τίνα ταῦτα; γνωριζέσθω γὰρ ἡμῖν. — Δήμευσιν, ἐξορίαν, βασάνους, θάνατον. — Εἴ τι ἄλλο, φησίν, ἀπείλει· τούτων γὰρ **160** οὐδὲν ἡμῶν ἅπτεται». Καὶ τὸν εἰπεῖν· «Πῶς καὶ τίνα τρόπον; — Ὅτι τοι, ἔφη, δημεύσει μὲν οὐχ ἁλωτὸς ὁ μηδὲν ἔχων, πλὴν εἰ τούτων χρῄζεις τῶν τρυχίνων μου ῥακίων καὶ βιβλίων ὀλίγων, ἐν οἷς ὁ πᾶς ἐμοὶ βίος· ἐξορίαν δὲ οὐ γινώσκω, ὁ μηδενὶ τόπῳ περιγραπτὸς καὶ μήτε ταύτην ἔχων ἐμὴν ἣν οἰκῶ νῦν καὶ πᾶσαν ἐμὴν εἰς ἣν ἂν ῥιφῶ· μᾶλλον δὲ τοῦ Θεοῦ πᾶσαν, οὗ πάροικος ἐγὼ καὶ παρεπίδημος· αἱ βάσανοι δὲ τί ἂν λάβοιεν, οὐκ ὄντος σώματος; Πλὴν εἰ τὴν πρώτην λέγοις πληγήν, ταύτης γὰρ σὺ μόνης κύριος· ὁ δὲ θάνατος εὐεργέτης, καὶ γὰρ θᾶττον πέμψει με πρὸς Θεόν, ᾧ ζῷ καὶ πολιτεύομαι καὶ τῷ πλείστῳ τέθνηκα καὶ πρὸς ὃν ἐπείγομαι πόρρωθεν».

Ν΄. Τούτοις καταπλαγέντα τὸν ὕπαρχον· «Οὐδείς, φάναι, μέχρι τοῦ νῦν οὕτως ἐμοὶ διείλεκται καὶ μετὰ τοσαύτης τῆς παρρησίας, τὸ ἑαυτοῦ προσθεὶς ὄνομα. — Οὐδὲ γὰρ ἐπισκόπῳ ἴσως, φη**[561]**σίν, ἐνέτυχες, ἢ πάντως ἂν τοῦτον διειλέχθη τὸν τρόπον, ὑπὲρ τοιούτων ἀγωνιζόμενος. Τἄλλα μὲν γὰρ ἐπιεικεῖς ἡμεῖς, ὕπαρχε, καὶ παντὸς ἄλλου ταπεινότεροι, τοῦτο τῆς ἐντολῆς κελευούσης, καὶ μὴ ὅτι τοσούτῳ κράτει, ἀλλὰ μηδὲ τῶν τυχόντων ἑνὶ τὴν ὀφρὺν αἴροντες· οὗ δὲ Θεὸς τὸ κινδυνευόμενον καὶ προκείμενον, τἄλλα περιφρονοῦντες, πρὸς αὐτὸν μόνον βλέπομεν. Πῦρ δὲ καὶ ξίφος καὶ θῆρες καὶ οἱ τὰς σάρκας τέμνοντες **162** ὄνυχες, τρυφὴ μᾶλλον ἡμῖν εἰσιν ἢ κατάπληξις. Πρὸς ταῦτα ὕβριζε, ἀπείλει, ποίει πᾶν ὁτιοῦν ἂν ᾖ βουλομένῳ σοι, τῆς ἐξουσίας ἀπόλαυε. Ἀκουέτω ταῦτα καὶ βασιλεύς, ὡς ἡμᾶς γε οὐχ αἱρήσεις οὐδὲ πείσεις συνθέσθαι τῇ ἀσεβείᾳ, κἂν ἀπειλῇς χαλεπώτερα».

ΝΑ΄. Ἐπειδὴ ταῦτα εἰπεῖν καὶ ἀκοῦσαι τὸν ὕπαρχον καὶ τὴν ἔνστασιν μαθεῖν τοῦ ἀνδρὸς οὕτως ἀκατάπληκτον καὶ ἀήττητον, τὸν μὲν ἔξω πέμψαι καὶ μεταστήσασθαι, οὐκ ἔτι μετὰ τῆς αὐτῆς ἀπειλῆς, ἀλλά τινος αἰδοῦς καὶ ὑποχωρήσεως. Αὐτὸν δὲ τῷ βασιλεῖ προσελ-

θόντα ὡς εἶχε τάχους· «Ἡττήμεθα, βασιλεῦ, εἰπεῖν, τοῦ τῆσδε προβεβλημένου τῆς Ἐκκλησίας. Κρείττων ἀπειλῶν ὁ ἀνήρ, λόγων στερρότερος, πειθοῦς ἰσχυρότερος. Ἄλλον δεῖ τινα πειρᾶν τῶν ἀγενεστέρων, τοῦτον δὲ ἢ βιάζεσθαι φανερῶς ἢ μὴ προσδοκᾶν εἴξειν ταῖς ἀπειλαῖς». Ἐφ' οἷς ἑαυτοῦ καταγνόντα τὸν βασιλέα καὶ τῶν ἐγκωμίων τοῦ ἀνδρὸς ἡττηθέντα, θαυμάζει γὰρ ἀνδρὸς ἀρετὴν καὶ πολέμιος, μήτε βιάζεσθαι κελεῦσαι καὶ ταὐτὸν τῷ σιδήρῳ παθεῖν, ὃς μαλάσσεται μὲν τῷ πυρί, μένει δ' ὅμως σίδηρος· καὶ τρέψαντα εἰς θαῦμα τὴν ἀπειλήν, τὴν μὲν κοινωνίαν οὐ δέξασθαι, τὴν μετάθεσιν αἰσχυνόμενον, ζητεῖν δὲ ἀπολογίαν, ἥτις εὐπρεπεστάτη· δηλώσει δὲ καὶ ταύτην ὁ λόγος.

ΝΒ′. Εἰς γὰρ τὸ ἱερὸν εἰσελθὼν μετὰ πάσης τῆς περὶ αὐτὸν δορυφορίας· ἦν δὲ ἡμέρα τῶν Ἐπιφανίων καὶ ἀθροί**164**σιμος· καὶ τοῦ λαοῦ μέρος γενόμενος, οὕτως ἀφοσιοῦται τὴν ἔνωσιν· ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν. Ἐπειδὴ γὰρ ἔνδον ἐγένετο καὶ τὴν ἀκοὴν προσβαλούσῃ τῇ ψαλμῳδίᾳ κατεβροντήθη τοῦ τε λαοῦ τὸ πέλαγος εἶδε καὶ πᾶσαν τὴν εὐκοσμίαν, ὅση τε περὶ τὸ βῆμα καὶ ὅση πλησίον, ἀγγελικὴν μᾶλλον ἢ ἀνθρωπίνην· τὸν μὲν τοῦ λαοῦ προτεταγμένον ὄρθιον, οἷον τὸν Σαμουὴλ ὁ λόγος γράφει[1], ἀκλινῆ καὶ τὸ σῶμα καὶ τὴν ὄψιν καὶ τὴν διάνοιαν, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος, **[564]** ἀλλ' ἑστηλωμένον, ἵν' οὕτως εἴπω, Θεῷ καὶ τῷ βήματι· τοὺς δὲ περὶ αὐτὸν ἑστηκότας ἐν φόβῳ τινὶ καὶ σεβάσματι· ἐπειδὴ ταῦτα εἶδε καὶ πρὸς οὐδὲν παράδειγμα ἠδύνατο θεωρεῖν τὰ ὁρώμενα, ἔπαθέ τι ἀνθρώπινον, σκότου καὶ δίνης πληροῦται τὴν ὄψιν καὶ τὴν ψυχὴν ἐκ τοῦ θάμβους. Καὶ τοῦτο ἦν τοῖς πολλοῖς ἄδηλον ἔτι. Ἐπεὶ δὲ τὰ δῶρα τῇ θείᾳ τραπέζῃ προσενεγκεῖν ἔδει, ὧν αὐτουργὸς ἦν, συνεπελάβετο δ' οὐδείς, ὥσπερ ἦν ἔθος, ἄδηλον ὂν εἰ προσήσεται, τηνικαῦτα τὸ πάθος γνωρίζεται. Περιτρέπει γὰρ καί, εἰ μή τις τῶν ἐκ τοῦ βήματος ὑποσχὼν τὴν χεῖρα, τὴν περιτροπὴν ἔστησε, κἂν κατηνέχθη πτῶμα δακρύων ἄξιον. Εἶεν.

ΝΓ′. Ἃ δὲ αὐτῷ διείλεκται τῷ βασιλεῖ καὶ μεθ' ὅσης τῆς φιλοσοφίας, ἐπειδή γε αὖθις τρόπον τινὰ συνεκκλησιάσας ἡμῖν εἴσω τοῦ παραπετάσματος ἑαυτὸν ἐποιήσατο εἴς τε ὄψιν ἦλθε καὶ λόγους, ποθῶν ἐκ πλείονος, τί χρὴ καὶ **166** λέγειν, τί δ' ἄλλο γε ἢ Θεοῦ φωνάς, αἳ τοῖς περὶ τὸν βασιλέα καὶ ἡμῖν τοῖς συνεισελθοῦσιν ἠκούσθησαν; Αὕτη γίνεται τῆς τοῦ βασιλέως περὶ ἡμᾶς φιλανθρωπίας ἀρχὴ καὶ κατάστασις πρώτη· τοῦτο τὸ λῆμα τῆς τότε διοχλούσης ἐπηρείας τὸ πλεῖστον, ὥσπερ τι ῥεῦμα, διέλυσεν.

ΝΔ′. Ἕτερον δὲ τῶν εἰρημένων οὐκ ἔλαττον. Ἐνίκων οἱ πονηροὶ καὶ κυροῦται κατὰ τοῦ ἀνδρὸς ἐξορία· καὶ οὐδὲν ἀπῆν τῶν εἰς τοῦτο φερόντων. Ἡ νὺξ παρῆν, ὁ δίφρος εὐτρεπής, οἱ μισοῦντες ἐν

---

1. Πρβλ. Α′ Βασ. 19,20.

κρότοις, ἐν ἀθυμίᾳ τὸ εὐσεβές, περὶ τὸν πρόθυμον ὁδοιπόρον ἡμεῖς, τἄλλα ὅσα τῆς καλῆς ἀτιμίας πάντα πεπλήρωται. Τί οὖν; Λύει ταύτην Θεός. Ὁ γὰρ πατάξας Αἰγύπτου τὰ πρωτότοκα[1], τραχυνομένης κατὰ τοῦ Ἰσραήλ, οὗτος καὶ τὸν παῖδα τοῦ βασιλέως θραύει νόσου πληγῇ· καὶ τὸ τάχος ὅσον! Ἐκεῖθεν τὸ γράμμα τῆς ἐξορίας, ἐντεῦθεν τὸ δόγμα τῆς ἀρρωστίας· καὶ ἡ χεὶρ ἐπέχεται τοῦ πονηροῦ γραφέως καὶ ὁ ἅγιος ἀνασῴζεται καὶ γίνεται πυρετοῦ δῶρον ἀνὴρ εὐσεβής, βασιλέα θρασὺν σωφρονίζοντος. Τί τούτων ἐνδικώτερον ἢ ταχύτερον; Τὰ δὲ τούτων ἑξῆς, ἔκαμνεν ὁ παῖς τῷ βασιλεῖ καὶ πονηρῶς εἶχε τοῦ σώματος· συνέκαμνε δὲ ὁ πατήρ· καὶ τί γὰρ ὁ πατήρ; Πανταχόθεν ἐπιζητῶν ἐπικουρίαν τῷ **[565]** πάθει καὶ ἰατρῶν τοὺς ἀρίστους ἐκλεγόμενος καὶ λιταῖς προσκείμενος, εἴπερ ἄλλοτέ ποτε, καὶ κατὰ γῆς **168** ἐρριμμένος. Ποιεῖ γὰρ καὶ βασιλέας ταπεινοὺς πάθος· καὶ θαυμαστὸν οὐδέν, ἐπεὶ καὶ Δαβὶδ πρότερον ταὐτὸ ἐπὶ τῷ παιδὶ πεπονθὼς ἀναγέγραπται[2]. Ὡς δὲ οὐδὲν εὗρισκεν οὐδαμόθεν τοῦ κακοῦ φάρμακον, ἐπὶ τὴν πίστιν τοῦ ἀνδρὸς καταφεύγει· καὶ δι' ἑαυτοῦ μὲν οὐκ εἰσκαλεῖ, τὸ τῆς ὕβρεως ὑπόγυιον αἰσχυνόμενος, ἑτέροις δὲ τὴν πρεσβείαν ἐπιτρέπει τῶν οἰκειοτάτων ἑαυτῷ καὶ φιλτάτων. Καὶ ὃς παρῆν, οὐδὲν ἀναδὺς οὐδὲ τοῦ καιροῦ κατεξαναστάς, ὥσπερ ἄλλος τις καὶ ὁμοῦ τῇ παρουσίᾳ ῥᾴων ἡ νόσος γίνεται καὶ χρηστοτέρων ὁ πατὴρ τῶν ἐλπίδων· καὶ εἰ μὴ τὴν ἅλμην τῷ ποτίμῳ ὕδατι συνεκέρασεν, ὁμοῦ τε τοῦτον εἰσκαλέσας καὶ τοῖς ἑτεροδόξοις πιστεύσας, κἂν ὑγιείας τυχὼν ὁ παῖς ταῖς τοῦ πατρὸς χερσὶν ἀπεσώθη· καὶ τοῦτο ἐπιστεύετο παρὰ τῶν τηνικαῦτα παρόντων καὶ κοινωνούντων τοῦ πάθους.

ΝΕ΄. Τὸ δὲ αὐτὸ καὶ τῷ ὑπάρχῳ μικρὸν ὕστερόν φασι συμβῆναι. Κάμπτει καὶ τοῦτον ταῖς τοῦ ἁγίου χερσὶ συμπεσοῦσά τις ἀρρωστία. Καὶ ὄντως πληγὴ τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται, καὶ κρείττων εὐημερίας πολλάκις κακοπάθεια. Ἔκαμνεν, ἐδάκρυεν, ἐδυσφόρει, προσέπεμπεν, ἠντιβόλει· «Τὴν ἀπολογίαν ἔχεις, ἐβόα· δὸς σωτηρίαν». Καὶ μέντοι καὶ τυγχάνει ταύτης, ὡς αὐτός τε ὡμολόγει, καὶ πολλοὺς ἔπειθε τῶν οὐκ εἰδότων· οὐ γὰρ ἐπαύετο τὰ ἐκείνου καὶ θαυμάζων καὶ διηγούμενος.

170 Ἆρ' οὖν τὰ μὲν πρὸς ἐκείνους αὐτῷ τοιαῦτα καὶ εἰς τοῦθ' ἥκοντα τέλους· τὰ δὲ πρὸς ἑτέρους ἑτέρως, ἢ περὶ μικρῶν ἢ μικρὰ πεπολέμηται ἢ μετρίως πεφιλοσόφηται ἢ σιγῆς ἀξίως ἢ οὐ λίαν ἐπαινετῶς; Οὐ μὲν οὖν. Ἀλλ' ὁ κινήσας ποτὲ τῷ Ἰσραὴλ Ἀδὲρ τὸν ἁλιτήριον[3], οὗτος κινεῖ καὶ τούτῳ τὸν τῆς Ποντικῆς μοίρας ὕπαρχον· προφάσει μὲν ὡς ὑπὲρ γυναίου τινὸς ἀγανακτοῦντα, τὸ δ' ἀληθὲς τῆς ἀσεβείας ὑπερμαχοῦντα καὶ κατὰ τῆς εὐσεβείας ἱστάμενον. Ἐῶ τἄλλα ὅσα καὶ οἷα κατὰ τοῦ ἀνδρὸς ἐξύβρισεν, ἴσον δὲ εἰπεῖν, καὶ

---

1. Πρβλ. Ἐξ. 12,29. 2. Πρβλ. Β΄ Βασ. 12,16. 3. Πρβλ. Γ΄ Βασ. 11,14 ἑξ.

κατὰ τοῦ Θεοῦ, πρὸς ὃν καὶ δι' ὃν ὁ πόλεμος. Ὁ δὲ μάλιστα καὶ τὸν ὑβριστὴν ἴσχυνε καὶ τὸν ἀγωνιστὴν ὕψωσεν, — εἴπερ τι μέγα καὶ ὑψηλὸν ἡ φιλοσοφία καὶ τὸ κρατοῦντα τῶν πολλῶν ταύτῃ φαίνεσθαι, — τοῦτο δώσω τῷ λόγῳ.

[568] ΝΣ'. Γυναῖκά τινα τῶν ἐπιφανῶν ἐξ ἀνδρὸς οὐ πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντος ὁ τοῦ δικαστοῦ σύνεδρος ἐβιάζετο, πρὸς γάμον ἕλκων ἀπαξιοῦσαν. Ἡ δὲ οὐκ ἔχουσα ὅπως διαφύγῃ τὴν τυραννίδα, βουλὴν βουλεύεται οὐ τολμηρὰν μᾶλλον ἢ συνετήν. Τῇ ἱερᾷ τραπέζῃ προσφεύγει καὶ Θεὸν ποιεῖται προστάτην κατὰ τῆς ἐπηρείας. Τί οὖν ἔδει ποιεῖν, ὦ πρὸς τῆς Τριάδος αὐτῆς! ἵν' εἴπω τι καὶ δικανικῶς μεταξὺ τῶν ἐπαίνων, μὴ ὅτι τὸν μέγαν Βασίλειον καὶ τῶν τοιούτων ἅπασι νομοθέτην, ἄλλον δέ τινα τῶν πολὺ μετ' ἐκεῖνον, ἱερέα δ' ὅμως; Οὐκ ἀντιποιεῖ**172**σθαι, κατέχειν, κήδεσθαι, χεῖρα ὀρέγειν Θεοῦ φιλανθρωπίᾳ καὶ νόμῳ τῷ τετιμηκότι θυσιαστήρια; Οὐ πάντα δρᾶσαι καὶ παθεῖν ἐθελῆσαι πρότερον ἢ τι βουλεύσασθαι κατ' αὐτῆς ἀπάνθρωπον, καὶ καθυβρίσαι μὲν τὴν ἱερὰν τράπεζαν, καθυβρίσαι δὲ τὴν πίστιν μεθ' ἧς ἱκέτευεν; «Οὐ, φησὶν ὁ καινὸς δικαστής, ἀλλ' ἡττᾶσθαι χρὴ πάντας τῆς ἐμῆς δυναστείας καὶ προδότας γενέσθαι Χριστιανοὺς τῶν οἰκείων νόμων». Ὁ μὲν ἐζήτει τὴν ἱκέτιν· ὁ δ' εἶχετο κατὰ κράτος. Ὁ δ' ἐξεμαίνετο καὶ τέλος πέμπει τινὰς τῶν ἐπ' ἐξουσίας τὸν τοῦ ἁγίου κοιτωνίσκον ἐξερευνήσοντας, οὐ κατὰ χρείαν μᾶλλον ἢ ἀτιμίαν. Τί λέγεις; οἶκον ἐκείνου τοῦ ἀπαθοῦς, ὃν περιέπουσιν ἄγγελοι, ᾧ καὶ προσβλέπειν ὄκνουσι γυναῖκες; Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸν παρεῖναι καὶ ἀπολογεῖσθαι κελεύει· οὐδὲ ἡμέρως καὶ φιλανθρώπως, ἀλλ' ὡς ἕνα τῶν κατακριτων. Καὶ ὁ μὲν παρῆν· ὁ δὲ προὐκάθητο γέμων θυμοῦ καὶ φρονήματος. Εἱστήκει δέ, οἷον ὁ ἐμὸς Ἰησοῦς, Πιλάτου κρίνοντος. Οἱ κεραυνοὶ δὲ ἠμέλουν, ἡ δὲ τοῦ Θεοῦ μάχαιρα ἐστιλβοῦτο ἔτι καὶ ἀνεβάλλετο· καὶ τὸ τόξον ἐνετείνετο μέν, κατείχετο δέ, τῇ μετανοίᾳ καιρὸν ὑπανοῖγον. Ὅστις δὴ τοῦ Θεοῦ νόμος.

ΝΖ'. Ἄθρει δὴ πάλην ἑτέραν ἀγωνιστοῦ καὶ διώκτου. Τὸ περιαυχένιον ῥάκος σφενδονᾶσθαι προσέταττεν. Ὁ δέ, «Προσαποδύσομαί σοι, φησίν, εἰ βούλει, καὶ τὸ χιτώνιον». Τύπτειν ἠπείλει τὸν ἄσαρκον· ὁ δὲ ὑπέκυπτε. **174** Ξέειν τοῖς ὄνυξιν· ὁ δὲ «Ἰατρεύεις, φησί, τὸ ἧπαρ, ὁρᾷς ὅπως με κατατρύχον, τοῖς τοιούτοις θεραπεύων σπαρά**[569]**γμασιν». Οἱ μὲν οὖν ἐν τούτοις ἦσαν. Ἡ δὲ πόλις, ὡς ἤσθετο τοῦ κακοῦ καὶ τοῦ κοινοῦ πάντων κινδύνου, κίνδυνον γὰρ ἕκαστος ἑαυτοῦ τὴν ὕβριν ταύτην ἐνόμιζεν, ἐκμαίνεται πᾶσα καὶ ἀνάπτεται· καὶ ὡς καπνοῦ σμῆνος κινήσαντος, ἄλλος ἐπ' ἄλλῳ διεγείρεται καὶ ἀνίσταται, γένος ἅπαν καὶ ἡλικία πᾶσα, οἳ περὶ τὴν ὁπλοποιητικὴν καὶ βασίλειον ἱστουργικὴν μάλιστα. Καὶ γάρ εἰσι περὶ τὰ τοιαῦτα θερμότεροι καὶ τὸ τολμᾶν ἐκ τῆς παρρησίας ἔχοντες. Καὶ πᾶν ἦν ὅπλον ἑκάστῳ, τὸ παρὸν ἐκ τῆς τέχνης, εἴ τέ τι ἄλλο τῷ καιρῷ

τύχοι σχεδιασθέν. Αἱ δᾷδες ἐν χερσίν, οἱ λίθοι προβεβλημένοι, τὰ ῥόπαλα εὐτρεπῆ, δρόμος ἁπάντων εἷς, βοὴ μία, προθυμία κοινή. Θυμός, ὁ δεινὸς ὁπλίτης ἢ στρατηγός. Οὐδὲ γυναῖκες ἄοπλοι τηνικαῦτα, τοῦ καιροῦ θήγοντος· μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες· αἳ οὐδὲ γυναῖκες ἔμενον ἔτι, τῷ ζήλῳ ῥωσθεῖσαι καὶ εἰς ἀνδρῶν θάρσος μεταλλαττόμεναι. Βραχὺς ὁ λόγος· μερίζεσθαι τὴν εὐσέβειαν ᾤοντο, εἰ τοῦτον διέλοιντο· καὶ οὗτος αὐτοῖς εὐσεβέστερος ἦν, ὃς πρῶτος ἐπιβαλεῖ χεῖρα τῷ τολμητῇ τῶν τοιούτων. Τί οὖν ὁ σοβαρὸς ἐκεῖνος καὶ θρασὺς δικαστής; Ἱκέτης ἦν, ἐλεεινός, ἄθλιος, **176** τίνος οὐ ταπεινότερος, ἕως ἐπιφανεὶς ὁ χωρὶς αἵματος μάρτυς καὶ χωρὶς πληγῶν στεφανίτης, καὶ βίᾳ τὸν λαὸν κατασχὼν αἰδοῖ κρατηθέντα, τὸν ἱκέτην ἑαυτοῦ καὶ ὑβριστὴν διεσώσατο. Ταῦτα ὁ τῶν ἁγίων Θεός, ὁ ποιῶν πάντα καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, ταπεινοῖς δὲ χάριν ἐπιμετρῶν[1]. Τί δὲ οὐκ ἔμελλεν ὁ τεμὼν θάλασσαν καὶ ποταμὸν ἀνακόψας καὶ στοιχεῖα τυραννήσας καὶ χειρῶν ἐκτάσει τρόπαια στήσας, ἵνα διασώσῃ λαὸν φυγάδα καὶ τοῦτον ἐξαιρήσεσθαι τῶν κινδύνων;

ΝΗ'. Ὁ μὲν δὴ κοσμικὸς πόλεμος ἐνταῦθα ἐτελεύτησε καὶ πέρας εἶχεν ἐκ Θεοῦ δεξιὸν καὶ τῆς ἐκείνου πίστεως ἄξιον. Ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη τῶν ἐπισκόπων καὶ τῶν ἐκείνοις συμμάχων· οὗ πολὺ μὲν τὸ ἄδοξον, πλείων δὲ ἡ βλάβη τοῖς ἀρχομένοις. Τίς γὰρ ἂν τοὺς ἄλλους πείσειε μετριάζειν, οὕτω τῶν προεστώτων διακειμένων; Εἶχον μὲν γὰρ οὐδ' ἐκ πλείονος ἐπιεικῶς πρὸς αὐτόν, τριῶν ὄντων τῶν ὑπαιτίων. Οὔτε γὰρ τῷ τῆς πίστεως λόγῳ συνέβαινον, ὅτι μὴ πᾶσα ἀνάγκη, τοῖς πλήθεσι βιαζόμενοι· οὔτε τὴν ἐπὶ τῇ χειροτονίᾳ μικροψυχίαν τελέως κατελελύκεσαν. Καὶ τὸ παρὰ πολὺ τῆς δόξης κρατεῖσθαι, πάντων βαρύτατον ἦν αὐτοῖς, εἰ **[572]** καὶ ὁμολογεῖν αἴσχιστον. Ἐγένετο δὲ καὶ ἄλλη τις διαφορά, ἣ ταῦτα ἐκαινοποίησε.

Τῆς γὰρ πατρίδος ἡμῶν εἰς δύο διαιρεθείσης ἡγεμονίας καὶ μητροπόλεις καὶ πολλὰ τῶν ἐκ τῆς προτέρας **178** τῇ νέᾳ προσαγαγούσης, ἐντεῦθεν καὶ τὰ ἐκείνων ἐστασιάσθη. Ὁ μὲν γὰρ ἠξίου τοῖς δημοσίοις συνδιαιρεῖσθαι καὶ τὰ ἡμέτερα· καὶ διὰ τοῦτο μετεποιεῖτο τῶν νεωστὶ προσελθόντων, ὡς αὐτῷ διαφερόντων ἤδη κἀκείνου κεχωρισμένων. Ὁ δὲ τῆς παλαιᾶς εἴχετο συνηθείας καὶ τῆς ἐκ τῶν πατέρων ἄνωθεν διαιρέσεως. Ἐξ ὧν πολλὰ καὶ δεινά, τὰ μὲν συνέβαινεν ἤδη, τὰ δὲ ὠδίνετο. Ὑπεσπῶντο σύνοδοι παρὰ τοῦ νέου μητροπολίτου, πρόσοδοι διηρπάζοντο· πρεσβύτεροι τῶν ἐκκλησιῶν, οἱ μὲν ἀνεπείθοντο, οἱ δὲ ὑπηλλάττοντο.

Ἐξ ὧν συνέβαινε καὶ τὰ τῶν ἐκκλησιῶν χεῖρον ἔχειν διϊσταμένων καὶ τεμνομένων. Καὶ γάρ πως ταῖς καινοτομίαις χαίρουσιν ἄνθρωποι καὶ τὰ σφῶν ἡδέως παρακερδαίνουσι· καὶ ῥᾴόν τι καταλῦσαι

---

1. Πρβλ. Ἰακ. 4,6.

τῶν καθεστώτων ἢ καταλυθὲν ἐπαναγαγεῖν. Ὁ δὲ πλεῖον αὐτὸν ἐξέμηνεν, αἱ Ταυρικαὶ πρόσοδοι καὶ παρόδιοι, αὐτῷ μὲν ὁρώμεναι, ἐκείνῳ δὲ προσγενόμεναι, καὶ τὸν ἅγιον Ὀρέστην ἐκκαρποῦσθαι μέγα ἐτίθετο· ὡς καὶ τῶν ἡμιόνων λαβέσθαι ποτὲ τοῦ ἀνδρὸς ἰδίαν ὁδὸν ὁδεύοντος, εἴργων τοῦ πρώσω μετὰ ληστρικοῦ συντάγματος. Καὶ ἡ σκῆψις, ὡς εὐπρεπής! Τὰ γὰρ πνευματικὰ τέκνα καὶ αἱ ψυχαὶ καὶ ὁ τῆς πίστεως λόγος καὶ ταῦτα τὰ τῆς ἀπληστίας ἐπικαλύμματα, πρᾶγμα τῶν εὐπορίστων, καὶ τὸ μὴ χρῆναι δασμοφορεῖν κακοδόξοις· πᾶς γὰρ ὁ λυπῶν, κακόδοξος.

180 ΝΘ′. Οὐ μὴν ὁ ἅγιος τοῦ Θεοῦ καὶ τῆς ἄνω Ἱερουσαλὴμ ὄντως μητροπολίτης ἢ συναπήχθη τοῖς πταίουσιν ἢ παριδεῖν ταῦτα ἠνέσχετο ἢ μικρὰν τοῦ κακοῦ λύσιν ἐπενόει. Ἀλλὰ σκοπῶμεν, ὡς μεγάλην καὶ θαυμασίαν, καὶ τί γάρ, ἢ τῆς ἐκείνου ψυχῆς ἀξίαν. Προσθήκην γὰρ τῆς Ἐκκλησίας ποιεῖται τὴν στάσιν καὶ τὴν συμφορὰν ὡς κάλλιστα διατίθεται, πλείοσιν ἐπισκόποις τὴν πατρίδα καταπυ- **[573]** κνώσας. Ἐξ οὗ τί γίνεται; Τρία τὰ κάλλιστα· ψυχῶν ἐπιμέλεια πλείων καὶ τὸ πόλιν ἑκάστην τὰ ἑαυτῆς ἔχειν καὶ τὸ λυθῆναι ταύτῃ τὸν πόλεμον.

Ταύτης τῆς ἐπινοίας δέδοικα μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον· ἢ οὐκ οἶδ' ὅ τι καὶ εἰπεῖν εὐπρεπὲς χρή. Πάντα γὰρ τοῦ ἀνδρὸς θαυμάζων, οὐ μὲν οὖν ὁπόσον εἰπεῖν δυνατόν, ἓν τοῦτο ἐπαινεῖν οὐκ ἔχω, καὶ γὰρ ὁμολογήσω τὸ πάθος, οὐδὲ ἄλλως τοῖς πολλοῖς ἀγνοούμενον, τὴν περὶ ἡμᾶς καινοτομίαν καὶ ἀπιστίαν, ἧς οὐδὲ ὁ χρόνος τὴν λύπην ἀνάλωσεν· ἐκεῖθεν γάρ μοι πᾶσα συνέπεσεν ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ σύγχυσις καὶ τὸ φιλοσοφεῖν μὴ δυνηθῆναι ἢ μὴ νομίζεσθαι, εἰ καὶ βραχὺς τοῦ δευτέρου λόγος· πλὴν εἴ τις ἐκεῖνο δέξαιτο, ἡμῶν τοῦ ἀνδρὸς ὑπεραπολογουμένων, ὅτι μείζω φρονῶν ἢ κατὰ τὰ ἀνθρώπινα, καὶ τῶν ἐνθένδε πρὶν ἀποβιῶναι μεταναστάς, πάντα ἐποιεῖτο τοῦ Πνεύματος· καὶ φιλίαν αἰδεῖσθαι εἰδώς, ἐνταῦθα μόνον ἠτίμαζεν, οὗ Θεὸν ἔδει προτιμηθῆναι καὶ πλεῖον ἔχειν τῶν λυομένων τὰ ἐλπιζόμενα.

182 Ξ′. Δέδοικα μὲν οὖν μὴ ῥᾳθυμίας ἔγκλημα φεύγων, παρὰ τοῖς τὰ ἐκείνου πάντα ἐπιζητοῦσιν, ἀπληστίας περιπέσω γραφῇ, παρὰ τοῖς ἐπαινοῦσι τὸ μέτριον, ὃ μηδὲ ἐκεῖνος ἠτίμαζε, τὸ πᾶν μέτρον ἄριστον, ἐν τοῖς μάλιστα ἐπαινῶν, καὶ παρὰ πάντα τὸν ἑαυτοῦ βίον φυλάξας. Ὁμῶς δὲ ἀμφοτέρους περιφρονῶν, τούς τε λίαν συντόμους καὶ τοὺς ἄγαν ἀπλήστους, ὠδί πως τῷ λόγῳ χρήσομαι. Ἄλλοι μὲν οὖν ἄλλο τι κατορθοῦσιν, οἱ δέ τινα τῶν τῆς ἀρετῆς εἰδῶν ὄντων πλειόνων. Ἅπαντα δὲ οὐδεὶς ἐπῆλθε πρὸς τὸ ἀκρότατον οὔκουν τῶν νῦν ἡμῖν γινωσκομένων· ἀλλ' οὗτος ἄριστος ἡμῖν, ὃς ἂν τὰ πλείω τυγχάνῃ κατωρθωκὼς ἢ ἓν ὅτι μάλιστα. Ὁ δὲ οὕτω διὰ πάντων ἀφίκετο, ὡς εἶναι φιλοτιμία τις φύσεως. Σκοπῶμεν δὲ οὕτως.

Ἀκτησίαν τίς ἐπαινεῖ καὶ βίον ἄσκευον καὶ ἀπέριττον; Ἐκείνῳ

δὲ τί ποτε ἦν, πλὴν τοῦ σώματος καὶ τῶν ἀναγκαίων τῆς σαρκὸς καλυμμάτων; Πλοῦτος δὲ τὸ μηδὲν ἔχειν καὶ ὁ σταυρὸς ᾧ συνέζη μόνῳ, ὃν πολλῶν χρημάτων ἐνόμιζεν ἑαυτῷ τιμιώτερον. Ἅπαντα μὲν γὰρ οὐδ' ἄν, εἰ βούλοιτό τις, δυνατὸν εἶναι κτήσασθαι· πάντων δὲ εἰδέναι καταφρονεῖν καὶ οὕτω κρείττω τῶν πάντων φαίνεσθαι. Οὕτω δὲ διανοηθεὶς καὶ οὕτως ἔχων, βωμοῦ μὲν οὐκ ἐδεήθη καὶ τῆς κενῆς δόξης, οὐδὲ δημοσίου κηρύγματος τοῦ, «Κράτης Κράτητα **[576]** Θηβαῖον ἐλευθεροῖ». Εἶναι **184** γάρ, οὐ δοκεῖν, ἐσπούδαζεν ἄριστος. Οὐδὲ πίθον ᾤκει καὶ μέσην τὴν ἀγοράν, ὥστε πᾶσι παρατρυφᾶν, καινὴν εὐπορίαν τὸ ἀπορεῖν ποιούμενος· ἀφιλότιμος δέ, πένης ἦν καὶ ἀνήροτος· καὶ πάντων ἐκβολὴν στέρξας, ὧν ποτε εἶχε, κούφως διέπλει τὴν τοῦ βίου θάλασσαν.

ΞΑ΄. Θαυμαστὸν ἡ ἐγκράτεια καὶ ὀλιγάρκεια καὶ τὸ μὴ κρατεῖσθαι τῶν ἡδονῶν, μηδ' ὡς ὑπὸ πικρᾶς καὶ ἀνελευθέρου δεσποίνης, τῆς γαστρός, ἄγεσθαι. Τίς οὕτω μᾶλλον ἄτροφος ἦν, οὐ πολὺ δὲ εἰπεῖν, καὶ ἄσαρκος; Τὰς μὲν γὰρ πλησμονὰς καὶ τοὺς κόρους τοῖς ἀλογωτέροις ἀπέρριψε καὶ ὧν ἀνδραποδώδης καὶ κάτω νενευκὼς ὁ βίος. Αὐτὸς δὲ οὐδὲν ἥδει μέγα τῶν μετὰ τὸν λαιμὸν ὁμοτίμων, ἀλλὰ τοῖς ἀναγκαίοις διέζη μόνον ἕως ἐξῆν, καὶ μόνην ἥδει τρυφήν, τὸ μὴ τρυφῶν φαίνεσθαι, μηδὲ διὰ τοῦτο δεῖσθαι πλειόνων· ἀλλὰ πρὸς τὰ κρίνα βλέπειν καὶ τὰ πτηνά, οἷς ἄτεχνον τὸ κάλλος καὶ σχέδιος ἡ τροφή, κατὰ τὴν μεγάλην παραίνεσιν τοῦ ἐμοῦ Χριστοῦ[1] καὶ σάρκα δι' ἡμᾶς πτωχεύσαντος, ἵν' ἡμεῖς πλουτισθῶμεν θεότητα. Ἐντεῦθεν αὐτῷ τὸ ἓν χιτώνιον καὶ τριβώνιον καὶ ἡ χαμευνία καὶ ἡ ἀγρυπνία καὶ ἡ ἀλουσία, τὰ ἐκείνου σεμνολογήματα· καὶ τὸ ἥδιστον δεῖπνον καὶ ὄψον, ὁ ἄρτος καὶ οἱ ἅλες, ἡ καινὴ καρυκεία· καὶ ποτὸν νηφάλιόν τε καὶ ἄφθονον, ὃ γεωργοῦσι πηγαὶ μηδὲν πονουμένοις. Ἐξ ὧν ἢ μεθ' ὧν νοσοκομίαι καὶ ἰατρεῖαι, τὸ κοινὸν ἡμῶν ἐμφιλοσόφημα· **186** ἔδει γάρ με τῶν ἀνιαρῶν τὸ ἴσον ἔχειν, τοῖς ἄλλοις λειπόμενον.

ΞΒ΄. Μέγα παρθενία καὶ ἀζυγία καὶ τὸ μετ' ἀγγέλων τετάχθαι καὶ τῆς μοναδικῆς φύσεως· ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ, ὃς καὶ γεννηθῆναι θελήσας διὰ τοὺς γεννητοὺς ἡμᾶς ἐκ παρθένου γεννᾶται, παρθενίαν νομοθετῶν ὡς ἐνθένδε μετάγουσαν καὶ κόσμον συντέμνουσαν, μᾶλλον δὲ κόσμον κόσμῳ παραπέμπουσαν, τὸν ἑνεστῶτα τῷ μέλλοντι. Τίς **[577]** οὖν ἐκείνου μᾶλλον ἢ παρθενίαν ἐτίμησεν ἢ σαρκὶ ἐνομοθέτησεν, οὐ τῷ καθ' ἑαυτὸν ὑποδείγματι μόνον, ἀλλὰ καὶ οἷς ἐσπούδασε; Τίνος οἱ παρθενῶνες καὶ τὰ ἔγγραφα διατάγματα, οἷς πᾶσαν μὲν αἴσθησιν ἐσωφρόνιζε, πᾶν δὲ μέλος ἐρύθμιζε καὶ ὄντως παρθενεύειν ἔπειθεν, εἴσω τὰ κάλλη στρέφων ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ μὴ βλεπόμενα· καὶ τὸ μὲν ἔξωθεν ἀπομαραίνων καὶ τὴν ὕλην ὑποσπῶν τῆς φλογός, τὸ δὲ κρυπτὸν τῷ Θεῷ δεικνύς, ὃς μόνος

1. Πρβλ. Ματθ. 6,26 ἑξ.

τῶν καθαρῶν ψυχῶν ἐστι νυμφίος καὶ τὰς ἀγρύπνους ἑαυτῷ συνεισάγει ψυχάς, ἐὰν μετὰ λαμπρῶν τῶν λαμπάδων αὐτῷ καὶ δαψιλοῦς τῆς τοῦ ἐλαίου τροφῆς ἀπαντήσωσιν[1];

Τοῦ τοίνυν ἐρημικοῦ βίου καὶ τοῦ μιγάδος μαχομένων πρὸς ἀλλήλους ὡς τὰ πολλὰ καὶ διϊσταμένων, καὶ οὐδετέρου πάντως ἢ τὸ καλὸν ἢ τὸ φαῦλον ἀνεπίμικτον ἔχοντος· ἀλλὰ τοῦ μὲν ἡσυχίου μὲν ὄντος μᾶλλον καὶ καθεστηκότος καὶ Θεῷ συνάγοντος, οὐκ ἀτύφου δὲ διὰ τὸ τῆς ἀρετῆς ἀβασάνιστον καὶ ἀσύγκριτον· τοῦ δὲ πρακτικωτέρου μὲν μᾶλλον καὶ χρησιμωτέρου, τὸ δὲ θορυβῶδες οὐ **188** φεύγοντος καὶ τούτους ἄριστα κατήλλαξεν ἀλλήλοις καὶ συνεκέρασεν· ἀσκητήρια καὶ μοναστήρια δειμάμενος μέν, οὐ πόρρω δὲ τῶν κοινωνικῶν καὶ μιγάδων, οὐδὲ ὥσπερ τειχίῳ τινὶ μέσῳ ταῦτα διαλαβὼν καὶ ἀπ' ἀλλήλων χωρίσας, ἀλλὰ πλησίον συνάψας καὶ διαζεύξας· ἵνα μήτε τὸ φιλόσοφον ἀκοινώνητον ᾖ, μήτε τὸ πρακτικὸν ἀφιλόσοφον· ὥσπερ δὲ γῇ καὶ θάλασσα τὰ παρ' ἑαυτῶν ἀλλήλοις ἀντιδιδόντες, εἰς μίαν δόξαν Θεοῦ συντρέχωσι.

ΞΓ'. Τί ἔτι; Καλὸν φιλανθρωπία καὶ πτωχοτροφία καὶ τὸ τῆς ἀνθρωπίνης ἀσθενείας βοήθημα. Μικρὸν ἀπὸ τῆς πόλεως πρόελθε καὶ θέασαι τὴν καινὴν πόλιν, τὸ τῆς εὐσεβείας ταμεῖον, τὸ κοινὸν τῶν ἐχόντων θησαύρισμα, εἰς ὃ τὰ περιττὰ τοῦ πλούτου, ἤδη δὲ καὶ τὰ ἀναγκαῖα ταῖς ἐκείνου παραινέσεσιν ἀποτίθεται, σῆτας ἀποσειόμενα καὶ κλέπτας οὐκ εὐφραίνοντα[2] καὶ φθόνου πάλην καὶ καιροῦ φθορὰν διαφεύγοντα· ἐν ᾧ νόσος φιλοσοφεῖται καὶ συμφορὰ μακαρίζεται καὶ τὸ συμπαθὲς δοκιμάζεται. Τί μοι πρὸς τοῦτο τὸ **[580]** ἔργον, ἑπτάπυλοι Θῆβαι καὶ Αἰγύπτιαι καὶ τείχη Βαβυλώνια καὶ Μαυσόλου Καρικὸς τάφος καὶ Πυραμίδες καὶ Κολοσσοῦ χαλκὸς ἄμετρος ἢ ναῶν μεγέθη καὶ κάλλη τῶν μηκέτι ὄντων, ἄλλα τε ὅσα θαυμάζουσιν ἄνθρωποι καὶ ἱστορίαις διδόασιν, ὧν οὐδὲν τοὺς ἐγείραντας πλὴν δόξης ὀλίγης ὤνησεν; Ἐμοὶ δὲ θαυμασιώτατον, ἡ **190** σύντομος τῆς σωτηρίας ὁδός, ἡ ῥᾴστη πρὸς οὐρανὸν ἀνάβασις. Οὐκ ἔτι πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινόν, ἄνθρωποι νεκροὶ πρὸ θανάτου καὶ τετελευτηκότες τοῖς πλείστοις τοῦ σώματος μέλεσιν, ἀπελαυνόμενοι πόλεων, οἰκιῶν, ἀγορῶν, ὑδάτων, αὐτῶν τῶν φιλτάτων, ὀνόμασι μᾶλλον ἢ σώμασι γνωριζόμενοι· οὐδὲ προτίθενται συνόδοις τε καὶ συλλόγοις κατὰ συζυγίαν τε καὶ συναυλίαν, μηκέτ' ἐλεούμενοι διὰ τὴν νόσον, ἀλλὰ μισούμενοι· σοφισταὶ μελῶν ἐλεεινῶν, εἴ τισι καὶ φωνὴ λείπεται. Τί ἂν ἅπαντα ἐκτραγῳδοίην τὰ ἡμέτερα, οὐκ ἀρκοῦντος τοῦ λόγου τῷ πάθει; Ἀλλ' ἐκεῖνός γε μάλιστα πάντων ἔπεισεν ἀνθρώπους ὄντας ἀνθρώπων μὴ καταφρονεῖν, μηδ' ἀτιμάζειν Χριστόν, τὴν μίαν πάντων κεφαλήν, διὰ τῆς εἰς ἐκείνους ἀπανθρωπίας· ἀλλ' ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τὰ οἰκεῖα εὖ τίθεσθαι, καὶ

---

1. Πρβλ. Ματθ. 25,6 ἑξ. 2. Πρβλ. Ματθ. 6,19 ἑξ. Λουκ. 12,33

δανείζειν Θεῷ τὸν ἔλεον, ἐλέου χρήζοντος. Διὰ τοῦτο, οὐδὲ τοῖς χείλεσιν ἀπηξίου τιμᾶν τὴν νόσον, ὁ εὐγενής τε καὶ τῶν εὖ γεγονότων καὶ τὴν δόξαν ὑπέρλαμπρος, ἀλλ' ὡς ἀδελφοὺς ἠσπάζετο, οὐχ ὅπερ ἄν τις ὑπολάβοι κενοδοξῶν (τίς γὰρ τοσοῦτον ἀπεῖχε τοῦ πάθους;), ἀλλὰ τὸ προσιέναι τοῖς σώμασιν ἐπὶ θεραπείᾳ διὰ τῆς ἑαυτοῦ φιλοσοφίας τυπῶν, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις. Καὶ οὐχ ἡ μὲν πόλις οὕτως, ἡ χώρα δὲ καὶ τὰ ἐκτὸς ἑτέρως· ἀλλὰ κοινὸν ἅπασιν ἀγῶνα προὔθηκε τοῖς τῶν λαῶν προεστῶσι, **192** τὴν εἰς αὐτοὺς φιλανθρωπίαν καὶ μεγαλοψυχίαν. Καὶ ἄλλων μὲν οἱ ὀψοποιοὶ καὶ αἱ λιπαραὶ τράπεζαι καὶ τὰ μαγείρων μαγγανεύματα καὶ κομψεύματα καὶ οἱ φιλόκαλοι δίφροι καὶ τῆς ἐσθῆτος ὅση μαλακή τε καὶ περιρρέουσα· Βασιλείου δὲ οἱ νοσοῦντες καὶ τὰ τῶν τραυμάτων ἄκη καὶ ἡ Χριστοῦ μίμησις, οὐ λόγῳ μέν, ἔργῳ δὲ λέπραν καθαίροντος.

ΞΔ΄. Πρὸς ταῦτα, τί φήσουσιν ἡμῖν οἱ τὸν τῦφον ἐγκαλοῦντες ἐκείνῳ καὶ τὴν ὀφρύν, οἱ πικροὶ τῶν τηλικούτων κριταὶ καὶ τῷ κανόνι τοὺς οὐ κανόνας προσάγοντες; Ἔστι λεπροὺς μὲν ἀσπάζεσθαι καὶ μέχρι τούτου συνταπεινοῦσθαι, τῶν δὲ ὑγιαινόντων κατοφρυᾶσθαι; Καὶ τήκειν μὲν τὰς σάρκας **[581]** δι' ἐγκρατείας, τὴν ψυχὴν δὲ οἰδαίνειν κενῷ φρυάγματι; Καὶ τοῦ μὲν Φαρισαίου καταγινώσκειν καὶ διηγεῖσθαι τὴν ἐξ ὄγκου ταπείνωσιν καὶ Χριστὸν εἰδέναι μέχρι δούλου μορφῆς κατελθόντα[1] καὶ τελώναις συνέσθοντα καὶ νίπτοντα τοὺς πόδας τῶν μαθητῶν καὶ σταυρὸν οὐκ ἀπαξιοῦντα, ἵνα προσηλώσῃ τὴν ἐμὴν ἁμαρτίαν, — καίτοι τί τούτου παραδοξότερον, Θεὸν σταυρούμενον βλέπειν καὶ τοῦτον μετὰ λῃστῶν καὶ ὑπὸ τῶν παριόντων γελώμενον, τὸν ἀνάλωτον καὶ τοῦ παθεῖν ὑψηλότερον· — αὐτὸν δὲ ὑπερνεφεῖν καὶ μηδὲν γινώσκειν ὁμότιμον, ὃ δοκεῖ τοῖς ἐκείνῳ βασκαίνουσιν; Ἀλλ' οἶμαι τὸ τοῦ ἤθους εὐσταθὲς καὶ βεβηκὸς καὶ ἀπεξεσμένον τῦφον ὠνόμασαν. Οἱ δ' αὐτοί μοι δοκοῦσι ῥᾳδίως ἂν καὶ τὸν ἀνδρεῖον καλέσαι θρασὺν καὶ δειλὸν τὸν περιεσκεμμένον καὶ τὸν σώφρονα μισάνθρωπον **194** καὶ τὸν δίκαιον ἀκοινώνητον. Καὶ γὰρ οὐ φαύλως τοῦτό τινες πεφιλοσοφήκασιν, ὅτι παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι, καί εἰσί πως ἀγχίθυροι· καὶ ῥᾷστον ἄλλο τι ὄντα ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πεπαιδευμένοις.

Τίς γὰρ ἐκείνου μᾶλλον ἢ ἀρετὴν ἐτίμησεν ἢ κακίαν ἐκόλασεν, ἢ χρηστὸς ὤφθη τοῖς κατορθοῦσιν ἢ τοῖς ἁμαρτάνουσιν ἐμβριθής· οὗ καὶ τὸ μειδίαμα πολλάκις ἔπαινος ἦν καὶ τὸ σιωπᾶν ἐπιτίμησις, οἰκείῳ συνειδότι τὸ κακὸν βασανίζουσα; Εἰ δὲ μὴ στωμύλος τις ἦν, μηδὲ γελοιαστὴς καὶ ἀγοραῖος, μηδὲ τοῖς πολλοῖς ἀρέσκων, ἐκ τοῦ πᾶσι πάντα γίνεσθαι καὶ χαρίζεσθαι, τί τοῦτο; Οὐκ ἐπαινετέος μᾶλλον ἢ μεμπτέος τοῖς γε νοῦν ἔχουσιν; Εἰ μὴ καὶ τὸν λέοντα αἰτιῷτό τις ὅτι μὴ πιθήκειον βλέπει, ἀλλὰ βλοσυρὸν καὶ βασιλικόν, οὗ καὶ τὰ

1. Πρβλ. Φιλιπ. 2,7.

σκιρτήματα γενναῖα καὶ μετὰ θαύματος ἀγαπώμενα· καὶ τοὺς ἐπὶ τῆς σκηνῆς θαυμάζοι, ὡς ἡδεῖς τε καὶ φιλανθρώπους, ὅτι τοῖς δήμοις χαρίζονται καὶ κινοῦσι γέλωτα τοῖς ἐπὶ κόρρης ῥαπίσμασι καὶ ψοφήμασι. Καίτοι κἂν εἰ τοῦτο ζητοίημεν, τίς μὲν οὕτως ἡδὺς ἐν ταῖς συνουσίαις, ὅσα ἐμὲ γινώσκειν τὸν μάλιστα ἐκείνου πεπειραμένον; Τίς διηγήσασθαι χαριέστερος; Τίς μὲν σκῶψαι παιδευτικῶς, τίς δὲ καθάψασθαι ἁπαλῶς; Καὶ μήτε τὴν ἐπιτίμησιν θράσος ποιῆσαι μήτε τὴν ἄνεσιν ἔκλυσιν, ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν φυγεῖν, ἀμφοτέροις σὺν λόγῳ καὶ καιρῷ χρώμενον, κατὰ τοὺς Σολομῶντος νόμους, παντὶ πράγματι καιρὸν διατάξαντος[1].

196 ΞΕ'. Ἀλλὰ τί ταῦτα πρὸς τὴν ἐν λόγοις τοῦ ἀνδρὸς ἀρετὴν καὶ τὸ τῆς διδασκαλίας κράτος τὰ πέρατα οἰκειούμενον; Ἔτι περὶ τοὺς πρόποδας τοῦ **[584]** ὄρους στρεφόμεθα, τῆς ἄκρας ἀπολειπόμενοι· ἔτι πορθμὸν διαπερῶμεν, ἀφέντες τὸ μέγα καὶ βαθὺ πέλαγος. Οἶμαι γὰρ εἴ τις ἐγένετο ἢ γενήσεται σάλπιγξ ἐπὶ πολὺ τοῦ ἀέρος φθάνουσα ἢ Θεοῦ φωνὴ τὸν κόσμον περιλαμβάνουσα ἢ σεισμὸς οἰκουμένης ἔκ τινος καινοτομίας καὶ θαύματος, ταῦτα εἶναι τὴν ἐκείνου φωνὴν καὶ διάνοιαν, τοσοῦτον ἅπαντας ἀπολείπουσαν καὶ κάτω τιθεῖσαν, ὅσον τὴν τῶν ἀλόγων φύσιν ἡμεῖς.

Τίς μὲν ἑαυτὸν ἐκάθηρε μᾶλλον τῷ Πνεύματι καὶ ἄξιον τοῦ διηγεῖσθαι τὰ θεῖα παρεσκεύασε; Τίς δὲ μᾶλλον ἐφωτίσθη φῶς γνώσεως καὶ διέκυψεν εἰς τὰ βάθη τοῦ Πνεύματος καὶ μετὰ Θεοῦ τὰ περὶ Θεοῦ διεσκέψατο; Τίς δὲ λόγον ἔσχεν ἀμείνω τῶν νοηθέντων ἑρμηνευτήν, ὡς μηδ' ἑτέρῳ σκάζειν, κατὰ τοὺς πολλούς, ἢ νῷ λόγον οὐκ ἔχοντι ἢ λόγῳ μὴ κατὰ νοῦν βεβηκότι· ἀλλ' ἀμφοτέρωθεν ὁμοίως εὐδοκιμεῖν καὶ αὐτὸν ἴσον ἑαυτῷ φαίνεσθαι καὶ ὄντως ἄρτιον; Πάντα μὲν ἐρευνᾶν καὶ τὰ βάθη τοῦ Θεοῦ[2], τῷ Πνεύματι μεμαρτύρηται, οὐχ ὡς ἀγνοοῦντι, ἀλλ' ὡς ἐντρυφῶντι τῇ θεωρίᾳ. Πάντα δὲ ἐκείνῳ διηρεύνηται τὰ τοῦ Πνεύματος, ἐξ ὧν ἦθος ἅπαν ἐπαίδευσε καὶ ὑψηγορίαν ἐδίδαξε καὶ τῶν παρόντων ἀπανέστησε καὶ πρὸς τὰ μέλλοντα μετεσκεύασεν.

198 ΞΣ'. Ἡλίου μὲν ἐπαινεῖται παρὰ τῷ Δαβὶδ κάλλος καὶ μέγεθος καὶ δρόμου τάχος καὶ δύναμις, λάμποντος ὡς νυμφίου, εὐμεγέθους ὡς γίγαντος, οὗ καὶ τὸ πολὺ διαβαίνειν ἔχει δύναμιν τοσοῦτον ὡς ἀπ' ἄκρων τὰ ἄκρα ἰσοτίμως καταφωτίζειν καὶ μηδὲν ἐλαττοῦσθαι τὴν θερμὴν τοῖς διαστήμασι[3]· τοῦ δὲ κάλλους μὲν ἡ ἀρετή, μέγεθος δὲ ἡ θεολογία, δρόμος δὲ τὸ ἀεικίνητον καὶ μέχρι Θεοῦ φέρον ταῖς ἀναβάσεσι, δύναμις δὲ ἡ τοῦ λόγου σπορὰ καὶ διάδοσις· ὥστε ἐμοί γε, οὐδὲ τοῦτο εἰπεῖν ὀκνητέον, τὸ εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν ῥημάτων

---

1. Πρβλ. Ἐκκλ. 3,1 ἑξ. 2. Πρβλ. Α' Κορ. 2,10. 3. Πρβλ. Ψαλ. 18,6-7.

τὴν δύναμιν[1]· ὃ περὶ τῶν ἀποστόλων ὁ Παῦλος ἔφησε, παρὰ Δαβὶδ ἐκδεξάμενος. Τίς μὲν ἄλλη συλλόγου σήμερον χάρις; Τίς δὲ συμποσίων ἡδονή; Τίς δὲ ἀγορῶν; Τίς δὲ ἐκκλησιῶν; Τίς τῶν ἐν τέλει καὶ τῶν μετ' ἐκείνους τρυφή; Τίς μοναστῶν ἢ μιγάδων; Τίς τῶν ἀπραγμόνων ἢ τῶν ἐν πράγματι; Τίς τῶν τὰ ἔξωθεν φιλοσοφούντων ἢ τὰ ἡμέτερα; Μία καὶ διὰ πάντων καὶ ἡ μεγίστη, τὰ ἐκείνου συγγράμματα καὶ πονήματα. Οὐδὲ γραφεῦσιν εὐπορία τις ἄλλη μετ' ἐκεῖνον ἢ τὰ ἐκείνου συγγράμματα. Σιωπᾶται **[585]** τὰ παλαιά, ὅσα τινὲς τοῖς θείοις λόγοις ἐνίδρωσαν· βοᾶται τὰ νέα, καὶ οὗτος ἄριστος ἡμῖν ἐν λόγοις, ὃς ἂν τὰ ἐκείνου μάλιστα τυγχάνῃ γινώσκων καὶ διὰ γλώσσης φέρων καὶ συνετίζων τὰς ἀκοάς· ἤρκεσε γὰρ εἷς ἀντὶ πάντων τοῖς σπουδαιοτέροις εἰς παίδευσιν.

ΞΖ'. Ἐγὼ τοῦτο μόνον αὐτοῦ διηγήσομαι. Ὅταν **200** τὴν Ἑξαήμερον αὐτοῦ μεταχειρίζωμαι καὶ διὰ γλώσσης φέρω, μετὰ τοῦ κτίστου γίνομαι καὶ γινώσκω κτίσεως λόγους καὶ θαυμάζω τὸν κτίστην πλέον ἢ πρότερον, ὄψει μόνῃ διδασκάλῳ χρώμενος. Ὅταν τοῖς ἀντιρρητικοῖς ἐντύχω λόγοις, τὸ Σοδομιτικὸν ὁρῶ πῦρ, ᾧ τεφροῦνται γλῶσσαι πονηραὶ καὶ παράνομοι ἢ τὸν Χαλανῆς πύργον, κακῶς μὲν οἰκοδομούμενον, καλῶς δὲ λυόμενον. Ὅταν τοῖς περὶ Πνεύματος, εὑρίσκω Θεὸν ὃν ἔχω καὶ παρρησιάζομαι τὴν ἀλήθειαν, ἐπιβατεύων τῆς ἐκείνου θεολογίας καὶ θεωρίας. Ὅταν ταῖς ἄλλαις ἐξηγήσεσιν, ἃς τοῖς μικρὰ βλέπουσιν ἀναπτύσσει, τρισσῶς ἐν ταῖς στερραῖς ἑαυτοῦ πλαξὶ τῆς καρδίας ἀπογραψάμενος[2], πείθομαι μὴ μέχρι τοῦ γράμματος ἵστασθαι, μηδὲ βλέπειν τὰ ἄνω μόνον, ἀλλὰ καὶ περαιτέρω διαβαίνειν καὶ εἰς βάθος ἔτι χωρεῖν ἐν βάθους ἄβυσσον ἀβύσσῳ προσκαλούμενος[3] καὶ φωτὶ φῶς εὑρίσκων, μέχρις ἂν φθάσω πρὸς τὸ ἀκρότατον. Ὅταν ἀθλητῶν ἐγκωμίοις προσομιλήσω, περιφρονῶ τὸ σῶμα καὶ σύνειμι τοῖς ἐπαινουμένοις καὶ πρὸς τὴν ἄθλησιν διεγείρομαι. Ὅταν ἠθικοῖς λόγοις καὶ πρακτικοῖς καθαίρομαι ψυχὴν καὶ σῶμα καὶ ναὸς Θεοῦ γίνομαι δεκτικὸς καὶ ὄργανον κρουόμενον Πνεύματι καὶ θείας ὑμνῳδὸν δόξης τε καὶ δυνάμεως· τούτῳ μεθαρμόζομαι καὶ ῥυθμίζομαι καὶ ἄλλος ἐξ ἄλλου γίνομαι, τὴν θείαν ἀλλοίωσιν ἀλλοιούμενος.

ΞΗ'. Ἐπεὶ δὲ θεολογίας ἐμνήσθην καὶ τῆς περὶ τοῦτο τοῦ ἀνδρὸς μάλιστα μεγαλοφωνίας, ἔτι κἀκεῖνο προσ**202**θήσω τοῖς εἰρημένοις· χρησιμώτατον γὰρ τοῖς πολλοῖς, τοῦ μὴ βλάπτεσθαι, τὴν χείρω περὶ αὐτοῦ δόξαν ἔχοντας. Πρὸς δὲ τοὺς κακούργους ὁ λόγος, οἳ τοῖς ἑαυτῶν κακοῖς βοηθοῦσιν, ἐξ ὧν ἄλλοις ἐπηρεάζουσιν.

Ἐκεῖνος γὰρ ἕνεκα τοῦ ὀρθοῦ λόγου καὶ τῆς κατὰ τὴν ἁγίαν Τριάδα συναφείας καὶ συνθείας, ἢ οὐκ οἶδ' ὅ τι κυριώτερον χρὴ εἰπεῖν

1. Πρβλ. Ψαλ. 18,5. Ρωμ. 10,18. 2. Πρβλ. Β' Κορ. 3,3. 3. Πρβλ. Ψαλ. 41,8.

καὶ σαφέστερον, μὴ ὅτι θρόνων ἐκπεσεῖν, οἷς οὐδὲ **[588]** ἀπ' ἀρχῆς ἐπεπήδησεν, ἀλλὰ καὶ φυγὴν καὶ θάνατον καὶ τὰς πρὸ τοῦ θανάτου κολάσεις προθύμως ἐδέξατο ἂν ὡς κέρδος, οὐ κίνδυνον. Δηλοῖ δὲ οἷς τε ἤδη πεποίηκεν, οἷς τε πέπονθεν· ὅς γε καὶ ἐξορίαν ὑπὲρ τῆς ἀληθείας κατακριθείς, τοσοῦτον ἐπραγματεύσατο μόνον, ὅσον ἐνὶ τῶν ἀκολούθων εἰπεῖν, ἀραμένῳ τὸ πυκτίον ἀκολουθεῖν. Οἰκονομεῖν δὲ τοὺς λόγους ἐν κρίσει[1] τῶν ἀναγκαίων ἐνόμιζε, τῷ θείῳ Δαβὶδ περὶ τούτου συμβούλῳ χρώμενος καὶ μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρειν καὶ τὴν τῶν αἱρετικῶν δυναστείαν, ἕως ὁ τῆς ἐλευθερίας καὶ τῆς αἰθρίας ἐπιλάβοι καιρὸς καὶ δῷ τῇ γλώσσῃ παρρησίαν. Οἱ μὲν γὰρ ἐζήτουν λαβέσθαι γυμνῆς τῆς περὶ τοῦ Πνεύματος φωνῆς, ὡς εἴη Θεός· ὅπερ ὂν ἀληθές, ἀσεβὲς ἐκείνοις ὑπελαμβάνετο καὶ τῷ κακῷ προστάτῃ τῆς ἀσεβείας· ἵνα τὸν μὲν τῆς πόλεως μετὰ τῆς θεολόγου γλώσσης ὑπερορίσωσιν, αὐτοὶ δὲ κατασχόντες τὴν Ἐκκλησίαν καὶ τῆς ἑαυτῶν κακίας ὁρμητήριον ποιησάμενοι, ἐντεῦθεν τὸ λειπόμενον ἅπαν, ὡς ἔκ τινος ἀκροπόλεως, καταδράμωσιν. Ὁ δὲ ἐν ἄλλαις μὲν φωναῖς γραφικαῖς **204** καὶ μαρτυρίαις ἀναμφιλέκτοις ταὐτὸν δυναμέναις καὶ ταῖς ἐκ τῶν συλλογισμῶν ἀνάγκαις, οὕτως ἦρχε τοὺς ἀντιλέγοντας, ὥστε μὴ ἀντιβαίνειν ἔχειν, ἀλλ' οἰκείαις συνδεῖσθαι φωναῖς, ἥπερ δὴ καὶ μεγίστη λόγου δύναμις καὶ σύνεσις. Δηλώσει δὲ καὶ ὁ λόγος, ὃν περὶ τούτου συνέγραψε, κινῶν τὴν γραφίδα ὡς ἐκ πυξίδος τοῦ Πνεύματος· τὴν δὲ κυρίαν φωνὴν τέως ὑπερετίθετο, παρά τε τοῦ Πνεύματος αὐτοῦ καὶ τῶν γνησίων τούτου συναγωνιστῶν χάριν αἰτῶν, τῇ οἰκονομίᾳ μὴ δυσχεραίνειν· μηδὲ μιᾶς ἀντεχομένους φωνῆς, τὸ πᾶν ἀπολέσαι δι' ἀπληστίαν, τῷ καιρῷ παρασυρείσης τῆς εὐσεβείας. Αὐτοῖς μὲν γὰρ οὐδεμίαν εἶναι ζημίαν, ὑπαλλαττομένων μικρὸν τῶν λέξεων καὶ φωναῖς ἄλλαις τὸ ἴσον διδασκομένοις· οὐδὲ γὰρ ἐν ῥήμασιν ἡμῖν εἶναι τὴν σωτηρίαν μᾶλλον ἢ πράγμασι· μηδὲ γὰρ τὸ Ἰουδαίων ἔθνος ἀποβαλεῖν ἄν, εἰ τὴν τοῦ ἠλειμμένου φωνὴν ἀντὶ τῆς Χριστοῦ πρὸ ὀλίγου ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι· τῷ δὲ κοινῷ μεγίστην ἂν βλάβην γενέσθαι, τῆς Ἐκκλησίας κατασχεθείσης.

[589] ΞΘ'. Ἐπεὶ ὅτι γε παντὸς μᾶλλον ἥδει τὸ Πνεῦμα Θεόν, δῆλον μὲν ἐξ ὧν καὶ δημοσίᾳ τοῦτο πολλάκις ἐκήρυξεν, εἴ ποτε καιρὸς ἦν καὶ ἰδίᾳ τοῖς ἐρωτῶσι προθύμως ἀνωμολόγησε· σαφέστερον δὲ πεποίηκεν ἐν τοῖς πρὸς ἐμὲ λόγοις, πρὸς ὃν οὐδὲν ἀπόρρητον ἦν αὐτῷ περὶ τούτων κοι**206**νολογουμένῳ· μηδὲ ἁπλῶς τοῦτο ἀποφηνάμενος, ἀλλ' ὃ μηδέπω πρότερον πολλάκις πεποίηκεν, ἐπαρασάμενος ἑαυτῷ τὸ φρικωδέστατον, αὐτοῦ τοῦ Πνεύματος ἐκπεσεῖν, εἰ μὴ σέβοι τὸ Πνεῦμα μετὰ Πατρὸς καὶ Υἱοῦ, ὡς ὁμοούσιον καὶ ὁμότιμον. Εἰ δέ μέ τις δέξαιτο κοινωνὸν ἐκείνου κἀν τοῖς τοιούτοις, ἐξαγορεύσω τι

---

1. Πρβλ. Ψαλ. 111,5.

καὶ τῶν τοῖς πολλοῖς τέως ἀγνοουμένων· ὅτι τοῦ καιροῦ στενοχωροῦντος ἡμᾶς, ἑαυτῷ μὲν τὴν οἰκονομίαν ἐπέτρεψεν, ἡμῖν δὲ τὴν παρρησίαν, οὓς οὐδεὶς ἔμελλε κρίνειν οὐδὲ ἀποβάλλειν τῆς πατρίδος, ἀφανείᾳ τετιμημένους, ὡς ἐξ ἀμφοτέρων ἰσχυρὸν εἶναι τὸ καθ' ἡμᾶς εὐαγγέλιον.

Καὶ ταῦτα διῆλθον, οὐχ ἵνα τῆς ἐκείνου δόξης ὑπεραπολογήσωμαι· κρείττων γὰρ τῶν ἐγκαλούντων, εἴπερ τινές εἰσιν, ὁ ἀνήρ· ἀλλ' ἵνα μὴ τοῦτον ὅρον τῆς εὐσεβείας νομίζοντες τὰς ἐν τοῖς γράμμασι μόνας τοῦ ἀνδρὸς εὑρισκομένας φωνάς, ἀσθενεστέραν τὴν πίστιν ἔχωσι καὶ ἀπόδειξιν τῆς ἑαυτῶν κακουργίας τὴν ἐκείνου θεολογίαν, ἣν ὁ καιρὸς ἐποίει μετὰ τοῦ Πνεύματος· ἀλλὰ τὸν τῶν γεγραμμένων νοῦν δοκιμάζοντες καὶ τὸν σκοπὸν ἀφ' οὗ ταῦτα ἐγράφετο, μᾶλλον τῇ τε ἀληθείᾳ προσάγωνται καὶ τοὺς ἀσεβοῦντας ἐπιστομίζωσιν. Ἐμοὶ γοῦν εἴη καὶ ὅστις ἐμοὶ φίλος, ἡ ἐκείνου θεολογία! Καὶ τοσοῦτον θαρρῶ τῇ περὶ τὸ πρᾶγμα τοῦ ἀνδρὸς καθαρότητι, ὥστε καὶ τοῦτο κοινοποιοῦμαι πρὸς ἅπασι· κἀκείνῳ μὲν τὰ ἐμά, ἐμοὶ δὲ τὰ **208** ἐκείνου λογίζοιτο παρά τε Θεῷ καὶ τῶν ἀνθρώπων τοῖς εὐγνωμονεστέροις! Οὐδὲ γὰρ τοὺς εὐαγγελιστὰς φαίημεν ἂν ὑπεναντία ποιεῖν ἀλλήλοις, ὅτι οἱ μὲν τῷ σαρκικῷ τοῦ Χριστοῦ πλέον ἐνησχολήθησαν, οἱ δὲ τῇ θεολογίᾳ προσέβησαν· καὶ οἱ μὲν ἐκ τῶν καθ' ἡμᾶς, οἱ δὲ ἐκ τῶν ὑπὲρ ἡμᾶς ἐποιήσαντο τὴν ἀρχήν· οὕτω τὸ κήρυγμα διελόμενοι πρὸς τὸ χρήσιμον οἶμαι τοῖς δεχομένοις καὶ οὕτω παρὰ τοῦ ἐν αὐτοῖς τυπούμενοι Πνεύματος.

Ο'. Φέρε δή, πολλῶν ἐν τοῖς πάλαι καὶ νῦν γεγονότων ἀνδρῶν ἐπ' εὐσεβείᾳ γνωρίμων, νομοθετῶν, στρατηγῶν, προφητῶν, διδασκάλων, τῶν ἀνδρικῶν **[592]** μέχρις αἵματος, παρ' ἐκείνους τὰ ἡμέτερα θεωρήσαντες, κἀντεῦθεν τὸν ἄνδρα γνωρίσωμεν.

Ἀδὰμ ἠξιώθη Θεοῦ χειρὸς καὶ παραδείσου τρυφῆς καὶ πρώτης νομοθεσίας· ἀλλ', εἰ μή τι λέγω βλάσφημον αἰδοῖ τοῦ προπάτορος, τὴν ἐντολὴν οὐκ ἐφύλαξεν[1]· ὁ δὲ καὶ ἐδέξατο ταύτην καὶ διεσώσατο καὶ τῷ ξύλῳ τῆς γνώσεως οὐκ ἐβλάβη καὶ τὴν φλογίνην ῥομφαίαν παρελθών, εὖ οἶδα, τοῦ παραδείσου τετύχηκεν. Ἐνὼς ἤλπισε πρῶτος ἐπικαλεῖσθαι τὸν Κύριον[2]· ὁ δὲ καὶ ἐπικέκληται καὶ τοῖς ἄλλοις ἐκήρυξεν, ὃ τοῦ ἐπικαλεῖσθαι πολὺ τιμιώτερον. Ἐνὼχ μετετέθη, μικρᾶς εὐσεβείας, ἔτι γὰρ ἐν σκιαῖς ἦν ἡ πίστις, ἆθλον εὑράμενος τὴν μετάθεσιν καὶ τοῦ ἑξῆς βίου τὸν κίνδυνον διαπέφευγε[3]· τοῦ δὲ ὅλος ὁ βίος μετάθεσις ἦν, τελείως ἐν βίῳ τελείῳ δοκιμασθέντος. Νῶε κιβωτὸν **210** ἐπιστεύθη καὶ κόσμου δευτέρου σπέρματα ξύλῳ μικρῷ πιστευθέντα καὶ καθ' ὑδάτων σῳζόμενα[4]· ὁ δὲ κατακλυσμὸν ἀσεβείας διέφυγε καὶ κιβωτὸν σωτηρίας τὴν ἑαυτοῦ πεποίηται

---

1. Πρβλ. Γεν. 1,27 ἑξ. 2. Πρβλ. Γεν. 4,26. 3. Πρβλ. Γεν. 5,21 ἑξ. 4. Πρβλ. Γεν. 6,13 ἑξ.

πόλιν, κούφως τῶν αἱρετικῶν ὑπερπλέουσαν, ἐξ οὗ κόσμον ὅλον ἀνεκαλέσατο.

ΟΑ′. Μέγας ὁ Ἀβραὰμ καὶ πατριάρχης καὶ θύτης καινῆς θυσίας, τὸν ἐκ τῆς ἐπαγγελίας τῷ δεδωκότι προσαγαγών, ἱερεῖον ἕτοιμον καὶ πρὸς τὴν σφαγὴν ἐπειγόμενον· ἀλλ᾽ οὐδὲ τὸ ἐκείνου μικρόν, ἑαυτὸν προσήγαγε τῷ Θεῷ καὶ οὐδὲν ὡς ἰσότιμον ἀντεδόθη· τί γὰρ καὶ ἦν; ὥστε καὶ τελειωθῆναι τὸ καλλιέρημα.

Ἰσαὰκ ἐπηγγέλθη καὶ πρὸ γενέσεως[1]· ὁ δὲ αὐτεπάγγελτος ἦν καὶ τὴν Ῥεβέκκαν, λέγω δὴ τὴν Ἐκκλησίαν, οὐ πόρρωθεν, ἀλλ᾽ ἐγγύθεν ἠγάγετο, οὐδὲ διὰ πρεσβείας οἰκετικῆς, ἀλλ᾽ ἐκ Θεοῦ δοθεῖσαν καὶ πιστευθεῖσαν· οὐδὲ κατεσοφίσθη περὶ τὴν τῶν τέκνων προτίμησιν, ἀλλ᾽ ἑκάστῳ τὰ πρὸς ἀξίαν ἀπαραλογίστως ἔνεμε μετὰ τῆς τοῦ Πνεύματος κρίσεως.

Ἐπαινῶ τὴν Ἰακὼβ κλίμακα καὶ τὴν στήλην ἣν ἤλειψε τῷ Θεῷ καὶ τὴν πρὸς αὐτὸν πάλην ἥ τίς ποτε ἦν[2]· οἶμαι δὲ τοῦ ἀνθρωπείου μέτρου πρὸς τὸ θεῖον ὕψος ἀντιπαρέκτασις καὶ ἀντίθεσις, ὅθεν καὶ ἄγει τὰ σύμβολα τῆς ἡττωμένης γενέσεως. Ἐπαινῶ καὶ τὴν περὶ τὰ θρέμματα τοῦ ἀνδρὸς εὐμηχανίαν καὶ εὐημερίαν καὶ τοὺς δώδεκα ἐξ αὐτοῦ πατριάρχας καὶ τὸν τῶν εὐλογιῶν μερισμὸν σὺν οὐκ ἀγεννεῖ προφητείᾳ τοῦ μέλλοντος· ἀλλ᾽ ἐπαινῶ καὶ τούτου **212** τὴν οὐχ ὁραθεῖσαν μόνον, ἀλλὰ καὶ διαβαθεῖσαν κλίμακα ταῖς κατὰ μέρος εἰς ἀρετὴν ἀναβάσεσι καὶ τὴν στήλην, ἣν οὐκ ἤλειψεν, ἀλλ᾽ ἤγειρε τῷ Θεῷ, τὰ τῶν ἀσεβῶν στηλιτεύουσαν καὶ τὴν πά**[593]**λην, ἣν οὐκ ἐπάλαισε πρὸς Θεόν, ἀλλ᾽ ὑπὲρ Θεοῦ, τὰ τῶν αἱρετικῶν καταβάλλουσαν, τήν τε ποιμαντικὴν τοῦ ἀνδρός, ἐξ ἧς ἐπλούτησε, πλείω τῶν ἀσήμων προβάτων κτησάμενος τὰ ἐπίσημα, τήν τε καλὴν πολυτεκνίαν τῶν κατὰ Θεὸν γεννηθέντων καὶ τὴν εὐλογίαν ᾗ πολλοὺς ἐστήριξεν.

ΟΒ′. Ἰωσὴφ ἐγένετο σιτοδότης, ἀλλ᾽ Αἰγύπτου μόνης καὶ οὐ πολλάκις καὶ σωματικῶς[3]· ὁ δὲ πάντων καὶ ἀεὶ καὶ πνευματικῶς, ὅπερ ἐμοὶ τῆς σιτοδοσίας ἐκείνης αἰδεσιμώτερον.

Μετὰ Ἰὼβ τοῦ Αὐσίτου καὶ πεπείραται καὶ νενίκηκε καὶ ἀνηγόρευται λαμπρῶς ἐπὶ τέλει τῶν ἄθλων, μηδενὶ τῶν τινασσόντων πολλῶν ὄντων κατασεισθείς, ἀλλὰ πολλῷ τῷ περιόντι τὸν πειραστὴν καταπαλαίσας καὶ τῶν φίλων τὴν ἀλογίαν ἐπιστομίσας ἀγνοούντων τὸ τοῦ πάθους μυστήριον.

«Μωυσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ»[4]. Καὶ μέγας Μωυσῆς μὲν Αἴγυπτον βασανίσας λαὸν διασώσας ἐν σημείοις πολλοῖς καὶ τέρασι, τῆς νεφέλης εἴσω χωρήσας, νομοθετήσας τὸν διπλοῦν νόμον, τόν τε τοῦ γράμματος ἔξωθεν καὶ ὅσος ἔνδοθεν τὸν τοῦ πνεύ-

---

1. Πρβλ. Γεν. 18,10 ἑξ. 2. Πρβλ. Γεν. 32,24 ἑξ. 3. Πρβλ. Γεν. 41,40 ἑξ. 4. Ψαλ. 98,6.

ματος[1]· Ἀαρὼν δὲ Μωυσέως ἀδελφὸς καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα, τοῦ λαοῦ προθυόμενος καὶ προσευχόμενος, μύστης τῆς ἱερᾶς καὶ μεγάλης σκηνῆς[2], «ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος»[3]. **214** Τούτων δὲ ἀμφοτέρων ζηλωτὴς ἐκεῖνος, βασανίζων μὲν οὐ σωματικαῖς μάστιξι, πνευματικαῖς δὲ καὶ λογικαῖς, ἔθνος αἱρετικὸν καὶ Αἰγύπτιον· ἄγων δὲ «λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων»[4], ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας, πλαξὶ δὲ νόμους ἐγγράφων οὐ συντριβομέναις, ἀλλὰ σωζομέναις, οὐκ ἔτι σκιοειδεῖς, ἀλλ' ὅλον πνευματικούς· εἰς δὲ τὰ ἅγια τῶν ἁγίων, οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ, πολλάκις δὲ καὶ καθ' ἑκάστην, ὡς εἰπεῖν, εἰσιὼν τὴν ἡμέραν, ὅθεν τὴν Ἁγίαν ἡμῖν ἀνακαλύπτει Τριάδα καὶ λαὸν καθαίρων οὐ προσκαίροις ῥαντίσμασιν, ἀλλ' ἀϊδίοις ἁγνίσμασι.

Τί τὸ κάλλιστον Ἰησοῦ; στρατηγία καὶ κληροδοσία καὶ γῆς τῆς ἁγίας κατάσχεσις· ὁ δὲ οὐκ ἔξαρχος; οὐ στρατηγὸς τῶν διὰ πίστεως σῳζομένων; οὐ κληροδότης τῶν διαφόρων παρὰ Θεῷ κλήρων καὶ μονῶν, ἃς διανέμει τοῖς ἀγομένοις; Ὥστε κἀκείνην δύνασθαι τὴν φωνὴν εἰπεῖν, ὅτι «Σχοινία ἐπέπεσόν μοι ἐν τοῖς κρατίστοις»[5]· καί· «Ἐν ταῖς χερσί σου οἱ **[596]** κλῆροί μου»[6]· κλῆροι τῶν χαμαὶ ἐρχομένων καὶ ἁρπαζομένων πολλῷ τιμιώτεροι.

ΟΓ΄. Καὶ ἵνα τοὺς Κριτὰς παραδράμωμεν ἢ τῶν Κριτῶν τοὺς εὐδοκιμωτάτους, «Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ»[7], καὶ Θεῷ δοτὸς πρὸ γενέσεως καὶ μετὰ τὴν γέννησιν εὐθὺς ἱερὸς καὶ χρίων βασιλέας καὶ ἱερέας διὰ τοῦ κέρατος. Οὗτος δέ, οὐκ ἐκ βρέφους Θεῷ καθιερωμένος ἀπὸ μήτρας καὶ μετὰ τῆς διπλοΐδος ἐπιδε**216**δομένος τῷ βήματι καὶ βλέπων τὰ ἐπουράνια καὶ χριστὸς Κυρίου ἦν καὶ χρίστης τῶν τελειουμένων ἐκ Πνεύματος.

Δαβὶδ ἐν βασιλεῦσιν ἀοίδιμος, οὗ πολλαὶ μὲν ἱστοροῦνται κατὰ τῶν ἐχθρῶν νῖκαι καὶ τρόπαια, ἡ πραότης δὲ τὸ ἐπισημότατον καὶ πρὸ τῆς βασιλείας ἡ τῆς κινύρας δύναμις καὶ πονηροῦ πνεύματος κατεπάδουσα.

Σολομῶν πλάτος καρδίας ᾐτήσατο παρὰ Θεοῦ καὶ τετύχηκεν[8], ἐπὶ πλεῖστον προελθὼν σοφίας καὶ θεωρίας, ὥστε γενέσθαι τῶν καθ' ἑαυτὸν ἁπάντων εὐδοκιμώτατος.

Ὁ δέ, τοῦ μὲν τῷ πράῳ, τοῦ δὲ τῇ σοφίᾳ κατὰ τὸν ἐμὸν λόγον, οὐδὲν ἢ μικρῷ λείπεται· ὥστε καὶ βασιλέων θράσος δαιμονώντων καταμαλάσσειν· καὶ μὴ βασίλισσαν νότου μόνον ἢ τὸν δεῖνα, κατὰ κλέος τῆς αὐτοῦ σοφίας ἐκ τῶν περάτων τῆς γῆς ἁπαντᾶν, ἀλλὰ καὶ πᾶσι τοῖς πέρασι τὴν ἐκείνου σοφίαν γνωρίζεσθαι. Καὶ τὰ ἑξῆς παρήσω τοῦ Σολομῶντος· πᾶσι δὲ δῆλα, κἂν ἡμεῖς φειδώμεθα.

---

1. Πρβλ. Ἐξ. 7,1 ἑξ. 2. Πρβλ. Ἐξ. 29,4 ἑξ. 3. Ἑβρ. 8,2. 4. Τίτ. 2,14. 5. Ψαλ. 15,6. 6. Ψαλ. 30,16. 7. Ψαλ. 98,6. 8. Πρβλ. Γ΄ Βασ. 5,9 ἑξ.

ΟΔ'. Ἐπαινεῖς Ἠλιοῦ τὴν πρὸς τοὺς τυράννους παρρησίαν[1] καὶ τὴν διὰ πυρὸς ἁρπαγήν; Ἐλισσαίου τε τὴν καλὴν κληρονομίαν, τὴν μηλωτήν, ἢ τὸ Ἠλιοῦ πνεῦμα συνηκολούθησεν[2]; Ἐπαίνει κἀκείνου τὴν ἐν πυρὶ ζωήν, τῷ πλήθει λέγω τῶν πειρασμῶν καὶ τὴν διὰ πυρὸς σωτηρίαν, καίοντος μέν, οὐ κατακαίοντος δέ, τὸ περὶ τὴν βάτον θαῦμα[3] καὶ τὸ καλὸν ἐξ ὕψους δέρος, τὴν ἀσαρκίαν.

Ἐῶ τἄλλα, τοὺς δροσισθέντας ἐν πυρὶ νεανίας[4]· τὸν ἐν γαστρὶ κήτους εὐξάμενον προφήτην φυγάδα καὶ ὡς **218** ἀπὸ θαλάμου τοῦ θηρὸς προελθόντα[5]· τὸν ἐν λάκκῳ δίκαιον, λεόντων θράσος πεδήσαντα[6]· ἢ τὴν τῶν ἑπτὰ Μακκαβαίων ἄθλησιν, σὺν ἱερεῖ καὶ μητρὶ τελειωθέντων ἐν αἵματι καὶ παντοίοις βασάνων εἴδεσιν[7]· Ὧν ἐκεῖνος ζηλώσας τὴν καρτερίαν καὶ τὴν δόξαν ἠνέγκατο.

ΟΕ'. Ἐπὶ δὲ τὴν νέαν μέτειμι διαθήκην καὶ τοῖς ἐνταῦθα εὐδοκίμοις τὰ ἐκείνου παρεξετάσας, τιμή**[597]**σω τὸν μαθητὴν ἐκ τῶν διδασκάλων.

Τίς Ἰησοῦ πρόδρομος; Ἰωάννης, ὡς φωνὴ Λόγου[8] καὶ ὡς λύχνος Φωτός, οὗ καὶ προεσκίρτησεν ἐν γαστρὶ καὶ προέδραμεν εἰς Ἅδου, διὰ τῆς Ἡρώδου μανίας παραπεμφθείς, ἵνα κηρύξῃ κἀκεῖ τὸν ἐρχόμενον. Καὶ εἴ τῳ φαίνεται τολμηρὸς ὁ λόγος, ἐκεῖνο προεξεταζέτω τοῖς λεγομένοις, ὅτι μὴ προτιθεὶς μηδὲ εἰς ἴσον μετάγων τὸν ἄνδρα τῷ ἐν γεννητοῖς γυναικῶν[9] ὑπὲρ ἅπαντας, ταύτην ποιοῦμαι τὴν παρεξέτασιν· ἀλλὰ ζηλωτὴν ἀποφαίνων καί τι τοῦ χαρακτῆρος ἐκείνου ἐν ἑαυτῷ φέροντα. Οὐ γὰρ μικρὸν τοῖς σπουδαίοις καὶ μικρὰ τῶν μεγίστων ἡ μίμησις. Ἦ γὰρ οὐκ ἐναργὴς τῆς ἐκείνου φιλοσοφίας εἰκὼν ὁ ἀνήρ; Καὶ οὗτος ἔρημον ᾤκησε· καὶ τούτῳ τρίχινον ἔσθημα εἶχον αἱ νύκτες, ἀγνοούμενον, οὐκ ἐπιδεικνύμενον· καὶ οὗτος τὴν ἴσην τροφὴν ἠγάπησε, Θεῷ καθαίρων ἑαυτὸν διὰ τῆς ἐγκρατείας· καὶ οὗτος Χριστοῦ κῆρυξ ἠξιώθη γενέσθαι, εἰ καὶ μὴ πρόδρομος· καὶ ἐξεπορεύετο πρὸς αὐτόν, οὐχ ἡ περίχωρος πᾶσα μόνον, ἀλλ' ἤδη καὶ ἡ ὑπερόριος· καὶ **220** οὗτος μέσος τῶν δύο διαθηκῶν, τῆς μὲν καταλύων τὸ γράμμα, τῆς δὲ δημοσιεύων τὸ πνεῦμα καὶ ποιῶν πλήρωσιν τοῦ κρυπτομένου νόμου τὴν τοῦ φαινομένου κατάλυσιν.

ΟΣ'. Ἐμιμήσατο Πέτρου τὸν ζῆλον, Παύλου τὸν τόνον, τῶν ὀνομαστῶν καὶ μετωνομασμένων ἀμφοτέρων τὴν πίστιν· τῶν υἱῶν Ζεβεδαίου τὸ μεγαλόφωνον· πάντων τῶν μαθητῶν τὸ εὐτελὲς καὶ ἀπέριττον. Διὰ ταῦτά τοι καὶ κλεῖς οὐρανῶν πιστεύεται[10]· καὶ οὐχ ὅσον ἀπὸ Ἰερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ[11], μείζονα δὲ κύκλον τῷ Εὐαγγελίῳ περιλαμβάνει· καὶ υἱὸς βροντῆς, οὐκ ὀνομάζεται μέν,

---

1. Πρβλ. Δ' Βασ. 2,1 ἑξ. 2. Πρβλ. Δ' Βασ. 2,9 ἑξ. 3. Πρβλ. Ἐξ. 3,2. 4. Πρβλ. Δαν. 3,50. 5. Πρβλ. Ἰων. 2,1 ἑξ. 6. Πρβλ. Δαν. 6,16 ἑξ. 7. Πρβλ. Β' Μακ. 7,1 ἑξ. 8. Πρβλ. Λουκ. 3,4. 9. Πρβλ. Λουκ. 7,28. 10. Πρβλ. Ματθ. 16,19 ἑξ. 11. Πρβλ. Ρωμ. 15,19.

γίνεται δέ· καὶ ἐπὶ τὸ στῆθος Ἰησοῦ κείμενος, ἐκεῖθεν ἕλκει τοῦ λόγου τὴν δύναμιν καὶ τὸ βάθος τῶν νοημάτων.

Στέφανος μὲν γὰρ ἐκωλύθη γενέσθαι, εἰ καὶ πρόθυμος ἦν, ἐπισχὼν αἰδοῖ τοὺς λιθάζοντας.

Ἔτι δὲ συντομώτερον εἰπεῖν ἔχω, ἵνα μὴ τοῖς καθ' ἕκαστον ἐπεξίω περὶ τούτων· ἐκεῖνος γὰρ τὸ μὲν ἐξεῦρε τῶν καλῶν, τὸ δὲ ἐζήλωσε, τὸ δὲ ἐνίκησε· τῷ δὲ διὰ πάντων ἐλθεῖν, τῶν νῦν πάντων ἐκράτησεν. Ἓν ἐπὶ πᾶσιν ἐρῶ καὶ σύντομον.

ΟΖ′. Τοσαύτη τοῦ ἀνδρὸς ἡ ἀρετὴ καὶ ἡ τῆς δόξης περιουσία, ὥστε πολλὰ καὶ τῶν ἐκείνου μικρῶν, ἤδη δὲ καὶ τῶν σωματικῶν ἐλαττωμάτων, ἑτέ**[600]**ροις εἰς εὐδοξίαν ἐπενοήθη· οἷον ὠχρότητα λέγω καὶ γενειάδα καὶ βαδίσματος ἦθος καὶ τὸ περὶ λόγον μὴ πρόχειρον, σύννουν τε, ὡς τὰ πολλά, καὶ εἴσω συννενευκός· ὃ τοῖς πολλοῖς μὴ καλῶς ζηλωθὲν μηδὲ νοηθέν, σκυθρωπότης ἐγένετο· ἔτι δὲ εἶδος ἐσθῆτος **222** καὶ σκίμποδος σχῆμα καὶ τρόπος βρώσεως, ὧν οὐδὲν ἐκείνῳ διὰ σπουδῆς ἦν, ἀλλ' ἁπλῶς ἔχον καὶ συμπῖπτον ὡς ἔτυχε. Καὶ πολλοὺς ἂν ἴδοις Βασιλείους ἄχρι τοῦ ὁρωμένου, τοὺς ἐν ταῖς σκιαῖς ἀνδριάντας· πολὺ γὰρ εἰπεῖν, ὅτι καὶ τὸ τῆς ἠχοῦς ὑστερόφωνον· ἐκείνη μὲν γάρ, εἰ καὶ τὰ τελευταῖα τῆς φωνῆς, ἀλλ' οὖν ἐναργέστερον ὑποκρίνεται· οἱ δὲ πλεῖον ἀπέχουσι τοῦ ἀνδρὸς ἢ ὅσον πλησιάζειν ἐπιθυμοῦσιν. Ἐκεῖνο δὲ οὐκ ἔτι μικρόν, ἀλλὰ καὶ μέγιστον εἰς φιλοτιμίαν εἰκότως, τὸ τυχεῖν ἐκείνῳ ποτὲ πλησιάσαντας ἢ θεραπεύσαντας, ἤ τι κατὰ παιδιὰν ἢ σπουδὴν εἰρημένον ἢ πεπραγμένον φέρειν ἀπομνημόνευμα, ὥσπερ οὖν κἀγὼ πολλάκις οἶδα καλλωπισάμενος· ἐπεὶ καὶ τὰ πάρεργα τοῦ ἀνδρὸς τῶν πονουμένων ἑτέροις πολὺ τιμιώτερα καὶ περιφανέστερα.

ΟΗ′. Ἐπεὶ δὲ τὸν δρόμον τελέσας καὶ τὴν πίστιν τηρήσας ἐπόθει τὴν ἀνάλυσιν, καὶ ὁ τῶν στεφάνων ἐνειστήκει καιρός[1], κἀκεῖνο μὲν οὐκ ἤκουσεν· «Εἰς τὸ ὄρος ἀνάβηθι καὶ τελεύτα»[2], «τελεύτα» δὲ «καὶ ἀνάβαινε πρὸς ἡμᾶς», θαυματουργεῖ κἀνταῦθα τῶν προειρημένων οὐκ ἔλαττον. Νεκρὸς γὰρ ὢν ἤδη σχεδὸν καὶ ἄπνους καὶ τὸ τοῦ βίου πλεῖστον καταλελοιπὼς, εὐτονώτερος γίνεται περὶ τοὺς ἐξιτηρίους τῶν λόγων, ἵνα τοῖς τῆς εὐσεβείας συναπέλθῃ ῥήμασι καὶ χειροτονίαις τῶν γνησιωτάτων αὐτοῦ θεραπευτῶν τὴν χεῖρα δίδωσι καὶ τὸ Πνεῦμα· ὥστε μὴ ζημιωθῆναι τὸ βῆμα τοὺς ἐκείνου μαθητὰς καὶ τῆς ἱερωσύνης συλλή**224**πτορας. Τοῖς δὲ ἑξῆς οἰκνεῖ μὲν προσελθεῖν ὁ λόγος, προσβήσεται δ' ὅμως, εἰ καὶ ἄλλοις μᾶλλον ἡμῶν πρέπων ὁ λόγος. Οὐ γὰρ ἔχω φιλοσοφεῖν ἐν τῷ πάθει καὶ εἰ σφόδρα φιλοσοφεῖν ἐσπούδακα, τῆς κοινῆς μεμνημένος ζημίας καὶ τοῦ κατασχόντος πάθους τὴν οἰκουμένην.

ΟΘ′. Ἔκειτο μὲν ὁ ἀνὴρ τὰ τελευταῖα πνέων καὶ παρὰ τῆς

1. Πρβλ. Β′ Τιμ. 4,7. 2. Πρβλ. Δευτ. 32,49-50.

ἄνω χοροστασίας ἐπιζητούμενος, πρὸς ἣν ἐκ πλείονος ἔβλεπεν. Ἐγχεῖτο δὲ περὶ αὐτὸν πᾶσα ἡ πόλις, τὴν ζημίαν οὐ φέροντες καὶ τῆς ἐκδημίας ὡς τυραννίδος καταβοῶντες καὶ τῆς ψυ**[601]**χῆς λαμβανόνομενοι, ὡς καθεκτῆς καὶ βιασθῆναι δυναμένης ἢ χερσὶν ἢ δεήσεσιν· ἐποίει γὰρ αὐτοὺς καὶ παράφρονας τὸ πάθος· καὶ προσθεῖναί τι τῆς ἑαυτῶν ζωῆς ἕκαστος ἐκείνῳ, εἴπερ οἷόν τε ἦν, πρόθυμος ἦν. Ὡς δὲ ἠττήθησαν (ἔδει γὰρ αὐτὸν ἐλεγχθῆναι ἄνθρωπον ὄντα) καὶ «Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου»[1] τελευταῖον εἰπών, τοῖς ἀπάγουσιν αὐτὸν ἀγγέλοις οὐκ ἀηδῶς ἐνεπέψυξεν· ἔστιν ἃ τοὺς παρόντας μυσταγωγήσας καὶ βελτίους ποιήσας ταῖς ἐπισκήψεσι· τότε δὴ θαῦμα γίνεται τῶν πώποτε γενομένων ὀνομαστότατον.

Π′. Προεκομίζετο μὲν ὁ ἅγιος, χερσὶν ἁγίων ὑψούμενος· σπουδὴ δ' ἦν ἑκάστῳ τῷ μὲν κρασπέδου λαβέσθαι, τῷ δὲ σκιᾶς, τῷ δὲ τοῦ ἱεροφόρου σκίμποδος καὶ ψαῦσαι μόνον! τί γὰρ ἐκείνου τοῦ σώματος ἱερώτερόν τε καὶ καθαρώτερον; τῷ δὲ τῶν ἀγόντων ἐλθεῖν πλησίον, τῷ δὲ τῆς θέας ἀπολαῦσαι μόνης, ὥς τι κἀκείνης πεμπούσης **226** ὄφελος. Πλήρεις ἀγοραί, στοαί, διώροφοι, τριώροφοι, τῶν ἐκεῖνον παραπεμπόντων, προηγουμένων, ἑπομένων, παρεπομένων, ἀλλήλοις ἐπεμβαινόντων, μυριάδες γένους παντὸς καὶ ἡλικίας ἁπάσης, οὐ πρότερον γινωσκόμεναι· ψαλμῳδίαι θρήνοις ὑπερνικώμεναι καὶ τὸ φιλόσοφον τῷ πάθει καταλυόμενον· ἀγὼν δὲ τοῖς ἡμετέροις πρὸς τοὺς ἐκτός, Ἕλληνας, Ἰουδαίους, ἐπήλυδας· ἐκείνοις πρὸς ἡμᾶς, ὅστις πλέον ἀποκλαυσάμενος πλείονος μετάσχῃ τῆς ὠφελείας. Πέρας τοῦ λόγου, καὶ εἰς κίνδυνον τελευτᾷ τὸ πάθος· συναπελθουσῶν αὐτῷ ψυχῶν οὐκ ὀλίγων, ἐκ τῆς τοῦ ὠθισμοῦ βίας καὶ συγκλονήσεως· αἳ καὶ τοῦ τέλους ἐμακαρίσθησαν, ὡς ἐκείνῳ συνέκδημοι καὶ θύματα ἐπιτάφια, τάχα ἄν τις εἴποι τῶν θερμοτέρων. Μόλις δὲ τὸ σῶμα διαφυγὸν τοὺς ἁρπάζοντας καὶ νικῆσαν τοὺς προπομπεύοντας, οὕτω τῷ τάφῳ τῶν πατέρων δίδοται καὶ προστίθεται τοῖς ἱερεῦσιν ὁ ἀρχιερεύς, τοῖς κήρυξιν ἡ μεγάλη φωνὴ καὶ τοῖς ἐμοῖς ὠσὶν ἔνηχος, ὁ μάρτυς τοῖς μάρτυσι.

Καὶ νῦν, ὁ μέν ἐστιν ἐν οὐρανοῖς, κἀκεῖ τὰς ὑπὲρ ἡμῶν, ὡς οἶμαι, προσφέρων θυσίας καὶ τοῦ λαοῦ προευχόμενος· οὐδὲ γὰρ ἀπολιπὼν ἡμᾶς παντάπασιν ἀπολέλοιπεν· ἡμιθνὴς δὲ Γρηγόριος καὶ ἡμίτομος, τῆς μεγάλης ἀπερρωγὼς **[604]** συζυγίας καὶ βίον ἕλκων ὀδυνηρὸν καὶ οὐκ εὔδρομον, οἷον εἰκὸς τὸν ἐκείνου κεχωρισμένον, οὐκ οἶδα εἰς ὃ τελευτήσων μετὰ τὴν ἐκείνου παιδαγωγίαν· ᾧ καὶ νῦν ἔτι νουθετοῦμαι καὶ σωφρονίζομαι διὰ νυκτερινῶν **228** ὄψεων, εἴ ποτε τοῦ δέοντος ἔξω πέσοιμι. Καὶ οὐκ ἐγὼ μὲν οὕτω θρήνους ἀναμίγνυμι τοῖς ἐπαίνοις καὶ λογογραφῶ τὴν τοῦ ἀνδρὸς πολιτείαν καὶ προτίθημι τῷ χρόνῳ κοινὸν ἀρετῆς πίνακα καὶ πρόγραμμα σωτήριον πάσαις ταῖς

---

1. Ψαλ. 30,6.

ἐκκλησίαις, ψυχαῖς ἁπάσαις· πρὸς ὃν βλέποντες, ἀπευθυνοῦμεν τὸν βίον, ὡς νόμον ἔμψυχον· ὑμῖν δὲ συμβουλεύσαιμ' ἂν ἄλλο τι, τοῖς τὰ ἐκείνου τετελεσμένοις, ἢ πρὸς αὐτὸν ἀεὶ βλέπειν καὶ ὡς ὁρῶντος καὶ ὁρωμένου, τῷ Πνεύματι καταρτίζεσθαι.

ΠΑ'. Δεῦρο δὴ περιστάντες με πᾶς ὁ ἐκείνου χορός, ὅσοι τοῦ βήματος καὶ ὅσοι τῶν κάτω, ὅσοι τῶν ἡμετέρων καὶ ὅσοι τῶν ἔξωθεν, τὴν εὐφημίαν μοι συνεργάζεσθε, ἄλλος ἄλλο τι τῶν ἐκείνου καλῶν διηγούμενοι καὶ ζητοῦντες, οἱ τῶν θρόνων τὸν νομοθέτην, οἱ τῆς πολιτείας τὸν πολιστήν, οἱ τοῦ δήμου τὴν εὐταξίαν, οἱ περὶ λόγους τὸν παιδευτήν, αἱ παρθένοι τὸν νυμφαγωγόν, αἱ ὑπὸ ζυγὸν τὸν σωφρονιστήν, οἱ τῆς ἐρημίας τὸν πτερωτήν, οἱ τῆς ἐπιμιξίας τὸν δικαστήν, οἱ τῆς ἁπλότητος τὸν ὁδηγόν, οἱ τῆς θεωρίας τὸν θεολόγον, οἱ ἐν εὐθυμίᾳ τὸν χαλινόν, οἱ ἐν συμφοραῖς τὴν παράκλησιν, τὴν βακτηρίαν ἡ πολιά, τὴν παιδαγωγίαν ἡ νεότης, ἡ πενία τὸν ποριστήν, ἡ εὐπορία τὸν οἰκονόμον· δοκοῦσί μοι καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι καὶ ὀρφανοὶ τὸν πατέρα καὶ πτωχοὶ τὸν φιλόπτωχον καὶ τὸν φιλόξενον οἱ ξένοι καὶ ἀδελφοὶ τὸν φιλάδελφον, οἱ νοσοῦντες τὸν ἰατρόν, ἣν βούλει νόσον καὶ ἰατρείαν, οἱ ὑγιαίνοντες τὸν φύλακα τῆς ὑγείας, οἱ πάντες **230** τὸν πάντα πᾶσι γενόμενον, ἵνα κερδάνῃ τοὺς πάντας[1] [ἢ πλείονας].

ΠΒ'. Ταῦτά σοι παρ' ἡμῶν, ὦ Βασίλειε, τῆς ἡδίστης σοί ποτε γλώττης καὶ ὁμοτίμου καὶ ἥλικος. Εἰ μὲν τῆς ἀξίας ἐγγύς, σὴ τοῦτο χάρις· σοὶ γὰρ θαρρῶν, τὸν περὶ σοῦ λόγον ἐνεστησάμην· εἰ δὲ πόρρω καὶ παρὰ πολὺ τῆς ἐλπίδος, τί χρὴ παθεῖν καὶ γήρᾳ καὶ νόσῳ καὶ τῷ σῷ πόθῳ τετρυχωμένους; Πλὴν καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν. Σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν, ὦ θεία καὶ ἱερὰ κεφαλή, καὶ τὸν δεδομένον ἡμῖν παρὰ Θεοῦ σκόλοπα τῆς σαρκός, τὴν ἡμετέραν παιδαγωγίαν[2], ἢ στήσαις ταῖς σεαυτοῦ πρεσβείαις ἢ πείσαις καρτερῶς φέρειν· καὶ τὸν πάντα βίον ἡμῖν διεξάγοις πρὸς τὸ λυσιτελέστατον. Εἰ δὲ μεταστείημεν, δέξαιο κἀκεῖθεν ἡμᾶς ταῖς σεαυτοῦ σκηναῖς, ὡς ἂν ἀλλήλοις **[605]** συζῶντες καὶ συνεποπτεύοντες τὴν Ἁγίαν καὶ μακαρίαν Τριάδα, καθαρώτερόν τε καὶ τελεώτερον, ἧς νῦν μετρίως δεδέγμεθα τὰς ἐμφάσεις, ἐνταῦθα σταίημεν τῆς ἐφέσεως, καὶ ταύτην λάβοιμεν ὧν πεπολεμήκαμεν καὶ πεπολεμήμεθα τὴν ἀντίδοσιν. Σοὶ μὲν οὖν οὗτος παρ' ἡμῶν ὁ λόγος· ἡμᾶς δὲ τίς ἐπαινέσεται μετὰ σὲ τὸν βίον ἀπολείποντας; Εἰ καί τι παράσχοιμεν ἐπαίνου τοῖς λόγοις ἄξιον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1. Πρβλ. Α' Κορ. 9,22. 2. Πρβλ. Β' Κορ. 12,7.

ΛΟΓΟΣ ΜΔ'

ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ ΚΥΡΙΑΚΗΝ

[608] Α'. Ἐγκαίνια τιμᾶσθαι, παλαιὸς νόμος καὶ καλῶς ἔχων· μᾶλλον δέ, τὰ νέα τιμᾶσθαι δι' Ἐγκαινίων· καὶ τοῦτο, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, ἑκάστης τοῦ ἐνιαυτοῦ περιτροπῆς τὴν αὐτὴν ἡμέραν ἐπαγούσης, ἵνα μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται τὰ καλά, μηδὲ παραρρυῇ λήθης βυθοῖς ἀμαυρούμενα. «Ἐγκαινίζονται μὲν πρὸς Θεὸν νῆσοι»[1], τῷ Ἡσαΐᾳ ὥσπερ ἀνέγνωμεν, ἄστινας δὴ τὰς νήσους ταύτας ὑπολεπτέον· οἶμαι δὲ τὰς ἀπὸ τῶν ἐθνῶν Ἐκκλησίας ἄρτι καθισταμένας καὶ τῆς ἁλμυρᾶς ἀπιστίας ἀνακυπτούσας καὶ πῆξιν λαμβανούσας τῷ Θεῷ βάσιμον. Ἐγκαινίζεται δὲ τεῖχος χαλκοῦν[2], παρ' ἄλλῳ προφήτῃ· οἶμαι δέ, ψυχὴ στερρὰ καὶ χρυσοειδὴς καὶ ἀρτιπαγὴς εἰς εὐσέβειαν. Ἄδειν δὲ τῷ Κυρίῳ ᾆσμα καινὸν κελευόμεθα[3], εἴτε οἱ εἰς Βαβυλῶνα καὶ τὴν πονηρὰν σύγχυσιν κατασυρέντες ὑπὸ τῆς ἁμαρτίας, ἔπειτα πρὸς τὴν Ἱερουσαλὴμ ἀνασωθέντες (κἀκεῖ μὲν οὐ δυνάμενοι τὴν θείαν ᾄδειν ᾠδήν, ὡς ἐπὶ γῆς ἀλλοτρίας[4], ἐνταῦθα δὲ νέαν ᾠδὴν καὶ πολιτείαν ἱστάμενοι)· εἴτε οἱ μείναντες ἐν τῷ καλῷ καὶ προκόπτοντες· καὶ τὸ μὲν κατωρθωκότες ἤδη, τὸ δὲ κατορθοῦντες, παρὰ τοῦ Ἁγίου καὶ καινοποιοῦ Πνεύματος.

Β'. Ἐγκαινίζεται δὲ ἡ σκηνὴ τοῦ μαρτυρίου καὶ λίαν πολυτελῶς, ἣν Θεὸς παρέδειξε[5] καὶ Βεσελεὴλ ἐτελείωσε[6] καὶ Μωυσῆς ἐπήξατο. Ἐγκαινίζεται δὲ ἡ βασιλεία Δαβίδ, καὶ οὐχ ἅπαξ, ἀλλὰ χριομένου τὸ πρότερον, ἀναγορευομένου τὸ δεύτερον[7]. «Ἐγένετο δὲ τὰ Ἐγκαίνια ἐν Ἱεροσολύμοις καὶ χειμὼν ἦν»[8], ὁ τῆς ἀπιστίας καὶ Ἰησοῦς παρῆν, ὁ Θεὸς καὶ ναός, Θεὸς αἰώνιος, ναὸς πρόσφατος, ὁ αὐθημε**[609]**ρὸν λυόμενος καὶ τριήμερος ἀνιστάμενος καὶ μένων εἰς τοὺς αἰῶνας, ἵν' ἐγὼ σωθῶ καὶ τοῦ παλαιοῦ πτώματος ἀνακληθῶ καὶ γένωμαι καινὴ κτίσις, διὰ τῆς τοιαύτης φιλανθρωπίας ἀναπλαττόμενος. Ἐπιζητεῖ δὲ ὁ θεῖος Δαβὶδ καρδίαν καθαρὰν ἐν ἑαυτῷ κτιζομένην καὶ πνεῦμα εὐθὲς τοῖς ἐγκάτοις ἐγκαινιζόμενον[9]· οὐχ ὡς οὐκ ἔχων, (τίς γάρ, εἰ μὴ Δαβὶδ ὁ τοσοῦτος;) ἀλλ' ὡς καινὸν γινώσκων τὸ νῦν ἀεὶ προστιθέμενον. Καὶ τί δεῖ μοι πλειόνων Ἐγκαινίων, ἐνὸν τὰ παρόντα γνωρίσαι καὶ ἃ σήμερον πανηγυρίζομεν, τῇ ζωῇ μετὰ θάνατον πλησιάσαντες; Ἐγκαίνια, Ἐγκαίνια ἡ πανήγυρις, ἀδελφοί. Λεγέσθω γὰρ πολλάκις ὑφ' ἡδονῆς. Καὶ τίνα ταῦτα; Οἱ μὲν εἰδότες, διδάξατε· οἱ δὲ ἀγνοοῦντες, τὴν ἀκοὴν ἐγκαινίζεσθε.

---

1. Πρβλ. Ἡσ. 41,1. 2. Πρβλ. Ἱερ. 1,18. 3. Πρβλ. Ψαλ. 149,1.
4. Πρβλ. Ψαλ. 136,4. 5. Πρβλ. Ἐξ. 31,7. 6. Πρβλ. Ἐξ. 35,30.
7. Πρβλ. Α' Παρλ. 11,3. 8. Ἰω. 10,22. 9. Πρβλ. Ψαλ. 50,12.

Γ΄. Φῶς ἦν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ Θεός, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, οὔτε μετρούμενον, ἀειλαμπές, τριλαμπές, ὀλίγοις ὅσον ἐστὶ θεωρούμενον, οἶμαι δέ, οὐδὲ ὀλίγοις. Καὶ φῶτα δεύτερα, τοῦ πρώτου Φωτὸς ἀπαυγάσματα, αἱ περὶ αὐτὸν δυνάμεις καὶ τὰ λειτουργικὰ πνεύματα[1]. Τὸ δὲ παρ' ἡμῖν τοῦτο φῶς, οὐχ ὕστερον ἤρξατο μόνον, ἀλλὰ καὶ νυκτὶ τέμνεται καὶ τέμνει νύκτα ἰσομοιρίᾳ, ὄψει πιστευθὲν καὶ ἀέρι χυθέν καὶ λαμβάνον ὃ δίδωσιν. Ὁρᾶν τε γὰρ ὄψει παρέχει καὶ πρῶτον ὁρᾶται παρὰ τῆς ὄψεως καὶ τοῖς ὁρατοῖς περιρρέον, παρρησίαν χαρίζεται. Βουληθεὶς γὰρ ὁ Θεὸς τόνδε τὸν κόσμον συστήσασθαι, τὸν ἐξ ὁρατῶν τε καὶ ἀοράτων συνεστηκότα, τὸν μέγαν καὶ θαυμαστὸν τῆς μεγαλειότητος αὐτοῦ κήρυκα, τοῖς μὲν ἀϊδίοις αὐτός ἐστι φῶς, καὶ οὐκ ἄλλο· (τί γὰρ ἔδει φωτὸς δευτέρου τοῖς τὸ μέγιστον ἔχουσι;) τοῖς κάτω δὲ καὶ περὶ ἡμᾶς πρώτην ἐκλάμπει τὴν τοῦ φωτὸς τούτου δύναμιν. Καὶ γὰρ ἔπρεπε τῷ μεγάλῳ φωτὶ τῆς δημιουργίας ἐκ φωτὸς ἄρξασθαι, ᾧ λύει τὸ σκότος καὶ τὴν ἐπέχουσαν τέως ἀκοσμίαν καὶ ἀταξίαν.

Δ΄. Καὶ τοῦτο οὐκ ὀργανικὸν ἀπ' ἀρχῆς ἀναδείξας, οὐδὲ ἡλιακόν, ὡς ὁ ἐμὸς λόγος, ἀλλ' ἀσώματον καὶ ἀνήλιον· ἔπειτα δὲ καὶ ἡλίῳ δοθέν, καταφωτίζειν πᾶσαν τὴν οἰκουμένην. Ἐπειδὴ γὰρ τοῖς ἄλλοις τὴν ὕλην προϋποστήσας, εἰδοποίησεν ὕστερον, ἑκάστῳ τάξιν καὶ σχῆμα καὶ μέγεθος περιθείς, ἵνα θαυματουργήσῃ τι μεῖζον, ἐνταῦθα τὸ εἶδος τῆς ὕλης προ[612]ὑπεστήσατο (εἶδος γὰρ ἡλίου τὸ φῶς)· μετὰ δὲ τοῦτο τὴν ὕλην ἐπάγει, τὸν ὀφθαλμὸν τῆς ἡμέρας δημιουργήσας τοῦτον τὸν ἥλιον. Οὕτω τι πρῶτον ἐν ἡμέραις ἀριθμεῖται καὶ δεύτερον καὶ τρίτον καὶ τὰ ἑξῆς, ἄχρι τῆς ἑβδόμης καὶ καταπαυσίμου τῶν ἔργων ἡμέρας, αἷς καταμερίζεται τὰ γινόμενα, λόγοις ἀρρήτοις τασσόμενα καὶ οὐκ ἀθρόως ἀναδιδόμενα τῷ πάντα δυνατῷ Λόγῳ, καὶ ᾧ τὸ νοῆσαι μόνον, ἢ εἰπεῖν, ἔργον ἐστὶ παριστάμενον. Εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη καὶ ταῦτα χειρὶ Θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν. Ἔδει γάρ, ὥσπερ βασιλεῖ, προϋποστῆναι τὰ βασίλεια καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα πᾶσιν ἤδη δορυφορούμενον. Εἰ μὲν οὖν ἐμείναμεν, ὅπερ ἦμεν καὶ τὴν ἐντολὴν ἐφυλάξαμεν, ἐγενόμεθα ἂν ὅπερ οὐκ ἦμεν, τῷ ξύλῳ τῆς ζωῆς προσελθόντες, μετὰ τὸ ξύλον τῆς γνώσεως. Καὶ τί γεγονότες; Ἀπαθανατισθέντες καὶ Θεῷ πλησιάσαντες. Ἐπεὶ δὲ τῷ φθόνῳ τοῦ πονηροῦ θάνατος εἰς τὸν κόσμον εἰσῆλθε[2] καὶ ὑφεῖλε διὰ τῆς ἀπάτης τὸν ἄνθρωπον, διὰ τοῦτο τῷ ἡμετέρῳ πάθει πάσχει Θεός, γενόμενος ἄνθρωπος καὶ πτωχεύει τῷ σαρξ παγῆναι, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. Ἐντεῦθεν θάνατος καὶ ταφὴ καὶ ἀνάστασις. Ἐντεῦθεν ἡ καινὴ κτίσις καὶ μεθέορτος ἑορτὴ καὶ πάλιν ἐγὼ πανηγυριστής, ἐγκαινίζων τὴν ἐμαυτοῦ σωτηρίαν.

---

1. Πρβλ. Ἑβρ. 1,14. 2. Πρβλ. Σ. Σολ. 2,24.

Ε΄. Τί οὖν, φησίν; Οὐχ ἡ πρώτη Κυριακὴ τὸ Ἐγκαίνιον ἦν, ἡ μετὰ τὴν ἱερὰν νύκτα καὶ δαδουχίαν; Ἀλλὰ τῇ σήμερον τοῦτο δίδως, ὦ φιλέορτε σύ, καὶ πολλὰς ἐπινοῶν φαιδρότητας; Ἐκείνη τὸ σωτήριον ἦν, αὕτη δὲ τὸ τῆς σωτηρίας γενέθλιον· κἀκείνη μέν ἐστι μεθόριον τῆς ταφῆς καὶ τῆς ἀναστάσεως, αὕτη δὲ καθαρῶς τῆς δευτέρας γενέσεως· ἵν', ὥσπερ ἡ πρώτη κτίσις τὴν ἀρχὴν ἀπὸ Κυριακῆς λαμβάνει (δῆλον δέ· ἀπὸ γὰρ ταύτης ἑβδόμη τὸ Σάββατον γίνεται, κατάπαυσις οὖσα τῶν ἔργων), οὕτω καὶ ἡ δευτέρα πάλιν ἐκ τῆς αὐτῆς ἄρχηται, πρώτη οὖσα τῶν μετ' αὐτήν καὶ ὀγδοὰς ἀπὸ τῶν πρὸ αὐτῆς, ὑψηλῆς ὑψηλοτέρα καὶ θαυμασίας θαυμασιωτέρα. Πρὸς γὰρ τὴν ἄνω φέρει κατάστασιν, ἣν καὶ ὁ θεῖος Σολομὼν αἰνίττεσθαί μοι δοκεῖ, διδόναι μερίδα τοῖς ἑπτά, τῷ βίῳ τούτῳ, νομοθετῶν· **[613]** καί γε τοῖς ὀκτώ[1], τῷ μέλλοντι· ἐκ τῆς ἐντεῦθεν εὐπραγίας καὶ τῆς ἐκεῖθεν ἀποκαταστάσεως. Ἀλλὰ καὶ ὁ μέγας Δαβὶδ τῇ αὐτῇ προσάδειν ἔοικε τοὺς «περὶ τῆς ὀγδόης»[2] ψαλμούς, ὥσπερ καὶ τῇ τῶν Ἐγκαινίων ἡμέρᾳ ταύτῃ ψαλμὸν ἕτερον[3], «οἴκου τινὰ ἐγκαινισμὸν» ὀνομάζων· ὅστις ἐσμὲν ἡμεῖς, οἱ Θεοῦ ναὸς εἶναί τε καὶ ἀκούειν ἠξιωμένοι καὶ γίνεσθαι.

Ϛ΄. Ἔχετε τῶν Ἐγκαινίων τὸν λόγον. Ἀλλ' ἐγκαινίζεσθε καί, τὸν παλαιὸν ἄνθρωπον ἀπορρίψαντες, ἐν καινότητι ζωῆς[4] πολιτεύεσθε, πᾶσι χαλινὸν ἐπιθέντες, ἐξ ὧν ὁ θάνατος[5], πάντα τὰ μέλη παιδαγωγήσαντες, πᾶσαν τὴν πονηρὰν τοῦ ξύλου βρῶσιν μισήσαντες ἢ ἐμέσαντες, καὶ διὰ τοῦτο μόνον μεμνημένοι τῶν παλαιῶν, ἵνα φύγωμεν. Ὡραῖος ἦν εἰς ὅρασιν καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός· φεύγωμεν τὰς εὐχροίας, εἰς ἡμᾶς αὐτοὺς βλέπωμεν. Μή σε νικησάτω κάλλους ἐπιθυμία, μηδὲ συναρπασθῇς σοῖς βλεφάροις, εἰ δυνατόν, μέχρι καὶ παρορράματος, τὴν Εὔαν ἐνθυμηθείς, τὸ γλυκὺ δέλεαρ, τὸ τιμώμενον φάρμακον. Πῶς γὰρ σώσει ῥᾳδίως ἡ ἀλλοτρία, ὃν ἀπώλεσεν ἡ ἰδία; Μὴ γλυκανθήτω σοι φάρυγξ, οὗ κατασύρεται πᾶν τὸ διδόμενον· καὶ πρὶν ληφθῆναι τιμώμενον, μετὰ τὸ λαβεῖν ἀτιμάζεται. Ἡ ὄσφρησις ἐθήλυνέ σε; Φεῦγε τὰς εὐωδίας. Τῇ ἁφῇ κατεμαλακίσθης; Ἀπόταξαι ταῖς λειότησι καὶ ταῖς ἁπαλότησιν. Ἡ ἀκοὴ παρέπεισε; Θὲς θύραν τοῖς ἀπατηλοῖς λόγοις καὶ περιέργοις. Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, ἵν' ἑλκύσῃς Πνεῦμα[6], μὴ σπάσῃς θάνατον. Ὅταν τί σε δελεάζῃ ἰῶν ἀπειρημένων, μνήσθητι ὅστις ἦς καὶ ὅθεν ἀπόλωλας. Ἐὰν μικρόν τι τοῦ λόγου παρεκτραπῇς, πρὸς ἑαυτὸν ἐπανάγου, πρὶν παντελῶς ἔξω πεσεῖν καὶ κατενεχθῆναι πρὸς θάνατον καὶ γενοῦ καινὸς ἀντὶ παλαιοῦ καὶ ψυχῆς ἑόρταζε τὰ Ἐγκαίνια.

Ζ΄. Ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως, δι' ὃν ἐξέπεσες. Τὸ ἐπιθυμητικὸν τετάσθω σοι πᾶν πρὸς Θεόν, μὴ πρὸς ἄλλο τι τῶν

---

1. Πρβλ. Ἐκκλ. 11,2. 2. Πρβλ. Ψαλ. 6,1. 11,1. 3. Πρβλ. Ψαλ. 29,1. 4. Πρβλ. Ἐφ. 4,22. 5. Πρβλ. Ρωμ. 6,4. 6. Πρβλ. Ψαλ. 118,131.

ἐπιβούλων καὶ σφαλερῶν. Ὁ λογισμὸς πᾶσιν ἐπιστατείτω καὶ μὴ καθελκέσθω τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος. Μὴ μισήσῃς σου τὸν ἀδελφόν, καὶ ταῦτα δωρεάν, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε[1] καὶ σὸς ἀδελφὸς ἐγένετο, Θεὸς ὢν καὶ Δεσπότης. Μὴ φθονήσῃς τῷ κατορθοῦντι, ὁ φθονηθεὶς καὶ φθονεῖσθαι πεισθεὶς καὶ διὰ τοῦτο κατενεχθείς. Μὴ ἀτιμάσῃς δάκρυον, ὁ πολλῶν ἄξια δακρύων πεπονθώς, εἶτα ἠλεη-
[616]μένος. Μὴ ἀπώσῃ πένητα, ὁ πλουτήσας θεότητα· εἰ δ' οὖν, ἀλλὰ μὴ πλουτήσῃς κατὰ τοῦ πένητος. Καὶ τοῦτο γὰρ πολὺ παρὰ τῶν ἀκορέστων. Μὴ ἀτιμάσῃς ξένον, ὑπὲρ οὗ Χριστὸς ἐξενίτευσεν, οὗ πάντες ἡμεῖς ξένοι καὶ πάροικοι, μὴ ἀποξενωθῇς τοῦ παραδείσου καθὼς τὸ πρότερον. Μετάδος τῷ δεομένῳ στέγης, σκέπης, τροφῆς, ὁ τούτοις ἐντρυφῶν καὶ ὑπὲρ τὴν χρείαν. Μὴ ἀγαπήσῃς τὸν πλοῦτον, εἰ μὴ βοηθῇ πένησιν. Ἄφες, ὁ ἀφεθείς· ἐλέησον, ὁ ἠλεημένος· κτῆσαι τῷ φιλανθρώπῳ τὸ φιλάνθρωπον, ἕως καιρός· πᾶς ὁ βίος ἐγκαινιζέσθω σοι, πᾶσα πολιτείας ὁδός.

Η′. Αἱ ὑπὸ ζυγόν, δότε τι καὶ Θεῷ· προσείληφθε γάρ. Αἱ παρθένοι, τὸ πᾶν Θεῷ· λέλυσθε γάρ. Μὴ γίνεσθε κλέπτριαι δούλης ἡδονῆς, φυγοῦσαι τὴν ἐλευθερίαν, ἐκ τοῦ συνοικεῖν, οὐκ ἀνδράσι μέν, ἀνδράσι δ' ὅμως. Οὐ δέχομαι κάμνειν ἀεὶ τοῖς τῆς ἡδονῆς ὑπομνήμασι· μισῶ καὶ τὴν δι' ἀέρος συνήθειαν. Οἱ δυνάσται, φοβεῖσθε τὸν δυνατώτερον· οἱ τῶν ὑψηλῶν θρόνων, τὸν ὑψηλότερον. Μὴ θαυμάσῃς μηδέν, ὃ μὴ παραμένει· μὴ παρίδῃς, ὃ μένει· μηδὲ περισφίγξῃς μηδέν, ὃ διαρρεῖ κρατούμενον· μὴ ζηλώσῃς τι τῶν οὐ φθονουμένων, ἀλλὰ μισουμένων· μὴ ἐπαρθῇς μέγα, ἵνα μὴ μεῖζον κατενεχθῇς· μὴ φρόνει τῶν κακῶν φαίνεσθαι κρειττων· λυποῦ δὲ τῶν ἀγαθῶν ἡττώμενος· μὴ γελάσῃς πτῶμα τοῦ πέλας· διάβαινε δὲ ἀσφαλῶς, ὅση σοι δύναμις, ἀλλὰ καὶ δίδου χεῖρα χαμαὶ κειμένῳ. Μήτε ἀθυμῶν, ἀπελπίσῃς εὐημερίαν· μήτε πράττων καλῶς, ἀθυμίαν. Εἷς ἐνιαυτὸς τέσσαρας ὥρας φέρει καὶ μία ῥοπὴ καιροῦ, πολλὰς πραγμάτων μεταβολάς. Ἐπικοπτέτω σοι, μέριμνα μὲν ἡδονήν, λύπην δὲ ἡ κρειττων ἐλπίς. Οὕτως ἐγκαινίζεται ἄνθρωπος, οὕτως τιμᾶται ἡ τῶν Ἐγκαινίων ἡμέρα, τοιαύτῃ τρυφῇ, τοιούτοις ἐδέσμασιν. «Οὐκ ὀφθήσῃ», φησί, «κενὸς ἐναντίον μου»[2]· ἀλλ' εἴ τι καλόν, μετὰ σεαυτοῦ φέρων. Νῦν δὲ ὄφθητι καινός, τρόπον ἕτερος, ὅλως ἠλλοιωμένος. «Τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά»[3]. Τοῦτο τῇ ἑορτῇ καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιώθητι· καὶ μηδὲ οὕτω μέγα φρονήσῃς, ἀλλὰ φθέγξαι τὸ τοῦ Δαβὶδ «Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου»[4], παρ' οὗ πᾶν ἀνθρώποις τὸ κατορθούμενον. Οὐ βούλεταί σε ὁ λόγος ποτὲ ἐν ταὐτῷ μένειν, ἀλλ' ἀεικίνητον εἶναι, εὐκίνητον, πάντως νεόκτιστον· ἂν
[617] ἁμαρτάνῃς, ἐπιστρέφοντα· εἰ κατορθοῖς, ἐπιτείνοντα.

1. Πρβλ. Α′ Κορ. 8,11. 2. Πρβλ. Δευτ. 16,16. 3. Β′ Κορ. 5,17. 4. Ψαλ. 76,11.

Θ'. Χθὲς πίστιν εἶχες τὴν τῶν καιρῶν, σήμερον τὴν τοῦ Θεοῦ γνώρισον· μέχρι τίνος ἐπ' ἀμφοτέραις χωλανεῖς ταῖς ἰγνίαις; μέχρι τίνος οἰκονομήσεις; Καὶ οἰκοδομῆσαί ποτε προθυμήθητι· χθὲς τὸ δοκεῖν τις ἐτίμας, σήμερον τὸ εἶναι προτίμησον. Μέχρι ποῦ τὰ ἐνύπνια; καὶ ἡ ἀλήθειά ποτε σπουδασθήτω σοι. Χθὲς ἦσθα θεατρικός, σήμερον φάνηθι θεωρητικός· χθὲς λοίδορος, ἰταμός, σήμερον εὔφημος, ἥμερος· χθὲς κωμαστὴς, σήμερον σωφρονιστής. Σήμερον οἰνοπότης, αὔριον ὑδροπότης. Σήμερον κατασπαταλῶν ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ τὰ πρῶτα μύρα χριόμενος, αὔριον χαμεύνης καὶ ἄγρυπνος· ἀντὶ γελοιαστοῦ, σύννους· ἀντὶ καλλωπιστοῦ, δυσείμων· ἀντὶ γαύρου καὶ ἀλαζόνος, εὐτελὴς τὸ φαινόμενον· ἀντὶ χρυσορόφου, στενόχωρος· κάτω νεύων, ἀντὶ ὑψαύχενος. Ἐὰν οὕτω διανοῇ καὶ οὕτω ποιῇς, «ἔσται σοι ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή»[1], τά τε ἄλλα καὶ τὸν τούτων λόγον καταλαμβάνοντι.

Ι'. Ἀλλ' ἀπίωμεν ἤδη καὶ τῷ καιρῷ τὰ εἰκότα συνεορτάσοντες. Πάντα γὰρ εἰς καλὸν τῇ πανηγύρει συντρέχει καὶ συναγάλλεται· ἴδε γὰρ οἷα τὰ ὁρώμενα. Ἡ βασίλισσα τῶν ὡρῶν τῇ βασιλίδι τῶν ἡμερῶν πομπεύει καὶ δωροφορεῖ παρ' ἑαυτῆς πᾶν ὅ,τι κάλλιστον καὶ τερπνότατον. Νῦν οὐρανὸς διαυγέστερος· νῦν ἥλιος ὑψηλότερος καὶ χρυσοειδέστερος· νῦν σελήνης κύκλος φανότερος καὶ ἀστέρων χορὸς καθαρώτερος. Νῦν αἰγιαλοῖς μὲν κύματα σπένδεται, ἠλίῳ δὲ νέφος, ἀέρι δὲ ἄνεμοι, γῇ δὲ φυτοῖς, φυτὰ δὲ ὄψεσι. Νῦν πηγαὶ διαυγέστερον νάουσι· νῦν δὲ ποταμοὶ δαψιλέστερον, τῶν χειμερίων δεσμῶν λυθέντες. Καὶ λειμὼν εὐωδεῖ καὶ φυτὸν βρύει καὶ κείρεται πόα καὶ ἄρνες ἐπισκιρτῶσι χλοεραῖς ταῖς ἀρούραις. Ἄρτι μὲν ναῦς ἐκ λιμένων ἀνάγεται σὺν κελεύσμασι καὶ τούτοις ὡς τὰ πολλὰ φιλοθέοις καὶ τῷ ἱστίῳ πτεροῦται· καὶ περισκιρτᾷ δελφὶς ἀναφυσῶν ὡς ἥδιστον καὶ ἀναπεμπόμενος καὶ παραπέμπει πλωτῆρας σὺν εὐθυμίᾳ. Ἄρτι δὲ γεωργὸς ἄροτρον πήγνυται, ἄνω βλέπων καὶ τὸν καρποδότην ἐπικαλούμενος καὶ ὑπὸ ζυγὸν ἄγει βοῦν ἀρότην καὶ τέμνει γλυκεῖαν αὔλακα καὶ ταῖς ἐλπίσιν εὐφραίνεται. Ἄρτι δὲ ποιμὴν καὶ βου[620]κόλος ἁρμόζονται σύριγγας καὶ νόμιον ἐμπνέουσι μέλος καὶ φυτοῖς καὶ πέτραις ἐνεαρίζουσιν. Ἄρτι δὲ φυτὸν φυτουργὸς θεραπεύει καὶ ἰξευτὴς καλάμους οἰκοδομεῖ καὶ ὑποβλέπει πτόρθους καὶ περιεργάζεται πτερὸν ὄρνιθος. Καὶ ἁλιεὺς βυθοὺς διορᾷ καὶ δίκτυον ἀνακαθαίρει καὶ πέτρας ὑπερκαθέζεται.

ΙΑ'. Ἄρτι μὲν ἡ φιλεργὸς μέλισσα τὸ πτερὸν ἐκλύσασα καὶ τῶν σίμβλων ἀπαναστᾶσα, τὴν ἑαυτῆς σοφίαν ἐπιδείκνυται καὶ λειμῶνας ἐφίπταται καὶ συλᾷ τὰ ἄνθη· καὶ ἡ μὲν πονεῖ τὰ κηρία, τὰς ἐξαγώνους καὶ ἀντιθέτους σύριγγας ἐξυφαίνουσα καὶ τὰς εὐθείας ταῖς γωνίαις ἐπαλλάττουσα, ἔργον ὁμοῦ κάλλους καὶ ἀσφαλείας· ἡ δὲ τὸ

---

1. Ἡσ. 65,17.

μέλι ταῖς ἀποθήκαις ἐναποτίθεται καὶ γεωργεῖ τῷ ξενίζοντι καρπὸν γλυκὺν καὶ ἀνήροτον. Ὡς ὄφελόν γε καὶ ἡμεῖς, ὁ Χριστοῦ μελισσών, καὶ τοιοῦτο λαβόντες σοφίας καὶ φιλοπονίας ὑπόδειγμα! Ἄρτι δὲ καλιὰν ὄρνις πήγνυται καὶ ὁ μὲν ἐπανέρχεται, ὁ δὲ εἰσοικίζεται, ὁ δὲ περιίπταται καὶ καταφωνεῖ τὸ ἄλσος καὶ περιλαλεῖ τὸν ἄνθρωπον. Πάντα Θεὸν ὑμνεῖ καὶ δοξάζει φωναῖς ἀλαλήτοις· ἐπὶ πᾶσι γὰρ εὐχαριστεῖται δι' ἐμοῦ Θεός· καὶ οὕτως ὁ ἐκείνων ὕμνος ἡμέτερος γίνεται, παρ' ὧν ἐγὼ τὸ ὑμνεῖν λαμβάνω. Νῦν μὲν γελᾷ πᾶν ζῴων γένος καὶ πᾶσαν αἴσθησιν ἑστιώμεθα. Νῦν δὲ ὑψαύχην ἵππος καὶ ἀγέρωχος, τοῖς οἴκοις δυσχεραίνων καὶ τὰ δεσμὰ τυραννήσας, κροαίνει κατὰ πεδίον καὶ ποταμοῖς ὡραΐζεται.

ΙΒ′. Τί τἄλλα; Νῦν μάρτυρες αἰθριάζουσι καὶ πομπεύουσι καὶ λαμπροῖς τοῖς βήμασι συγκαλοῦσι λαὸν φιλόχριστον καὶ τοὺς ἄθλους δημοσιεύουσι. Τούτων εἷς ἐστι καὶ ὁ ἐμὸς στεφανίτης (ἐμὸς γάρ, εἰ καὶ μὴ παρ' ἐμοί, πιπτέτω φθόνος, εἰδόσι λέγω), Μάμας ὁ περιβόητος καὶ ποιμὴν καὶ μάρτυς· ὁ πρότερον μὲν τὰς ἐλάφους ἀμέλγων κατεπειγομένας ἀλλήλων, ἵνα ξένῳ γάλακτι τραφῇ δίκαιος· νῦν δὲ ποιμαίνων λαὸν μητροπόλεως καὶ τὸ ἔαρ ἐγκαινίζων σήμερον ταῖς πολλαῖς χιλιάσι τῶν πανταχόθεν ἐπειγομένων, διάφορόν τε ἀρετῆς κάλλεσι καὶ ποιμέσιν ἄξιον, καὶ λόγοις ἐπινικίοις. Ἔτι δὲ συντομώτερον εἰπεῖν, νῦν ἔαρ **[621]** κοσμικόν, ἔαρ πνευματικόν, ἔαρ ψυχαῖς, ἔαρ σώμασιν, ἔαρ ὁρώμενον, ἔαρ ἀόρατον· οὗ κἀκεῖθεν μεταλάβοιμεν ἐνταῦθα καλῶς ἀμειφθέντες καὶ καινοὶ πρὸς τὸν καινὸν βίον παραπεμφθείημεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος σὺν Ἁγίῳ Πνεύματι, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

ΛΟΓΟΣ ΜΕ'.

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ

[624] Α'. «Ἐπὶ τῆς φυλακῆς μου στήσομαι»[1], φησὶν ὁ θαυμάσιος Ἀββακούμ. Κἀγὼ μετ' αὐτοῦ σήμερον, τῆς δεδομένης μοι παρὰ τοῦ Πνεύματος ἐξουσίας καὶ θεωρίας, καὶ ἀποσκοπεύσω καὶ γνώσομαι, τί ὀφθήσεται καὶ τί λαληθήσεταί μοι. Καὶ ἔστην καὶ ἀπεσκόπευσα· καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν, καὶ οὗτος ὑψηλὸς σφόδρα· καὶ ἡ ὅρασις αὐτοῦ, ὡς ὅρασις ἀγγέλου· καὶ ἡ στολὴ αὐτοῦ, ὡς φέγγος ἀστραπῆς διερχομένης[2]· καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ κατ' ἀνατολὰς καὶ ἐβόησε φωνῇ μεγάλῃ. Φωνὴ αὐτοῦ, ὡς φωνὴ σάλπιγγος· καὶ κύκλῳ αὐτοῦ, ὡς πλῆθος οὐρανίου στρατιᾶς καὶ εἶπε· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος. Χριστὸς ἐκ νεκρῶν, συνεγείρεσθε· Χριστὸς εἰς ἑαυτόν, ἐπανέρχεσθε· Χριστὸς ἐκ τάφων, ἐλευθερώθητε τῶν δεσμῶν τῆς ἁμαρτίας. Πύλαι ᾅδου ἀνοίγονται καὶ θάνατος καταλύεται καὶ ὁ παλαιὸς Ἀδὰμ ἀποτίθεται καὶ ὁ νέος συμπληροῦται· «εἴ τις ἐν Χριστῷ καινὴ κτίσις»[3], ἀνακαινίζεσθε. Ταῦτα ὁ μὲν ἔλεγεν· οἱ δὲ ἀνύμνουν, ὅπερ καὶ πρότερον, ἡνίκα ἡμῖν ἐπεφάνη Χριστὸς διὰ τῆς κάτω γεννήσεως, τό, «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία»[4]. Μεθ' ὧν καὶ αὐτὸς ἐν ὑμῖν ταῦτα φθέγγομαι· εἴη δὲ καὶ φωνὴν λαβεῖν τῆς ἀγγελικῆς ἀξίαν καὶ πάντα περιηχοῦσαν τὰ πέρατα.

Β'. Πάσχα Κυρίου, Πάσχα, καὶ πάλιν ἐρῶ Πάσχα, τιμῇ τῆς Τριάδος. Αὕτη ἑορτῶν ἡμῖν ἑορτὴ καὶ πανήγυρις πανηγύρεων, τοσοῦτον ὑπεραίρουσα πάσας, οὐ τὰς ἀνθρωπικὰς μόνον καὶ χαμαὶ ἐρχομένας, ἀλλ' ἤδη καὶ τὰς αὐτοῦ Χριστοῦ καὶ ἐπ' αὐτῷ τελουμένας, ὅσον ἀστέρας ἥλιος. Καλὴ μὲν καὶ ἡ χθὲς ἡμῖν λαμπροφορία καὶ φωταγωγία, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ συνεστησάμεθα, πᾶν γένος ἀνθρώπων μικροῦ καὶ ἄξια πᾶσα, δαψιλεῖ τῷ πυρὶ τὴν νύκτα καταφωτίζοντες καὶ τοῦ μεγάλου φωτὸς ἀντίτυπος, ὅσον τε οὐρανὸς ἄνωθεν φρυκτωρεῖ, κόσμον ὅλον αὐγάζων τοῖς παρ' ἑαυτοῦ κάλλεσι, καὶ ὅσον ὑπερουράνιον, ἔν τε ἀγγέλοις τῇ πρώτῃ φωτεινῇ φύσει μετὰ τὴν πρώτην, τῷ ἐκεῖθεν πηγά**]625]**ζεσθαι καὶ ὅσον ἐν τῇ Τριάδι, παρ' ἧς φῶς ἅπαν συνέστηκεν, ἐξ ἀμερίστου φωτὸς μεριζόμενον καὶ τιμώμενον. Καλλίων δὲ ἡ σήμερον καὶ περιφανεστέρα. Ὅσῳ χθὲς μὲν πρόδρομον ἦν τοῦ μεγάλου φωτὸς ἀνισταμένου τὸ φῶς, καὶ οἷον εὐφροσύνη τις προεόρτιος. Σήμερον δὲ τὴν ἀνάστασιν αὐτὴν ἑορτάζομεν, οὐκ ἔτι ἐλπι-

---

1. Ἀββ. 2,1. 2. Ναοὺμ 2,4. 3. Β' Κορ. 5,17. 4. Λουκ. 2,14.

ζομένην, ἀλλ' ἤδη γεγενημένην καὶ κόσμον ὅλον ἑαυτῇ συνάγουσαν. Ἄλλος μὲν οὖν ἄλλο τι τῷ καιρῷ καρποφορείτω καὶ δωροφορείτω δῶρον ἑόρτιον, ἢ μικρὸν ἢ μεῖζον, τῶν πνευματικῶν τε καὶ Θεῷ φίλων, ὅπως ἂν ἕκαστος ἔχῃ δυνάμεως. Τῆς γὰρ ἀξίας μόλις ἂν καὶ ἄγγελοι τύχοιεν, οἱ πρῶτοι καὶ νοεροὶ καὶ καθαροὶ καὶ τῆς ἄνω δόξης ἐπόπται καὶ μάρτυρες· εἴπερ καὶ τούτοις τὸ πᾶν ἐφικτὸν τῆς ὑμνήσεως. Ἡμεῖς δὲ λόγον εἰσοίσομεν, ὧν ἔχομεν τὸ κάλλιστόν τε καὶ τιμιώτατον, ἄλλως τε καὶ Λόγον ὑμνοῦντες, ἐπ' εὐεργεσίᾳ τῆς λογικῆς φύσεως. Ἄρξομαι δὲ ἐντεῦθεν. Οὐδὲ γὰρ ἀνέχομαι, τοὺς περὶ τοῦ μεγάλου θύματος καὶ τῆς μεγίστης ἡμερῶν θύων λόγους, μὴ πρὸς Θεὸν ἀναδραμεῖν, κἀκεῖθεν ποιήσασθαι τὴν ἀρχήν. Καί μοι καθήρασθε καὶ νοῦν καὶ ἀκοήν καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα (ἐπειδὴ περὶ Θεοῦ καὶ θεῖος ὁ λόγος), ἵν' ἀπέλθητε τρυφήσαντες ὄντως τὰ μὴ κενούμενα. Ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος, ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον.

Γ′. Θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται· μᾶλλον δέ, ἔστιν ἀεί. Τὸ γὰρ ἦν καὶ ἔσται, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα καὶ τῆς ρευστῆς φύσεως· ὁ δὲ ὢν ἀεὶ καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει[1], τῷ Μωυσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον, οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπίπτον ἔννοιαν καὶ χρόνου καὶ φύσεως· νῷ μόνῳ σκιαγραφούμενος καὶ τούτῳ λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτόν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, πρὶν κρατηθῆναι φεῦγον καὶ πρὶν νοηθῆναι διαδιδράσκον· τοσαῦτα περιλάμπον **[628]** ἡμῶν τὸ ἡγεμονικὸν καὶ ταῦτα κεκαθαρμένον, ὅσα καὶ ὄψιν, ἀστραπῆς τάχος οὐχ ἱσταμένης· ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἔλκῃ πρὸς ἑαυτὸ (τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον καὶ ἀνεπιχείρητον)· τῷ δὲ ἀλήπτῳ, θαυμάζηται· θαυμαζόμενον δέ, ποθῆται πλέον· ποθούμενον δέ, καθαίρῃ· καθαῖρον δέ, θεοειδεῖς ἐργάζηται· τοιούτοις δὲ γενομένοις, ὡς οἰκείοις ἤδη προσομιλῇ (τολμᾷ τι νεανικὸν ὁ λόγος)· Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος· καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. Ἄπειρον οὖν τὸ θεῖον καὶ δυσθεώρητον· καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία· κἄν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι ἢ τελέως ληπτόν. Τί γὰρ ὂν ἁπλῆς ἐστι φύσεως, ἐπιζητήσωμεν. Οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ, ἡ ἁπλότης· εἴπερ μηδὲ τοῖς συνθέτοις, τὸ εἶναι μόνον συνθέτοις.

Δ′. Διχῇ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα καὶ μὴ ἐν τούτοις, ἄπειρον), ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς

1. Ἐξ. 3,13 ἑξ.

περὶ Θεοῦ φαντασίαις, τὸ ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν· ὅταν δὲ εἰς τὸν κάτω καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον· ὅταν δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. Αἰὼν γάρ, οὔτε χρόνος, οὔτε χρόνου τι μέρος· οὐδὲ γὰρ μετρητόν· ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος, ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰών, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. Ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω τανῦν. Οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρός, ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ' οἰκονομία. Θεοῦ δὲ ὅταν εἴπω, λέγω Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος· οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν· οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακριθῶμεν ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες ἢ διὰ τὴν ἀφθονίαν Ἑλληνίζοντες. Τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται. Οὕτω μὲν οὖν τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς σεραφὶμ συγκαλύπτεται καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς **[629]** μίαν συνιοῦσι κυριότητα καὶ θεότητα[1]· ὅπερ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα.

Ε'. Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα (τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος)· πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· καὶ τὸ ἐννόημα ἔργον ἦν. Λόγῳ συμπληρούμενον καὶ Πνεύματι τελειούμενον· καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ, οἷον ἄυλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην ὅτι ἐγγυτάτω τῶν εἰρημένων, ταύτας ὑποληπτέον. Βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακὸν καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν ἅτε περὶ Θεὸν οὔσας καὶ τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας (τὰ γὰρ ἐνταῦθα δευτέρας ἐλλάμψεως)· πείθει δέ με, μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους καὶ ὑπολαμβάνειν ταύτας καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, σκότος διὰ τὴ ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος, αἵ τε ὑπ' αὐτὸν ἀποστατικαὶ δυνάμεις, δημιουργοὶ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ καὶ ἡμῖν πρόξενοι.

Ϛ'. Οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ καὶ διὰ ταῦτα ὑπέστη κόσμος, ὡς ἐμὲ γοῦν περὶ τούτων φιλοσοφῆσαι, μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. Ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κόσμον ὑλικὸν καὶ ὁρώμενον· καὶ οὗτός ἐστι, τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα· ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ τῆς ἐξ ἁπάντων εὐαρμοστίας καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς κόσμου συμπλήρωσιν· ἵνα δείξῃ, μὴ μόνον οἰκείαν

1. Πρβλ. Ἡσ. 6,2 ἑξ.

ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντη ξένην ὑποστήσασθαι δυνατὸς ὤν. Οἰκεῖον μὲν γὰρ θεότητος, αἱ νοεραὶ φύσεις καὶ νῷ μόνῳ ληπταί· ξένον δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴσθησιν· καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι.

Ζ′. Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, οὕτως ἀπ᾽ ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς **[632]** εἱστήκεισαν καὶ τὸ τοῦ δημιουργοῦ Λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες. Οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μῖξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα καὶ τῆς περι τὰς φύσεις πολυτελείας· οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώρισμος. Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος καὶ ζῷον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ᾽ ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς (ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος[1])· οἷόν τινα κόσμον ἕτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος, τὸν αὐτὸν πνεῦμα καὶ σάρκα· πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν· τὸ μέν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην· τὸ δέ, ἵνα πάσχῃ καὶ πάσχων ὑπομιμνήσκηται καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος· ζῷον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς Θεὸν νεύσει θεούμενον. Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσοντος καὶ αὖθις συνδήσοντος ὑψηλότερον.

Η′. Τοῦτον ἔθετο μὲν ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν᾽ ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα[2], φυτῶν ἀθανάτων γεωργόν, θείων ἐννοιῶν ἴσως, τῶν τε ἁπλουστέρων καὶ τῶν τελεωτέρων, γυμνὸν τῇ ἁπλότητι καὶ ζωῇ τῇ ἀτέχνῳ καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος· τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ᾽ ἀρχῆς· καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ. Ὁ δὲ νόμος ἦν ἐντολή, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν καὶ οὗ μὴ προσαπτέον. Τὸ δὲ ἦν, τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ᾽ ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς (μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν)· ἀλλὰ καλὸν μὲν εὐκαίρως μεταλαμβανόμενον (θεωρία γὰρ ἦν τὸ φυτόν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς τοῖς τὴν ἕξιν τελεωτέροις), **[633]** οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι καὶ τὴν ἔφεσιν λιχνοτέροις· ὥσπερ οὐδὲ τροφὴ τελεία

1. Πρβλ. Γεν. 1,27. 2,7. 2. Πρβλ. Γεν. 2,15 ἑξ.

λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος[1]. Ἐπεὶ δὲ φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ, ἥν τε ἔπαθεν, ὡς ἁπαλωτέρα, καὶ ἣν προσήγαγεν, ὡς πιθανωτέρα (φεῦ τῆς ἐμῆς ἀσθενείας! ἐμὴ γὰρ ἡ τοῦ προπάτορος), τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης καὶ ἡττήθη τῆς μικρᾶς γεύσεως· ὁμοῦ δὲ τοῦ τῆς ζωῆς ξύλου καὶ τοῦ παραδείσου καὶ τοῦ Θεοῦ διὰ τὴν κακίαν ἐξόριστος γίνεται καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντίτυπον· καὶ τοῦτο πρῶτον γινώσκει τὴν ἰδίαν αἰσχύνην καὶ ἀπὸ Θεοῦ κρύπτεται[2]. Κερδαίνειν μέν τι κἀνταῦθα, τὸν θάνατον καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν. Καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. Οὕτω γὰρ πείθομαι κολάζειν Θεόν.

Θ′. Πολλοῖς δὲ παιδευθεὶς πρότερον ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε, κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν, ἀνελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν· τέλος, ἰσχυροτέρου δεῖται φαρμάκου ἐπὶ δεινοτέροις τοῖς ἀρρωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀνδρομανίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον, εἰδωλολατρίαις καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. Ταῦτα, ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. Τὸ δὲ ἦν, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ μὴ κινουμένη σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ Πατρὸς ὅρος καὶ λόγος, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων καὶ πάντα γίνεται, πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος· κυηθεὶς μὲν ἐκ τῆς Παρθένου καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ Πνεύματι (ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι καὶ παρθενίαν προτιμηθῆναι), προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως, ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ πνεύματος, ὧν τὸ μὲν ἐθέωσε, τὸ δ' ἐθεώθη. Ὦ τῆς καινῆς μίξεως! Ὦ τῆς παραδόξου κράσεως! Ὁ ὤν, γίνεται· καὶ ὁ **[636]** ἄκτιστος, κτίζεται· καὶ ὁ ἀχώρητος, χωρεῖται, διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι· καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. Καὶ ὁ πλήρης, κενοῦται[3]· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρόν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. Τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; Μετέλαβον τῆς εἰκόνος καὶ οὐκ ἐφύλαξα· μεταλαμβάνει τῆς

---

1. Πρβλ. Α′ Κορ. 3,2. 2. Πρβλ. Γεν. 3,8. 3. Πρβλ. Φιλιπ. 2,7.

ἐμῆς σαρκός, ἵνα καὶ τὴν εἰκόνα σώσῃ καὶ τὴν σάρκα ἀθανατίσῃ. Δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν· ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. Τοῦτο τοῦ προτέρου θεοειδέστερον· τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον.

Ι′. Ἀλλὰ τί τούτων ἡμῖν, τάχα ἂν εἴποι τις τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων; Κέντει τὸν πῶλον περὶ τὴν νύσσαν· τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει καὶ οἷς προκαθεζόμεθα σήμερον. Τοῦτο δὴ καὶ ποιήσω καὶ εἰ μικρὸν ἄνωθεν ἠρξάμην, οὕτω τοῦ λόγου καὶ τοῦ πόθου βιασαμένων. Οὐ χεῖρον δὲ ἴσως τοῖς φιλομαθέσι καὶ φιλοκάλοις περὶ τῆς προσηγορίας αὐτῆς τοῦ Πάσχα βραχέα διαλαβεῖν. Γένοιτο γὰρ ἂν οὐ φαῦλον τοῦτο ταῖς ἀκοαῖς ἐπεισόδιον. Τὸ Πάσχα τοῦτο, τὸ μέγα τε καὶ σεβάσμιον, Φάσκα τοῖς Ἑβραίοις προσαγορεύεται, κατὰ τὴν ἐκείνων φωνήν· δηλοῖ δὲ ἡ φωνὴ τὴν διάβασιν[1]· ἱστορικῶς μέν, διὰ τὴν ἐξ Αἰγύπτου πρὸς τὴν Χαναναίαν φυγὴν καὶ μετανάστασιν· πνευματικῶς δέ, διὰ τὴν ἐκ τῶν κάτω πρὸς τὰ ἄνω καὶ τὴν γῆν τῆς ἐπαγγελίας πρόοδον καὶ ἀνάβασιν. Ὅπερ δὲ πολλαχοῦ τῆς Γραφῆς συμβὰν εὕρομεν, ἀπὸ τῶν ἀσαφεστέρων μεταποιηθέντα τινὰ τῶν ὀνομάτων ἐπὶ τὸ σαφέστερον ἢ τῶν ἀγροικοτέρων ἐπὶ τὸ εὐσχημονέστερον, τοῦτο κἀνταῦθα τεθεωρήκαμεν. Τοῦ γὰρ σωτηρίου πάθους ὄνομα τοῦτο εἶναί τινες νομίσαντες, εἶτα ἐξελληνίζοντες τὴν φωνήν, κατὰ τὴν τοῦ φῖ πρὸς τὸ πῖ καὶ τοῦ κάππα πρὸς τὸ χῖ μεταποίησιν, Πάσχα τὴν ἡμέραν προσηγορεύκασιν. Παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνήν, ἰσχυροτέραν **[637]** ἐποίησε, προστρεχούσης τῆς τῶν πολλῶν ἀκοῆς, ὡς εὐσεβεστέρῳ τῷ ῥήματι.

ΙΑ′. Πάντα μὲν οὖν τὸν νόμον σκιὰν εἶναι τῶν μελλόντων[2] καὶ νοουμένων, ὁ θεῖος Ἀπόστολος πρὸ ἡμῶν ἀπεφήνατο. Καὶ ὁ χρηματίσας πρὸ τούτου τῷ Μωυσεῖ Θεός, ἡνίκα περὶ τούτων ἐνομοθέτει· Ὅρα γάρ, φησί, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει[3]· σκιαγραφίαν τινὰ καὶ προχάραγμα τῶν ἀοράτων παραδεικνὺς τὰ ὁρώμενα. Καὶ πείθομαι, μηδὲν εἰκῇ, μηδὲ ἀλογίστως, μηδὲ χαμερπῶς τούτων διατετάχθαι, μηδὲ ἀναξίως τῆς τοῦ Θεοῦ νομοθεσίας καὶ τῆς Μωυσέως ὑπουργίας· εἰ καὶ χαλεπὸν ἑκάστῃ τῶν σκιῶν, ἑκάστην ἐφευρεῖν θεωρίαν εἰς λεπτὸν καταβαίνοντα, ὅσα τε περὶ τῆς σκηνῆς αὐτῆς καὶ μέτρων καὶ ὕλης καὶ τῶν αἱρόντων ταῦτα Λευϊτῶν τε καὶ λειτουργῶν, ὅσα τε περὶ θυσιῶν καὶ καθαρσίων καὶ ἀφαιρεμάτων νενομοθέτηται· καὶ μόνοις εἶναι θεωρητὰ τοῖς κατὰ Μωυσέα τὴν ἀρετήν, ἢ ὅτι ἐγγυτάτω τῆς ἐκείνου παιδεύσεως. Ἐπεὶ καὶ ἐν αὐτῷ τῷ ὄρει Θεὸς ἀνθρώποις φαντάζεται, τὸ μέν τι καταβαίνων αὐτὸς τῆς οἰκείας περιωπῆς, τὸ δὲ ἡμᾶς ἀνάγων ἐκ τῆς κάτωθεν ταπεινώσεως, ἵνα χωρηθῇ μετρίως γοῦν θνητῇ φύσει, καὶ ὅσον ἀσφα-

1. Πρβλ. Ἐξ. 12,11. 2. Πρβλ. Κολ. 2,17. 3. Πρβλ. Ἐξ. 25,40.

λές, ὁ ἀχώρητος. Οὐ γὰρ οἷόν τε ἄλλως ἐν περινοίᾳ Θεοῦ γενέσθαι σώματος ὑλικοῦ καὶ δεσμίου νοῦ πάχος μὴ βοηθούμενον. Τότε τοίνυν οὐ πάντες τῆς αὐτῆς ἀξιωθέντες φαίνονται τάξεώς τε καὶ στάσεως· ἀλλ' ὁ μὲν τῆς, ὁ δὲ τῆς, πρὸς μέτρον, οἶμαι, τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος· οἱ δὲ καὶ παντάπασιν ἀπεληλαμένοι καὶ μόνης ἀκούειν τῆς ἄνωθεν φωνῆς συγχωρούμενοι, ὅσοι θηριώδεις τὸν τρόπον καὶ θείων μυστηρίων ἀνάξιοι.

ΙΒ'. Ὅμως δὲ μέσην χωροῦντες ἡμεῖς τῶν τε πάντη παχυτέρων τὴν διάνοιαν καὶ τῶν ἄγαν θεωρητικῶν τε καὶ ἀνηγμένων, ἵνα μήτε παντελῶς ἀργοὶ καὶ ἀκίνητοι μένωμεν, μήτε περιεργότεροι τοῦ δέοντος ὦμεν καὶ τῶν προκειμένων ἔκπτωτοι καὶ ἀλλότριοι (τὸ μὲν γὰρ Ἰουδαϊκόν πως καὶ ταπεινόν, τὸ δὲ ὀνειροκριτικὸν καὶ ὁμοίως ἀμφότερα κατεγνωσμένα)· οὕτω περὶ τούτων διαλεξόμεθα, κατὰ τὸ ἡμῖν ἐφικτὸν καὶ οὐ λίαν ἔκτοπον, οὐδὲ τοῖς πολλοῖς καταγέλαστον. Ἡγούμεθα γάρ, ἐπειδὴ πεσόντας **[640]** ἡμᾶς ἐκ τῆς ἁμαρτίας τὸ ἀπ' ἀρχῆς καὶ διὰ τῆς ἡδονῆς κλαπέντας μέχρις εἰδωλολατρίας καὶ τῶν ἀθέσμων αἱμάτων, ἔδει πάλιν ἀνακληθῆναι καὶ πρὸς τό ἀρχαῖον ἐπαναχθῆναι, διὰ σπλάγχνα ἐλέους Θεοῦ Πατρὸς ἡμῶν, οὐκ ἀνασχομένου ζημιωθῆναι τοσοῦτον ἔργον τῆς οἰκείας χειρὸς τὸν ἄνθρωπον. Πῶς οὖν ἀναπλασθῆναι καὶ τί γενέσθαι; Τὸ μὲν σφοδρὸν τῆς ἰατρείας ἀποδοκιμασθῆναι, ὡς οὔτε πεῖσον καὶ προσπλῆξαι δυνάμενον διὰ τὴν ἐκ τοῦ χρόνου φυσίωσιν, τῷ δὲ ἡμέρῳ καὶ φιλανθρώπῳ τῆς θεραπείας οἰκονομηθῆναι πρὸς ἐπανόρθωσιν. Μηδὲ γὰρ ἂν πτόρθον λοξὸν ἐνεγκεῖν ἀθρόαν μετάκλισιν καὶ βίαν χειρὸς ἀπευθυνούσης (θᾶττον μὲν τ' ἂν πληγῆναι ἢ ὀρθωθῆναι), μήτε ἵππον θερμὸν καὶ ὑπερήλικα χαλινοῦ τυραννίδα, δίχα τινὸς κολακείας καὶ ποππυσμάτων. Διὰ τοῦτο δίδοται νόμος ἡμῖν εἰς βοήθειαν, οἷόν τι διατείχισμα, μέσον Θεοῦ καὶ εἰδώλων, τῶν μὲν ἀπάγων ἡμᾶς, πρὸς δὲ τὸν ἐπανάγων. Καὶ συγχωρεῖ τι μικρὸν ἀπ' ἀρχῆς, ἵνα τὸ μεῖζον λάβῃ. Συγχωρεῖ τὰς θυσίας τέως, ἵν' ἐγκαταστήσῃ Θεόν· ἔπειτα, ἡνίκα καιρός, καταλύσῃ καὶ τὰς θυσίας, σοφῶς ὑπαλλάττων ἡμᾶς ταῖς κατὰ μικρὸν ὑφαιρέσεσι καὶ μετάγων ἐπὶ τὸ Εὐαγγέλιον ἤδη γεγυμνασμένους πρὸς εὐπείθειαν.

ΙΓ'. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα εἰσῆλθεν ὁ γραπτὸς νόμος, συνάγων ἡμᾶς εἰς Χριστόν, καὶ οὗτος τῶν θυσιῶν ὁ λόγος, ὡς ὁ ἐμὸς λόγος. Ὡς ἂν δὲ τὸ τῆς σοφίας βάθος μὴ ἀγνοῇς καὶ τὸν πλοῦτον τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων, οὐδὲ ταύτας παντελῶς ἀνιέρους ἀφῆκεν, οὐδὲ ἀσυντελεῖς, οὐδὲ μέχρι ψιλοῦ προϊούσας τοῦ αἵματος· ἀλλὰ τὸ μέγα καὶ ἄθυτον ἱερεῖον, ἵν' οὕτως εἴπω, ὅσον ἐπὶ τῇ πρώτῃ φύσει, ταῖς νομικαῖς θυσίαις ἐγκαταμέμικται καὶ οὐ μικροῦ μέρους τῆς οἰκουμένης, οὐδὲ πρὸς ὀλίγον, ἀλλὰ παντὸς τοῦ κόσμου καὶ διαιωνίζον καθάρσιον. Διὰ τοῦτο λαμβάνεται πρόβατον μέν, διὰ τὴν ἀκακίαν καὶ τὸ ἔνδυμα τῆς ἀρχαίας γυμνώσεως. Τοιοῦτον γὰρ τὸ

ὑπὲρ ἡμῶν σφάγιον[1], ἔνδυμα ἀφθαρσίας καὶ ὃν καὶ καλούμενον. Τέλειον δέ, οὐ διὰ τὴν θεότητα μόνον, ἧς οὐδὲν τελεώτερον, ἀλλὰ **[641]** καὶ διὰ τὴν πρόσληψιν τὴν χρισθεῖσαν θεότητι καὶ γενομένην ὅπερ τὸ χρῖσαν καί, θαρρῶ λέγειν, ὁμόθεον. Ἄρρεν δέ, ὡς ὑπὲρ τοῦ Ἀδὰμ προσαγόμενον, μᾶλλον δὲ τοῦ στερροῦ τὸ στερρότερον, τοῦ πρώτου πεσόντος ὑπὸ τὴν ἁμαρτίαν καὶ ὅτι μάλιστα μηδὲν θῆλυ, μηδὲ ἄνανδρον ἐν ἑαυτῷ φέρον· ἀλλὰ καὶ ἐκραγὲν βίᾳ δεσμῶν παρθενικῶν τε καὶ μητρικῶν, κατὰ πολλὴν ἐξουσίαν καὶ τεχθὲν ἄρσεν ἐκ τῆς προφήτιδος, ὡς Ἡσαΐας εὐαγγελίζεται[2]. Ἐνιαύσιον δέ, ὡς ἥλιον δικαιοσύνης ἢ ἐκεῖθεν ὁρμώμενον ἢ τῷ ὁρωμένῳ περίγραπτον καὶ εἰς ἑαυτὸν ἐπιστρέφοντα· στέφανόν τε χρηστότητος εὐλογούμενον[3] καὶ παντα-χόθεν ἴσον ἑαυτῷ καὶ ὅμοιον· οὐ μόνον δέ, ἀλλὰ καὶ ὡς ζωογονοῦν τὸν τῶν ἀρετῶν κύκλον, ἡπίως ἐπιμιγνυμένων καὶ κιρναμένων ἀλλήλαις, νόμῳ φιλίας καὶ τάξεως. Ἄμωμον δὲ καὶ ἀκίβδηλον, ὡς θεραπευτικὸν μώμων καὶ τῶν ἀπὸ κακίας ἐλαττωμάτων καὶ μολυσμάτων. Εἰ γὰρ καὶ τὰς ἁμαρτίας ἡμῶν ἀνέλαβε καὶ τὰς νόσους ἐβάστασεν[4], ἀλλ' οὐκ αὐτός τι πέπονθε τῶν θεραπείας ἀξίων. Ἐπειράσθη μὲν γὰρ κατὰ πάντα, καθ' ὁμοιότητα τὴν ἡμετέραν, χωρὶς ἁμαρτίας δέ[5]. Ὁ γὰρ διώξας τὸ φαῖνον ἐν τῇ σκοτίᾳ φῶς[6], οὐ κατέλαβεν.

ΙΔ′. Τί ἔτι; Μὴν μὲν εἰσάγεται πρῶτος, μᾶλλον δὲ ἀρχὴ μηνῶν[7]· εἴτε τις τοῦτο παρ' Ἑβραίοις ὢν ἀπ' ἀρχῆς, εἴτε ὕστερον ἐντεῦθεν γενόμενος καὶ παρὰ τοῦ μυστηρίου τὸ εἶναι πρῶτος λαβών. Τῇ δεκάτῃ δὲ τοῦ μηνός· οὗτος γὰρ ἀριθμῶν πληρέστατος, ἐκ μονάδων πρώτη μονὰς τελεία καὶ γεννητικὴ τελειότητος. Διατηρεῖται δὲ εἰς πέμπτην ἡμέραν, ἴσως ὅτι καθαρτικὸν αἰσθήσεων τὸ ἐμὸν θῦμα, ἐξ ὧν τὸ πταίειν καὶ περὶ ἃς ὁ πόλεμος, εἰσδεχόμενος τὸ κέντρον τῆς ἁμαρτίας. Ἐκλέγεται δέ, οὐκ ἀπὸ τῶν ἀρνῶν μόνον, ἀλλὰ καὶ τοῦ χείρονος εἴδους καὶ τῆς ἀριστερᾶς χειρὸς τῶν ἐρίφων[8], ὅτι μὴ ὑπὲρ τῶν δικαίων μόνον, ἀλλὰ καὶ τῶν ἁμαρτωλῶν σφαγιάζεται[9]· τάχα δὲ ὑπὲρ τούτων καὶ πλέον, ὅσῳ καὶ μείζονος χρῄζομεν τῆς φιλανθρωπίας. Θαυμαστὸν δὲ οὐδέν, εἰ μάλιστα μὲν κατ' οἶκον ἕκαστον ἐπιζητεῖται τὸ πρόβατον, εἰ δὲ μὴ καὶ κατ' οἴκους πατριῶν, διὰ πενίαν ἐρανιζόμενον· ἐπειδὴ κράτιστον μάλιστα μὲν αὐτὸν ἕκαστον ἀρκεῖν ἑαυτῷ πρὸς τελείωσιν καὶ θυσίαν ζῶσαν, ἁγίαν προσάγειν τῷ καλοῦντι Θεῷ, πάντοτε καὶ διὰ πάντων καθιερούμενον· εἰ δὲ μή, **]644]** καὶ συνεργοῖς εἰς τοῦτο κεχρῆσθαι, τοῖς κατ' ἀρετὴν ὁμογενέσι καὶ ὁμοτρόποις. Τοῦτο γάρ μοι δοκεῖ βούλεσθαι, τὸ κοινωνεῖν τοῖς ἔγγιστα τοῦ θύματος, εἰ δεήσειεν.

ΙΕ′. Ἐντεῦθεν ἡ ἱερὰ νὺξ καὶ τοῦ παρόντος βίου τῆς κεχυμένης,

---

1. Πρβλ. Ἐξ. 12,3 ἑξ. 2. Πρβλ. Ἡσ. 8,3. 3. Πρβλ. Ψαλ. 64,12. 4. Πρβλ. Ἡσ. 53,4. 5. Πρβλ. Ἑβρ. 4,15. 6. Πρβλ. Ἰω. 1,5. 7. Πρβλ. Ἐξ. 12,2 ἑξ. 8. Πρβλ. Ἐξ. 12,5. Ματθ. 25,33. 9. Πρβλ. Ρωμ. 5,6-8.

τῆσδε νυκτὸς ἀντίπαλος, καθ' ἣν τὸ πρωτόγονον λύεται σκότος καὶ εἰς φῶς ἅπαντα καὶ τάξιν καὶ εἶδος ἔρχεται καὶ κόσμον ἡ πρὶν ἀκοσμία λαμβάνει. Ἐντεῦθεν Αἴγυπτον φεύγομεν, τὴν σκυθρωπὴν καὶ διώκτριαν ἁμαρτίαν καὶ Φαραὼ τὸν ἀόρατον τύραννον καὶ τοὺς πικροὺς ἐργοδότας, πρὸς τὸν ἄνω μετασκευαζόμενοι κόσμον· καὶ τοῦ πηλοῦ καὶ τῆς πλινθείας ἐλευθερούμεθα, τῆς τε τοῦ ἀχύρου καὶ σφαλερᾶς τοῦ σαρκίου τοῦδε συστάσεως καὶ μηδ' ὅσον ἀχυρώδεσι λογισμοῖς ἐπὶ τῶν πολλῶν κρατουμένης. Ἐντεῦθεν ὁ ἀμνὸς σφαγιάζεται καὶ σφραγίζονται τῷ τιμίῳ αἵματι πρᾶξις καὶ λόγος, εἴτουν ἕξις καὶ ἐνέργεια, αἱ τῶν ἡμετέρων θυρῶν παραστάτιδες, λέγω δὴ τῶν τοῦ νοῦ κινημάτων τε καὶ δογμάτων, καλῶς ἀνοιγομένων καὶ κλειομένων ἐκ θεωρίας, ἐπειδὴ μέτρον ἐστί τι καὶ καταλήψεων. Ἐντεῦθεν ἡ τελευταία καὶ βαρυτάτη τοῖς διώκταις πληγὴ καὶ νυκτὸς ὄντως ἀξία· καὶ θρηνεῖ τὰ πρωτότοκα τῶν οἰκείων λογισμῶν καὶ πράξεων Αἴγυπτος (ὃ καὶ σπέρμα Χαλδαϊκὸν ἐξαιρόμενον τῇ Γραφῇ καλεῖται[1] καὶ νήπια Βαβυλώνια τῇ πέτρᾳ προσκροτούμενα[2] καὶ λυόμενα), καὶ βοῆς πάντα μεστὰ καὶ κραυγῆς Αἰγυπτίοις· καὶ ἡμῶν ἀποχωρήσει τηνικαῦτα ὁ ἐκείνων ὀλοθρευτής, αἰδοῖ καὶ φόβῳ τοῦ χρίσματος. Ἐντεῦθεν ἄρσις τῆς ζύμης ἑπταήμερος[3] (οὗτος γὰρ μυστικώτατος ἀριθμῶν καὶ τῷ κόσμῳ τούτῳ σύστοιχος), τῆς παλαιᾶς καὶ ὀξώδους κακίας (οὐ γὰρ τῆς ἀρτοποιοῦ τε καὶ ζωτικῆς)· ἵνα μηδὲν Αἰγύπτιον ἐπισιτιζώμεθα φύραμα[4] καὶ λείψανον Φαρισαϊκῆς καὶ ἀθέου διδασκαλίας[5].

ΙΣ'. Καὶ οἱ μὲν θρηνείτωσαν· ἡμῖν δὲ ὁ ἀμνὸς βρωθήσεται· πρὸς ἑσπέραν μέν[6], ὅτι ἐπὶ συντελείᾳ τῶν αἰώνων τὸ Χριστοῦ πάθος· ἐπεὶ καὶ κοινωνεῖ τοῦ μυστηρίου τοῖς μαθηταῖς ἐν ἑσπέρᾳ, λύων τὸν σκότον τῆς ἁμαρτίας. Οὐχ ἑψόμενος δέ, ἀλλ' ὀπτώμενος[7]· ὡς ἂν μηδὲν ἀθεώρητον, μηδ' ὑδα**[645]**ρὲς ὁ λόγος ἡμῖν ἂν ἔχῃ, μηδ' εὐδιάλυτον, ἀλλ' ὅλος συνεστὼς ἢ καὶ στερρὸς καὶ τῷ καθαρτικῷ πυρὶ δεδοκιμασμένος καὶ παντὸς ὑλώδους ἐλεύθερος καὶ ἀπέριττος καὶ τοῖς καλοῖς ἄνθραξι βοηθώμεθα, τὸ διανοητικὸν ἡμῶν ἀνάπτουσι καὶ καθαίρουσι, παρὰ τοῦ πῦρ ἐλθόντος βαλεῖν ἐπὶ τῆς γῆς[8] τὸ τῶν μοχθηρῶν ἕξεων ἀναλωτικόν καὶ τὴν ἄναψιν ἐπισπεύδοντος. Ὅσον μὲν οὖν σαρκῶδες τοῦ λόγου καὶ τρόφιμον, μετὰ τῶν ἐντοσθίων καὶ τῶν κρυφίων τοῦ νοῦ βρωθήσεται καὶ ἀναλωθήσεται[9] καὶ εἰς πέψιν πνευματικὴν ἀναδοθήσεται, ἄχρι κεφαλῆς καὶ ποδῶν, τῶν τε πρώτων περὶ θεότητος θεωρημάτων καὶ τῶν τελευταίων τῆς σαρκώσεως φροντισμάτων. Οὐκ ἐξοίσομεν δὲ οὐδέν, οὐδὲ εἰς τὸ πρωὶ καταλείψομεν[10]· ὅτι μηδὲ ἐκφορὰ τοῖς ἔξω τὰ πολλὰ τῶν ἡμετέρων μυστηρίων, μηδὲ ὑπὲρ τὴν νύκτα

---

1. Πρβλ. Ἰουδὶθ 5,6. 2. Πρβλ. Ψαλ. 136,8-9. 3. Πρβλ. Ἐξ. 12,19. 4. Ἔνθ' ἀν. 5. Πρβλ. Ματθ. 16,6. 6. Πρβλ. Ἐξ. 12,18. 7. Πρβλ. Ἐξ. 12,9. 8. Πρβλ. Λουκ. 12,49. 9. Πρβλ. Ἐξ. 12,8. 10. Πρβλ. Ἐξ. 12,10.

ταύτην ἔστι τις κάθαρσις, καὶ τὸ τῆς ἀναβολῆς οὐκ ἐπαινετὸν τοῖς τοῦ Λόγου μεταλαμβάνουσιν. Ὥσπερ γὰρ τὴν ὀργὴν μὴ διημερεύειν, ἀλλὰ προκαταλύειν ἡλίου καλὸν[1] καὶ τῷ Θεῷ φίλον, χρονικῶς τε καὶ ἀναγωγικῶς (ἐπιδύεσθαι γὰρ ὀργιζομένοις ἡμῖν οὐκ ἀσφαλὲς τὸν τῆς δικαιοσύνης ἥλιον)· οὕτω τὴν τοιαύτην βρῶσιν μὴ διανυκτερεύειν, μηδὲ εἰς τὴν ἑξῆς ἀποτίθεσθαι. Ὅσον δὲ ὀστῶδες καὶ ἄβρωτον καὶ ἡμῖν δυσθεώρητον, οὐδὲ συντριβήσεται[2], κακῶς διαιρούμενον καὶ νοούμενον (ἐῶ γὰρ λέγειν, ὅτι μηδέ, κατὰ τὴν ἱστορίαν, τοῦ Ἰησοῦ συνετρίβη[3] καί τοί γε τοῦ θανάτου τοῖς σταυρωταῖς ἐπισπευδομένου, διὰ τὸ Σάββατον)· οὐδὲ ἀπορριφήσεται καὶ περισυρήσεται· ἵνα μὴ δοθῇ τὰ ἅγια τοῖς κυσὶ καὶ κακοῖς τοῦ Λόγου σπαράκταις, ὥσπερ οὐδὲ τοῖς χοίροις[4] τὸ λαμπρὸν τοῦ Λόγου καὶ μαργαρῶδες· ἀλλὰ πυρὶ καταναλωθήσεται, τῷ καὶ τὰ ὁλοκαυτώματα, τὰ πάντα ἐρευνῶντι καὶ εἰδότι Πνεύματι λεπτυνόμενα καὶ σῳζόμενα, οὐκ ἀπολλύμενα καθ' ὑδάτων, οὐδὲ σπειρόμενα· ὥσπερ ἡ κεφαλὴ τοῦ μόσχου παρὰ Μωυσέως, ἡ σχεδιασθεῖσα τῷ Ἰσραήλ, εἰς ὀνειδισμὸν τῆς σκληρότητος[5].

ΙΖ′. Ἄξιον δὲ μηδὲ τὸν τῆς βρώσεως τρόπον παραδραμεῖν, ὅτι μηδὲ ὁ νόμος, ἄχρι καὶ τούτου, τὴν θεωρίαν φιλοπονῶν ἐν τῷ γράμματι. Ἀναλώσομεν γὰρ τὸ θῦμα κατὰ σπουδὴν καὶ ἄζυμα ἐπὶ πικρίδων συνέσθοντες καὶ τὰς ὀσφύας περιεζωσμένοι καὶ τὰ ὑποδήματα περικείμενοι καὶ πρεσβυτικῶς βακτηρεύοντες[6]. Κατὰ σπουδὴν μέν, ἵνα μὴ πάθωμεν ὅπερ ὁ Λὼτ ἐκεῖνος ἀπηγόρευται παρὰ τῆς **[648]** ἐντολῆς· μὴ περιβλεψώμεθα, μὴ στῶμεν ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος ἀποσωθῶμεν, μὴ συμπαραληφθῶμεν τῷ Σοδομιτικῷ καὶ ξένῳ πυρί, μηδ' εἰς στήλην ἁλὸς παγῶμεν, ἐκ τῆς ἐπὶ τὸ χεῖρον ἐπιστροφῆς, ὅπερ ἐργάζεται μέλλησις[7]. Ἐπὶ δὲ πικρίδων[8], διὰ τὸ πικρὸν τοῦ κατὰ Θεὸν βίου καὶ πρόσαντες, τοῖς ἀρχομένοις μάλιστα καὶ ἡδονῶν ὑψηλότερον. Εἰ γὰρ καὶ χρηστὸς ὁ νέος ζυγὸς καὶ τὸ φορτίον ἐλαφρόν[9], ὥσπερ ἀκούεις· ἀλλὰ διὰ τὴν ἐλπίδα τοῦτο καὶ τὴν ἀντίδοσιν, πολλῷ τῆς ἐνταῦθα κακοπαθείας οὖσαν δαψιλεστέραν· ἐπεὶ ἄλλως γε, τίς οὐκ ἂν εἴποι, πολὺ τῶν νομικῶν διατάξεων τὸ Εὐαγγέλιον ἐργωδέστερον εἶναι καὶ μοχθηρότερον; Τοῦ γὰρ νόμου τὰ τέλη τῶν ἁμαρτημάτων κωλύοντος, ἡμεῖς καὶ τὰς αἰτίας, ὡς πράξεις σχεδόν, ἐγκαλούμεθα. «Οὐ μοιχεύσεις»[10], φησὶν ὁ νόμος· σὺ δέ, οὐδὲ ἐπιθυμήσεις[11], ἐκ περιέργου θέας καὶ φιλοπόνου φλέγων τὸ πάθος. «Οὐ φονεύσεις»[12], ἐκεῖνος· σὺ δέ, οὐδὲ ἀντιπλήξεις[13], ἀλλὰ καὶ σεαυτὸν ἐμπαρέξεις τῷ παίοντι. Ὅσον ταῦτα ἐκείνων φιλοσοφώτερα! Οὐκ

---

1. Πρβλ. Ἐφ. 4,26. 2. Πρβλ. Ἐξ. 12,46. 3. Πρβλ. Ἰω. 19,33. 4. Πρβλ. Ματθ. 7,6. 5. Πρβλ. Ἐξ. 32,19 ἑξ. 6. Πρβλ. Ἐξ. 12,3 ἑξ. 7. Πρβλ. Γεν. 19,24 ἑξ. 8. Πρβλ. Ἐξ. 12,8. 9. Πρβλ. Ματθ. 11,30. 10. Ἐξ. 20,13. 11. Πρβλ. Ματθ. 5,28. 12. Ἐξ. 20,15. 13. Πρβλ. Ματθ. 5,39.

ἐπιορκήσεις[1], ἐκεῖνος· σὺ δέ, οὐδὲ ὀμῇ τὴν ἀρχήν[2], οὐ μικρόν, οὐ μεῖζον ὡς τοῦ ὅρκου τὴν ἐπιορκίαν τίκτοντος. Οὐ συνάψεις οἰκίαν πρὸς οἰκίαν, ἐκεῖνος, καὶ ἀγρὸν πρὸς ἀγρόν[3], καταδυναστεύων τοῦ πένητος· σὺ δέ, ἀποθήσῃ καὶ τὰ δικαίως κτηθέντα προθύμως καὶ γυμνωθήσῃ τοῖς πένησιν, ἵνα κούφως τὸν σταυρὸν αἴρῃς καὶ πλουτήσῃς τὰ μὴ ὁρώμενα[4].

ΙΗ′. Ὀσφὺς δέ, τοῖς μὲν ἀλόγοις, ἄνετος ἔστω καὶ ἄδετος[5]· οὐδὲ γὰρ λόγον ἔχουσι, τὸν κρατοῦντα τῶν ἡδονῶν· οὔπω λέγω, ὅτι κἀκεῖνα ὅρον οἶδε τῆς φυσικῆς κινήσεως· σοὶ καὶ ἀναστελλέσθω ζώνῃ καὶ σωφροσύνῃ τὸ ἐπιθυμητικὸν καὶ χρεμιτιστικὸν[6] (ὡς ἡ θεία φησὶ Γραφή, τὸ τοῦ πάθους αἰσχρὸν διασύρουσα), ἵνα καθαρῶς ἐσθίῃς τὸ Πάσχα, νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς[7] καὶ τὴν Ἰωάννου ζώνην μιμούμενος[8], τοῦ ἐρημικοῦ καὶ προδρόμου καὶ μεγάλου τῆς ἀληθείας κήρυκος. Οἶδα καὶ ζώνην ἄλλην, τὴν στρατιωτικὴν λέγω καὶ ἀνδρικήν, καθ' ἣν Εὔζωνοι Συρίας καὶ Μονόζωνοί τινες ὀνομάζονται[9]· καθ' ἣν καὶ τῷ Ἰὼβ χρηματίζων φησὶν ὁ Θεός· Μή, ἀλλὰ «ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου»[10] καὶ δὸς ἀπόκρισιν ἀνδρικήν· ἣν καὶ ὁ θεῖος Δαβὶδ περιεζῶσθαι δύναμιν ἐκ Θεοῦ[11] μεγαλαυχεῖ καὶ τὸν Θεὸν αὐτὸν **[649]** εἰσάγει ἐνδεδυμένον δύναμιν καὶ περιεζωσμένον[12] δηλαδὴ κατὰ τῶν ἀσεβῶν· εἰ μή τῳ φίλον, τὸ περιὸν τῆς δυνάμεως καὶ οἷον ἀνεσταλμένον, οὕτω παραδηλοῦσθαι, καθὸ καὶ φῶς ἀναβάλλεται ὡς ἱμάτιον[13]. Τὸ γὰρ ἄσχετον αὐτοῦ τῆς δυνάμεως καὶ τοῦ φωτὸς τίς ὑποστήσεται; Ζητῶ, τί κοινὸν ὀσφύι καὶ ἀληθείᾳ; τί δὲ τῷ ἁγίῳ Παύλῳ νοεῖται τὸ φάσκειν· «Στῆτε οὖν περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ»[14]; Μήποτε ὡς τοῦ θεωρητικοῦ τὸ ἐπιθυμητικὸν περισφίγγοντος καὶ οὐκ ἐῶντος ἀλλαχοῦ φέρεσθαι; Οὐ γὰρ ἐθέλει τὸ περί τι διακείμενον ἐρωτικῶς, πρὸς τὰς ἄλλας ἡδονὰς τὴν αὐτὴν ἔχειν δύναμιν.

ΙΘ′. Τὰ δὲ ὑποδήματα, ὁ μὲν τῆς ἁγίας γῆς καὶ θεοστιβοῦς ψαύειν μέλλων, ὑπολυέσθω, καθὰ καὶ Μωυσῆς ἐκεῖνος ἐπὶ τοῦ ὄρους[15], ἵνα μηδὲν νεκρὸν φέρῃ, μηδὲ μέσον Θεοῦ καὶ ἀνθρώπων. Ὡς δὲ καὶ εἴ τις μαθητὴς ἐπὶ τὸ Εὐαγγέλιον πέμπεται[16], φιλοσόφως καὶ ἀπερίττως· δν δεῖ πρὸς τῷ ἀχάλκῳ καὶ ἀράβδῳ καὶ μονοχίτωνι, ἔτι καὶ γυμνοποδεῖν, ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην[17], καὶ ἄλλο πᾶν ἀγαθόν. Ὁ δὲ φεύγων Αἴγυπτόν τε καὶ τὰ αἰγύπτια, ὑποδεδέσθω[18], τῆς τε ἄλλης ἀσφαλείας ἕνεκα καὶ τῆς πρὸς τοὺς σκορπίους καὶ τοὺς ὄφεις, οὓς καὶ πολλοὺς Αἴγυπτος τρέφει, ὥστε μὴ βλάπτεσθαι παρὰ τῶν τηρούντων τὴν πτέρναν[19], οὓς πατεῖν ἐκε-

---

1. Πρβλ. Ἐξ. 20,7. 2. Πρβλ. Ματθ. 5,34. 3. Πρβλ. Ἡσ. 5,8. 4. Πρβλ. Ματθ. 19,21. 5. Πρβλ. Ἐξ. 12,11. 6. Πρβλ. Ἱερ. 5,8. 7. Πρβλ. Κολ. 3,5. 8. Πρβλ. Ματθ. 3,4. 9. Πρβλ. Δ′ Βασ. 5,2. 10. Πρβλ. Ἰὼβ 38,3. 11. Πρβλ. Ψαλ. 17,33. 12. Πρβλ. Ψαλ. 92,1. 13. Πρβλ. Ψαλ. 103,2. 14. Ἐφ. 6,14. 15. Πρβλ. Ἐξ. 3,5. 16. Πρβλ. Λουκ. 10,3 ἑξ. 17. Πρβλ. Ἡσ. 52,7. 18. Πρβλ. Ἐξ. 12,11. 19. Πρβλ. Λουκ. 10,19.

λεύσθημεν. Περὶ δὲ τῆς βακτηρίας[1], οὕτως ἔχω καὶ τοῦ περὶ ταύτην αἰνίγματος. Τὴν μὲν ὑπερειστικὴν οἶδα, τὴν δὲ ποιμαντικήν τε καὶ διδασκαλικὴν καὶ τὰ λογικὰ πρόβατα ἐπιστρέφουσαν. Ἀλλὰ σοὶ νῦν τὴν ὑπερείδουσαν ὁ νόμος διακελεύεται, μήπου τὸν λογισμὸν ὀκλάσῃς, αἷμα Θεοῦ καὶ πάθος ἀκούων καὶ θάνατον, μήπου περιενεχθῇς ἀθέως, ὡς Θεοῦ συνήγορος· ἀλλ' ἀνεπαισχύντως καὶ ἀνενδοιάστως, φάγε τὸ σῶμα, πίε τὸ αἷμα, εἰ τῆς ζωῆς ἐπιθυμητικῶς ἔχεις, μήτε τοῖς περὶ σαρκὸς ἀπιστῶν λόγοις, μήτε τοῖς περὶ τὸ πάθος βλαπτόμενος. Ἐρηρεισμένος ἵστασο, πάγιος, βεβηκώς, ἐν μηδενὶ σαλευόμενος ὑπὸ τῶν ἀντικειμένων, μηδὲ πιθανότητος λόγοις παρασυρόμενος. Ἐπὶ τὸ ὕψος σεαυτοῦ στῆθι, ἐν ταῖς αὐλαῖς Ἱερουσαλὴμ στῆσον τοὺς πόδας[2], ἐπὶ τῆς πέτρας ἔρεισον, ἵνα μὴ σαλεύηταί σου τὰ κατὰ Θεὸν διαβήματα.

Κ′. Τί φής; Οὕτω ταῦτα ἔδοξεν, Αἴγυπτον ἐξελθεῖν, τὴν σιδηρᾶν κάμινον[3], καταλιπεῖν σε τὴν ἐκεῖσε πολυθεΐαν καὶ ὑπὸ Μωυσέως ἀχθῆναι καὶ τῆς **[652]** ἐκείνου νομοθεσίας καὶ στρατηγίας; Εἰσηγοῦμαι τι καὶ τῶν οὐκ ἐμῶν, μᾶλλον δὲ καὶ λίαν ἐμῶν, ἂν πνευματικῶς θεωρῇς. Χρῆσαι παρ' Αἰγυπτίων σκεύῃ χρυσᾶ καὶ ἀργυρᾶ[4]· μετὰ τούτων ὅδευσον· ἐκ τῶν ἀλλοτρίων ἐφοδιάσθητι, μᾶλλον δὲ τῶν σῶν· χρεωστεῖταί σοι μισθὸς τῆς δουλείας καὶ τῆς πλινθείας· σόφισαί τι καὶ σὺ περὶ τὴν ἀπαίτησιν· καλῶς ἀποστέρησον. Ἔστω, τεταλαιπώρηκας ἐνταῦθα, τῷ πηλῷ μαχόμενος, τῷ μοχθηρῷ τούτῳ καὶ ῥυπαρῷ σώματι καὶ πόλεις οἰκοδομῶν ἀλλοτρίας καὶ σφαλεράς, ὧν ἀπολεῖται τὸ μνημόσυνον μετ' ἤχου. Τί δέ; προῖκα ἐξέρχῃ καὶ ἀμισθί; Τί δέ; καταλείψεις Αἰγυπτίοις καὶ ταῖς ἀντικειμέναις δυνάμεσιν, ἃ κακῶς ἐκτήσαντο καὶ χεῖρον δαπανήσουσιν; Οὐκ ἔστιν ἐκείνων· ἐσύλησαν, ἥρπασαν τοῦ εἰπόντος· «Ἐμόν ἐστι τὸ ἀργύριον, καὶ ἐμόν ἐστι τὸ χρυσίον»[5], καὶ δώσω αὐτὸ ᾧ βούλομαι[6]. Χθὲς ἦν ἐκείνων· συνεχωρεῖτο γάρ. Σήμερον σοὶ προσάγει καὶ δίδωσιν ὁ Δεσπότης, καλῶς χρησομένῳ καὶ σωτηρίως. Κτησώμεθα ἡμῖν αὐτοῖς φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵν', ὅταν ἐκλίπωμεν, ἀντιλάβωμεν ἐν καιρῷ κρίσεως[7].

ΚΑ′. Εἰ μέν τις εἶ Ραχὴλ ἢ Λεία, ψυχὴ πατριαρχικὴ καὶ μεγάλη, καὶ τὰ εἴδωλα κλέψον[8], ἅπερ ἂν εὕρῃς, τοῦ σοῦ πατρός, οὐχ ἵνα φυλάξῃς, ἀλλ' ἵν' ἀφανίσῃς· εἰ δὲ Ἰσραηλίτης σοφός, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας μετένεγκε· καὶ περὶ τούτων ὁ διώκτης ἀλγησάτω καὶ γνώτω κατασοφισθείς, ὅτι μάτην ἐτυράννει καὶ κατεδουλοῦτο τοὺς κρείττονας. Ἂν οὕτω ποιῇς καὶ οὕτως ἐξέλθῃς Αἴγυπτον, εὖ οἶδα, στύλῳ πυρὸς καὶ νεφέλης ὁδηγηθήσῃ νυκτὸς καὶ ἡμέρας[9], ἔρημος

---

1. Πρβλ. Ἐξ. 12,11. 2. Πρβλ. Ψαλ. 121,2. 3. Πρβλ. Δευτ. 4,20. 4. Πρβλ. Ἐξ. 11,2. 5. Ἀγγ. 2,9. 6. Πρβλ. Δαν. (Θδτ.) 4,17. 7. Πρβλ. Λουκ. 16,9. 8. Πρβλ. Γεν. 31,19. 9. Πρβλ. Ἐξ. 13,21.

ἡμερωθήσεται, θάλασσά σοι τμηθήσεται, Φαραὼ βαπτισθήσεται, ἄρτος ὀμβρήσει, πέτρα πηγάσει, Ἀμαλὴκ καταπολεμηθήσεται· οὐχ ὅπλοις μόνον, ἀλλὰ καὶ πολεμίαις χερσὶ δικαίων, εὐχὴν ὁμοῦ τυπούσαις καὶ σταυροῦ τρόπαιον τὸ ἀήττητον· ποταμὸς ἀνακοπήσεται[1], ἥλιος στήσεται, σελήνη σχεθήσεται, τείχη κατενεχθήσεται καὶ δίχα μηχανημάτων, σφηκίαι προδραμοῦνται, ὁδοποιοῦσαι τῷ Ἰσραὴλ καὶ τοὺς ἀλλοφύλους ἀνείργουσαι· τἄλλα τε ὅσα ἐπὶ τούτοις καὶ σὺν τούτοις ἱστόρηται, ἵνα μὴ μακρὸν ἀποτείνω λόγον, παρὰ Θεοῦ σοι δοθήσεται. Τοιαύτην ἑορτὴν ἑορτάζεις σήμερον· τοιοῦτον ἑστιᾷ τὸ ἐπὶ σοὶ τοῦ γεννηθέντος γενέθλιον καὶ τοῦ παθόντος ἐπιτάφιον· τοιοῦτόν σοι τὸ τοῦ Πάσχα μυστήριον. Ταῦτα ὁ νόμος ὑπέγραψε· ταῦτα Χριστὸς ἐτελείωσεν, ὁ τοῦ γράμματος καταλυτής, ὁ τελειωτὴς τοῦ Πνεύματος, ὃς οἷς ἔπαθε τὸ πάσχειν διδάσκων, οἷς ἐδοξάσθη, τὸ συνδοξασθῆναι χαρίζεται.

[653] ΚΒ΄. Ἔστι τοίνυν ἐξετάσαι πρᾶγμα καὶ δόγμα, τοῖς μὲν πολλοῖς παρορώμενον, ἐμοὶ δέ καὶ λίαν ἐξεταζόμενον. Τίνι γὰρ τὸ ὑπὲρ ἡμῶν αἷμα καὶ περὶ τίνος ἐχέθη, τὸ μέγα καὶ περιβόητον τοῦ Θεοῦ καὶ ἀρχιερέως καὶ θύματος; Κατειχόμεθα μὲν γὰρ ὑπὸ τοῦ πονηροῦ, πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν καὶ ἀντιλαβόντες τῆς κακίας τὴν ἡδονήν. Εἰ δὲ τὸ λύτρον οὐκ ἄλλου τινὸς ἢ τοῦ κατέχοντος γίνεται, ζητῶ τίνι τοῦτο εἰσηνέχθη καὶ δι' ἥντινα τὴν αἰτίαν; Εἰ μὲν τῷ πονηρῷ, φεῦ τῆς ὕβρεως· εἰ μὴ παρὰ τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ τὸν Θεὸν αὐτὸν λύτρον ὁ ληστὴς λαμβάνει καὶ μισθὸν οὕτως ὑπερφυῆ τῆς ἑαυτοῦ τυραννίδος, δι' ὃν καὶ ἡμῶν φείδεσθαι δίκαιον ἦν· εἰ δὲ τῷ Πατρί, πρῶτον μὲν πῶς; Οὐχ ὑπ' ἐκείνου γὰρ ἐκρατούμεθα. Δεύτερον δέ, τίς ὁ λόγος, Μονογενοῦς αἷμα τέρπειν Πατέρα, ὃς οὐδὲ τὸν Ἰσαὰκ ἐδέξατο παρὰ τοῦ πατρὸς προσφερόμενον, ἀλλ' ἀντηλλάξατο τὴν θυσίαν, κριὸν ἀντιδοὺς τοῦ λογικοῦ θύματος; Ἢ δῆλον, ὅτι λαμβάνει μὲν ὁ Πατὴρ οὐκ αἰτήσας, οὐδὲ δεηθείς, ἀλλὰ διὰ τὴν οἰκονομίαν καὶ τὸ χρῆναι ἁγιασθῆναι τῷ ἀνθρωπίνῳ τοῦ Θεοῦ τὸν ἄνθρωπον· ἵν' αὐτὸς ἡμᾶς ἐξέληται, τοῦ τυράννου βίᾳ κρατήσας καὶ πρὸς ἑαυτὸν ἐπαναγάγῃ διὰ τοῦ Υἱοῦ μεσιτεύσαντος καὶ εἰς τιμὴν τοῦ Πατρὸς τοῦτο οἰκονομήσαντος, ᾧ τὰ πάντα παραχωρῶν φαίνεται. Τὰ μὲν δὴ Χριστοῦ τοιαῦτα, καὶ τὰ πλείω σιγῇ σεβέσθω. Ὁ δὲ χαλκοῦς ὄφις κρεμᾶται μὲν κατὰ τῶν δακνόντων ὄφεων, οὐχ ὡς τύπος δὲ τοῦ ὑπὲρ ἡμῶν παθόντος, ἀλλ' ὡς ἀντίτυπος· καὶ σῴζει τοὺς εἰς αὐτὸν ὁρῶντας[2], οὐχ ὅτι ζῇ πιστευόμενος, ἀλλ' ὅτι νενέκρωται καὶ συννεκροῖ τὰς ὑπ' αὐτὸν δυνάμεις, καταλυθείς, ὥσπερ ἦν ἄξιος. Καὶ τίς ὁ πρέπων αὐτῷ παρ' ἡμῶν ἐπιτάφιος; Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου, ᾅδη, τὸ νῖκος[3]; Τῷ σταυρῷ βέβλησαι, τῷ ζωοποιῷ τεθανάτωσαι.

---

1. Πρβλ. Ἰησ. Ν. 3,15. 2. Πρβλ. Ἀριθ. 21,8. 3. Πρβλ. Ὡσ. 13,14. Α΄ Κορ. 15,55.

Ἄπνους, νεκρός, ἀκίνητος, ἀνενέργητος καί, εἰ τὸ σχῆμα σῴζεις ὄφεως, ἐν ὕψει στηλιτευόμενος.

ΚΓ′. Μεταληψόμεθα δὲ τοῦ Πάσχα, νῦν μὲν **[656]** τυπικῶς ἔτι καὶ εἰ τοῦ παλαιοῦ γυμνότερον (τὸ γὰρ νομικὸν Πάσχα, τολμῶ καὶ λέγω, τύπου τύπος ἦν ἀμυδρότερος)· μικρὸν δὲ ὕστερον, τελεώτερον καὶ καθαρώτερον, ἡνίκα ἂν αὐτὸ πίνῃ καινὸν μεθ' ἡμῶν ὁ Λόγος ἐν τῇ βασιλείᾳ τοῦ Πατρός[1], ἀποκαλύπτων καὶ διδάσκων, ἃ νῦν μετρίως παρέδειξε. Καινὸν γάρ ἐστιν ἀεὶ τὸ νῦν γνωριζόμενον. Τίς δὲ ἡ πόσις καὶ ἡ ἀπόλαυσις, ἡμῶν μὲν τὸ μαθεῖν, ἐκείνου δὲ τὸ διδάξαι καὶ κοινώσασθαι τοῖς ἑαυτοῦ μαθηταῖς τὸν λόγον. Τροφὴ γάρ ἐστιν ἡ δίδαξις καὶ τοῦ τρέφοντος. Ἀλλὰ δεῦρο καὶ ἡμεῖς τοῦ νόμου μεταλάβωμεν εὐαγγελικῶς, ἀλλὰ μὴ γραπτῶς· τελείως, ἀλλὰ μὴ ἀτελῶς· ἀϊδίως, ἀλλὰ μὴ προσκαίρως. Ποιησώμεθα κεφαλήν, μὴ τὴν κάτω Ἱερουσαλήμ, ἀλλὰ τὴν ἄνω μητρόπολιν· μὴ τὴν ὑπὸ στρατοπέδων νῦν πατουμένην, ἀλλὰ τὴν ὑπ' ἀγγέλων δοξαζομένην. Θύσωμεν, μὴ μόσχους νέους, μηδὲ ἀμνοὺς κέρατα ἐκφέροντας καὶ ὁπλάς[2], παρ' οἷς πολὺ τὸ νεκρὸν καὶ ἀναίσθητον· ἀλλὰ θύσωμεν τῷ Θεῷ θυσίαν αἰνέσεως, ἐπὶ τὸ ἄνω θυσιαστήριον[3], μετὰ τῆς ἄνω χοροστασίας. Διάσχωμεν τὸ πρῶτον καταπέτασμα, τῷ δευτέρῳ προσέλθωμεν, εἰς τὰ Ἅγια τῶν ἁγίων παρακύψωμεν. Εἴπω τὸ μεῖζον, ἡμᾶς αὐτοὺς θύσωμεν τῷ Θεῷ· μᾶλλον δέ, θύωμεν καθ' ἑκάστην ἡμέραν καὶ πᾶσαν κίνησιν. Πάντα ὑπὲρ τοῦ Λόγου δεχώμεθα, πάθεσι τὸ πάθος μιμώμεθα, αἵματι τὸ αἷμα σεμνύνωμεν, ἐπὶ τὸν σταυρὸν ἀνίωμεν πρόθυμοι. Γλυκεῖς οἱ ἦλοι καὶ εἰ λίαν ὀδυνηροί. Τὸ γὰρ μετὰ Χριστοῦ πάσχειν καὶ ὑπὲρ Χριστοῦ, τοῦ μετ' ἄλλων τρυφᾶν αἱρετώτερον.

ΚΔ′. Ἂν Σίμων ᾖς Κυρηναῖος, τὸν σταυρὸν ἆρον[4] καὶ ἀκολούθησον. Ἂν συσταυρωθῇς ὡς λῃστής[5], ὡς εὐγνώμων τὸν Θεὸν γνώρισον· εἰ κἀκεῖνος μετὰ ἀνόμων ἐλογίσθη διὰ σὲ καὶ τὴν σὴν ἁμαρτίαν[6], σὺ γενοῦ δι' ἐκεῖνον ἔννομος. Προσκύνησον τὸν διὰ σὲ κρεμασθέντα, καὶ κρεμάμενος· κέρδανόν τι καὶ παρὰ τῆς κακίας· ὤνησαι τῷ θανάτῳ τὴν σωτηρίαν· εἰς τὸν παράδεισον εἴσελθε μετὰ Ἰησοῦ, ὥστε μαθεῖν ὧν ἐκπέπτωκας. Τὰ ἐκεῖ κάλλη θεώρησον· τὸν γογγυστὴν ἄφες ἀποθανεῖν ἔξω μετὰ τῆς βλασφημίας. Κἂν Ἰωσὴφ ᾖς ὁ ἀπὸ Ἀριμαθαίας[7], αἴτησαι τὸ σῶμα παρὰ τοῦ σταυροῦντος· σὸν γενέσθω τὸ τοῦ κόσμου καθάρσιον. Κἂν Νικόδημος ᾖς ὁ νυκτερινὸς θεοσεβής, μύροις αὐτὸν ἐνταφίασον[8]. Κἂν Μαρία τις ᾖς, κἂν ἡ ἄλλη Μαρία, κἂν Σαλώμη, κἂν Ἰωάννα, δάκρυσον ὀρθρία. Ἶδε πρώτη τὸν λίθον ἠρμένον[9], τυχὸν δὲ καὶ τοὺς ἀγγέλους καὶ Ἰησοῦν αὐτόν. Φθέγξαι τι· φωνῆς ἄκουσον· Ἂν ἀκού**[657]**σῃς «Μή μου ἅπτου»[10], πόρρῳ στῆθι,

---

1. Πρβλ. Ματθ. 26,29. 2. Πρβλ. Ψαλ. 68,32. 3. Πρβλ. Ψαλ. 49,14. 4. Πρβλ. Λουκ. 23,26. 5. Πρβλ. Λουκ. 23,40 ἑξ. 6. Πρβλ. Ἡσ. 53,12. 7. Πρβλ. Λουκ. 23,50. 8. Πρβλ. Ἰω. 19,39. 9. Πρβλ. Μάρκ. 16,4. 10. Ἰω. 20,17.

σεβάσθητι τὸν Λόγον, ἀλλὰ μὴ λυπηθῇς. Οἶδε γὰρ οἷς ὀφθῇ πρῶτον. Ἐγκαίνισον τὴν ἀνάστασιν· τῇ Εὔᾳ βοήθησον, τῇ πρώτῃ πεσούσῃ, τῇ πρώτῃ Χριστὸν ἀσπάσασθαι καὶ γνωρίσαι τοῖς μαθηταῖς. Γενοῦ Πέτρος ἢ Ἰωάννης· ἐπὶ τὸν τάφον ἐπείχθητι, ἀντιτρέχων[1], συντρέχων, τὴν καλὴν ἅμιλλαν ἀμιλλώμενος. Κἂν προληφθῇς τῷ τάχει, τῇ σπουδῇ νίκησον, μὴ παρακύψας εἰς τὸ μνημεῖον, ἀλλ' ἔνδον γενόμενος. Κἂν ὡς Θωμᾶς ἀπολειφθῇς, τῶν μαθητῶν συνηγμένων, οἷς Χριστὸς ἐμφανίζεται[2], ὅταν ἴδῃς μὴ ἀπιστήσῃς· κἂν ἀπιστήσῃς, τοῖς λέγουσι πίστευσον· εἰ δὲ μηδὲ τούτοις, τοῖς τύποις τῶν ἥλων πιστώθητι. Ἂν εἰς ᾅδου κατίῃ συγκάτελθε. Γνῶθι καὶ τὰ ἐκεῖσε τοῦ Χριστοῦ μυστήρια, τίς ἡ οἰκονομία τῆς διπλῆς καταβάσεως, τίς ὁ λόγος· ἁπλῶς σῴζει πάντας ἐπιφανεὶς ἢ κἀκεῖ τοὺς πιστεύοντας.

ΚΕ'. Κἂν εἰς οὐρανοὺς ἀνίῃ, συνάνελθε· γενοῦ μετὰ τῶν παραπεμπόντων ἀγγέλων ἢ τῶν δεχομένων. Ἀρθῆναι ταῖς πύλαις[3] διακέλευσαι, ὑψηλοτέραις γενέσθαι, ἵν' ἐκ τοῦ παθεῖν ὑψηλότερον δέξωνται. Ἀπόκριναι τοῖς ἀποροῦσι διὰ τὸ σῶμα καὶ τὰ τοῦ Πάθους σύμβολα, οἷς μὴ κατελθὼν συνανέρχεται καὶ διὰ τοῦτο πυνθανομένοις· «Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; ὅτι Κύριος κραταιὸς καὶ δυνατὸς»[4] ἐν πᾶσί τε οἷς ἀεὶ πεποίηκε καὶ ποιεῖ καὶ τῷ νῦν πολέμῳ καὶ τροπαίῳ περὶ τῆς ἀνθρωπότητος· καὶ δὸς τῷ διπλῷ τῆς ἐρωτήσεως διπλῆν τὴν ἀπόκρισιν. Κἂν θαυμάζωσι, λέγοντες, κατὰ τὴν Ἡσαΐου δραματουργίαν· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ»[5], καὶ τῶν γηίνων; ἤ, Πῶς ἐρυθρὰ τὰ ἱμάτια τοῦ ἀναίμου καὶ ἀσωμάτου, ὡς ληνοβάτου καὶ πλήρη ληνὸν πατήσαντος; προβαλοῦ τὸ ὡραῖον τῆς στολῆς τοῦ πεπονθότος σώματος, τῷ Πάθει καλλωπισθέντος καὶ τῇ Θεότητι λαμπρυνθέντος, ἧς οὐδὲν ἐρασμιώτερον, οὐδὲ ὡραιότερον.

ΚΣ'. Πρὸς ταῦτα τί φασιν ἡμῖν οἱ συκοφάνται, οἱ πικροὶ τῆς Θεότητος λογισταί, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ πλάσματα; Τοῦτο ἐγκαλεῖς Θεῷ τὴν εὐεργεσίαν; διὰ τοῦτο μικρός, ὅτι διὰ σὲ ταπεινός; ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν ὁ Ποιμὴν ὁ καλὸς ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων[6], ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνούς, ἐφ' ὧν **[660]** ἐθυσίαζες[7] καὶ πλανώμενον εὗρε καὶ εὑρὼν ἐπὶ τῶν ὤμων ἀνέλαβεν, ἐφ' ὧν καὶ τὸ ξύλον καὶ λαβὼν ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωὴν καὶ ἀναγαγὼν τοῖς μένουσι συνηρίθμησεν; ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα καὶ τὴν οἰκίαν ἐσάρωσε[8], τῆς ἁμαρτίας τὸν κόσμον ἀποκαθαίρων καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι καὶ συγκαλεῖ τὰς φίλας αὐτῷ δυνάμεις ἐπὶ τῇ τῆς δρα-

---

1. Πρβλ. Ἰω. 20,3. 2. Πρβλ. Ἰω. 20,24. 3. Πρβλ. Ψαλ. 23,7,9. 4. Πρβλ. Ψαλ. 23,8. 5. Ἡσ. 63,1. 6. Πρβλ. Ἰω. 10,11. 7. Πρβλ. Ὡσ. 4,13. 8. Πρβλ. Λουκ. 15,8.

χμῆς εὑρέσει καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύστιδας πεποίητο; ὅτι τῷ προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον καὶ τῇ φωνῇ ὁ Λόγος καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι Κυρίῳ λαὸν περιούσιον καὶ προκαθαίροντι ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ ὕδατος; Ταῦτα ἐγκαλεῖς τῷ Θεῷ; διὰ ταῦτα ὑπολαμβάνεις χείρονα, ὅτι λεντίῳ διαζώννυται καὶ νίπτει τοὺς πόδας τῶν μαθητῶν[1] καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως, τὴν ταπείνωσιν; ὅτι διὰ τὴν συγκύπτουσαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ συνυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; Ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς, ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει καὶ παρὰ τελώναις καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ; Τί τοῦτο; Τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν. Εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγίειαν τοῖς κάμνουσι· καὶ τὸν ἐπικλινόμενον βόθρῳ διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος κατὰ τὸν νόμον[2] ἀνασώσηται.

ΚΖ′. Ἀπεστάλη μέν, ἀλλ' ὡς ἄνθρωπος· διπλοῦς γὰρ ἦν· ἐπεὶ καὶ ἐκοπίασε καὶ ἐπείνησε καὶ ἐδίψησε καὶ ἠγωνίασε καὶ ἐδάκρυσε, νόμῳ φύσεως. Εἰ δὲ καὶ ὡς Θεός, τί τοῦτο; Τὴν εὐδοκίαν[3] τοῦ Πατρὸς ἀποστολὴν εἶναι νόμισον, ἐφ' ὃν ἀναφέρει τὰ ἑαυτοῦ καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. Ἐπεὶ καὶ παραδεδόσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται[4]· καὶ ἐγηγέρθαι παρὰ τοῦ Πατρὸς καὶ ἀνειλῆφθαι, ἀλλὰ καὶ ἑαυτὸν ἀνεστακέναι[5] καὶ ἀνεληλυθέναι πάλιν· ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. Σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ ὑψοῦντα δὲ παρατρέχεις· καὶ ὅτι μὲν ἔπαθε, λογίζῃ· ὅτι δὲ ἑκών, οὐ προστίθης. Οἷα πάσχει καὶ νῦν ὁ Λόγος! Ὑπὸ μὲν τῶν ὡς Θεὸς τιμᾶται καὶ συναλείφεται· ὑπὸ δὲ τῶν ὡς σὰρξ ἀτιμάζεται καὶ χωρίζεται. Τίσιν ὀργισθῇ πλέον; **[661]** μᾶλλον δέ, τίσιν ἀφῇ, τοῖς συναιροῦσι κακῶς ἢ τοῖς τέμνουσι; Καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει καὶ τούτους συνάπτειν· τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. Προσκόπτεις τῇ σαρκί; τοῦτο καὶ Ἰουδαῖοι. Ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς (καὶ τὸ ἑξῆς σιωπήσομαι)[6]; ἀπιστεῖς τῇ Θεότητι; τοῦτο οὐδὲ οἱ δαίμονες. Ὦ καὶ δαιμόνων ἀπιστότερε σὺ καὶ Ἰουδαίων ἀγνωμονέστερε! Ἐκεῖνοι τὴν τοῦ Υἱοῦ προσηγορίαν ὁμοτιμίας φωνὴν ἐνόμισαν[7]· οὗτοι τὸν ἐλαύνοντα Θεὸν ἤδεσαν[8]· ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον. Σὺ δέ, οὐδὲ τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν Θεότητα. Κρεῖττον ἦν σοι περιτετμῆσθαι καὶ δαιμονᾶν, ἵν' εἴπω τι καὶ γελοίως, ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονηρῶς καὶ ἀθέως. Ἀλλ' ὁ μὲν πρὸς ἐκείνους πόλεμος ἢ καταλυέσθω, ὀψὲ γοῦν σωφρονήσαντας εἴπερ ἐθέλοιεν, ἢ ἀναβεβλήσθω

---

1. Πρβλ. Ἰω. 12,4-5. 2. Πρβλ. Δευτ. 22,4. 3. Πρβλ. Γαλ. 4,4.
4. Πρβλ. Πράξ. 3,13. 5. Πρβλ. Ἐφ. 4,8 ἑξ. 6. Πρβλ. Ἰω. 8,48.
7. Πρβλ. Μάρκ. 5,7. 8. Πρβλ. Μάρκ. 5,14 ἑξ.

μὴ βουλομένων, ἀλλ' ἐχόντων ὡς ἔχουσι. Πάντως δὲ οὐδὲν δείσομεν ὑπὲρ τῆς Τριάδος μετὰ τῆς Τριάδος ἀγωνιζόμενοι.

ΚΗ'. Νῦν δὲ ἀναγκαῖον ἡμῖν οὕτω κεφαλαιῶσαι τὸν λόγον· Γεγόναμεν, ἵν' εὖ πάθωμεν· εὖ πεπόνθαμεν, ἐπειδὴ γεγόναμεν. Τὸν παράδεισον ἐπιστεύθημεν, ἵνα τρυφήσωμεν. Ἐντολὴν ἐλάβομεν, ἵν' εὐδοκιμήσωμεν ταύτην φυλάξαντες· οὐκ ἀγνοοῦντος τοῦ Θεοῦ τὸ ἐσόμενον, ἀλλὰ νομοθετοῦντος τὸ αὐτεξούσιον. Ἠπατήθημεν, ἐπειδὴ ἐφθονήθημεν· ἐκπεπτώκαμεν, ἐπειδὴ παρέβημεν· ἐνηστεύσαμεν, ἐπειδὴ μὴ ἐνηστεύσαμεν, τοῦ ξύλου τῆς γνώσεως ὑποκρατηθέντες. Ἀρχαία γὰρ ἦν ἡ ἐντολή καὶ ἡμῖν ὁμόχρονος ψυχῆς τις οὖσα παιδαγωγία καὶ τρυφῆς σωφρόνισμα· ἣν ἐπετάχθημεν εἰκότως, ἵν' ὃ μὴ φυλάξαντες ἀποβεβλήκαμεν, φυλάξαντες ἀπολάβωμεν. Ἐδεήθημεν Θεοῦ σαρκουμένου καὶ νεκρουμένου, ἵνα ζήσωμεν· συνενεκρώθημεν, ἵνα καθαρῶμεν· συνανέστημεν, ἐπειδὴ συνενεκρώθημεν· συνεδοξάσθημεν, ἐπειδὴ συνανέστημεν.

ΚΘ'. Πολλὰ μὲν δὴ τοῦ τότε καιροῦ τὰ θαύματα· Θεὸς σταυρούμενος, ἥλιος σκοτιζόμενος καὶ πάλιν ἀναφλεγόμενος (ἔδει γὰρ τῷ Κτίστῃ συμπαθεῖν καὶ τὰ κτίσματα)· καταπέτασμα σχιζόμενον, αἷμα καὶ ὕδωρ τῆς πλευρᾶς χεόμενον· τὸ μέν, ὡς ἀνθρώπου, τὸ δέ, ὡς ὑπὲρ ἄνθρωπον· γῆ σειομένη, πέτραι ὑπὲρ τῆς πέτρας ῥηγνύμεναι, νεκροὶ ἀνιστάμενοι εἰς πίστιν τῆς τελευταίας καὶ κοινῆς ἀναστάσεως· τὰ ἐπὶ **[664]** τῷ τάφῳ σημεῖα, τὰ μετὰ τὸν τάφον, ἃ τίς ἂν ἀξίως ὑμνήσειεν; Οὐδὲν δὲ οἷον τὸ θαῦμα τῆς ἐμῆς σωτηρίας· ῥανίδες αἵματος ὀλίγαι κόσμον ὅλον ἀναπλάττουσαι καὶ γίνονται καθάπερ ὀπὸς γάλακτι πᾶσιν ἀνθρώποις, εἰς ἓν ἡμᾶς συνδέουσαι καὶ συνάγουσαι.

Λ'. Ἀλλ', ὦ Πάσχα, τὸ μέγα καὶ ἱερὸν καὶ παντὸς τοῦ κόσμου καθάρσιον! ὡς γὰρ ἐμψύχῳ σοι διαλέξομαι. Ὦ Λόγε Θεοῦ, καὶ φῶς καὶ ζωὴ καὶ σοφία καὶ δύναμις! χαίρω γὰρ πᾶσί σου τοῖς ὀνόμασιν. Ὦ νοῦ τοῦ μεγάλου γέννημα καὶ ὅρμημα καὶ ἐκσφράγισμα! ὦ Λόγε νοούμενε καὶ ἄνθρωπε θεωρούμενε, ὃς πάντα φέρεις ἀναδησάμενος τῷ ῥήματι τῆς δυνάμεώς σου! νῦν μὲν ἔχοις τὸν λόγον τοῦτον, οὐκ ἀπαρχήν, ἀλλὰ συμπλήρωσιν ἴσως τῆς ἡμετέρας καρποφορίας, χαριστήριον τὸν αὐτὸν καὶ ἱκέσιον μηδὲν κακοπαθεῖν ἡμᾶς ἔξω τῶν ἀναγκαίων καὶ ἱερῶν, οἷς συνεζήσαμεν· καὶ στήσαις τῷ σώματι τὴν καθ' ἡμῶν τυραννίδα (ὁρᾷς ὅσην, Κύριε, καὶ ὡς κάμπτουσαν), ἢ τὴν σὴν ψῆφον, εἰ παρὰ σοῦ καθαιρούμεθα. Εἰ δὲ καταλύσαιμεν ἀξίως τοῦ πόθου καὶ δεχθείημεν ταῖς οὐρανίαις σκηναῖς, τάχα σοι καὶ αὐτόθι θύσομεν δεκτὰ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, ὦ Πάτερ καὶ Λόγε καὶ Πνεῦμα τὸ Ἅγιον· ὅτι σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΠΙΣΤΟΛΑΙ*

1

⟨ΒΑΣΙΛΕΙΩ⟩

3 [21] Ἐψευσάμην, ὁμολογῶ, τὴν ὑπόσχεσιν, συνέσεσθαί σοι καὶ συμφιλοσοφήσειν καθομολογήσας ἐκ τῶν Ἀθηνῶν ἔτι καὶ τῆς ἐκεῖσε φιλίας καὶ συμφυΐας· οὐ γὰρ ἔχω τι τούτων εἰπεῖν οἰκειότερον. Ἐψευσάμην δὲ οὐκ ἐκών, ἀλλὰ νόμου νόμον νικήσαντος, τοῦ θεραπεύειν κελεύοντος τοὺς γεννήτορας τὸν τῆς ἑταιρείας καὶ συνηθείας. Οὐ μὴν παντάπασι ψεύσομαι, ἂν τοῦτο αὐτὸς καταδέξῃ· τὰ μὲν γὰρ ἡμεῖς σοι συνεσόμεθα, τὰ δὲ αὐτὸς ἡμῖν θέλησον, ἵν' ᾖ τὰ πάντα κοινὰ καὶ τὸ τῆς φιλίας ὁμότιμον. Οὕτω γὰρ ὑπάρξει καὶ τὸ τούτους μὴ λυπεῖν καὶ τὸ σοῦ τυγχάνειν.

2

ΤΩ ΑΥΤΩ

Οὐ φέρω τὴν Τιβερινὴν ἐγκαλούμενος καὶ τοὺς ἐνταῦθα πηλοὺς καὶ χειμῶνας, ὧ λίαν ἄπηλε **[24]** σὺ καὶ ἀκρόβαμον καὶ τὰς πλάκας καταχροαίνων, ἢ ὑπόπτερε σὺ καὶ μετάρσιε καὶ τῷ Ἀβάριδος ὀϊστῷ συμφερόμενε, ἵνα καὶ Καππαδόκης ὢν φεύγῃς τὰ Καππαδοκίας. Ἢ ἀδικοῦμεν ὅτι ὑμεῖς μὲν ὠχριᾶτε καὶ στενὸν ἀναπνεῖτε καὶ μετρεῖσθε τὸν ἥλιον· ἡμεῖς δὲ λιπῶμεν καὶ κορεννύμεθα καὶ οὐ περιγεγράμμεθα; Ἀλλ' οὐ ταῦτα ὑμῖν ἐστι. Τρυφᾶτε δὲ καὶ πλουτεῖτε καὶ ἀγοράζετε· τοῦτο οὐκ ἐπαινῶ. Ἢ τοίνυν παῦσαι τοὺς πηλοὺς ὀνειδίζων ἡμῖν (οὔτε γὰρ σὺ τὴν πόλιν **4** ἐδημιούργησας, οὔτε τὸν χειμῶνα ἡμεῖς)· ἢ καὶ ἡμεῖς σοι προσοίσομεν ἀντὶ τῶν πηλῶν τοὺς καπήλους καὶ ὅσα αἱ πόλεις μοχθηρὰ φέρουσιν.

3

ΕΥΑΓΡΙΩ

Ἤσθην ἐπαινούμενος. Τὸ γὰρ τὸν υἱὸν ἡμῶν Εὐάγριον εὐδο-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Paul Gallay, Gregor von Nazianz, Briefe. Berlin 1969.

χιμεῖν, ἡμᾶς ἐστιν εὐδοκιμεῖν· τέκνων γὰρ ἀρετὴ δόξα πατέρων. Ἡμεῖς δέ, εἰς λόγους μέν, οὐδὲν ἢ μικρὸν ἴσως σύνισμεν ἡμῖν αὐτοῖς ὠφελήσασι τὸν σὸν υἱόν, οὐδὲ γὰρ μέγα ἡμῖν τὸ τῶν λόγων· ἓν δὲ ἀντὶ πάντων αὐτῷ καὶ μέγιστον συνεισηνέγκαμεν, οὐκ ἀρνήσομαι, τὸν τοῦ Θεοῦ φόβον καὶ τὸ πεῖσαι τῶν παρόντων καταφρονεῖν. Ἐκείνῳ μὲν οὖν τὰ κάλλιστα συνηυξάμεθά τε καὶ συνευχόμεθα, ἵν' ἃς ἔλαβε παρ' ἡμῶν ἀρχὰς τελέως καρποφορήσῃ καί τινα τῆς σπουδῆς καρπὸν ἐνεγκώμεθα. Τῇ δὲ σῇ τιμιότητι πᾶσα χάρις, ὅτι καὶ μεμνῆσθαι ἡμῶν ἀξιοῖς καὶ τοῖς ὑπομνήμασι τιμᾶν τῆς φιλίας· ἅπερ οὐ μικρὰ ὄντα μειζόνως ὑπεδεξάμεθα.

4

ΒΑΣΙΛΕΙΩ

Σὺ μὲν σκῶπτε καὶ διάσυρε τὰ ἡμέτερα, εἴτε παίζων εἴτε σπουδάζων, οὐδὲν τοῦτο πρᾶγμα· **[25]** μειδία μόνον καὶ τῆς παιδεύσεως ἐμφοροῦ καὶ τῆς φιλίας ἡμῶν ἀπόλαυε· πάντα χρηστὰ ἡμῖν τὰ παρὰ σοῦ, ὁποῖά ποτ' ἂν ᾖ καὶ ὅπως ἂν ἔχῃ. Καὶ γάρ μοι καὶ τὰ ἐνταῦθα σκώπτειν δοκεῖς οὐχ ἵνα σκώψῃς, ἀλλ' ἵνα πρὸς ἑαυτὸν ἑλκύσῃς, εἴ τί γε ἐγώ σου συνίημι, ὥσπερ οἱ τὰ ῥεύματα φράσσοντες, ἵν' ἀλλαχοῦ μεθελκύσωσι. Τοιαῦτα ἡμῖν ἀεὶ τὰ σά. Ἐγὼ δέ σου τὸν Πόντον θαυμάσομαι **5** καὶ τὴν ποντικὴν ξουφηρίαν καὶ τὴν φυγῆς ἀξίαν μονήν, τούς τε ὑπὲρ κεφαλῆς λόφους καὶ θῆρας, οἳ τὴν πίστιν ὑμῶν δοκιμάζουσι καὶ τὴν ὑποκειμένην ἐσχατιάν, εἴτ' οὖν μυωξίαν μετὰ τῶν σεμνῶν ὀνομάτων τοῦ φροντιστηρίου τε καὶ τοῦ μοναστηρίου καὶ τῆς σχολῆς, λόχμας τε ἀγρίων φυτῶν καὶ βαθυκρήμνων ὀρῶν στέφανον ὑφ' ὧν μὴ στεφανοῦσθε, ἀλλὰ συγκλείεσθε, τόν τε μετρούμενον ἀέρα καὶ τὸν ποθούμενον ἥλιον, ὃν ὡς διὰ κάπνης αὐγάζεσθε, ὦ ποντικοὶ Κιμμέριοι[α] καὶ ἀνήλιοι καὶ οὐ τὴν ἑξάμηνον νύκτα μόνον κατακριθέντες, ὃ δή τινες λέγονται, ἀλλ' οὐδὲ ἓν μέρος τῆς ζωῆς ἄσκιον ἔχοντες, μίαν δὲ νύκτα μακρὰν τὸν ἅπαντα βίον καὶ ὄντως σκιὰν θανάτου[1], ἵν' εἴπω τὸ τῆς Γραφῆς. Ἐπαινῶ καὶ τὴν στενὴν καὶ τεθλιμμένην ὁδόν[2], οὐκ οἶδα εἴτε εἰς βασιλείαν εἴτε εἰς Ἅιδου φέρουσαν, σοῦ δὲ ἕνεκεν εἰς βασιλείαν φερέτω, — καὶ τὴν ἐν μέσῳ, τί βούλει, πότερον Ἐδὲμ ὀνομάσω ψευδόμενος καὶ τὴν εἰς τέσσαρας ἀρχὰς[3] μεριζομένην πηγὴν ἐξ ἧς ἡ οἰκουμένη ποτίζεται ἢ τὴν ξηρὰν καὶ ἄνυδρον ἐρημίαν, ἣν τις ἡμερώσει Μωσῆς ῥάβδῳ πέτραν πηγάσας[4]; Ἔστι γὰρ ὅσον μὲν διαπέφευγε

---

1. Πρβλ. Ψαλ. 22,4. 2. Πρβλ. Ματθ. 7,14. 3. Πρβλ. Γεν. 2,10. 4. Πρβλ. Ἐξ. 17,6.

α. Ὀδυσσ. λ 15-19.

τὰς πέτρας, χαραδρεών· ὅσον δὲ τὰς χαράδρας, ἀκανθεών· ὅσον δὲ ὑπὲρ τὰς ἀκάνθας κρημνός· καὶ ἡ ὑπὲρ τοῦτον ὁδὸς ἐπίκρημνός τε καὶ ἀμφιτάλαντος τῶν ὁδευόντων τὸν νοῦν συνάγουσα καὶ γυμνάζουσα πρὸς ἀσφάλειαν. Ποταμὸς δὲ κάτω ῥοχθεῖ, οὗτος ὁ Ἀμφιπολίτης σοι Στρυμὼν καὶ ἡσύχιος· καὶ οὐκ ἰχθυοφόρος μᾶλλον ἢ λιθοφόρος, οὐδὲ εἰς λίμνην ἀναχεόμενος, ἀλλ' εἰς βάθη κατασυρόμενος, ὦ λίαν ὑψήγορε σὺ καὶ ποιητὰ καινῶν ὀνομάτων. Ἔστι γὰρ μέγας καὶ φοβερὸς καὶ ὑπερηχῶν τῶν ἄνω τὰς ψαλμῳδίας. Οὐδὲν πρὸς τοῦτον οἱ Καταράκται καὶ οἱ Κατάδουποι, τοσοῦτον ὑμῶν **[28]** καταβοᾷ νυκτὸς καὶ ἡμέρας. Τραχὺς μὲν ὤν, ἄπορος δέ· καὶ θολερὸς μέν, ἄποτος δέ· οὗ τοῦτο μόνον φιλάνθρωπον ὅτι μὴ παρασύρει τὴν μονὴν ὑμῶν, ὅταν αὐτὸν αἱ χαράδραι καὶ οἱ χειμῶνες ἐκμαίνωσιν. Ἃ μὲν οὖν ἡμεῖς σύνισμεν ταῖς τῶν Μακάρων νήσοις ταύταις, εἴτ' οὖν τῶν μακαρίων ὑμῶν, ταῦτά **6** ἐστι. Σὺ δέ μοι θαύμαζε τοὺς μηνοειδεῖς ἀγκῶνας τὰ βάσιμα τῆς ὑπωρείας ὑμῶν ἀπαγχονίζοντας μᾶλλον ἢ ἀποτειχίζοντας, καὶ τὸν κορυφῆς ὑπερτέλλοντα τένοντα, ὃς Ταντάλειον ὑμῖν ποιεῖ τὴν ζωήν, τάς τε διαρρεούσας αὔρας καὶ τῆς γῆς ἀναπνοάς, αἳ λιποθυμοῦντας ὑμᾶς ἀναψύχουσι, τούς τε ᾠδικοὺς ὄρνιθας, ᾄδοντας μέν, ἀλλὰ τὸν λιμόν, καὶ ὑπεριπταμένους μέν, ἀλλὰ τὴν ἐρημίαν. Ἐπιδημεῖ δὲ οὐδεὶς ὅτι μὴ κατὰ θήραν, λέγεις· προσθές, καὶ ὥστε νεκροὺς ὑμᾶς ἐπισκέπτεσθαι. Ταῦτα μακρότερα μὲν ἴσως ἢ κατ' ἐπιστολήν, ἐλάττω δὲ κωμῳδίας. Σὺ δὲ εἰ μὲν οἴσεις μετρίως τὴν παιδιάν, ὀρθῶς ποιήσεις· εἰ δὲ μή, καὶ πλείω προσθήσομεν.

5

ΤΩ ΑΥΤΩ

Ἐπειδὴ φέρεις μετρίως τὴν παιδιάν, καὶ τὰ ἑξῆς προσθήσομεν. Ἐξ Ὁμήρου δὲ τὸ προοίμιον·

Ἀλλ' ἄγε δὴ μετάβηθι καὶ τὸν ἔσω κόσμον ἄεισον[α], τὴν ἄστεγον σκέπην καὶ ἄθυρον, τὴν ἄπυρον ἑστίαν καὶ ἄκαπνον, τοὺς πυρὶ ξηραινομένους τοίχους, ἵνα μὴ ταῖς τοῦ πηλοῦ ῥανίσι βαλλώμεθα, Ταντάλειοί τινες καὶ κατάκριτοι διψῶντες ἐν ὕδασι, τὴν ἐλεεινὴν ἐκείνην καὶ ἄτροφον πανδαισίαν ἐφ' ἣν ἀπὸ Καππαδοκίας ἐκλήθημεν, οὐχ ὡς Λωτοφάγων[β] πενίαν, ἀλλ' ὡς Ἀλκινόου[γ] τράπεζαν, ἡμεῖς οἱ **[29]** νέοι ναυαγοί τε καὶ τλήμονες. Μέμνημαι γὰρ τῶν ἄρτων ἐκείνων καὶ τῶν ζωμῶν (οὕτω γὰρ ὠνομάζοντο), ἀλλὰ καὶ μεμνήσομαι καὶ τῶν περιολισθαινόντων τοῖς βλωμοῖς ὀδόντων, εἶτα ἐνισχομένων καὶ ἀνελκομένων ὥσπερ ἐκ τέλματος. Αὐτὸς ταῦτα **7** τραγῳ-

---

α. Ὀδυσσ. θ 492. β. Ὀδυσσ. ι 84. γ' Ὀδυσσ. θ 59-61.

δήσεις ὑψηλότερον, ἐκ τῶν οἰκείων παθῶν ἔχων τὸ μεγαλόφωνον· ὧν εἰ μὴ ταχέως ἡμᾶς ἡ μεγάλη καὶ πτωχοτρόφος ὄντως ἐρρύσατο, τὴν σὴν λέγω μητέρα, ὥσπερ λιμὴν ἐν καιρῷ φανεῖσα χειμαζομένοις, πάλαι ἂν ἦμεν νεκροί, πίστεως ποντικῆς οὐκ ἐπαινούμενοι μᾶλλον ἢ ἐλεούμενοι. Πῶς παρέλθω τοὺς ἀκήπους κήπους ἐκείνους καὶ ἁλαχάνους καὶ τὴν Αὐγείου κόπρον ἐκ τῆς οἰκίας ἐκκαθαιρομένην, ᾗ τούτους ἀνεπληρώσαμεν, ἡνίκα τὴν γεωφόρον ἅμαξαν εἵλκομεν, ἐγώ τε ὁ βοτρύων καὶ ὁ λαμυρὸς σύ, τοῖς αὐχέσι τούτοις καὶ ταῖς χερσὶ ταύταις, αἳ τῶν πόνων ἔτι τὰ ἴχνη φέρουσιν, — ὦ γῆ καὶ ἥλιε καὶ ἀὴρ καὶ ἀρετή· τραγῳδήσω γὰρ τι μικρὸν — οὐχ ἵνα τὸν Ἑλλήσποντον ζεύξωμεν[α], ἀλλ' ἵνα τὸν κρημνὸν ὁμαλίσωμεν. Τούτοις εἰ μὲν οὐδὲν ἀχθεσθήσῃ λεγομένοις, πάντως οὐδὲ ἡμεῖς· εἰ δὲ ἀχθεσθήσῃ, πόσον γενομένοις ἡμεῖς· καὶ τὰ πλείω παρήσομεν, αἰδοῖ τῶν ἄλλων, ὧν πολλῶν ἀπηλαύομεν.

6

ΤΩ ΑΥΤΩ

Ἃ μὲν πρότερον ἐπεστέλλομεν περὶ τῆς ποντικῆς διατριβῆς παιζόντων ἦν, οὐ σπουδαζόντων· ἃ δὲ νῦν γράφω, καὶ λίαν σπουδαζόντων· «Τίς ἂν μεθείη κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν ἐκείνων»[1], ἐν αἷς συνετρύφων σοι τῷ κακοπαθεῖν; ἐπειδὴ τὸ ἐκούσιον λυπηρὸν τοῦ ἀκουσίου τερπνοῦ τιμιώτερον. Τίς δώσει τὰς ψαλμῳδίας ἐκείνας καὶ τὰς ἀγρυπνίας καὶ τὰς δι' εὐχῆς πρὸς Θεὸν ἐκδημίας καὶ τὴν οἱονεὶ ἄϋλον ζωὴν καὶ ἀσώματον; Τίς ἀδελφῶν συμφυΐαν καὶ συμψυχίαν τῶν ὑπὸ σοῦ θεουμένων καὶ ὑψουμένων; Τίς ἅμιλλαν ἀρετῆς καὶ παράθηξιν, ἣν ὅροις γραπτοῖς καὶ κανόσιν ἠσφαλισάμεθα; Τίς θείων λογίων φιλοπονίαν καὶ τὸ ἐν αὐτοῖς φῶς εὑρισκόμενον σὺν ὁδηγίᾳ τοῦ Πνεύματος; Ἢ, ἵνα τὰ μικρότερα λέγω καὶ εὐτελέστερα, τίς ἐφημερίας καὶ αὐτουργίας; τίς **8** ξυληγίας καὶ λατομίας; τίς δὲ φυτοκομίας καὶ ὀχετηγίας; τίς δὲ τὴν πλάτανον τὴν χρυσῆν καὶ τῆς Ξέρξου τιμιωτέ**[32]**ραν, ὑφ' ᾗ μὴ βασιλεὺς ἐκαθέζετο τεθρυμμένος, ἀλλὰ μοναστὴς τετρυχωμένος[β], ἣν ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἡ σὴ τιμιότης, ἀλλ' ὁ Θεὸς ηὔξησεν[2] εἰς τιμὴν ἡμετέραν, ἵνα ὑπόμνημα σῴζηται παρ' ὑμῖν τῆς ἡμετέρας φιλοπονίας, ὥσπερ ἐν τῇ κιβωτῷ λέγεται καὶ πιστεύεται ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα[3]. Ταῦτα εὔξασθαι μὲν ῥᾷστον, λαβεῖν δὲ οὐ ῥᾴδιον. Ἀλλά μοι καὶ πάρεσο καὶ σύμπνει καὶ συνεργάζου τὴν ἀρετήν, καὶ ἥν ποτε συνελέξαμεν ὠφέλειαν συντήρει διὰ τῶν προσευχῶν, ἵνα μὴ κατὰ

---

1. Ἰὼβ 29,2. 2. Πρβλ. Α' Κορ. 3,6. 3. Πρβλ. Ἀριθ. 17,18-23.
α. Ἡροδ. Η' 33-36. β. Πρβλ. Ἡροδ. Η' 7,31.

μικρὸν ὥσπερ σκιὰ λυθῶμεν, κλινούσης ἡμέρας. Ὡς ἐγὼ σὲ πνέω μᾶλλον ἢ τὸν ἀέρα· καὶ τοῦτο ζῶ μόνον ὃ μετὰ σοῦ γίνομαι, ἢ παρὼν ἢ ἀπὼν τοῖς ἐνδάλμασι.

7

ΚΑΙΣΑΡΙΩ

Ἱκανῶς ἠρυθριάσαμεν ἐπὶ σοί· τὸ γὰρ ὅτι καὶ ἐλυπήθημεν, τί χρὴ γράφειν τῶν γε πάντων μάλιστα πεπεισμένῳ; Ἵνα γὰρ μὴ τὰ ἡμέτερα λέγωμεν, μηδὲ ὅσης ἀθυμίας ἐνέπλησεν ἡμᾶς ἡ περὶ σὲ φήμη, δὸς δὲ εἰπεῖν καὶ δέους ἐβουλόμην, εἴ πως οἷόν τε ἦν, παρεῖναί σε τοῖς τῶν ἄλλων λόγοις, οἰκείων τε ὁμοίως καὶ ξένων, τῶν ὁπωσοῦν γνωρίμων ἡμῖν, ἀλλ' οὖν Χριστιανῶν, οὓς περὶ σοῦ τε καὶ ἡμῶν λέγουσιν, οὐχ ὁ μέν, ὃς δ' οὔ, ἀλλὰ πάντες ἑξῆς ὁμοίως, ἐπειδὴ καὶ προθυμότερον ἐν τοῖς ἀλλοτρίοις ἢ τοῖς οἰκείοις φιλοσοφοῦσιν ἄνθρωποι. Ὥσπερ γὰρ ἄλλη τις μελέτη γέγονεν αὐτοῖς ταῦτα τὰ ῥήματα· νῦν μὲν υἱὸν ἐπισκόπου στρατεύεσθαι, νῦν δὲ ὀρέγεσθαι τῆς ἔξωθεν δυναστείας καὶ δόξης, νῦν δὲ ἡττᾶσθαι χρημάτων (ὁπότε κοινὸν ἀνῆπται πῦρ καὶ τὸν περὶ ψυχῆς δρόμον[α] τρέχουσιν **9** ἄνθρωποι)· ἀλλ' οὐχὶ μίαν ἡγεῖσθαι καὶ δόξαν καὶ ἀσφάλειαν καὶ εὐπορίαν τὸ γενναίως ἱστασθαι πρὸς τὸν καιρὸν καὶ ὅτι πορρωτάτω ποιεῖν ἑαυτὸν παντὸς ἄγους τε καὶ μιάσματος. Πῶς δ' ἂν ἄλλον νουθετήσειεν ὁ ἐπίσκοπος μὴ παρασυρῆναι τῷ καιρῷ μηδὲ τοῖς εἰδώλοις συναναφύρεσθαι; Πῶς δ' ἄν τοῖς ἄλλο τι πλημμελοῦσιν ἐπιτιμήσειεν, αὐτὸς ἐφ' ἑστίας παρρησίαν οὐκ ἔχων; Ταῦτα καθ' ἑκάστην ἀκούοντας ἡμᾶς τὴν ἡμέραν καὶ ἔτι πλείω τούτων καὶ χαλεπώτερα, τῶν μὲν διὰ φιλίαν λεγόντων ἴσως, τῶν δὲ καὶ διὰ δυσμένειαν ἐπιτιθεμένων, πῶς οἴει διακεῖσθαι καὶ τίνας ἔχειν ψυχὰς ἀνθρώπους τῷ Θεῷ προθεμένους δουλεύειν καὶ πρὸς τὰς μελλούσας ὁρᾶν ἐλπίδας μόνον ἀγαθὸν κρίνοντας; Τὸν μὲν οὖν κύριον τὸν πατέρα ἡμῶν πάνυ δυσφοροῦντα πρὸς τὴν ἀκοὴν καὶ πρὸς τὸν βίον αὐτὸν ἀπαγορεύοντα, ὁπωσοῦν αὐτὸς παραμυθοῦμαι καὶ ψυχαγωγῶ τὴν σὴν ἐγγυώμενος γνώμην καὶ πείθων ὅτι οὐχ ὑπομενεῖς ἔτι πλεῖον λυπεῖν ἡμᾶς. Τὴν δὲ κυρίαν τὴν μητέρα, εἰ πύθοιτό τι τῶν κατὰ σὲ (μέχρι γὰρ τοῦ νῦν τέως ἀπεκρυψάμεθα πολλαῖς ἐπινοίαις), οἷον καὶ παντελῶς ἀπαραμύθητον ἔξειν τὸ πάθος, ὡς γυναῖκά τε οὖσαν μικρόψυχον καὶ ἄλλως διὰ τὸ λίαν εὐλαβὲς περὶ τὰ τοιαῦτα μετριάζειν οὐ δυναμένην. Εἰ μὲν οὖν τινα καὶ σεαυτοῦ καὶ ἡμῶν ποιῇ λόγον, βούλευσαί τι βέλτιον καὶ ἀσφαλέστερον. Πάντως γὰρ καὶ τὰ ἐνταῦθα πρὸς ἐλευθέριον διαγωγὴν αὐτάρκη, τῷ γε μὴ λίαν ἁπλήστῳ μηδ' ἀμέτρῳ περὶ τὴν ἐπιθυμίαν

α. Πρβλ. Πλάτωνος, Θεαίτ. 173α.

τοῦ πλείονος ἀλλὰ καὶ τοῦ καταστάσεώς σε τυχεῖν οὐχ ὁρῶ τίνα καιρὸν ἀναμενοῦμεν, τὸν νῦν ἐάσαντες. Εἰ δὲ τῆς αὐτῆς ἔχῃ γνώμης καὶ μικρὰ πάντα σοι πρὸς τὴν ἰδίαν ὁρμήν, ἄλλο μὲν εἰπεῖν οὐδὲν βούλομαι δυσχερές· τοσοῦτον δὲ προλέγω καὶ διαμαρτύρομαι, ὅτι δυοῖν ἀνάγκη θάτερον, ἢ γνήσιον μένοντα Χριστιανὸν τὴν ἀτιμοτάτην αὐτοῦ τετάχθαι καὶ πράττειν ἀναξίως καὶ σεαυτοῦ καὶ τῶν ἐλπίδων· ἢ τῆς τιμῆς ἐφιέμενον περὶ τὰ καιριώτερα βλάπτεσθαι, τοῦ καπνοῦ γε μετέχοντα, εἰ καὶ μὴ τοῦ πυρός[1].

8

⟨ΒΑΣΙΛΕΙΩ⟩

10 Ἐπαινῶ σου τῆς ἐπιστολῆς τὸ προοίμιον. Τί δὲ τῶν σῶν οὐκ ἐπαινετόν; Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς γεγραφότες, ἐπειδή γε εἰς τὸν πρεσβυτέρου βαθμὸν ἐβιάσθημεν. Καίτοι γε οὐ τοῦτο ἡμῖν ἐσπου**[36]**δάζετο· ἀλλήλοις γάρ ἐσμεν, εἴπερ ἄλλοι τινές, ἀξιόπιστοι μάρτυρες τοῦ τὴν πεζὴν στέργειν φιλοσοφίαν καὶ κάτω μένουσαν. Ἀλλὰ τοῦτο μὴ γενέσθαι μὲν ἴσως ἄμεινον ἦν· ἢ οὐκ οἶδ' ὅ,τι καὶ φῶ, ἕως ἂν ἀγνοῶ τὴν οἰκονομίαν τοῦ Πνεύματος. Ἐπεὶ δὲ ἐγένετο, φέρειν ἀνάγκη, ὡς γοῦν ἐμοὶ καταφαίνεται, καὶ μάλιστα διὰ τὸν καιρὸν πολλὰς ἡμῖν αἱρετικῶν ἐπεισάγοντα γλώσσας καὶ μὴ καταισχύνειν μήτε τὸν ἡμέτερον βίον μήτε τὰς τῶν πεπιστευκότων ἐλπίδας.

9

ΑΜΦΙΛΟΧΙΩ

Χρυσέας ὑπόστησον εὐτειχεῖ θαλάμῳ κίονας[α], κατὰ Πίνδαρον, καὶ ἀπὸ δεξιᾶς ἡμῖν γνωρίσθητι τῆς ἀρχῆς ἐν τῇ παρούσῃ φροντίδι, ὡς ἂν καὶ θεητὸν πήξαις μέγαρον, εὐδόκιμος ἐν αὐτῇ φανείς. Γνωρίσεις δὲ πῶς; Θεὸν καὶ τὰ θεῖα τιμῶν· οὗ τί σοι μεῖζον καὶ ὑψηλότερον; Τιμήσεις δὲ πῶς καὶ τίσιν; Ἑνὶ τούτῳ, τῷ κήδεσθαι τῶν παρισταμένων Θεῷ καὶ λειτουργῶν τοῦ βήματος. Τούτων εἷς ἐστι καὶ ὁ συνδιάκονος ἡμῶν Εὐθάλιος, ὅν, οὐκ οἶδ' ὅπως, εἰς μείζω τάξιν μεταχωρήσαντα διαγράφειν ἐπιχειροῦσι χρυσὸν οἱ τῆς ἡγεμονικῆς τάξεως. Τοῦτο μὴ ἀνεκτὸν φανήτω σοι· καὶ χεῖρα ὄρεξον τῷ τε διακόνῳ καὶ τῷ κλήρῳ παντί, καὶ πρὸ τῶν ἄλλων ἡμῖν, ὧν σοι μέλει· ἢ δεινότατα ἂν πάθοι μόνος ἀνθρώπων, μὴ **11** τυγχάνων τῆς τῶν καιρῶν φιλανθρωπίας καὶ τῆς δεδομένης τοῖς

---

1. Πρβλ. Α' Κορ. 3,15.
α. Πρβλ. Πινδάρου, Ὀλυμπ. Ϛ' 1-3.

ἱερατικοῖς παρὰ τῶν βασιλέων τιμῆς, ἀλλ' ὑβριζόμενος καὶ ζημιούμενος ἴσως διὰ τὴν ἡμετέραν εὐτέλειαν. Ὅ σοι καλῶς ἔχει μὴ συγχωρεῖν, κἂν μὴ καλῶς ἄλλοι βούλωνται.

10

ΚΑΝΔΙΔΙΑΝΩ

Ποῦ νῦν οἱ σοφισταί; Τί σιωπῶσιν οἱ περὶ τὴν ποίησιν; Τίνας λόγους ἀμείνους ἐπιζητοῦσιν ἢ τίνα **[37]** λαμπροτέραν ὑπόθεσιν; Νῦν ἔδει πᾶσαν μὲν ἐπὶ σοὶ κινηθῆναι γλῶσσαν μουσικήν τε καὶ ἐναρμόνιον, πᾶσαν δὲ ὑψηλόν τι καὶ διαπρύσιον ἠχῆσαι ῥητορικήν, οὐ ταύτῃ μόνον ὅτι χρέος ἁπάντων χρεῶν δικαιότατον ἄρχοντα δεξιὸν ἀνυμνεῖσθαι τοῖς λόγοις, ἀλλ' ὅτι καὶ τὸν ἐν ἀμφοτέροις ἄκρον ἀμφοτέροις κοσμεῖν οἰκειότατον. Καὶ εἰ μὴ πρὸ καιροῦ τοὺς λόγους ἀνέπαυσα (νῦν γὰρ δὴ νῦν τοῦτο αἰσθάνομαι), καὶ ἐβουλευσάμην, ἔφη τις, ταχύτερα ἢ σοφώτερα, τὸ μὴ πανηγυρίζειν μηδὲ φοιτᾶν εἰς μέσους φιλοσοφήσας, ὡς τάχα ἂν καὶ τὰς Τυρρηνικὰς ὑπερεφώνησα σάλπιγγας (ἐρῶ γὰρ μηδὲν τὸν τραχὺν τοῦ Μώμου λίθον εὐλαβηθείς[α], κατὰ Πίνδαρον), εἰ μὴ τῆς σιωπῆς ἀωρίαν κατεψηφισάμην. Νυνὶ δὲ ὃ πέπονθα ἐπὶ σοί, ὁποῖόν τι τοὐμὸν χρῆμα, τάχα ἂν γνοίης ἀπ' εἰκόνος τινός· κόπτω μὲν οἷον τοὔδαφος τοῖς ποσί, κατὰ τοὺς θερμοτάτους τῶν ἵππων, καὶ διεσθίω τὰ χαλινὰ καὶ τὸ οὖς διανίστημι, πνέω τε θυμὸν ἐκ μυκτήρων καὶ βλέπω δριμὺ καὶ ἀφρῷ βάλλομαι, μένω δ' ὅμως εἴσω κιγκλίδος, οὐκ ἐφιέντος μοι τοῦ νόμου τὸν δρόμον. Τί οὖν; Ἐπειδὴ ταῦτα δοκεῖ, τί δράσομεν; Ἢ παντάπασι καταβαλοῦμεν τοὺς λόγους καὶ σιωπῇ τὰ σὰ θαυμασόμεθα, παρέντες ἑτέροις τὴν εὐφημίαν; Οὐ μὲν οὖν. Ἀλλ' ἄλλοι μὲν τἄλλα τῶν σῶν εὐφημούντων, ὅ τι ἂν ἕκαστος βούληταί τε καὶ δύνηται. Πάντως δὲ πολλοῖς ἀρκέσεις λόγοις καὶ πανηγύρεσιν, ἐὰν μέρος ἕκαστος τῶν σῶν ἀπολαβὼν εὐφημῇ· οἱ μέν, τὴν διοίκησιν τῶν κοινῶν καὶ τὸ ἐν τούτοις εὐσύνετόν τε ὁμοῦ καὶ φιλόπονον (τίς γὰρ ἢ εὑρετὴς τοῦ δέοντος ποριμώτερος ἢ ἐπιτελέσαι τὸ εὑρεθὲν ἐνεργέστερος;)· οἱ δὲ τῆς δίκης τὰ τάλαντα καὶ **12** ὡς ὑπὸ λαμπρῷ τῷ φωτὶ διακρίνεις τὰς ἔριδας, ὑψηλὸς ὑψηλῶς ἐμπομπεύων τῇ θέμιδι. Τὸ δέ σοι ξίφος φοβερὸν μέν, ὡς πλῆξον· ὡς δὲ οὐ πλῆσσον, ἀνάθημα. Κρατεῖς γὰρ οὐ τῷ κολάζειν ἁμαρτάνοντας, ἀλλὰ τῷ σπουδάζειν ὅπως οὐδὲ τὴν ἀρχὴν ἁμαρτήσονται καὶ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας πλέον ἢ τῆς τῶν ἄλλων δυναστείας, ὧν ἡ θρασύτης τὸ ἔννομον. Ἄλλοι θαυμαζέτωσαν τοῦ λόγου τὸ κράτος· εἰ δὲ βούλει, λόγου πᾶν εἶδος, ὅσον τε εἰς κρίσιν ἥκει τῶν λεγομένων καὶ ὅσων εἰς τὴν **[40]** τοῦ λέγειν δύναμιν. Ὁ

α. Πρβλ. Πινδάρου), Ὀλυμπ. Η' 55.

γὰρ αὐτὸς κρίνειν τε ἱκανὸς λόγον καὶ εἰπεῖν δυνατώτερος· ὡς τὸ μὲν αὐτὸ καὶ τὴν χρυσῆν εἰκάζεσθαι ψῆφον[α] ἢ τὴν Ὁμηρικὴν στάθμην ἐκείνην, ὑφ' ἧ κρίνεσθαι συμβαίνει τὴν τῶν Εὐμηλείων[β] ἵππων ἰσότητα, τὸ δὲ ὑπὲρ τὰς χειμερίους εἶναι νιφάδας[γ], — ἀγωνοθετοῦντά τε ὁμοίως νῦν καὶ ἀγωνιζόμενον πρότερον. Ἄλλοι τὸ στερρὸν ἐπαινείτωσαν τῷ πράῳ συγκεκραμένον καὶ τὸ ἐν τῷ μειλιχίῳ μὴ συμπεπτωκός, οἷα τὰ τῶν λεόντων σκιρτήματα. Ἄλλοι τὸν εὐρυσθενῆ χρυσὸν καὶ τιμήεντα, μετὰ τῶν σεμνῶν ὀνομάτων[δ] ἀτιμασθέντα καὶ προτροπάδην εἴξαντα δίκῃ τῇ σῇ· πρᾶγμα μόνον δὴ πάντων καὶ ἀκοῆς καὶ πίστεως ὑψηλότερον. Ποιητικὸς δέ τις ἀνὴρ καὶ τὴν τέχνην ἄφετος καὶ αὐτόνομος καὶ μέλος ἀγροικὸν προσαδέτω σοι, γηπόνων χορὸν στησάμενος, καὶ ἀμησάμενος στάχυν ὡραῖον πλεκέτω στέφανον ὅτι ἥδιστον, ἡμερίδας τε περὶ κεφαλῆς ἐγειρέτω κισσῷ διαπλόκους καὶ βότρυσι. Γεωργίας ταῦτα θαλύσια, διὰ σοῦ πάλιν ἀνθρώποις ἐπανελθούσης· πέτραι τε γάλα ναόντων καὶ μέλι κρῆναι[1], καὶ φυτὸν ἅπαν ἅμα ἠρέμοις κομάτω καρποῖς, σύντροφόν τε ὁμοίως καὶ ὄρειον, οἷα τὰ τῶν ποιητῶν πλάσματα, ὅταν τινὶ ποιῶσι χαριζομένην τὴν γῆν. Ταῦτα μέν, ὅπερ ἔφην, λεγόντων τε καὶ πλαττόντων ἕτεροι· τὸ γὰρ οἰκεῖον ἅπαν οὐ πιέζει[ε] μόνον, ὡς τῇ λύρᾳ δοκεῖ, ἀλλὰ καὶ εὐφραίνειν μάλιστα πέφυκεν. Ἐγὼ δὲ ὁ διαφερόντως τῶν σῶν ἄγαμαί τε καὶ ἀσπάζομαι, τοῦτο ἐρῶ· ὅτι τῆς τοῦ καιροῦ δυσκολίας κρείττονα σεαυτὸν παρέχεις. Ἕλλην μὲν ὢν τὴν θρησκείαν καὶ τῷ παρόντι κράτει τὰ τοῦ κράτους ὑπηρετούμενος· **13** ὑπηρετούμενος δέ, οὐχ ὅσα οἱ τοῦ καιροῦ κόλακες, ἀλλ' ὅσα οἱ τοῦ καλοῦ φίλοι καὶ μεγαλόφρονες· καὶ τῶν μὲν τὴν θεραπείαν ἀφοσιούμενος, τηρῶν δὲ τῇ πατρίδι τὴν εὔνοιαν καὶ ἀθάνατον ἐν θνητῷ πράγματι τὴν δόξαν καρπούμενος. Κἀκεῖνο δέ σου τῶν ἐπαινετῶν, ὅτι καὶ φιλίᾳ τι νέμεις αἰδοῦς ἐν τοσούτῳ τῆς ἀρχῆς ὄγκῳ· καὶ σχολὴν ἄγεις ἀπὸ τοσούτων ὧν πράττεις, μὴ μεμνῆσθαι μόνον, ἀλλὰ καὶ τιμᾶν διὰ γραμμάτων τοὺς φίλους καὶ τὸν πόθον ὁμολογεῖν καὶ πρὸς ἑαυτὸν ἕλκειν ἀπόν**[41]**τας. Ἀνθ' ὧν ἐπεύχομαί σοι, τῶν μὲν εἰς εὐδοξίαν μεῖζον οὐδὲν (κἂν γὰρ προσθήκην ἡ ἀρχὴ λάβῃ, τήν γε ἀρετὴν λαβεῖν οὐκ ἔνεστιν), ἓν δὲ ἀντὶ πάντων καὶ μέγιστον, γενέσθαι μεθ' ἡμῶν ποτε καὶ Θεοῦ, καὶ τῆς διωκομένων εἶναι μερίδος, μὴ τῆς τῶν διωκόντων· ἐπειδὴ τὸ μὲν καιροῦ φορᾷ παρασύρεται, τὸ δὲ ἀθάνατον ἔχει τὴν σωτηρίαν.

---

1. Πρβλ. Ἐξ. 3,8.

α. Πρβλ. Ἰλιάδ. Θ 69, Π 658, Τ 223, Χ 209. β. Ἰλιάδ. Β 763-767. γ. Ἰλιάδ. Γ 222. δ. Πρβλ. Πινδάρου, Ὀλυμπ. Α′ 1-2, 13,78, Πύθ. Γ′ 55 ἑξ. ε. Πινδάρου, Νέμ. Α′ 53.

11
ΓΡΗΓΟΡΙΩ

Ἔχω τι δεξιὸν ἐν τῇ φύσει (μεγαλαυχήσομαι γὰρ ἔν τι τῶν πολλῶν καὶ αὐτός[1])· ὁμοίως ἐμαυτῷ τε δυσχεραίνω βουλευομένῳ κακῶς καὶ τοῖς φίλοις. Ἐπειδὴ τοίνυν φίλοι πάντες ἀλλήλων καὶ συγγενεῖς οἱ κατὰ Θεὸν ζῶντες καὶ τῷ αὐτῷ Εὐαγγελίῳ στοιχοῦντες, τί οὐκ ἀκούεις παρ' ἡμῶν μετὰ παρρησίας ἅ πάντες ὑποτονθορύζουσιν; Οὐκ ἐπαινοῦσί σου τὴν ἄδοξον εὐδοξίαν, ἵν' εἴπω τι κἀγὼ καθ' ὑμᾶς καὶ τὴν κατὰ μικρὸν ἐπὶ τὰ χείρω ῥοπήν, καὶ τὴν κακίστην δαιμόνων, ἣ φησιν Εὐριπίδης, φιλοτιμίαν[α]. Τί γὰρ παθών, ὦ σοφώτατε, ἢ τί σεαυτοῦ καταγνούς, τὰς μὲν ἱερὰς καὶ ποτίμους βίβλους ἀπέρριψας ἃς ὑπανεγίνωσκές ποτε τῷ λαῷ (μὴ γὰρ αἰσχυνθῇς ἀκούων), ἢ ὑπὲρ καπνοῦ[β] τέθεικας, ὡς τὰ πηδάλια χειμῶνος ὥρᾳ καὶ τὰς σκαπάνας, τὰς δὲ ἁλμυρὰς καὶ ἀπότους μετεχειρίσω καὶ ῥήτωρ ἀκούειν μᾶλλον ἢ χριστιανὸς ἠθέλησας; Ἡμεῖς δὲ τοῦτο μᾶλλον **14** ἤπερ ἐκεῖνο, καὶ πᾶσα τῷ Θεῷ χάρις. Μὴ σύ γε, ὦ ἄριστε, μὴ ἐπὶ πολὺ τοῦτο πάθῃς, ἀλλ' ἔκνηψον ὀψὲ γοῦν καὶ πρὸς ἑαυτὸν ἐπάνελθε καὶ ἀπολόγησαι μὲν πιστοῖς, ἀπολόγησαι δὲ Θεῷ καὶ θυσιαστηρίοις καὶ μυστηρίοις, ἀφ' ὧν ἐμάκρυνας.

Καὶ μή μοι τὰ κομψὰ ταῦτα καὶ ῥητορικὰ ῥήματα· ⟨Τί δέ; Οὐκ ἐχριστιάνιζον ῥητορεύων, οὐδὲ ἦμην πιστὸς ἐν τοῖς μειρακίσκοις στρεφόμενος;⟩ καὶ ἴσως ἐπιμαρτυρῇ Θεόν. — Οὐδαμῶς, ὦ θαυμάσιε, οὔκουν ὅσον εἰκός, εἰ καὶ μέρος τι δοίημεν. Ποῦ δὲ τὸ πλήσσειν ἄλλους ἐξ ὧν νῦν πράττεις, φυσικῶς πρὸς τὸ κακὸν ὄντας ἑτοιμοτέρους καὶ τὰ χείρω διδόναι περὶ σοῦ καὶ ὑπονοεῖν καὶ λέγειν; Ἔστω **[44]** ψεῦδος· ἀλλὰ τίς ἡ ἀνάγκη; Οὐ γὰρ ἑαυτῷ μόνον ζῇ τις, ἀλλὰ καὶ τῷ πλησίον· οὐδὲ ἀρκεῖ τὸ πείθειν ἑαυτόν, εἰ μὴ καὶ τοὺς ἄλλους. Ἢ καὶ πυκτεύων σύ γε ἐν τῷ κοινῷ, ἢ καὶ παιόμενος ἐπὶ κόρρης καὶ παίων ἐν τοῖς θεάτροις ἢ καὶ τὰ αἰσχρὰ λυγιζόμενος καὶ καμπτόμενος, εἶπες ἂν ὡς κατὰ ψυχὴν ἐσωφρόνεις; Οὐ σωφρονοῦντος ὁ λογισμός· κοῦφον τὸ ταῦτα δέχεσθαι. Εἰ μὲν οὖν μεταβάλοιο, ἀλλὰ νῦν χαρήσομαι[γ], τῶν Πυθαγορικῶν ἔφη τις φιλοσόφων ἑταῖρον ἐκπεπτωκότα θρηνῶν, εἰ δὲ μή, ἐκεῖνος μὲν ἔγραψε, τέθνηκάς μοι· ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἐρῶ σὴν χαρὰν ἔτι·

φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος[δ],

ἡ τραγῳδία φησίν. Ἀνιάσομαι δέ, — τοῦτο γὰρ εἰπεῖν μέτριον — εἰ

---

1. Πρβλ. Β' Κορ. 11,16,18.

α. Εὐριπίδου, Φοίνισσαι 531-532. β. Πρβλ. Ἡσιόδου, Ἔργα καὶ ἡμέραι 45 καὶ 629. γ. Πυθαγόρου, Ἐπιστ. 3. ἐν Hercher, Epistol. graec. σ. 603. δ. Εὐριπίδου, Φοίνισσαι 1446.

μήτε αὐτὸς συνορᾷς τὸ δέον, ὃ τῆς πρώτης ἐστὶ τῶν ἐπαινετῶν μερίδος, μήτε ἄλλῳ εὖ ε ἰ π ό ν τ ι^α κατακολουθήσεις, ὃ τῆς δευτέρας. Τοσαῦτα τὰ τῆς παραινέσεως. Καί μοι σύγγνωθι διὰ φιλίαν ἀλγοῦντι καὶ ὁμοίως ὑπέρ τε σοῦ καὶ παντὸς τοῦ ἱερατικοῦ τάγματος φλεγομένῳ, προσθήσω δὲ ὅτι καὶ πάντων Χριστιανῶν. Εἰ δὲ δεῖ καὶ συνεύξασθαί σοι ἢ ὑπερεύξασθαι, Θεὸς βοηθήσαι σου τῇ ἀσθενείᾳ, ὁ καὶ τεθνηκότας ζωοποιῶν.

12

⟨ΝΙΚΟΒΟΥΛΩ⟩

15 Σκώπτεις τὴν Ἀλυπιανὴν ἡμῖν, ὡς μικρὰν καὶ τῆς σῆς μεγαλειότητος ἀναξίαν, ὦ γιγαντιαῖε σὺ καὶ ἀμύθητε καὶ πελώριε τό τε εἶδος καὶ τὴν ἀλκήν. Νῦν γὰρ ἔγνων ὅτι ψυχὴ μετρεῖται καὶ ἀρετὴ ταλαντεύεται καὶ τιμιώτεραι τῶν μαργάρων αἱ πέτραι καὶ κόρακες ἀηδόνων αἰδεσιμώτεροι. Σὺ μὲν οὖν ἀπόλαυε τοῦ μεγέθους καὶ τῶν πηχῶν καὶ μηδὲν λείπου τῶν Ἀλωάδωνβ ἐκείνων. Ἵππον γὰρ ἄγεις καὶ τινάσσεις αἰχμὴν καὶ θῆρές σοι μέλουσι. Τῇ δὲ οὐδὲν ἔργον, οὐδὲ πολλῆς τῆς ἰσχύος κερκίδα φέρειν καὶ ἡλακάτην μεταχειρίζεσθαι καὶ ἱστῷ προσκαθέζεσθαι· τ ὸ γ ὰ ρ γ έ ρ α ς ἐ σ τ ὶ γ υ ν α ι κ ῶ ν^γ. Εἰ δὲ καὶ τοῦτο προσθείης, ὅτι τῇ γῇ προσπέφυκε δι' εὐχὴν καὶ Θεῷ σύνεστιν ἀεὶ τοῖς με[45]γάλοις τοῦ νοῦ κινήμασι, τί σοι ἐνταῦθα τὸ ὕψος ἢ τὰ μέτρα τοῦ σώματος; Ἰδὲ καίριον σιωπήν, φθεγγομένην ἄκουσον, τὸ ἀκαλλώπιστον κατανόησον, τὸ ὡς γυναιξὶν ἀνδρικόν, τὴν οἰκωφελίαν, τὴν φιλανδρίαν· καὶ τότε φήσεις τὸ τοῦ Λάκωνος· ⟨Ὄντως οὐ μετρεῖται ψυχὴ καὶ δεῖ τὸν ἐκτὸς ἐόντα πρὸς τὸν ἐντὸς βλέπειν ἄνθρωπον⟩. Ἂν οὕτω ταῦτα σκοπῇς, παύσῃ τοῦ παίζειν καὶ καταπαίζειν αὐτῆς ὡς μικρᾶς καὶ σαυτοῦ μακαρίσεις τὴν συζυγίαν.

13

ΑΜΦΙΛΟΧΙΩ

Ἐπαινῶ τὸ Θεόγνιδος, ὃς τὴν μέχρι πότων καὶ τοῦ ἡδέος φιλίαν οὐκ ἐπαινῶν, ἐπαινεῖ τὴν ἐπὶ τῶν πραγμάτων· τί γράφων;

«Πολλοὶ πὰρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι, παυρότεροι»^δ.

16 Ἡμεῖς τοίνυν κρατήρων μὲν ἀλλήλοις οὐ κεκοινωνήκαμεν,

α. Ἡσιόδου, Ἔργα καὶ ἡμέραι 293-295. β. Ὀδυσσ. λ 305. γ. Πρβλ. Ἰλιάδ. Δ 323, Π 457. δ. Θεόγνιδος 643-644.

οὐδὲ γὰρ πολλὰ συγγεγόναμεν ἀλλήλοις (καίτοι ἐχρῆν παντὸς μᾶλλον, καὶ δι' ἡμᾶς αὐτούς καὶ διὰ τὴν ἐκ πατέρων φιλίαν), τὴν ἐπὶ τῶν ἔργων δὲ ἀπαιτοῦμεν εὔνοιαν. Ἐγγὺς ἀγών, καὶ ἀγώνων ὁ μέγιστος· ὁ γὰρ υἱὸς ἡμῶν Νικόβουλος ἐν ταραχαῖς ἀδοκήτοις, παρ' ὧν ἥκιστα ἂν ὠήθη τις ἔχων πράγματα. Διὰ τοῦτο ἀξιοῦμέν σε παρεῖναι καὶ βοηθεῖν ἡμῖν ὡς τάχιστα, καὶ συνδικάσοντα καὶ συνηγορήσοντα, εἰ εὕροις ἀδικουμένους· εἰ δ' οὖν, μὴ προληφθῆναι τῷ ἐναντίῳ μέρει κέρδους μικροῦ τὴν ἐλευθερίαν ἀποδόμενον, ἣν ἀεί σοι μαρτυρηθεῖσαν παρὰ πάντων γινώσκομεν.

14

ΚΑΙΣΑΡΙΩ

Εὐεργέτησόν τι καὶ σεαυτὸν καὶ ἡμᾶς, οἷον οὐ πολλάκις εὐεργετήσει, ὅτι μηδὲ πολλάκις παραπίπτουσιν εὐεργεσίας τοιαύτης καιροί. Τῶν κυρίων μου τῶν ἀνεψιῶν πρόστηθι προστασίαν δικαιοτάτην, καμνόντων ἱκανῶς ἐπὶ κτήματι, ὅπερ ὠνήσαντο μὲν ὡς καὶ πρὸς ἀναχώρησιν ἐπιτήδειον καί τινα τοῦ βίου παρέχειν αὐτοῖς ἀποτροφὴν δυνάμενον· ἐπεὶ δὲ **[48]** ὠνήσαντο, πλείοσι περιπεπτώκασι δυσχερείαις, τὰ μὲν τῶν πεπρακότων ἀγνωμόνων πειρώμενοι, τὰ δὲ ὑπὸ τῶν γειτόνων περικοπτόμενοι καὶ πορθούμενοι, ὥστε κέρδος εἶναι αὐτοῖς, τὸ τίμημα ὃ δεδώκασι κομισαμένοις, μεθ' ὧν προσαναλώκασιν, ὄντων οὐκ ὀλίγων, ἀπαλλαγῆναι τῆς κτήσεως. Εἰ μὲν οὖν σοι φίλον εἰς σεαυτὸν περιστῆσαι τὴν πραγματείαν, ὅπως ἂν κάλλιστα καὶ ἀσφαλέστατα ἔχῃ σοι τὸ συνάλλαγμα διασκεψαμένῳ, τοῦτο καὶ αὐτοῖς καὶ ἡμῖν ἥδιον. Εἰ δὲ μή, τό γε δεύτερον, τῇ περιεργίᾳ καὶ ἀγνωμοσύνῃ τοῦ ἀνδρὸς ἀντίθες σεαυτόν, ἵνα μὴ πάντως ἕν γέ τι διὰ τὴν ἀπραγμοσύνην αὐτῶν ἔχῃ πλέον ἢ κατέχοντας ἀδικῶν ἢ ζημιῶν ἀπαλλαττομένους. Ἐγὼ μὲν οὖν καὶ ἠρυθρίασα περὶ τούτων ἐπιστέλλων. Ἐπειδή γε ὁμοίως αὐτοῖς ὀφειλόμεθα καὶ διὰ τὸ γένος καὶ διὰ τὴν τοῦ βίου προαίρεσιν (τίνος γὰρ ἄν τις κήδοιτο μᾶλλον ἢ τῶν τοιούτων; ἐπὶ τῷ δὲ ἂν αἰσχύ**17**νοιτο πλέον ἢ τὰ τοιαῦτα εὐεργετεῖν οὐ προθυμούμενος;), σὺ δὲ ἢ διὰ σεαυτὸν ἢ δι' ἡμᾶς ἢ διὰ τοὺς ἄνδρας αὐτοὺς ἢ διὰ πάντα ταῦτα ὁμοῦ, ἀλλὰ πάντως γε αὐτοὺς εὐεργέτησον.

15

ΛΟΛΛΙΑΝΩ

Εὖ γε ὅτι ἐπανήκεις ἡμῖν, διὰ μακροῦ μέν, ἀλλ' ὅμως (καὶ ὃ τούτου κρεῖττον), ὅτι κατὰ νοῦν πράττων καὶ τῶν ἐπὶ σοὶ φροντίδων ἡμᾶς ἠλευθέρωσας. Πάντα γὰρ κοινὰ ποιούμεθα πρὸς σέ, καὶ λύπας

καὶ εὐφροσύνας· τοιοῦτον γὰρ ἡ φιλία. Ἐπεὶ δὲ ἐπανήκεις, μετάδος φίλοισι σοῖσι τῆς εὐπραξίας[α], φησὶν ὁ εἰπών· μεταδώσεις δέ, εἰ τοὺς κυρίους μου τοὺς ἀνεψιοὺς Ἑλλάδιον καὶ Εὐλάλιον, καὶ τἄλλα οἰκείους ὁρᾶν προθυμοῖο (οἰκείους δὲ λέγω, εἰ μὴ ἄλλους ἡμᾶς πρὸς ἑαυτὸν νομίζεις, οὐ γὰρ οἶδ' ὅ τι μεῖζον ἂν εἴποιμι) καὶ μὴ ἑτέρων δεηθῆναι προστατῶν ἀνάσχοιο. Ἀλλὰ πάντα σεαυτὸν παράσχοις, φίλον χρηστόν, γείτονα δεξιόν, παραστάτην γενναῖον, ἵνα μὴ καθ' ἕκαστον λέγω, τὸν εὐγενῆ Λολλιανόν, τὸν ἐπὶ καλοκἀγαθίᾳ γνώριμον. Ὑπισχνοῦμαι δέ, εἰ ἐπὶ πλεῖον αὐτοῖς ὁμιλήσαις καὶ τῆς φιλοσοφίας αὐτῶν τὸ ὕψος κατίδοις, ὅτι πρὸς ἄλλους ὑπὲρ αὐτῶν πρεσβεύσεις. Τοσοῦτον θαρρῶ τῷ σῷ τρόπῳ **[49]** καὶ οὕτω πολλὰς ἐλπίδας ἔχω μὴ διαμαρτήσεσθαί σου περὶ ὧν αὐτὸς ἐπρέσβευσα.

16

ΕΥΣΕΒΙΩ ΚΑΙΣΑΡΕΙΑΣ

Ἐπειδὴ πρὸς ἄνδρα ποιοῦμαι τοὺς λόγους οὔτε ἀγαπῶντα τὸ ψεῦδος καὶ τὸ ἐν ἑτέρῳ φωρᾶσαι πάντων ὀξύτατον, κἂν ὅτι μάλιστα σοφοῖς πλέκηται καὶ ποικίλοις τοῖς λαβυρίνθοις· πρὸς δέ, οὐδὲ αὐτῷ μοι φίλον τὸ τεχνικὸν (εἰρήσεται γάρ, κἂν ἧ **18** φορτικώτερον), πεφυκότι τε οὕτω καὶ τυπουμένῳ παρὰ τοῦ λόγου, διὰ τοῦτο γράφω τὰ παριστάμενα. Καί μου δέξαι τὴν παρρησίαν· ἢ ἀδικήσεις γε τῆς ἀληθείας, τὰ τῆς ἐλευθερίας ἀποστερῶν καὶ ἀναγκάζων ἐν ἐμαυτῷ κατέχειν τὴν ὠδῖνα τῆς λύπης, ὥσπερ τι νόσημα ὕπουλον καὶ κακόηθες. Ἐγὼ χαίρω μὲν ὑπὸ σοῦ τιμώμενος (εἴπερ ἄνθρωπός εἰμι, τοῦ προειρηκότος ὁ λόγος) καὶ καλούμενος ἐπί τε συνόδους καὶ συλλόγους πνευματικούς. Οὐ φέρω δὲ τὴν γεγενημένην ὕβριν τῷ τιμιωτάτῳ ἀδελφῷ Βασιλείῳ καὶ γινομένην ἔτι παρὰ τῆς σῆς εὐλαβείας, ὃν καὶ βίου καὶ λόγου κοινωνὸν καὶ τῆς ὑψηλοτάτης φιλοσοφίας εἱλόμην τε ἀπ' ἀρχῆς καὶ νῦν ἔχω· καὶ οὐδὲν ἐμαυτῷ μέμφομαι τῆς ἐπ' αὐτῷ κρίσεως. Οὕτω γὰρ εἰπεῖν μέτριον, ἵνα μὴ ἐμαυτὸν ἐπαινεῖν δόξω, τὰ ἐκείνου θαυμάζων. Σὺ δέ μοι δοκεῖς ποιεῖν παραπλήσιον, τὸν μὲν ἀτιμάζων, τιμῶν δὲ ἡμᾶς, ὥσπερ ἂν εἴ τις ἑνὸς ἀνδρὸς τῇ μὲν τῶν χειρῶν καταψήχοι τὴν κεφαλήν, τῇ δὲ παίοι τὴν παρειάν· ἢ καὶ θεμελίους ὑποσπῶν οἰκίας, διαζωγραφοίη τοὺς τοίχους καὶ καλλωπίζοι τὰ ἔξωθεν. Εἴ τι οὖν ἐμοὶ πείθοιο, τοῦτο ποιήσεις (πεισθῆναι δὲ ἀξιῶ· καὶ γὰρ δίκαιον)· εἰ ἐκεῖνον θεραπεύσεις τὰ εἰκότα, καὶ παρ' ἐκείνου θεραπευθήσῃ. Τὸ δὲ καθ' ἡμᾶς ἕψεται ὥσπερ τοῖς σώμασιν αἱ σκιαί, μικρούς τε ὄντας καὶ πρὸς εἰρήνην ἑτοιμοτέρους. Οὐδὲ γὰρ οὕτως

α. Εὐριπίδου, Ὀρέστης 450.

ἀθλίως πράττομεν ὥστε τἄλλα μὲν ἐθέλειν φιλοσοφεῖν καὶ τῆς κρείττονος εἶναι μερίδος[1], ὑπερορᾶν δὲ πράγματος ὃ τοῦ καθ' ἡμᾶς λόγου κεφάλαιόν ἐστι, τῆς ἀγάπης· ἄλλως τε καὶ πρὸς ἄνδρα ἱερέα τε καὶ τοσοῦτον, ὃν καὶ βίῳ καὶ λόγῳ καὶ πολιτείᾳ πάντων ἄριστον, ὧν ἴσμεν, γινώσκομεν. Οὐ γὰρ ἐπισκοτήσει τὸ λυπεῖσθαι τῇ ἀληθείᾳ.

17
ΤΩ ΑΥΤΩ

Οὐχ ὑβριστικῶς ἐπέστειλα μᾶλλον, ὅπερ ἐμέμψω τῆς ἐπιστολῆς, ἢ πνευματικῶς τε καὶ φιλοσόφως καὶ ὡς εἰκὸς ἦν, εἰ μὴ καὶ τοῦτο λυπεῖ τὸν λογιώτατον Γρηγόριον. Καὶ γὰρ εἰ τῷ βαθμῷ κρατεῖς, ἀλλὰ δώσεις τι καὶ ἡμῖν ἐλευθερίας **19** καὶ παρρησίας δικαίας. Καὶ διὰ τοῦτο ἔσο ἡμῖν χρηστότερος. Πλὴν εἰ κρίνοις τὴν ἐπιστολὴν ὡς οἰκέτου καὶ οὐδὲ ἀντιβλέπειν ὀφείλοντος, οὕτω δὴ καὶ πληγὰς ληψόμεθα καὶ οὐδὲ δακρύσομεν· ἢ καὶ τοῦτο ἐγκληθησόμεθα; Ὁ πάντας μᾶλλον ἢ τὴν σὴν εὐλάβειαν παθεῖν ἄξιον. Ἔστι γὰρ ἀνδρὸς μεγαλόφρονος φίλων ἀποδέχεσθαι μᾶλλον ἐλευθερίαν ἢ ἐχθρῶν κολακείαν.

18
ΤΩ ΑΥΤΩ

Εἶχον μὲν οὐδὲ ἄλλως πρὸς τὴν σὴν εὐλάβειαν μικροψύχως, μὴ τοῦτό μου καταγνῷς· ἀλλὰ μικρὸν ἐλευθεριάσας τε καὶ θαρρήσας, ὅσον τὸ λυποῦν ἐπιψύξαι καὶ θεραπεῦσαι, αὐτίκα ἠττήθην καὶ ὑπεκλίθην καὶ τῷ κανόνι φέρων ἐμαυτὸν ὑπέθηκα. Τί δὲ οὐκ ἔμελλόν σέ τε γινώσκων καὶ νόμους πνεύματος; Νῦν δὲ καὶ εἰ λίαν μικροψύχως εἶχον καὶ ἀγεννῶς, ἀλλ' ὅ γε καιρὸς οὐκ ἐᾷ τοῦτο πάσχειν καὶ οἱ καταδραμόντες θῆρες τῆς ἐκκλησίας, τό τε σὸν γενναῖον καὶ ἀνδρικόν, οὕτω καθαρῶς καὶ γνησίως προπολεμοῦντος τῆς ἐκκλησίας. Ἥξομεν οὖν, εἰ δοκεῖ, καὶ ταῖς εὐχαῖς ὑμῖν συλλαμβανόμενοι καὶ συναγωνιούμενοι καὶ ὑπηρετησόμενοι καὶ ὡς ἀθλητὴν ἄριστον κελευσταὶ παῖδες ταῖς ὑποφωνήσεσιν ὑπαλείψοντες.

19
⟨ΒΑΣΙΛΕΙΩ⟩

Καιρὸς εὐβουλίας καὶ καρτερίας καὶ τοῦ μηδένα φανῆναι ἡμῶν

1. Πρβλ. Λουκ. 10,42.

ἀνδρικώτερον, μηδὲ τοὺς πολλοὺς ἱδρῶτας καὶ πόνους ἐν ὀλίγῳ καταλυθῆναι. Γράφω δὲ διὰ τί **20** ταῦτα καὶ πόθεν; Ὁ θεοφιλέστατος ἐπίσκοπος ἡμῶν Εὐσέβιος (οὕτω γὰρ περὶ αὐτοῦ λοιπὸν δεῖ καὶ φρονεῖν καὶ γράφειν) λίαν πρὸς ἡμᾶς ἔχει συμβατικῶς τε καὶ φιλικῶς, καί, ὥσπερ σίδηρος πυρί, τῷ χρόνῳ μαλάσσεται. Καὶ οἶμαι καὶ γράμμα ἥξειν πρὸς σὲ παρακλήσεώς τε καὶ κλήσεως, ὡς ἐμοί τε παρεδήλωσε καὶ πολλοὶ πείθουσιν ἡμᾶς τῶν τὰ ἐκείνου σαφῶς εἰδότων. Ὃν προλάβωμεν ἢ παρόντες ἢ ἐπιστείλαντες, μᾶλλον δὲ προεπιστείλαντες, εἶτα παρόντες ἵνα μὴ αἰσχυνθῶμεν ὕστερον ἡττηθέντες, ἐξὸν νικῆσαι τῷ καλῶς ἡττηθῆναι καὶ φιλοσόφως, ὃ παρὰ τῶν πολλῶν ἀπαιτούμεθα. Ἧκε οὖν ἐμοὶ πεισθεὶς καὶ διὰ τοῦτο καὶ διὰ τὸν καιρόν· ἐπειδὴ σύστασις αἱρετικῶν κατατρέχει τὴν ἐκκλησίαν, τῶν μὲν ἤδη παρόντων καὶ ταρασσόντων, τῶν δέ, ὡς λόγος, παρεσομένων. Καὶ δέος παρασυρῆναι τὸν λόγον τῆς ἀληθείας, εἰ μὴ τάχιστα κινηθείη τὸ πνεῦμα Βεσελεήλ[1], τοῦ σοφοῦ τῶν τοιούτων ἀρχιτέκτονος λόγων τε καὶ δογμάτων. Εἰ δὲ δοκεῖ παρεῖναι καὶ αὐτὸν ἐμὲ συνδιάξοντα καὶ συνοδεύσοντα, οὐδὲ τοῦτο φευξόμεθα.

20
ΚΑΙΣΑΡΙΩ

Οὐδὲ οἱ φόβοι τοῖς εὐφρονοῦσιν ἄχρηστοι· ὡς δὲ ἔγωγέ φημι, καὶ λίαν καλοὶ καὶ σωτήριοι. Εἰ γὰρ καὶ γίνεσθαι αὐτοὺς ἀπευχόμεθα, γινομένοις γε παιδευόμεθα. Κάμνουσα γὰρ ψυχὴ ἐγγίζει Θεῷ, φησί που θαυμασιώτατα λέγων ὁ Πέτρος, καὶ παντὶ διαφυγόντι κίνδυνον πλείων οἰκείωσις πρὸς τὸν περισώ**21**σαντα. Μὴ οὖν, ὅτι μετεσχήκαμεν τοῦ κακοῦ, δυσχεράνωμεν· ἀλλ' ὅτι διαπεφεύγαμεν, εὐχαριστήσωμεν. Μηδὲ ἄλλοι φανῶμεν τῷ Θεῷ παρὰ τὸν καιρὸν τῶν κινδύνων καὶ ἄλλοι μετὰ τοὺς κινδύνους· ἀλλὰ βουληθῶμεν εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εἴτε ἰδιωτεύοντες, εἴτε τὰ κοινὰ πράττοντες (δεῖ γὰρ οὕτω λέγειν καὶ μὴ λιπεῖν), τῷ σώσαντι κατακολουθεῖν καὶ γίνεσθαι τῆς ἐκείνου μοίρας, μικρὰ τῶν μικρῶν καὶ χαμαὶ ἐρχομένων φροντίσαντες. Καὶ δῶμέν τι διήγημα τοῖς εἰς ὕστερον, μέγα μὲν εἰς δόξαν ἡμῖν, μέγα δὲ εἰς ὠφέλειαν ψυχῆς· τὸ δὲ αὐτὸ καὶ παίδευμα τοῖς πολλοῖς χρησιμώτατον, ὅτι κρεῖττον ἀσφαλείας κίνδυνος καὶ συμφορὰ εὐημερίας αἱρετωτέρα· εἴ γε πρὸ μὲν τῶν φόβων ἦμεν τοῦ κόσμου, μετὰ δὲ τοὺς φόβους τοῦ Θεοῦ γεγενήμεθα. Ἴσως σοι φορτικοὶ δοκοῦμεν πολλάκις σοι περὶ τῶν αὐτῶν ἐπιστέλλοντες καὶ οὐ παραίνεσιν, ἀλλ' ἐπίδειξιν νομίζεις τοὺς λόγους. Διὸ τούτων μὲν ἄλις· ἡμᾶς δὲ ἴσθι προθυμουμένους καὶ εὐχομένους

1. Πρβλ. Ἐξ. 31,2-3. 35,30-31.

μάλιστα μὲν γενέσθαι μέχρι σοῦ, συνησθησομένους τῇ σωτηρίᾳ σου καὶ περὶ τούτων τελεώτερον διαλεξομένους· εἰ δ' οὖν, ἀλλ' ἐνταῦθά σε δεξομένους ὡς τάχιστα, συνεορτάσαι τὰ χαριστήρια.

21

ΣΩΦΡΟΝΙΩ

Ὁ χρυσὸς ἄλλοτε μὲν ἄλλως μεταποιεῖται καὶ σχηματίζεται, εἰς πολλοὺς κόσμους τυπούμενος καὶ πρὸς πολλὰ ὑπὸ τῆς τέχνης ἀγόμενος· μένει δὲ ὅπερ ἐστί, χρυσός, καὶ οὐχ ἡ ὕλη μεταβολήν, ἀλλὰ τὸ σχῆμα λαμβάνει. Οὕτω καὶ τὴν σὴν καλοκἀγαθίαν ἡγούμενοι τὴν αὐτὴν μένειν τοῖς φίλοις, κἂν ἀεὶ προΐῃς ἐπὶ τὰ ἔμπροσθεν, ταύτην ἐθαρρήσαμεν τὴν πρεσβείαν προσαγαγεῖν, οὐ μᾶλλον τὴν ἀξίαν εὐλαβηθέντες ἢ τῷ τρόπῳ πιστεύσαντες. Τῷ αἰδεσιμωτάτῳ υἱῷ ἡμῶν Νικοβούλῳ τὰ πάντα ἔχοντι πρὸς ἡμᾶς ἐπιτηδείως καὶ διὰ συγγένειαν καὶ διὰ τὴν οἰκειότητα καί, τὸ τούτων μεῖζον, διὰ τὸν τρόπον, γενοῦ δεξιός. Ἐν τίσι καὶ **22** πόσον; Ἐν οἷς αὐτὸς σοῦ δεηθήσεται, καὶ ὅσον τῇ σῇ μεγαλονοίᾳ πρέπειν ὑπολαμβάνεις. Ἀντιδώσομεν δὲ καὶ ἡμεῖς ὧν ἔχομεν τὸ κάλλιστον. Ἔχομεν δὲ τοὺς λόγους καὶ τὸ κήρυκες εἶναι τῆς σῆς ἀρετῆς, εἰ καὶ μὴ τῆς ἀξίας ἐγγύς, ἀλλά γε κατὰ τὴν ἡμετέραν δύναμιν.

22

ΤΩ ΑΥΤΩ

[57] Ἔδει, καθάπερ τὸν χρυσὸν καὶ τοὺς λίθους[α] τῇ ὄψει γνωρίζομεν οὕτω καὶ τοὺς καλοὺς καὶ μὴ τῶν ἀνδρῶν αὐτόθεν διαγινώσκεσθαι, καὶ μὴ μακροτέρας δεῖσθαι δοκιμασίας. Οὐ γὰρ ἂν πολλῶν ἐδέησεν ἡμῖν λόγων ὑπὲρ τοῦ τιμιωτάτου υἱοῦ Ἀμφιλοχίου πρεσβεύουσι πρὸς τὴν σὴν μεγαλόνοιαν. Θᾶττον ἂν ἤλπισα ἕν τι τῶν ἀπίστων καὶ παραδόξων, ἢ τοῦτον ἀγεννές τι πράξειν ἐπὶ χρήμασιν ἢ διανοήσεσθαι· τοσοῦτον αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐπὶ καλοκἀγαθίᾳ καὶ τὸ πρεσβυτέραν τῆς ἡλικίας ἔχειν φρόνησιν. Ἀλλὰ τί χρὴ παθεῖν; Οὐδὲν διαφεύγει τὸν φθόνον, ὁπότε καὶ τούτου τις μῶμος ἥψατο, ἀνδρὸς δι' ἁπλότητα μᾶλλον ἢ τρόπου κακίαν περιπεσόντος ἐγκλήμασιν. Ἀλλά σοι μὴ ἀνεκτὸν φανήτω περιιδεῖν αὐτὸν ταῖς συκοφαντίαις παρασυρόμενον. Μή, δέομαί σου τῆς ἱερᾶς καὶ μεγάλης ψυχῆς, — ἀλλὰ καὶ τὴν πατρίδα τίμησον καὶ τῇ ἀρετῇ βοήθησον καὶ ἡμᾶς αἰδέσθητι τοὺς παρὰ σοῦ καὶ διὰ σοῦ δοξασθέντας,

α. Πρβλ. Εὐριπίδου, Μήδεια 516-519.

καὶ ἀντὶ πάντων γενοῦ τῷ ἀνδρί, τῷ δύνασθαι τὸ θέλειν προσθείς, ἐπειδὴ πάντα τῆς σῆς ἀρετῆς οἴδα ἡττώμενα.

23

ΚΑΙΣΑΡΙΩ

Εἰ μεγάλα ἐστὶν ἃ αἰτοῦμεν, μηδὲν θαυμάσῃς, ἐπεὶ καὶ παρὰ μεγάλου καὶ συμμετρεῖσθαι δεῖ τῷ αἰτουμένῳ τὴν αἴτησιν. Ὁμοίως γὰρ ἄτοπον παρὰ μικροῦ μεγάλα ζητεῖν καὶ παρὰ μεγάλου μικρά· τὸ μὲν γὰρ ἄκαιρον, τὸ δὲ μικρό**23**λογον. Αὐτός σοι προσάγω διὰ τῆς ἐμαυτοῦ χειρὸς τὸν τιμιώτατον υἱὸν ἡμῶν Ἀμφιλόχιον, ἄνδρα τοσοῦτον ἐπὶ καλοκἀγαθίᾳ γνώριμον καὶ παρὰ τὸ εἰκὸς τῆς ἡλικίας, ὥστε αὐτὸς ἂν ἠγάπησα ὁ γέρων καὶ ἱερεὺς καὶ ὑμέτερος φίλος οὕτως ὑπολαμβάνεσθαι. Εἰ δὲ φιλίας ἀνδρὸς ἡττηθεὶς τὴν διαβολὴν οὐχ ὑπείδετο, τί θαυμαστόν; Τῷ γὰρ μὴ πονηρὸς εἶναι οὐδὲ ὑπείδετο τὴν πονηρίαν, λόγου μᾶλλον διόρθωσιν ἢ τρόπου προσήκειν αὐτῷ νομίσας. Οὕτω συμπονεῖν ἐδέξατο. Τί τοῦτο δεινὸν τοῖς εὐγνώμοσι; Μὴ **[60]** τοίνυν ἀνάσχῃ πλέον ἔχειν ἀρετῆς κακίαν, μηδὲ τὴν ἡμετέραν πολιὰν ἀτιμάσῃς· ἀλλὰ καὶ τὴν μαρτυρίαν αἰδέσθητι καὶ τὸ φιλάνθρωπον ὑπόθες ταῖς παρ' ἡμῶν εὐλογίαις, ὧν ἴσως τις παρὰ Θεῷ λόγος, ᾧ παρεστήκαμεν.

24

ΘΕΜΙΣΤΙΩ

Λόγοι τὸ κινδυνευόμενον· καὶ σὸς ὁ καιρός, εἴπερ βασιλεὺς σὺ τῶν λόγων. Καί πρός γε, σοὶ φίλος πατρόθεν ὁ ἐμὸς Ἀμφιλόχιος· προσθήσω δὲ ὅτι καὶ τοιοῦτος, οἷος μήτε γένος πατέρων αἰσχύνειν, μήτε τὴν ἡμετέραν φιλίαν, εἰ μὴ φαῦλος ἐγὼ τῶν τοιούτων κριτής. Καὶ τὸ μέγιστον, ἀνδρὶ μάλιστα κατὰ σὲ φιλοσόφῳ, ὅτι μηδὲν ἀδικῶν ἔχει πράγματα. Ὃ τῷ μέν ἐστι κουφότατον, ἡμῖν δὲ αὖ βαρύτατον, εἰ περιορῶντες φαινοίμεθα. Ἐγὼ μὲν οὖν ὃ μόνον δύναμαι, τοῦτο ποιῶ· δύναμαι δὲ πρεσβεύειν πρὸς τοὺς εὖ ποιεῖν δυναμένους· οὐ γὰρ ἄλλο γ' οὐδὲν ἐμοὶ δυνατὸν οὕτως ἔχοντι ὥσπερ νῦν ἔχω. Σὺ δὲ τὸν τοῦ σοῦ Πλάτωνος βεβαίωσον λόγον, μὴ πρότερον παύσασθαι κακῶν τὰς πόλεις εἰπόντος, πρὶν ἂν συνέλθῃ φιλοσοφίᾳ τὸ δύνασθαι[α]. Ἱκανὸς γὰρ εἶ ἀμφότερα. Δὸς χεῖρα τῷ δεομένῳ καὶ παραινέσας τὰ εἰκότα καὶ βοηθήσας. Ὡς οὐκ ἔστιν ὅ τι φιλοσοφήσαις ἄμεινον ἢ νῦν τῷ δικαίῳ συναγωνισάμενος, πρὸς τῷ καὶ ἡμᾶς εὖ ποιεῖν τοὺς σοὺς ἐπαινέτας, εἰ δὲ δίδως εἰπεῖν, καὶ φίλους.

α. Πλάτωνος, Ἐπιστ. Ζ' 326α. Πολιτ. Ε' 473d, Ϛ' 499 b-d.

25

⟨ΑΜΦΙΛΟΧΙΩ⟩

Ἄρτους μὲν οὐκ ἠτήσαμεν παρὰ σοῦ, ὅτι μηδὲ ὕδωρ παρὰ τῶν Ὀστρακίνην οἰκούντων. Λάχανα δὲ εἰ αἰτοίημεν παρ' ἀνδρὸς Ὀζιζαλέως, ὧν ἀφθονία μὲν παρ' ὑμῖν, παρὰ δὲ ἡμῖν πολλὴ σπάνις, θαυμαστὸν οὐδὲν οὐδὲ ἔξω τῆς συνηθείας. Καταξίωσον οὖν λάχανα ἡμῖν ἀποστεῖλαι πλεῖστα καὶ κάλλιστα, ἢ ὅσα γε δυνατὸν (ἐπεὶ καὶ τὰ μικρὰ μεγάλα τοῖς πένησιν), ἐπειδὴ μάλιστα καὶ τὸν μέγαν Βασίλειον δεξιούμεθα· οὗ μὴ βουληθῇς, ὥσπερ ἐπειράθης κεκορεσμένου φιλοσοφοῦντος, οὕτω πειραθῆναι πεινῶντος καὶ δυσχεραίνοντος.

26

ΤΩ ΑΥΤΩ

Ὡς μικρολόγως ἡμῖν ἥκει τὰ λάχανα παρ' ὑμῶν· καὶ τί γὰρ ἄλλο ἢ χρυσολάχανα; Καίτοι γε ὁ πᾶς πλοῦτος ὑμῖν κῆποι καὶ ποταμοὶ καὶ ἄλση καὶ παράδεισοι, καὶ λαχανηφόρος ὑμῖν ἡ χώρα, ὡς χρυσοφόρος ἄλλοις, καὶ

λειμώνια φύλλα νέμεσθε[α].

Ὁ δὲ σῖτος ὑμῖν, ἡ μυθικὴ μακαρία· καὶ ὁ ἄρτος, ὃ δὴ λέγεται, «ἄ ρ τ ο ς ἀ γ γ έ λ ω ν»[1], οὕτως ἄσπαστός τε καὶ ἄπιστος. Ἢ τοίνυν μεταδίδοτε τούτων ἡμῖν ἀφθονώτερον ἢ ἄλλο μὲν οὐδὲν ἀπειλήσομεν, τόν δὲ σῖτον ἐφέξομεν καὶ εἰσόμεθα εἰ ὄντως δρόσῳ μόνῃ τρέφονται τέττιγες[β].

27

ΤΩ ΑΥΤΩ

Παίζεις. Ἐγὼ δὲ οἶδα τὸν κίνδυνον Ὀζιζαλέως πεινῶντος, ὅταν μάλιστα γεωργήσητε. Ὧν ἓν τοῦτο μόνον ἐπαινετόν, ὅτι κἂν λιμῷ φθαρῶσιν, ἀλλ' εὐωδοῦσι καὶ λαμπρᾶς τυγχάνουσι τῆς ταφῆς. Πῶς; Πολλοῖς βάλλονται καὶ ποικίλοις τοῖς ἄνθεσιν.

---

1. Ψαλ. 77,25.

α. Θεοκρίτου ΙΗ' 39. β. Θεοκρίτου Δ' 16. Βεργιλίου, Ἐκλογ. 5,77. Πλινίου πρεσβ., Φυσικὴ Ἱστορία 9,26.

28
ΤΩ ΑΥΤΩ

Τὰς ὀρείους μέν, ὁμόρους δὲ τῇ Παμφυλίᾳ πόλεις ἐπισκεψάμενοι, Γλαῦκον ἐκεῖ θαλάττιον ἐν τοῖς ὄρεσιν ἡλιεύσαμεν, οὐ λίνου δικτύοις τοῦ βυθοῦ τὸν ἰχθὺν ἐξελκύσαντες, ἀλλ' ἀγάπῃ φίλων τὸ θήραμα σαγηνεύσαντες. Ἅπαξ δὲ τὸν Γλαῦκον πεζεύειν μαθόντα, γραμματηφόρον προσαπεστάλκαμεν πρὸς τὴν ὑμετέραν ἀγαθότητα, ὃν φιλοφρόνως ξενισάτω καὶ τῷ παρὰ ταῖς Γραφαῖς[1] εὐδοκιμοῦντι ξενισμῷ μετὰ λαχάνων καταξιωσάτω.

29
ΣΩΦΡΟΝΙΩ

Ὁρᾷς οἷα τὰ ἡμέτερα καὶ ὅπως κύκλος τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων· νῦν μὲν τῶν, νῦν δὲ τῶν ἀνθούντων καὶ ἀπανθούντων καὶ οὔτε τοῦ εὖ πράττειν ἑστῶτος ἡμῖν, οὔτε τοῦ δυστυχεῖν, ὃ δὴ λέγουσιν, ἀλλὰ τάχιστα μετακινουμένου καὶ μεταπίπτοντος, ὡς αὔραις εἶναι μᾶλλον πιστεύειν καὶ γράμμασι **26** καθ' ὕδατος ἢ ἀνθρώπων εὐετηρίᾳ. Τίνος ἕνεκεν; Ἐμοὶ δοκεῖν, ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωροῦντες, μᾶλλόν τι προστρέχωμεν τῷ Θεῷ καὶ τῷ μέλλοντι καί τινα ποιώμεθα καὶ ἡμῶν αὐτῶν ἐπιμέλειαν, βραχέα τῶν σκιῶν καὶ τῶν ὀνειράτων φροντίζοντες. Ἀλλὰ πόθεν ἡμῖν ὁ λόγος; Οὐ γὰρ εἰκῇ ταῦτα φιλοσοφῶ, οὐδὲ διακενῆς καλλωπίζομαι.

Ἦν ποτε τῶν οὐκ ἀφανῶν καὶ ὁ σὸς Καισάριος, εἰ δὲ μὴ ὡς ἀδελφὸς ἀπατῶμαι, καὶ τῶν λίαν ἐπιφανῶν, γνώριμος μὲν ἐπὶ παιδεύσει, καλοκἀγαθίᾳ δὲ ὑπὲρ τοὺς πολλούς, λαμπρὸς δὲ φίλων περιουσίᾳ, ὧν πρῶτον ἐν πρώτοις σέ τε καὶ τὴν σὴν εὐγένειαν ὑπάρχειν αὐτῷ αὐτός τε ἐφρόνει καὶ ἡμᾶς ἔπειθε. Τὰ μὲν δὴ παλαιὰ ταῦτα, καὶ τὰ πλείω παρὰ σεαυτοῦ προσθήσεις τιμῶν αὐτὸν ἐπιτάφια καὶ ὃ φύσει πάντες· ἔχομεν ἄνθρωποι μᾶλλόν τι τῷ ἀπελθόντι χαριζόμενος. Τὰ δὲ νῦν, — καὶ ὅπως μοι μὴ παραδράμῃς ἀδακρυτὶ τὸν λόγον ἢ δακρύσαις γε εἰς καλὸν καὶ χρήσιμον — ὁ μὲν κεῖται νεκρός, ἄφιλος, ἔρημος, ἐλεούμενος, σμύρνης ὀλίγης ἠξιωμένος (εἴ γε καὶ τοῦτο) καὶ μικρῶν ἐνδυμάτων τῶν τελευταίων (πολύ γε ὅτι καὶ τούτων). Ἐπιπεπτώκασι δὲ οἱ ἐχθροί, ὡς γε πυνθά**[65]**νομαι καὶ ἄλλος ἄλλοθεν τὰ ἐκείνου κατὰ πολλὴν ἐξουσίαν οἱ μὲν διαρπάζουσιν, οἱ δὲ μέλλουσιν. Ὦ τῆς ἀναλγησίας, ὦ τῆς ὠμότητος· καὶ ὁ κωλύσων οὐδείς, ἀλλ' ὅ γε φιλανθρωπότατος τοῦτο χαρίζεται μόνον, ἀνακαλεῖται τοὺς νόμους· καὶ εἰ δεῖ συντόμως εἰπεῖν, δρᾶμα γεγόναμεν, οἵ ποτε νομι-

---

1. Πρβλ. Παρμ. 15,17.

σθέντες εὐδαίμονες. Ταῦτα μὴ ἀνεκτὰ φανήτω σοι· ἀλλὰ καὶ συνάλγησον καὶ συναγανάκτησον καὶ δὸς χάριν νεκρῷ Καισαρίῳ. Ναὶ πρὸς τῆς φιλίας αὐτῆς, ναὶ πρὸς τῶν σῶν φιλτάτων καὶ τῶν ἐλπίδων, ἃς ποίησον σεαυτῷ δεξιὰς πιστὸς τῷ ἀπελθόντι φανεὶς καὶ γνήσιος· ἵνα καὶ τοῖς ζῶσι τοῦτο χαρίσῃ καὶ ποιήσῃς αὐτοὺς εὐέλπιδας. Οἴει περὶ χρημάτων ἡμᾶς ἀλγεῖν; Τὸ τῆς αἰσχύνης ἡμῖν ἀφορητότερον, εἰ δόξειε μόνος τῶν πάντων Καισάριος μὴ ἐσχηκέναι φίλους, ὁ δὴ καὶ πολλοὺς ἔχειν οἰόμενος. Ἡ μὲν οὖν πρεσβεία τοιαύτη καὶ παρὰ τοιούτων, ἐπειδή σοι καὶ τὸ καθ' ἡμᾶς ἴσως οὐ πάρεργον. Ἃ δὲ βοηθήσεις καὶ δι' ὧν καὶ ὅπως, τά τε πράγματα ὑποθήσεται καὶ ἡ σὴ διασκέψεται σύνεσις.

30
ΦΙΛΑΓΡΙΩ

27 Καισάριον οὐκ ἔχω. Ἐρῶ γάρ, καὶ εἰ μὴ φιλόσοφον τὸ πάθος· στέργω τὰ Καισαρίου, καὶ ὅ τί ποτ' ἂν ἴδω Καισαρίου γνώρισμα περιπτύσσομαι καὶ ἀσπάζομαι, καὶ οἱονεὶ αὐτὸν ὁρᾶν δοκῶ καὶ συνεῖναι καὶ διαλέγεσθαι. Οἷον ἔπαθον καὶ νῦν ἐπὶ τοῖς σοῖς γράμμασιν. Ὁμοῦ τε γὰρ ἀνέγνων τὸ πρόγραμμα τῆς ἐπιστολῆς, τὸ γλυκύ μοι πρᾶγμα καὶ ὄνομα, τὸν Φιλάγριον, καὶ πάντα με ἀθρόως ὑπεισῆλθε τά ποτε τερπνά, αἱ πόλεις, αἱ διατριβαί, ἡ τράπεζα, ἡ πενία, τὰ τῆς ἐρατεινῆς ὁμηλικίης[α], ὅ φησιν Ὅμηρος, ἢ παί[68]γνια ἢ σπουδάσματα, οἱ τῶν λόγων ἱδρῶτες, οἱ κοινοὶ παιδευταί, τὸ τῶν ἐλπίδων ὕψος, πάντα ὅσα ἂν εἴποι τις τῶν τηνικαῦτα καλῶν, οἷς ἐγὼ χαίρω διαφερόντως καὶ μεμνημένος. Ἵν' οὖν ἔτι μᾶλλον ὁμιλῶμεν τούτοις καὶ διὰ σοῦ, κίνει τὴν γραφίδα καὶ χαρίζου τὸ ἐπιστέλλειν. Πάντως οὐδὲ τοῦθ' ἡμῖν μικρόν, εἰ καὶ τὸ μέγιστον ἥρπασεν ἡμῶν ὁ φθόνος, τὴν συνουσίαν, λυπηρῶς διαθεὶς τὰ ἡμέτερα.

31
ΤΩ ΑΥΤΩ

Ἃ μέν ἐστί σοι λυπηρά, πάντως καὶ ἡμῖν. Κοινὰ γὰρ πάντα ποιούμεθα τὰ τῶν φίλων, εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα, ὅσπερ δὴ καὶ φιλίας ὅρος ἐστί. Καίτοι καὶ περὶ τούτων εἴ τι δεῖ φιλοσοφῆσαι καὶ τὰ εἰκότα διαλεχθῆναί σοι (ὥσπερ οὖν δεῖ καὶ ὁ τῆς φιλίας ὑποτίθεται νόμος), οὐ βούλομαί σε, οὐδέ γε καλῶς ἔχειν ὑπολαμβάνω, Φιλάγριον ὄντα καὶ τὰ θεῖα διαφερόντως πεπαιδευμένον, ταὐτὸν

α. Ἰλιάδ. Γ 175.

28 πάσχειν τοῖς πολλοῖς, οὐδὲ συγκαταπίπτειν τῷ σώματι, οὐδ' ὡς ἀνήκεστον τὴν κακοπάθειαν ὀδύρεσθαι, ἀλλ' ἐμφιλοσοφεῖν τῷ πάθει καὶ τὴν διάνοιαν νῦν δὴ καὶ μάλιστα ἐκκαθαίρεσθαι καὶ κρείττω φαίνεσθαι τῶν δεσμῶν καὶ ἡγεῖσθαι τὴν νόσον παιδαγωγίαν πρὸς τὸ συμφέρον, τοῦτο δέ ἐστι, περιφρονοῦντα τὸ σῶμα καὶ τὰ σωματικὰ καὶ πᾶν τὸ ῥέον καὶ ταραχῶδες καὶ ἀπολλύμενον, ὅλον τῆς ἄνω γενέσθαι μοίρας, καὶ ζῆν ἀντὶ τοῦ παρόντος τῷ μέλλοντι, θ α ν ά τ ο υ μ ε λ έ τ η ν — τοῦτο ὅ φησι Πλάτων — τὸν τῆδε βίον ποιούμενον καὶ λύοντα τὴν ψυχὴν τοῦ εἴτε σ ώ μ α τ ο ς, ε ἴ τ ε σ ή μ α τ ο ς[α], κατ' ἐκεῖνον εἰπεῖν, ὅση δύναμις. Ἂν ταῦτα φιλοσοφῇς, ὦ ἄριστε, καὶ οὕτως ἔχῃς, αὐτός τε ὀνήσῃ τὰ μέγιστα καὶ ἡμᾶς ἐπὶ σοὶ ῥᾴους ποιήσεις καὶ πολλοὺς διδάξεις ἐμφιλοσοφεῖν τοῖς πάθεσι. Καὶ πρός γε, οὐ μικρὸν κερδανεῖς — εἴ τί σοι καὶ τούτου μέλει — τὸ **[69]** παρὰ πάντων θαυμάζεσθαι. Τῶν δὲ πυκτίων ὧν ᾔτησας, τὸ μὲν εὖρον καὶ ἔπεμψά σοι προθύμως, τὸ Δημοσθενικὸν λέγω· τὸ δὲ ἐζημιώθην· οὐκ ἔχω οἵου σὺ χρῄζεις, τὴν Ἰλιάδα. Μὴ γάρ μοι διαπιστήσῃς, ὅτι μόνον τούτων ἀπολαύειν νομίζω καὶ μόνα κεκτῆσθαι καλῶς, ὧν ἂν αὐτὸς μετάσχοις καὶ οἷς ἂν ὡς σεαυτοῦ χρήσαιο.

ΤΩ ΑΥΤΩ

Εὖ γε ὅτι φιλοσοφεῖς ἐν τοῖς πάθεσι καὶ γίνῃ πολλοῖς ὑπόδειγμα τῆς ἐν τοῖς ἀλγεινοῖς καρτερίας· καὶ ὥσπερ ἐπὶ παντὶ βελτίστῳ κατεχρῶ τῷ σώματι, ἡνίκα ὑγιεινῶς εἶχες, οὕτω καὶ νῦν τούτῳ χρῇ καλῶς, ἐπειδή γε ἀσθενῶς ἔχεις καὶ ἀργεῖς οὐκ ἀργῶς, ἵν' οὕτως εἴπω. Φιλοσοφεῖς γάρ, καὶ ὅ φασι Διογένην εἰρηκέναι ποτὲ πυρέττοντα καὶ διακαρτεροῦντα, τοῦτο καὶ αὐτὸς παρέχεις ὁρᾶν, ψυχῆς πάλην καὶ σώματος. Τοῦτο ἔπρεπε τῷ ἐμῷ Φιλαγρίῳ, μὴ μαλακίζεσθαι μηδὲ κάμπτεσθαι πρὸς τὰ πάθη, ἀλλὰ περιφρονεῖν τὸν πηλὸν καὶ τὸ μὲν σῶμα ἐᾶν **29** πάσχειν τὰ ἑαυτοῦ, πάντως ἢ νῦν ἢ ὕστερον λυθησόμενον νόμῳ φύσεως (οἰχήσεται γὰρ ἢ νόσῳ κάμνον ἢ χρόνῳ)· αὐτὴν δὲ ὑψοῦ τὴν ψυχὴν ἔχειν καὶ μετὰ Θεοῦ τετάχθαι τοῖς λογισμοῖς κἀκεῖνο εἰδέναι, ὅτι τῶν ἀτόπων ἐστὶν ἡμᾶς ἔξω μὲν κινδύνων φιλοσοφεῖν, ἐν δὲ ταῖς χρείαις ἀφιλοσόφους φαίνεσθαι καὶ διαψεύδεσθαι τὴν ὑπόσχεσιν.

Πάντα ἐπῆλθες δηλαδὴ τῇ διανοίᾳ, ὅσα ἡμέτερα, ὅσα ἀλλότρια, ὡς ἀνὴρ πεπαιδευμένος ἐν ἀμφοτέροις καὶ παιδευτὴς ἄλλων, καὶ ἐκ πάντων σεαυτῷ συνελέξω τὸ τῆς ἀνθρωπίας φάρμακον. Ἵνα δέ σοι κἀγὼ συμφιλοσοφήσω μικρόν, εἰ τοῦτο κελεύεις, οὐκ ἐπαινῶ τοῦ

α. Πλάτωνος, Φαίδων 81a ἑξ., Γοργίας 493a, Κρατύλος 400e.

Ἀριστοτέλους τὸ μικρολόγον, ὃς τὴν εὐδαιμονίαν ἡμῖν ὁριζόμενος, μέχρι μέν τινος προῆλθεν ὀρθῶς, ψυχῆς ἐνέργειαν κατ' ἀρετὴν εἶναι ταύτην ἀποφηνάμενος καὶ προσθεὶς ἐν βίῳ τελείῳ[α] — καὶ τοῦτο μάλα σοφῶς — διὰ τὸ τρεπτὸν ἡμῶν καὶ εὐμετάπτωτον τῆς φύσεως· ἐκεῖνο δὲ οὐκ ἔτι μεγαλοπρεπῶς, ἀλλὰ καὶ λίαν ταπεινῶς, ὅτι καὶ τὴν ἔξωθεν εὐετηρίαν προστίθησιν, ὡς, εἰ τύχοι πένης τις ὤν, ἢ νοσώδης ἢ **[72]** δυσγενὴς ἢ φυγόπατρις, παρὰ τοῦτο αὐτῷ τῆς εὐδαιμονίας κωλυομένης[β]. Ἐπαινῶ δὲ τῶν ἀπὸ τῆς Στοᾶς τὸ νεανικόν τε καὶ μεγαλόνουν, οἳ μηδὲν κωλύειν φασί πρὸς εὐδαιμονίαν τὰ ἔξωθεν, ἀλλ' εἶναι τὸν σπουδαῖον μακάριον, κἂν ὁ Φαλάριδος ταῦρος ἔχῃ καιόμενον.

Καὶ διὰ τοῦτο θαυμάζω μὲν τοὺς παρ' ἡμῖν ὑπὲρ τοῦ καλοῦ κινδυνεύσαντας ἢ συμφορὰν διενεγκόντας νεανικῶς· θαυμάζω δὲ καὶ τῶν ἔξωθεν τοὺς τούτοις παραπλησίους, οἷον τὸν Ἀνάξαρχον ἐκεῖνον, τὸν Ἐπίκτητον, τὸν Σωκράτην, ἵνα μὴ λέγω πολλούς[γ]. Ὧν ὁ μὲν ἐν ὄλμῳ κοπτομένων αὐτοῦ τῶν χειρῶν, οὕτω τοῦ τυράννου κελεύοντος, πτίσσειν τὸν Ἀναξάρχου θύλακον διεκελεύετο τοῖς βασανισταῖς. Τί τοῦτο λέγων; τὸ μοχθηρὸν ἡμῶν σαρκίον, ὡς Ἀναξάρχου γε οὐ πτισσομένου, τῆς φιλοσόφου ψυχῆς· ἅπερ ἡμῖν ὁ ἐκτὸς καὶ ὁ ἐντὸς ἄνθρωπος[δ] ὀνομάζεται. Ὁ δὲ τὸ σκέλος κατατεινόμενος καὶ στρεβλούμενος ἐφιλοσόφει ὥσπερ ἐν ἀλλοτρίῳ τῷ σώματι, καὶ θᾶττον κατεαγῆναι τὸ σκέλος ἢ ἐπαισθάνεσθαι τῆς βίας ἔδοξε. Σωκράτης δὲ τὸν θάνατον ὑπ' Ἀθηναίων κατακριθεὶς καὶ οἰκῶν, ὡς οἶσθα, τὸ δεσμωτήριον, τέως μὲν ὡς ὑπὲρ ἄλλου δεσμωτηρίου τοῦ σώματος διελέγετο τοῖς μαθηταῖς καὶ φυγεῖν ἐξὸν ἀπηξίωσεν[ε]· ἐπειδὴ δὲ προσηνέχθη τὸ κώνειον, δέχεται μάλα ἡδέως, ὥσπερ οὐκ ἐπὶ θανάτῳ δεχόμενος, ἀλλὰ φιλοτησίας προπινόμενος. Προσέθηκα δὲ ἂν τούτοις καὶ Ἰὼβ τὸν ἡμέτερον, εἰ μή σε ᾔδειν πόρρω τῶν ἐκείνου παθῶν καὶ ὄντα σὺν Θεῷ καὶ ἐσόμενον.

Ταῦτά μοι δοκεῖς κατεπάδειν σεαυτοῦ, ὦ θεία καὶ ἱερὰ κεφαλή[ς], καὶ οὕτω σεαυτὸν ἰατρεύων, αὐτός τε ἂν ῥᾴων γενέσθαι καὶ ἡμᾶς εὐφρανεῖν τοὺς σοὺς ἐπαινέτας καὶ ἐραστάς, οὐδὲν ὑπὸ τῆς νόσου καμπτόμενος, οὐδ', ὅ φησιν ὁ θεῖος Δαυίδ, ὑπὸ τῆς εἰρήνης τῶν ἁμαρτωλῶν[1] καὶ τῆς κατὰ τὸν βίον τοῦτον εὐροίας αὐτῶν ἐγκοπτόμενος, ἀλλὰ καὶ καθαιρόμενος, εἰ θέμις ἐπὶ σοῦ τοῦτο εἰπεῖν καὶ ὕλην ἀρετῆς ποιούμενος τὴν ἀσθένειαν.

---

1. Ἐφ. 3,16. 2. Πρβλ. Ψαλ. 72,3.

α. Ἀριστοτ., Ἠθικὰ Νικομάχεια I 7, 1098a 16-18. β. Ἔνθ' ἀν. I 8, 1099b 2-8. γ. Ὠριγένους, Κατὰ Κέλσου, 7,53. δ. Ἔνθ' ἀν. ε. Πλάτωνος, Φαίδων 82e, Κρίτων Πολλαχοῦ, Φαίδων 117b-c. ς. Πρβλ. Ἰλιάδ. Θ 281.

28 πάσχειν τοῖς πολλοῖς, οὐδὲ συγκαταπίπτειν τῷ σώματι, οὐδ' ὡς ἀνήκεστον τὴν κακοπάθειαν ὀδύρεσθαι, ἀλλ' ἐμφιλοσοφεῖν τῷ πάθει καὶ τὴν διάνοιαν νῦν δὴ καὶ μάλιστα ἐκκαθαίρεσθαι καὶ κρείττω φαίνεσθαι τῶν δεσμῶν καὶ ἡγεῖσθαι τὴν νόσον παιδαγωγίαν πρὸς τὸ συμφέρον, τοῦτο δέ ἐστι, περιφρονοῦντα τὸ σῶμα καὶ τὰ σωματικὰ καὶ πᾶν τὸ ῥέον καὶ ταραχῶδες καὶ ἀπολλύμενον, ὅλον τῆς ἄνω γενέσθαι μοίρας, καὶ ζῆν ἀντὶ τοῦ παρόντος τῷ μέλλοντι, θ α ν ά τ ο υ μ ε λ έ τ η ν — τοῦτο ὅ φησι Πλάτων — τὸν τῆδε βίον ποιούμενον καὶ λύοντα τὴν ψυχὴν τοῦ εἴτε σ ώ μ α τ ο ς, ε ἴ τ ε σ ή μ α τ ο ς[α], κατ' ἐκεῖνον εἰπεῖν, ὅση δύναμις. Ἂν ταῦτα φιλοσοφῇς, ὦ ἄριστε, καὶ οὕτως ἔχῃς, αὐτός τε ὀνήσῃ τὰ μέγιστα καὶ ἡμᾶς ἐπὶ σοὶ ῥᾴους ποιήσεις καὶ πολλοὺς διδάξεις ἐμφιλοσοφεῖν τοῖς πάθεσι. Καὶ πρός γε, οὐ μικρὸν κερδανεῖς — εἴ τί σοι καὶ τούτου μέλει — τὸ **[69]** παρὰ πάντων θαυμάζεσθαι. Τῶν δὲ πυκτίων ὧν ᾔτησας, τὸ μὲν εὖρον καὶ ἔπεμψά σοι προθύμως, τὸ Δημοσθενικὸν λέγω· τὸ δὲ ἐζημιώθην· οὐκ ἔχω οἵου σὺ χρῄζεις, τὴν Ἰλιάδα. Μὴ γάρ μοι διαπιστήσῃς, ὅτι μόνον τούτων ἀπολαύειν νομίζω καὶ μόνα κεκτῆσθαι καλῶς, ὧν ἂν αὐτὸς μετάσχοις καὶ οἷς ἂν ὡς σεαυτοῦ χρήσαιο.

32

ΤΩ ΑΥΤΩ

Εὖ γε ὅτι φιλοσοφεῖς ἐν τοῖς πάθεσι καὶ γίνῃ πολλοῖς ὑπόδειγμα τῆς ἐν τοῖς ἀλγεινοῖς καρτερίας· καὶ ὥσπερ ἐπὶ παντὶ βελτίστῳ κατεχρῶ τῷ σώματι, ἡνίκα ὑγιεινῶς εἶχες, οὕτω καὶ νῦν τούτῳ χρῇ καλῶς, ἐπειδή γε ἀσθενῶς ἔχεις καὶ ἀργεῖς οὐκ ἀργῶς, ἵν' οὕτως εἴπω. Φιλοσοφεῖς γάρ, καὶ ὅ φασι Διογένην εἰρηκέναι ποτὲ πυρέττοντα καὶ διακαρτεροῦντα, τοῦτο καὶ αὐτὸς παρέχεις ὁρᾶν, ψυχῆς πάλην καὶ σώματος. Τοῦτο ἔπρεπε τῷ ἐμῷ Φιλαγρίῳ, μὴ μαλακίζεσθαι μηδὲ κάμπτεσθαι πρὸς τὰ πάθη, ἀλλὰ περιφρονεῖν τὸν πηλὸν καὶ τὸ μὲν σῶμα ἐᾶν **29** πάσχειν τὰ ἑαυτοῦ, πάντως ἢ νῦν ἢ ὕστερον λυθησόμενον νόμῳ φύσεως (οἰχήσεται γὰρ ἢ νόσῳ κάμνον ἢ χρόνῳ)· αὐτὴν δὲ ὑψοῦ τὴν ψυχὴν ἔχειν καὶ μετὰ Θεοῦ τετάχθαι τοῖς λογισμοῖς κἀκεῖνο εἰδέναι, ὅτι τῶν ἀτόπων ἐστὶν ἡμᾶς ἔξω μὲν κινδύνων φιλοσοφεῖν, ἐν δὲ ταῖς χρείαις ἀφιλοσόφους φαίνεσθαι καὶ διαψεύδεσθαι τὴν ὑπόσχεσιν.

Πάντα ἐπῆλθες δηλαδὴ τῇ διανοίᾳ, ὅσα ἡμέτερα, ὅσα ἀλλότρια, ὡς ἀνὴρ πεπαιδευμένος ἐν ἀμφοτέροις καὶ παιδευτὴς ἄλλων, καὶ ἐκ πάντων σεαυτῷ συνελέξω τὸ τῆς ἀνθρωπίας φάρμακον. Ἵνα δέ σοι κἀγὼ συμφιλοσοφήσω μικρόν, εἰ τοῦτο κελεύεις, οὐκ ἐπαινῶ τοῦ

α. Πλάτωνος, Φαίδων 81a ἑξ., Γοργίας 493a, Κρατύλος 400e.

Ἀριστοτέλους τὸ μικρολόγον, ὃς τὴν εὐδαιμονίαν ἡμῖν ὁριζόμενος, μέχρι μέν τινος προῆλθεν ὀρθῶς, ψυχῆς ἐνέργειαν κατ' ἀρετὴν εἶναι ταύτην ἀποφηνάμενος καὶ προσθεὶς ἐν βίῳ τελείῳ[α] — καὶ τοῦτο μάλα σοφῶς — διὰ τὸ τρεπτὸν ἡμῶν καὶ εὐμετάπτωτον τῆς φύσεως· ἐκεῖνο δὲ οὐκ ἔτι μεγαλοπρεπῶς, ἀλλὰ καὶ λίαν ταπεινῶς, ὅτι καὶ τὴν ἔξωθεν εὐετηρίαν προστίθησιν, ὡς, εἰ τύχοι πένης τις ὤν, ἢ νοσώδης ἢ **[72]** δυσγενὴς ἢ φυγόπατρις, παρὰ τοῦτο αὐτῷ τῆς εὐδαιμονίας κωλυομένης[β]. Ἐπαινῶ δὲ τῶν ἀπὸ τῆς Στοᾶς τὸ νεανικόν τε καὶ μεγαλόνουν, οἳ μηδὲν κωλύειν φασί πρὸς εὐδαιμονίαν τὰ ἔξωθεν, ἀλλ' εἶναι τὸν σπουδαῖον μακάριον, κἂν ὁ Φαλάριδος ταῦρος ἔχῃ καιόμενον.

Καὶ διὰ τοῦτο θαυμάζω μὲν τοὺς παρ' ἡμῖν ὑπὲρ τοῦ καλοῦ κινδυνεύσαντας ἢ συμφορὰν διενεγκόντας νεανικῶς· θαυμάζω δὲ καὶ τῶν ἔξωθεν τοὺς τούτοις παραπλησίους, οἷον τὸν Ἀνάξαρχον ἐκεῖνον, τὸν Ἐπίκτητον, τὸν Σωκράτην, ἵνα μὴ λέγω πολλούς[γ]. Ὧν ὁ μὲν ἐν ὅλμῳ κοπτομένων αὐτοῦ τῶν χειρῶν, οὕτω τοῦ τυράννου κελεύοντος, πτίσσειν τὸν Ἀναξάρχου θύλακον διεκελεύετο τοῖς βασανισταῖς. Τί τοῦτο λέγων; τὸ μοχθηρὸν ἡμῶν σαρκίον, ὡς Ἀναξάρχου γε οὐ πτισσομένου, τῆς φιλοσόφου ψυχῆς· ἅπερ ἡμῖν ὁ ἐκτὸς καὶ ὁ ἐντὸς ἄνθρωπος[δ] ὀνομάζεται. Ὁ δὲ τὸ σκέλος κατατεινόμενος καὶ στρεβλούμενος ἐφιλοσόφει ὥσπερ ἐν ἀλλοτρίῳ τῷ σώματι, καὶ θᾶττον κατεαγῆναι τὸ σκέλος ἢ ἐπαισθάνεσθαι τῆς βίας ἔδοξε. Σωκράτης δὲ τὸν θάνατον ὑπ' Ἀθηναίων κατακριθεὶς καὶ οἰκῶν, ὡς οἶσθα, τὸ δεσμωτήριον, τέως μὲν ὡς ὑπὲρ ἄλλου δεσμωτηρίου τοῦ σώματος διελέγετο τοῖς μαθηταῖς καὶ φυγεῖν ἐξὸν ἀπηξίωσεν[ε]· ἐπειδὴ δὲ προσηνέχθη τὸ κώνειον, δέχεται μάλα ἡδέως, ὥσπερ οὐκ ἐπὶ θανάτῳ δεχόμενος, ἀλλὰ φιλοτησίας προπινόμενος. Προσέθηκα δὲ ἂν τούτοις καὶ Ἰὼβ τὸν ἡμέτερον, εἰ μή σε ᾔδειν πόρρω τῶν ἐκείνου παθῶν καὶ ὄντα σὺν Θεῷ καὶ ἐσόμενον.

Ταῦτά μοι δοκεῖς κατεπᾴδειν σεαυτοῦ, ὦ θεία καὶ ἱερὰ κεφαλή[ς], καὶ οὕτω σεαυτὸν ἰατρεύων, αὐτός τε ἂν ῥᾴων γενέσθαι καὶ ἡμᾶς εὐφρανεῖν τοὺς σοὺς ἐπαινέτας καὶ ἐραστάς, οὐδὲν ὑπὸ τῆς νόσου καμπτόμενος, οὐδ', ὅ φησιν ὁ θεῖος Δαυίδ, ὑπὸ τῆς εἰρήνης τῶν ἁμαρτωλῶν[1] καὶ τῆς κατὰ τὸν βίον τοῦτον εὐροίας αὐτῶν ἐγκοπτόμενος, ἀλλὰ καὶ καθαιρόμενος, εἰ θέμις ἐπὶ σοῦ τοῦτο εἰπεῖν καὶ ὕλην ἀρετῆς ποιούμενος τὴν ἀσθένειαν.

---

1. Ἐφ. 3,16. 2. Πρβλ. Ψαλ. 72,3.

α. Ἀριστοτ., Ἠθικὰ Νικομάχεια I 7, 1098a 16-18. β. Ἔνθ' ἀν. I 8, 1099b 2-8. γ. Ὠριγένους, Κατὰ Κέλσου, 7,53. δ. Ἔνθ' ἀν. ε. Πλάτωνος, Φαίδων 82e, Κρίτων Πολλαχοῦ, Φαίδων 117b-c. ς. Πρβλ. Ἰλιάδ. Θ 281.

33
ΤΩ ΑΥΤΩ

[73] Λαμβάνονταί σού τινες (αἰσθάνομαι γάρ), ὡς φιλοκαλοῦντος τὸ μόνον σου κτῆμα καὶ φιλεργοῦντος ἐν τοιαύτῃ καταστάσει τοῦ σώματος. Καὶ θαυμαστὸν οὐδέν· ἐπειδὴ καὶ ῥᾷον ἐν τοῖς ἀλλοτρίοις ἢ τοῖς οἰκείοις φιλοσοφεῖν. Ἐγὼ δέ, εἰ μὲν ἑώρων σε πέρα τοῦ μέτρου τοῦτο ποιοῦντα ἢ πλεονεκτικῶς ἢ βιαίως τῇ φιλοσοφίᾳ προσκείμενον, κἂν ἐμεμψάμην (εἰρήσεται γὰρ τἀληθές[α]), μηδὲν τὴν φιλίαν ἢ τὴν παίδευσιν αἰδεσθείς. Εἰ δὲ φιλεργεῖς μέν, οὐκ ἔξω δὲ τοῦ μέτρου, χρῇ δὲ εἰς δέον οἷς φιλεργεῖς, πρόσεστι δὲ καὶ τὸ πάθος ἐνασχολοῦν τε ταῖς φροντίσι καὶ πεῖθον ὡς ὑπὲρ τὸ σῶμά σοι τὰ τοῦ σώματος, οὐκ ἔχω πῶς μὴ τοῖς μεμφομένοις μέμψωμαι, σὲ τῆς αἰτίας ἐλευθερῶν. Καὶ πρός γε τοῦτο ἐμαυτὸν πείθω, **31** ὅτι μήτε λογίσασθαι περὶ πραγμάτων σοῦ τις ἀμείνων, ᾧ γε καὶ πρὸς τὰ ἑαυτῶν ἅπαντες χρῶνται διδασκάλῳ καὶ παραινέτῃ ὁμοίως ἰδίᾳ καὶ δημοσίᾳ, μήτε ψυχῆς φροντίσαι φιλοσοφώτερος. Εἰ δὲ καὶ τῷ σώματι τὴν ὑγίειαν φυλάσσειν ἢ ἐπανάγειν μονῆς ἰατρικῆς, τίς οὕτω τολμηρὸς καὶ ἀπαίδευτος ὥστε σοι περὶ τούτων νομοθετεῖν; Τοὺς μὲν οὖν πολλοὺς ἔα χαίρειν καὶ εἶναι κολοιοὺς πτῆσιν ἀετῶν δοκιμάζοντας· αὐτὸς δὲ σεαυτῷ χρῷ συμβούλῳ καὶ τῷ Θεῷ περί τε τοῦ πάθους καὶ τῶν ὅσα περὶ τὸ πάθος, καὶ οὐχ ἁμαρτήσεις τοῦ δέοντος.

34
ΤΩ ΑΥΤΩ

[76] Μέμνημαι τῆς σῆς συνουσίας, ἣν ἀλλήλοις συνεγενόμεθα πρώην ἐν Ματάζῃ τῇ ἐμῇ (ἐμὰ γὰρ καλῶ καὶ ὑπολαμβάνω τὰ σά), καὶ τῆς φιλοσοφίας ἣν τηνικαῦτα ἐφιλοσόφησας, ἧς φρίττω καὶ νῦν μεμνημένος ἔτι. Ἐγὼ μὲν ἐξηγούμην σοι τὸν οβ′ ψαλμὸν (σὺ γὰρ ἐκέλευες καὶ ἀντιλέγειν οὐκ ἦν), ἐν ᾧ Δαυὶδ ἱλιγγιᾷ καὶ ἀσχάλλει πρὸς τοὺς κακοὺς εὐθηνοῦντας· εἶτα πέμπων τοὺς λογισμοὺς εἰς τὰ ἐκεῖσε δικαιωτήρια καὶ τὴν ἀποκειμένην τοῖς βίοις ἀντίδοσιν, οὕτω τῆς ταραχῆς ἵσταται καὶ τὸ λυποῦν θεραπεύεται. Καί, ὡς οἷόν τε ἦν, εἶλκον τὴν ἐξήγησιν πρὸς τὸ πάθος, ἐκ τῶν ἡμετέρων, ἐκ τῶν ἔξωθεν ταῦτα φιλοσοφῶν, ὡς ἀνδρὶ πεπαιδευμένῳ καὶ τοσούτῳ διαλεγόμενος καὶ ἅμα τοῦ Πνεύματος οὕτω φέροντος καὶ τοῦ ἀλγεῖν παραθήγοντος, οὐδὲν γὰρ τοῦ πάσχειν εὑρετικώτερον. Ἔτρεχέ πως ὁ λόγος. Σὺ δὲ μεταξὺ τοῦ λόγου διαναστάς, ὥσπερ ἐξ ὕσπληγος καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνας, πρός τε ἀνατολὰς οἷον βλέπων

α. Δημοσθένους, πρὸς τὴν ἐπιστ. XI 17, Ἰσοκράτους, Ἀρεοπαγ. VII 76.

(οὐ γὰρ τὸ βλέπειν εἶχες)· Εὐχαριστῶ σοι, Πάτερ, ἐβόας, ὦ ποιητὰ τῶν σῶν ἀνθρώπων καὶ παιδευτά[1] **32** ὅτι καὶ ἄκοντας ἡμᾶς εὖ ποιεῖς καὶ τῷ ἐκτὸς καθαίρεις τὸν ἐντὸς ἄνθρωπον καὶ διὰ τῶν ἐναντίων διεξάγεις ἡμᾶς πρὸς τὸ μακάριον τέλος, οἷς αὐτὸς ἐπίστασαι λόγοις. Καὶ τί ἂν λέγοιμι πάντα, οἷς προεφιλοσόφεις ἡμῶν καὶ συνεφιλοσόφεις, ὥσπερ τῇ νόσῳ χαίρων; καὶ εἶχες μαθητὴν τὸν διδάσκαλον. Ἀλλὰ πρὸς τί τούτων ἐμνήσθην; Ἐκεῖνο διὰ σοῦ πᾶσι βοῶν καὶ κηρύσσων, ὅτι θρηνητέοι μᾶλλον ἡμῖν οἱ κακοὶ τῆς ἔνδον νόσου ἢπερ ἐκείνοις ἡμεῖς τῆς ἐκτός, ἂν οὕτως ἔχωμεν, καὶ ὅτι κρείττων εὐημερίας ἀχαλινώτου νόσος φιλόσοφος.

35
ΤΩ ΑΥΤΩ

[77] Πρότερον μὲν αὐτὸς ἔγραφόν σοι τοὺς παρακλητικοὺς εἰς τὸ πάθος· προενεπεπτώκεις γάρ. Νῦν δέ μοι δοκεῖς αὐτὸς ἂν ἡμᾶς παρακαλέσαι, μικροῦ τὰ ἴσα κακοπαθοῦντας. Ἔδει γὰρ ἡμᾶς φίλους ὄντας μηδὲ ταῦτα χωρίζεσθαι, μᾶλλον δὲ ἤδη παρακέκληκας, οἷς καρτερεῖς τὸ καρτερεῖν εἰσηγούμενος.

36
ΤΩ ΑΥΤΩ

Ἀλγῶ τῇ νόσῳ καὶ χαίρω· οὐχ ὅτι ἀλγῶ, ἀλλ' ὅτι τοῦ καρτερεῖν τοῖς ἄλλοις εἰμὶ διδάσκαλος. Ἐπειδὴ γὰρ τὸ μὴ πάσχειν οὐκ ἔχω, τοῦτό γε τῷ πάσχειν παρακερδαίνω, τὸ φέρειν καὶ τὸ εὐχαριστεῖν ὥσπερ ἐν τοῖς εὐθύμοις, οὕτω δὴ κἀν τοῖς ἀλγεινοῖς, ἐπειδὴ πείθομαι μηδὲν ἄλογον εἶναι παρὰ τῷ λόγῳ τῶν ἡμετέρων, κἂν ἡμῖν οὕτω φαίνηται.

37
ΣΩΦΡΟΝΙΩ

37 Μητέρα τιμᾶν, τῶν ὁσίων. Μήτηρ δὲ ἄλλη μὲν ἄλλου· κοινὴ δὲ πάντων, πατρίς. Ταύτην ἐτίμησας μὲν πάσῃ σου τῇ τοῦ βίου λαμπρότητι· τιμήσεις δὲ καὶ νῦν αἰδεσθεὶς ἡμᾶς ὑπὲρ ὧν πρεσβεύομεν. Ἡ πρεσβεία δὲ τίς; Τὸν λογιώτατον τῶν καθ' ἑαυτόν, Εὐδόξιον τὸν ῥήτορα πάντως γινώσκεις. Τούτου παῖς, ἵν' εἴπω συντόμως, ἄλλος

1. Πρβλ. Ἑβρ. 12,7,9,10.

Εὐδόξιος καὶ βίῳ καὶ λόγῳ νῦν σοι πρόσεισι δι' ἡμῶν. Ἵν' οὖν ὀνομαστότερον σεαυτὸν καταστήσῃς, γενοῦ τῷ ἀνδρὶ δεξιὸς ἐν οἷς ἂν δέηται τῆς σῆς προστασίας. Αἰσχρὸν γάρ, κοινὸν ὄντα σε τῆς πατρίδος προστάτην καὶ πολλοὺς εὖ πεποιηκότα, προσθήσω δὲ ὅτι καὶ ποιήσοντα, μὴ πρὸ πάντων τιμῆσαι τὸν ἄριστον ἐν λόγοις καὶ λόγους, οὓς εἰ μή τι ἄλλο, κατὰ τοῦτο αἰδεῖσθαι δίκαιον, ὅτι τῶν σῶν καλῶν εἰσιν ἐπαινέται.

38

ΘΕΜΙΣΤΙΩ

[80] Σπαρτιάτας ἡ λόγχη γνωρίζει, ὦμος τοὺς Πελοπίδας, λόγοι τὸν μέγαν Θεμίστιον. Κἂν γὰρ ἐν πᾶσι πάντων κρατῇς, τοῦτο τῶν σῶν οἶδα τὸ ἐπισημότατον. Τοῦτο καὶ ἀπ' ἀρχῆς ἡμᾶς συνῆψεν ἀλλήλοις, — εἰ δή τι τὸ καθ' ἡμᾶς ἐν λόγοις — καὶ θαρρεῖν νῦν ἀνέπεισεν. Εἰ δὲ μάθοις τὸν ἄνδρα ὑπὲρ οὗ πρεσβεύομεν, τάχα καὶ ἀποδέξῃ τοῦ θάρσους ἡμᾶς· Εὐδοξίου τοῦ πάνυ παῖδά σοι τοῦτον προσάγω, τὸν ἀξιολογώτατον υἱὸν ἡμῶν Εὐδόξιον βίῳ μὲν καὶ λόγῳ οἷον αὐτὸς εὑρήσεις τὸν λίθον ποτὶ τὰν σπάρταν ἄγωνα, ὡς ἡ παροιμία (τίς δέ σου στάθμη δι**34**καιοτέρα;)· ἡμῖν δὲ εἰς τὰ μάλιστα φίλον, οὐχ ἧττον διὰ τὴν ἀρετὴν ἢ τὴν πατρικὴν φιλίαν. Ὡς οὖν ἡμᾶς εὖ ποιήσων ὅ τι ἂν τὸν ἄνδρα εὐεργετήσῃς καὶ λόγους τιμήσων τοὺς σούς, ἀγαγεῖν αὐτὸν εἰς τὰ ἔμπροσθεν θέλησον. Δεῖται δὲ ἀπὸ λόγων γνωρισθῆναι καὶ βίον ἑαυτῷ πορίσασθαι τὸν ἐκ λόγων. Ὅντινα δὲ τοῦτον καὶ πῶς, αὐτὸς παραστήσει, δοκιμάσει δὲ ἡ σὴ λογιότης καὶ σύνεσις.

39

ΣΩΦΡΟΝΙΩ

Πάντα τοῖς φίλοις βούλομαι δεξιά. Φίλους δὲ ὅταν εἴπω, τοὺς καλοὺς λέγω καὶ ἀγαθοὺς καὶ κατ' ἀρετὴν ἡμῖν συναπτομένους, ἐπειδή τι καὶ αὐτοὶ ταύτης μεταποιούμεθα. Ταῦτά τοι καὶ νῦν ζητήσας τί μέγιστον ἂν χαρισαίμην τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ ἡμῶν Ἀμαζονίῳ (καὶ γὰρ ἥσθην τῷ ἀνδρὶ διαφερόντως ἐκ τῆς ἐναγχός μοι γεγενημένης πρὸς αὐτὸν συνουσίας), ἓν ἀντὶ πάντων αὐτῷ χαρίσασθαι δεῖν ᾠήθην, τὴν σὴν φιλίαν καὶ προστασίαν. Ὁ μὲν γὰρ πολλὴν ἐν βραχεῖ τὴν παίδευσιν ἐπεδείξατο, τήν τε σπουδασθεῖσαν ἡμῖν ποτε, ὅτε μικρὸν διεβλέπομεν καὶ τὴν νῦν ἀντ' ἐκείνης σπουδαζομένην, ὅτε πρὸς τὸ

α. Δωρικὴ παροιμία. Πρβλ. Μ. Βασιλείου ΒΕΠ. 54, 202,13.

τῆς ἀρε[81]τῆς ὕψος ἐβλέψαμεν. Ἡμεῖς δὲ εἰ μέν τι καὶ κατ' ἀρετὴν ἐφάνημεν ὄντες αὐτῷ, αὐτὸς ἂν εἰδείη· τὸ δ' οὖν κάλλιστον ὧν ἔχομεν ἀντεπιδεικνύμεθα, τῷ φίλῳ τοὺς φίλους· ὧν σε πρῶτον καὶ γνήσιον εἶναι τιθέμενοι, τοιοῦτον αὐτῷ φανῆναι βουλόμεθα, οἷον ἥ τε κοινὴ πατρὶς ἀπαιτεῖ καὶ ὁ ἡμέτερος βούλεται πόθος καὶ λόγος, ἀντὶ πάντων αὐτῷ τὴν σὴν κηδεμονίαν ὑποσχομένων.

40
ΒΑΣΙΛΕΙΩ

35 Μὴ θαυμάσῃς, ἐάν τι παράδοξον λέγειν δόξω καὶ μὴ πρότερόν τισιν εἰρημένον. Ἐμοὶ δοκεῖς σὺ δόξαν μὲν ἔχειν ἀνδρὸς βεβηκότος καὶ ἀσφαλοῦς καὶ στερροῦ τὴν διάνοιαν, πολλὰ δὲ βουλεύεσθαι καὶ πράττειν ἁπλούστερον ἢ ἀσφαλέστερον. Τὸ γὰρ κακίας ἐλεύθερον καὶ ὑφορᾶσθαι κακίαν ἀργότερον· οἷόν τι καὶ τὸ νῦν παρόν. Ἐκάλεσας ἡμᾶς ἐπὶ τὴν μητρόπολιν, περὶ ἐπισκόπου βουλῆς προκειμένης· καὶ τὸ πλάσμα, ὡς εὐπρεπές τε καὶ πιθανόν· ἀρρωστεῖν ἔδοξας καὶ ἀναπνεῖν τὰ τελευταῖα καὶ ποθεῖν ἰδεῖν τε ἡμᾶς καὶ τὰ ἐξόδια φθέγξασθαι, — οὐκ οἶδα ἵνα τί γένηται καὶ τί παρόντες τῷ πράγματι συντελέσωμεν. Ἐγὼ δὲ ὥρμησα μέν, τῷ πράγματι περιαλγήσας· τί γὰρ ἐμοὶ τῆς σῆς ζωῆς ὑψηλότερον ἢ καὶ τῆς ἐκδημίας ἀνιαρότερον; καὶ δακρύων ἀφῆκα πηγὰς καὶ ἀνώμωξα καὶ ἠσθόμην ἐμαυτοῦ νῦν πρῶτον ἀφιλοσόφως διακειμένου· καὶ τί γὰρ οὐ τῶν ἐπιταφίων ἐπλήρωσα; Ἐπεὶ δὲ ἠσθόμην ἐπισκόπους συντρέχειν ἐπὶ τὴν πόλιν, ἀνεκόπην μὲν τῆς ὁρμῆς, ἐθαύμασα δὲ πρῶτον μὲν εἰ μὴ συνεῖδες τὸ εὔσχημον μηδὲ τὰς τῶν πολλῶν ἐφυλάξω γλώσσας, αἳ τάχιστα τοῖς ἀκεραιοτέροις **[84]** ἐπηρεάζουσι· δεύτερον δέ, εἰ μὴ ταῦτά σοί τε καὶ ἡμῖν πρέπειν ὑπολαμβάνεις, οἷς καὶ λόγος καὶ βίος καὶ τὰ πάντα κοινά, οὕτως ἐκ Θεοῦ τὰ πρῶτα συναρμοσθεῖσι· τρίτον (ἔστω γὰρ καὶ τοῦτο εἰπεῖν), εἰ τῶν εὐλαβεστέρων ἐνόμισας εἶναι τὰς τοιαύτας προβολάς, ἀλλὰ μὴ τῶν δυνατωτέρων καὶ τοῖς πλήθεσιν οἰκειοτέρων. Ἐγὼ μὲν οὖν διὰ ταῦτα πρύμναν ἐκρουσάμην καὶ ἀναδύομαι. Σοὶ δέ, εἰ δοκεῖ καὶ αὐτῷ, τοῦτο δεδόχθω φυγεῖν τοὺς ἐν μέσῳ θορύβους καὶ τὰς πονηρὰς ὑπονοίας. Τὴν δὲ σὴν εὐλάβειαν τηνικαῦτα ὄψομαι ἡνίκα ἂν τά τε πράγματα καταστῇ καὶ καιρὸς ᾖ καὶ ὀνειδίσω γε πλείονα καὶ βαρύτερα.

41
ΤΗ ΕΚΚΛΗΣΙΑ ΚΑΙΣΑΡΕΩΝ

36 Εἰμὶ μὲν ποιμὴν ὀλίγος καὶ μικροῦ ποιμνίου προεστηκὼς καὶ πολλοστὸς ἐν ὑπηρέταις τοῦ Πνεύματος. Ἡ χάρις δὲ οὐ στενὴ

οὐδὲ τόποις περιγραπτός. Διὰ τοῦτο δεδόσθω καὶ τοῖς μικροῖς παρρησία, ἄλλως τε καὶ περὶ κοινῶν καὶ τηλικούτων ὄντος τοῦ λόγου, καὶ μετὰ τοσαύτης βουλευομένοις τῆς πολιᾶς, ἢ τυχὸν ἔχει τι καὶ τῶν πολλῶν συνετώτερον. Οὐ περὶ μικρῶν οὐδὲ τῶν τυχόντων βουλεύεσθε, ἀλλ' ὧν ἢ εὖ ἢ κακῶς ἐχόντων ἀνάγκη καὶ τὸ κοινὸν ἢ ἐκείνως ἢ οὕτως ἔχειν. Περὶ γὰρ Ἐκκλησίας ὑμῖν ὁ λόγος, ὑπὲρ ἧς Χριστὸς ἔπαθεν καὶ τοῦ ταύτην Θεῷ παραστήσοντος καὶ προσάξοντος[1]. «Λύχνος μὲν γὰρ τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός»[2], ὡς ἠκούσαμεν, οὐ μόνον οὗτος, ὁ σωματικῶς ὁρῶν καὶ ὁρώμενος, ἀλλὰ καὶ ὁ πνευματικῶς θεωρῶν καὶ θεωρούμενος· λύχνος δὲ τῆς Ἐκκλησίας ἐπίσκοπος, ὃ δῆλον ὑμῖν κἂν αὐτοὶ μὴ γράφωμεν. Ἀνάγκη τοίνυν, ὥσπερ ἐκείνου καθαρῶς μὲν ἔχοντος ὀρθῶς ἄγεσθαι καὶ τὸ σῶμα, μὴ καθαροῦ δὲ τυγχάνοντος, οὐκ ὀρθῶς· οὕτω καὶ τῷ προστάτῃ τὴν Ἐκκλησίαν, ὁποτέρως ἂν ἔχῃ, πάντως ἢ συνδιακινδυνεύειν ἢ συνδιασώζεσθαι. Πάσης μὲν οὖν Ἐκκλησίας φροντιστέον ὡς **[85]** Χριστοῦ σώματος[3], μάλιστα δὲ τῆς ὑμετέρας ἢ μήτηρ σχεδὸν πασῶν τῶν Ἐκκλησιῶν ἥν τε ἀπ' ἀρχῆς καὶ νῦν ἐστι καὶ νομίζεται, καὶ πρὸς ἣν τὸ κοινὸν βλέπει, ὡς κέντρῳ κύκλος περιγραφόμενος, οὐ μόνον διὰ **37** τὴν ὀρθοδοξίαν ἄνωθεν πᾶσι κεκηρυγμένην, ἀλλὰ καὶ τὴν ἐκ Θεοῦ δεδομένην αὐτῇ προδήλως χάριν τῆς ὁμονοίας. Ἐπειδὴ τοίνυν κεκλήκατε μὲν καὶ ἡμᾶς εἰς τὴν περὶ τούτου διάσκεψιν, ποιοῦντες ὀρθῶς καὶ κανονικῶς, κρατούμεθα δὲ γήρᾳ καὶ ἀρρωστίᾳ, εἰ μὲν καὶ αὐτοὶ παρείημεν, τοῦ Πνεύματος ἐπιρρώσαντος (οὐδὲν γὰρ ἄπιστον τοῖς πιστοῖς), τοῦτο τῷ παντὶ βέλτιον καὶ ἡμῖν ἥδιον, ἵνα καὶ ὑμῖν τι συνεισενέγκωμεν καὶ αὐτοὶ τῆς εὐλογίας μετάσχωμεν· εἰ δὲ τὰ τῆς ἀσθενείας νικῴη ὅσα γε ἀποῦσι δυνατὸν συνεισφέρομεν.

Πείθομαι μὲν καὶ ἄλλους εἶναι παρ' ὑμῖν τῆς προστασίας ἀξίους, καὶ ὡς ἐκ πόλεως τοσαύτης καὶ οὕτω καὶ ὑπὸ τοιούτων ἡγμένης ἄνωθεν· ἑνὸς δὲ οὐδένα δύναμαι προτιμῆσαι τῶν παρ' ὑμῖν τιμίων τοῦ θεοφιλεστάτου υἱοῦ ἡμῶν Βασιλείου τοῦ πρεσβυτέρου (λέγω δ' ὡς ὑπὸ Θεῷ μάρτυρι), ἀνδρὸς καὶ βίῳ καὶ λόγῳ κεκαθαρμένου καὶ μόνου τῶν πάντων, ἢ ὅτι μάλιστα, κατ' ἀμφότερα δυναμένου στῆναι πρὸς τὸν νῦν καιρὸν καὶ τὴν κατέχουσαν τῶν αἱρετικῶν γλωσσαλγίαν. Ταῦτα καὶ ἱερατικοῖς γράφω καὶ μοναστικοῖς καὶ τοῖς ἐκ τοῦ ἀξιωματικοῦ καὶ βουλευτικοῦ τάγματος καὶ τοῦ δήλου παντός. Εἰ μὲν οὖν τοῦτο συνδόξειε καὶ ἡ ψῆφος ἡμῶν κρατοίη, οὕτως ὀρθῶς τε καὶ ὑγιῶς ἔχουσα, ὡς μετὰ Θεοῦ ψηφιζομένη, καὶ πάρειμι πνευματικῶς καὶ παρέσομαι, μᾶλλον δὲ ἐπιβέβληκα τὴν χεῖρα ἤδη καὶ θαρρῶ τῷ Πνεύματι. Εἰ δὲ ἄλλο τι καὶ μὴ τοῦτο συνδόξειε καὶ κατὰ φατρίας καὶ συγγενείας τὰ τοιαῦτα κρίνοιτο καὶ ἡ ὀχλώδης χεὶρ πάλιν παρασύροι τὸ ἀκριβές, πράττοιτε καθ' ὑμᾶς τὸ ἀρέσκον, ἡμεῖς δὲ συσταλησόμεθα.

---

1. Πρβλ. Ἐφ. 5,27. 2. Ματθ. 6,22. 3 Πρβλ. Κολ. 1,24.

42

⟨ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ⟩

38 [88] «Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς;»[1] ἢ πῶς ἀνακαινισθῇ[2] μου τὸ γῆρας, ὥστε με δυνηθῆναι διαβῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην καὶ τόν τε πόθον, ὃν ἔχω ἐφ' ὑμῖν, ἀναπαῦσαι καὶ τὰ λυπηρὰ τῆς ψυχῆς διηγήσασθαι καὶ δι' ὑμῶν εὑρέσθαι τινὰ παραμυθίαν τῶν θλίψεων; Ἐπὶ γὰρ τῇ κοιμήσει τοῦ μακαρίου Εὐσεβίου τοῦ ἐπισκόπου φόβος ἡμᾶς κατέλαβεν οὐ μικρὸς μήποτε οἵ ποτε ἐφεδρεύοντες τῇ Ἐκκλησίᾳ τῆς μητροπόλεως ἡμῶν καὶ βουλόμενοι αὐτὴν αἱρετικῶν ζιζανίων[3] πληρῶσαι, καιροῦ νῦν λαβόμενοι, τὴν πολλῷ καμάτῳ κατασπαρεῖσαν ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων εὐσέβειαν ταῖς παρ' ἑαυτῶν πονηραῖς διδασκαλίαις ἐκριζώσωσι καὶ ταύτης τὴν ἑνότητα κατατέμωσιν, ὅπερ καὶ ἐπὶ πολλῶν Ἐκκλησιῶν πεποιήκασιν. Ἐπειδὴ δὲ καὶ γράμματα πρὸς ἡμᾶς ἀφίκετο τοῦ κλήρου, παρακαλοῦντα μὴ παροφθῆναι ἐν καιρῷ τοιούτῳ, περιβλεψάμενος ἐν κύκλῳ ἐμνήσθην τῆς ὑμετέρας ἀγάπης καὶ τῆς ὀρθῆς πίστεως καὶ τοῦ ζήλου ὃν ἔχετε ἀεὶ ὑπὲρ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ· καὶ τούτου ἕνεκεν ἀπέστειλα τὸν ἀγαπητὸν Εὐστάθιον τὸν συνδιάκονον παρακαλέσαι ὑμῶν τὴν σεμνοπρέπειαν καὶ δυσωπῆσαι πᾶσι τοῖς ὑπὲρ τῶν Ἐκκλησιῶν καμάτοις καὶ τὸν παρόντα ἐπιθεῖναι κάμοῦ τε τὸ γῆρας τῇ συντυχίᾳ ἀναπαῦσαι καὶ τῇ ὀρθῇ Ἐκκλησίᾳ τὴν περιβόητον εὐσέβειαν διορθώσασθαι, δόντας αὐτῇ μεθ' ἡμῶν (εἰ ἄρα καταξιωθείημεν συναντιλαβέσθαι ὑμῖν τοῦ ἀγαθοῦ ἔργου) ποιμένα κατὰ τὸ βούλημα τοῦ Κυρίου, δυνάμενον διευθῦναι τὸν λαὸν αὐτοῦ. Ἔχομεν γὰρ πρὸ ὀφθαλμῶν ἄνδρα, ὃν οὐδὲ αὐτοὶ ἀγνοεῖτε· οὗ εἰ καταξιωθείημεν ἐπιτυχεῖν, οἶδα ὅτι μεγάλην παρρησίαν πρὸς τὸν **39** Θεὸν κτησόμεθα **[89]** καὶ τῷ ἐπικαλεσαμένῳ ἡμᾶς λαῷ μεγίστην εὐεργεσίαν καταθησόμεθα. Ἀλλὰ παρακαλῶ καὶ πάλιν καὶ πολλάκις πάντα ὄκνον ὑπερθεμένους ἀπαντῆσαι καὶ προλαβεῖν τὰ ἐκ τοῦ χειμῶνος δυσχερῆ.

43

ΤΟΙΣ ΕΠΙΣΚΟΠΟΙΣ

Ὡς ἡδεῖς ὑμεῖς καὶ φιλάνθρωποι καὶ περιττοὶ τὴν ἀγάπην· κεκλήκατε ἡμᾶς ἐπὶ τὴν μητρόπολιν, ὡς οἶμαι, περὶ ἐπισκόπου τι βουλευσόμενοι, — τοῦτο γὰρ ὑμῶν αἰσθάνομαι, οἵ γε μήτε ὅτι παρεῖναι δεῖ, μήτε ἐφ' ᾧ, μήτε ὅτε προαγορεύσαντες, ἀθρόως ἡμῖν ὅτι ἐξώρμησθε δεδηλώκατε, ὡς ἄν τινες οὐ τιμᾶν ἐγνωκότες ἢ κοινωνοὺς ἔχειν

---

1. Ψαλ. 58,7. 2. Πρβλ. Ψαλ. 102,5. 3. Πρβλ. Ματθ. 13,25.

ἐσπουδακότες, ἀλλὰ τὸ παρεῖναι ἀποσπουδάζοντες, ἵνα μηδὲ ἄκουσιν ἡμῖν περιπέσητε. Τὸ μὲν οὖν ὑμέτερον τοιοῦτον, καὶ οἴσομεν ὑβριζόμενοι· τὸ δὲ ἡμέτερον, ὅπως ἔχει, παραστήσομεν. Ἄλλοι μὲν ἄλλους δηλαδὴ προβαλοῦνται, κατὰ τοὺς ἑαυτῶν ἕκαστος τρόπους ἢ πόρους, ὅπερ ἐν τοῖς τοιούτοις φιλεῖ συμβαίνειν. Ἡμεῖς δὲ οὐδένα προτιμῆσαι δυνάμεθα, οὐδὲ γὰρ ὅσιον, τοῦ τιμιωτάτου υἱοῦ ἡμῶν Βασιλείου τοῦ πρεσβυτέρου. Τίνα γάρ, ὧν ἴσμεν, εὑρίσκομεν ἢ βίῳ δοκιμώτερον ἢ λόγῳ δυνατώτερον καὶ πανταχόθεν εἰς ἀρετῆς κάλλος ἐξησκημένον; Εἰ δὲ ἀσθένεια πρόφασις, — οὐ γὰρ ἀθλητὴν προβαλεῖσθε, ἀλλὰ διδάσκαλον καὶ ἅμα που τὸ δυνατὸν τοῦ τοὺς ἀσθενεῖς[1], ἄνπερ ὦσι τοιοῦτοι, ῥώννυντος καὶ ὑπερείδοντος. Ἂν ταύτην δέχησθε τὴν ψῆφον καὶ παρεσόμεθα καὶ συλληψόμεθα ἢ πνευματικῶς ἢ καὶ σωματικῶς. Εἰ δὲ ἐπὶ ῥητοῖς ἡ ὁδὸς καὶ κρατεῖν μέλλοιεν αἱ συστάσεις παρὰ τὸ δί**[92]**καιον, χαίρομεν παρεωραμένοι. Ὑμέτερόν ἐστι τὸ ἔργον, ἡμῶν δὲ ὑπερεύχεσθε.

44

ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

40 Πόθεν ἄρξομαι τῶν σῶν ἐγκωμίων; καί τί προσειπών σε κυρίως ἂν ὀνομάσαιμι; στύλον καὶ ἑδραίωμα τῆς Ἐκκλησίας[2] ἢ φωστῆρα ἐν κόσμῳ[3], τὰ αὐτὰ τῷ Ἀποστόλῳ φθεγγόμενος, ἢ «στέφανον καυχήσεως»[4] τῷ σῳζομένῳ μέρει Χριστιανῶν, ἢ Θεοῦ δῶρον[5], ἢ πατρίδος ἔρεισμα ἢ κανόνα πίστεως ἢ πρεσβευτὴν ἀληθείας ἢ ὁμοῦ πάντα καὶ πλείω τούτων; Καὶ τὴν ὑπερβολὴν τῶν ἐπαίνων τοῖς ὁρωμένοις πιστώσομαι. Τίς οὕτως ὑετὸς[6] ὥριμος ἦλθε διψώσῃ γῇ; Ποῖον ἐκ πέτρας ὕδωρ[7] τοῖς ἐν ἐρήμῳ πλημμυροῦν; Τίνα τοιοῦτον «ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος»[8]; Τίσιν Ἰησοῦς ὁ Κύριος ὁ κοινὸς τοῖς ἑαυτοῦ μαθηταῖς οὕτως ἐν καιρῷ βαπτιζομένοις ἐπέστη, ἵνα καὶ τὸ πέλαγος ἡμερώσῃ καὶ τοὺς κινδυνεύοντας[9] περισώσηται, οἷος σὺ κάμνουσιν ἡμῖν καὶ ἀνιωμένοις καὶ οἷον ἤδη ναυαγοῦσιν ἐφάνης; Τί δεῖ τὰ τῶν ἄλλων λέγειν, ὅσης εὐθυμίας καὶ ἡδονῆς ψυχὰς ὀρθοδόξων ἐνέπλησας, καὶ ὅσων ἀπόγνωσιν ἔλυσας;

Ἀλλ' ἡ μήτηρ ἡμῶν Ἐκκλησία, τὴν Καισαρέων λέγω, νῦν ὄντως ἀποδύεται τὰ ἐνδύματα τῆς χηρεύσεως[10], ἐπὶ τῇ σῇ θέᾳ καὶ στολὴν εὐφροσύνης[11] ἀναλαμβάνει καὶ λαμπρυνθήσεται μᾶλλον, ἐπειδὰν ποιμένος τύχῃ ἑαυτῆς τε καὶ τῶν

---

1. Πρβλ. Α' Κορ. 1,27. 2. Πρβλ. Α' Τιμ. 3,15. 3. Πρβλ. Φιλιπ. 2,15. 4. Α' Θεσ. 2,19. 5. Πρβλ. Ἰω. 4,10. 6. Πρβλ. Ψαλ. 67,10. 149,8. Ἰωβ 5,10. 7. Πρβλ. Ἐξ. 17,6. 8. Ψαλ. 77,25. 9. Πρβλ. Ματθ. 8,24-26. 10. Πρβλ. Ἰουδὶθ 10,3. 11. Πρβλ. Ἡσ. 61,3,10. Ζαχ. 3,3,5.

προειληφότων καὶ τῶν ὑμετέρων χειρῶν ἀξίου. Τὰ γὰρ ἡμέτερα καὶ αὐτὸς ὁρᾷς, οἷα καὶ ὅσον ἐθαυ**[93]**ματούργησεν ὁ σὸς ζῆλος καὶ ἱδρὼς καὶ ἡ κατὰ Θεὸν παρρησία· γῆρας ἀνακαινίζεται[1] καὶ ἀρρωστία νικᾶται καὶ πηδῶσιν οἱ ἐπὶ κλίνης καὶ «ἀσθενοῦντες περιζωννύονται δύναμιν»[2]. Τούτοις εἰκάζω καὶ τὰ ἡμέτερα κατὰ νοῦν ἐκβήσεσθαι. Τὸν μὲν οὖν πατέρα ἔχεις καὶ ἀνθ' ἑαυτοῦ καὶ ἀνθ' ἡμῶν, τέλος **41** παντὶ τῷ βίῳ καὶ τῇ σεμνῇ πολιᾷ καλὸν ἐπιθήσοντα, τὸν νῦν ὑπὲρ τῆς Ἐκκλησίας ἀγῶνα. Καὶ δεξόμεθα τοῦτον, εὖ οἶδα, εὐχαῖς ὑμετέραις ἐρρωμενέστερόν τε καὶ νεανικώτερον, αἷς πάντα δεῖ πιστεύειν θαρροῦντας· εἰ δὲ κἀν τῇ φροντίδι καταλύσειεν, οὐ ζημία τοιαύτης καὶ ἐπὶ τοιούτοις τυχεῖν τελευτῆς. Ἐμοὶ δέ, παρακαλῶ, συγγνώμην ἔχετε, εἰ, μικρὸν ταῖς τῶν πονηρῶν γλώσσαις ὑποχωρήσας, μικρὸν ὕστερον ὑμῖν καὶ προσδράμοιμι καὶ περιπτυξαίμην καὶ ὅσα παρεῖται νῦν δι' ἐμαυτοῦ προσθείην τῆς εὐφημίας.

45

⟨ΒΑΣΙΛΕΙΩ⟩

Ἐπειδή σε τεθέντα ἐπὶ τὸν ὑψηλὸν θρόνον ἔγνων καὶ τὸ Πνεῦμα ἐνίκησε, τὸν λύχνον ἐπὶ τῆς λυχνίας[3] δημοσιεῦσαν, οὐδὲ τὸν πρὶν ἀμυδρῶς λάμποντα, ἥσθην μέν, ὁμολογῶ. Τί δὲ οὐκ ἔμελλον, τὸ κοινὸν τῆς Ἐκκλησίας ὁρῶν κακῶς ἔχον καὶ τοιαύτης χρῄζον χειραγωγίας; Προσέδραμον δὲ οὐκ εὐθύς, οὐδὲ προσδραμοῦμαι· μηδέ γε τοῦτο αὐτὸς ἀπαιτήσῃς. Πρῶτον μέν, ἵνα σοι τὸ σεμνὸν φυλάξω καὶ μὴ συναγαγεῖν δόξῃς τοὺς σπουδαστὰς ὑπό τινος ἀπειροκαλίας τε καὶ θερμότητος, ὡς ἂν φαῖεν οἱ διαβάλλοντες. Δεύτερον δέ, ἵνα ἐμαυτῷ πραγματεύσωμαι τὸ σταθερόν τε καὶ ἀνεπίφθονον. Πότ' οὖν ἥξεις, τυχὸν ἐρεῖς καὶ μέχρι τίνος ἀναδύσῃ; Ἕως ἄν ὅ τε Θεὸς κελεύσῃ καὶ παρέλθωσιν αἱ σκιαὶ τῶν νῦν ἐπιτιθεμένων καὶ βασκαινόντων. Οὐ γὰρ ἐπὶ πλεῖον ἀνθέξουσιν οἱ λεπροί, σαφῶς οἶδα, τῷ Δαυὶδ τὴν Ἱερουσαλὴμ ἀποκλείοντες[4].

46

ΤΩ ΑΥΤΩ

42 [96] Πῶς ἐπιφυλλὶς ἡμῖν τὰ σά, ὦ θεῖα καὶ ἱερὰ κεφαλή[α]; ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων[β]; ἢ πῶς τοῦτο εἰπεῖν ἐθάρρησας,

---

1. Πρβλ. Ψαλ. 102,5. 2. Α' Βασ. 2,4. 3. Πρβλ. Ματθ. 5,15. 4. Πρβλ. Β' Βασ. 5,6.

α. Ἰλιάδ. Θ 281. β. Ἰλιάδ. Δ 350.

ἵνα τι καὶ αὐτὸς θαρρήσω μικρόν; πῶς ἡ διάνοια ὥρμησεν ἢ μέλαν ἔγραψεν ἢ χάρτης ἐδέξατο; Ὦ λόγοι καὶ Ἀθῆναι καὶ ἀρεταὶ καὶ λόγων ἱδρῶτες· μικροῦ γάρ με καὶ τραγῳδὸν οἷς γράφεις ποιεῖς. Πότερον, ἡμᾶς ἀγνοεῖς ἢ σεαυτόν, ὁ τῆς οἰκουμένης ὀφθαλμός, ἡ μεγάλη φωνὴ καὶ σάλπιγξ[1], τὸ τῶν λόγων βασίλειον; Μικρὰ Γρηγορίῳ τὰ σά; Τί ἂν οὖν τις ἄλλο θαυμάσειεν τῶν ἐπὶ γῆς, εἰ μὴ σὲ Γρηγόριος; Ἓν μὲν ἔαρ ἐν ὥραις, εἷς δὲ ἥλιος ἐν ἀστράσιν, εἷς δὲ περιέχων ἅπαντα οὐρανός, μία δὲ φωνὴ κατὰ πάντων ἡ σή, εἴπερ τι ἐγὼ τὰ τοιαῦτα ἱκανὸς κρίνειν μηδ' ἀπατᾷ με τὸ φίλτρον, ὅπερ οὐκ οἶομαι. Εἰ μὲν ὅτι μὴ πρὸς ἀξίαν θαυμάζομεν, τοῦτο ἐγκαλεῖς, ἐγκάλει καὶ πᾶσιν ἀνθρώποις· οὐδὲ γὰρ ἄλλος τις ἀξίως ἐθαύμασεν ἢ θαυμάσεται, ὅτι μὴ καὶ σὺ καὶ ἡ σὴ μεγαλοφωνία, εἴπερ οἷόν τε ἦν ἑαυτὸν ἐπαινεῖν καὶ τοῦτο εἶχεν ἡμῖν ὁ τῶν λόγων νόμος. Εἰ δὲ τὸ καταφρονεῖν ἐγκαλούμεθα, τί μὴ μανίαν πρότερον; Ἀλλ' ὅτι φιλοσοφοῦμεν, ἀγανακτεῖς; Δὸς εἰπεῖν, τοῦτο μόνον καὶ τῶν λόγων τῶν σῶν ὑψηλότερον.

47
ΤΩ ΑΥΤΩ

43 Πυνθάνομαί σε ταράσσεσθαι παρὰ τῆς νέας καινοτομίας καὶ πράγματα ἔχειν ἀπό τινος σοφιστικῆς τῶν κρατούντων καὶ συνήθους περιεργείας· καὶ θαυμαστὸν οὐδέν. Οὐ γὰρ ἠγνόουν τὸν φθόνον καὶ ὅτι πολλοὶ τῶν περὶ σὲ τὰ ἑαυτῶν διὰ σοῦ θερα**[97]**πεύοντες καὶ τὸν σπινθῆρα τῆς μικροψυχίας ἀνάπτοντες. Ἐκεῖνο μὲν οὖν οὐ δέδοικα, μή τι πάθῃς ἀφιλόσοφον ἐν τοῖς λυπηροῖς καὶ σεαυτοῦ καὶ ἡμῶν ἀνάξιον. Ἀλλ' ἡγοῦμαι νῦν δὴ καὶ μάλιστα γνωρισθήσεσθαι τὸν ἐμὸν Βασίλειον, καὶ ἦν ἐν παντὶ τῷ χρόνῳ συνελέξω φιλοσοφίαν, διαδειχθήσεσθαι καὶ ὑπερσχήσειν τὰς ἐπηρείας, ὥσπερ ὑψηλῷ κύματι καὶ μενεῖν ἄσειστον, ἄλλων τινασσομένων. Εἰ δὲ δοκεῖ, καὶ αὐτὸς παρέσομαι, τυχὸν μὲν καὶ γνώμης τινὸς κοινωνήσων (εἴπερ ὕδατος δεῖται θάλασσα καὶ σὺ τοῦ συμβουλεύσοντος)· πάντως δέ, ὠφεληθησόμενος καὶ φιλοσοφήσων τὸ συνυβρίζεσθαι.

48
ΤΩ ΑΥΤΩ

Οὐ παύσῃ βλασφημῶν ἡμᾶς ὡς ἀπαιδεύτους καὶ σκαιοὺς καὶ ἀφίλους καὶ οὐδὲ ζῆν ἀξίους, ὅτι συνιέναι τετολμήκαμεν ἃ πεπόνθαμεν; Οὐ γὰρ ἄλλο γε οὐδὲν ἀδικοῦμεν, αὐτὸς ἂν εἴποις, οὐδέ τι σύν-

---

1. Πρβλ. Ἡσ. 27,13. Ματθ. 24,31.

ισμεν ἡμῖν αὐτοῖς ἢ μικρὸν ἢ μεῖζον περὶ σὲ κακοῖς γεγονόσι, μηδὲ συγγνοίημεν· πλὴν τοῦτο μόνον ἔγνωμεν ἠπατημένοι, ὀψὲ **44** μὲν ἄγαν, ἔγνωμεν δέ. Καὶ τὸν θρόνον αἰτιώμεθα, ὡς ὑψηλότερόν σε ἡμῶν ἀθρόως ποιήσαντα. Καὶ κάμνομεν τὰ σὰ ἐγκαλούμενοι καὶ ἀπολογούμενοι πρὸς τοὺς σαφῶς εἰδότας καὶ τὰ πρῶτα ἡμῶν καὶ τὰ νῦν· τοῦτο γὰρ ὧν πάσχομεν τὸ γελοιότατον ἢ ἐλεεινότατον, τοὺς αὐτοὺς καὶ ἀδικεῖσθαι καὶ ἐγκαλεῖσθαι, ὅπερ νῦν ἡμῖν συμβέβηκεν. Ἐγκαλοῦσι δὲ ἄλλοι μὲν ἄλλο τι καὶ ὅ τι ἂν ἕκαστος βούληται, κατὰ τὸν ἑαυτοῦ τρόπον ἢ τὸ μέτρον τῆς ὑπὲρ ἡμῶν ὀργῆς· οἱ φιλανθρωπότατοι δέ, ὑπεροψίαν καὶ περιφρόνησιν καὶ τὸ παρερρίφθαι ἡμᾶς μετὰ τὴν χρείαν, ὥσπερ τῶν σκευῶν τὰ ἀτιμότατα καὶ τοῦ μηδενὸς ἄξια ἢ τῶν ἐρεισμάτων ταῦτα ὑπὲρ ὧν αἱ ἀψῖδες, ἃ μετὰ τὴν πῆξιν ὑφαιρεῖται καὶ διαπτύεται. Τούτους μὲν οὖν χαίρειν ἐάσωμεν καὶ λέγειν ὅ τι ἂν λέγωσιν· οὐδεὶς ἐφέξει γλώσσης αὐτονομίαν. Καὶ σύ μοι τὸν μισθὸν κατάβαλε τὰς μακαρίας καὶ κενὰς ἐλπίδας, ἃς κατὰ τῶν **[100]** βλασφημούντων ἐξεῦρες, ὡς διὰ τιμὴν ὑβρίζων τοὺς κούφους ἡμᾶς καὶ προχείρους πρὸς τὰ τοιαῦτα. Ἐγὼ δὲ τὸ ἐμὸν ὡς ἔχει δηλώσω, καί μοι μηδὲν ὀργισθῇς. Ἐρῶ γὰρ ἃ καὶ παρ' αὐτὰ τοῦ πάθους ἀπεφθεγξάμην, οὐ τοσοῦτον ἢ τῷ θυμῷ ζέσας ἢ τῷ γεγονότι καταπλαγείς, ὥστε κλαπῆναι τοὺς λογισμοὺς καὶ ἀγνοεῖν ἅπερ ἔλεγον. ⟨Οὔτε ὅπλα κτήσομαι, οὔτε τὰ τακτικὰ μαθήσομαι, ἃ μὴ πρότερον ἔμαθον, ἡνίκα καιρὸς εἶναι μᾶλλον ἐδόκει, πάντων ὁπλιζομένων καὶ μαινομένων (οἶσθα τὰ τῶν ἀσθενῶν ἀρρωστήματα), οὔτε τὸν ἀρήιον Ἄνθιμον ὑποστήσομαι, καίπερ ἄωρον ὄντα πολεμιστήν, ψιλός τε ὢν καὶ ἀπόλεμος καὶ πρὸς τραύματα ἐπιτηδειότερος. Ἀλλ' ἐκείνῳ μὲν αὐτὸς πολέμει, εἰ τοῦτό σοι φίλον (καὶ γὰρ τοὺς ἀσθενεῖς πολλάκις αἱ χρεῖαι ποιοῦσι πολεμιστάς), ἢ ζήτει τοὺς πολεμήσοντας, ὅταν σου τῶν ἡμιόνων λαμβάνηται, τὰ στενὰ τηρῶν καὶ ὥσπερ ὁ Ἀμαλὴκ ἐκεῖνος[1], εἴργων τὸν Ἰσραήλ. Ἡμῖν δὲ ἀντὶ πάντων δοῦναι τὴν ἡσυχίαν. Τί γὰρ δεῖ μάχεσθαι περὶ γαλαθηνῶν καὶ ὀρνίθων, καὶ τοῦτο ἀλλοτρίων, ὡς δὴ περὶ ψυχῶν καὶ κανόνων; Τί δὲ τῶν λαμπρῶν Σασίμων ἀποστερεῖν τὴν μητρόπολιν, ἢ γυμνοῦν καὶ ἀνακαλύπτειν τὸ τῆς γνώμης ἀπόρρητον, συγκρύπτειν δέον;⟩ Ἀλλὰ σὺ μὲν **45** ἀνδρίζου καὶ κραταιοῦ καὶ πάντα ἕλκε πρὸς τὴν σεαυτοῦ δόξαν, ὥσπερ οἱ ποταμοὶ τοὺς χειμάρρους, μήτε φιλίαν μήτε συνήθειαν τοῦ καλοῦ προτιμῶν καὶ τῆς εὐσεβείας μήτε τοῦ ποῖός τις εἶναι δόξεις ἐκ τοῦ ταῦτα ποιεῖν φροντίζων, ἀλλ' ἑνὸς ὢν τοῦ πνεύματος. Ἡμεῖς δὲ τοῦτο μόνον κερδανοῦμεν τῆς σῆς φιλίας, τὸ μὴ πιστεύειν φίλοις μήτε τοῦ Θεοῦ ποιεῖσθαί τι προτιμότερον.

---

1. Πρβλ. Ἐξ. 17,8 ἑξ.

49
ΤΩ ΑΥΤΩ

[101] Ἐγκαλεῖς ἡμῖν ἀργίαν καὶ ῥᾳθυμίαν, ὅτι μὴ τὰ Σάσιμα κατειλήφαμεν μηδὲ ἐπισκοπικῶς κινούμεθα μηδέ, ὥσπερ κυσί βρῶμα ῥιφὲν ἐν μέσῳ, κατ' ἀλλήλων ὑμᾶς ὁπλίζομεν· ἐμοὶ δὲ μεγίστη πρᾶξίς ἐστιν ἡ ἀπραξία. Καὶ ἵν' εἰδῇς τι τῶν ἐμῶν καλῶν, τοσοῦτον τῇ ἀπραγμοσύνῃ φιλοτιμοῦμαι, ὥστε οἴεσθαι καὶ νόμος εἶναι πᾶσι τῆς περὶ τοῦτο μεγαλοψυχίας. Καὶ ὡς εἰ πάντες ἡμᾶς ἐμιμοῦντο, οὐδὲν ἂν ἦν πρᾶγμα ταῖς Ἐκκλησίαις οὐδ' ἂν ἡ πίστις παρεσύρετο, τῶν ἰδίων ἑκάστῳ φιλονεικιῶν ὅπλον τυγχάνουσα.

50
ΤΩ ΑΥΤΩ

Ὡς θερμὸν ἐξάλλῃ καὶ πωλικὸν ἐν τοῖς γράμμασι· καὶ θαυμαστὸν οὐδὲν ἄρτι σε δόξης γευόμενον ἡμῖν ἐπιδείκνυσθαι βούλεσθαι ἥντινα δόξαν εὑρίσκεις, ἵν' οὕτω σεαυτὸν μᾶλλον σεμνοποιῇς, ὥσπερ τῶν γραφέων οἱ τὰς ὥρας γράφον**46**τες. Ἐμοὶ δὲ τὸ μὲν πάντα ἐκδιηγεῖσθαι, τὰ τῶν ἐπισκόπων καὶ τὰ τῆς ἐπιστολῆς, ἐφ' ᾗ σὺ δυσχεραίνεις, ὅθεν τε ἠρξάμεθα καὶ ὅπῃ προέβημεν καὶ εἰς ὃ κατελήξαμεν, μακρότερον ἢ κατ' ἐπστολὴν εἶναι φαίνεται καὶ οὐκ ἀπολογίας μᾶλλον ἔργον ἢ ἱστορίας. Ὡς δὲ συντόμως δηλῶσαι, ἦκεν ἡμῖν ὁ γενναιότατος Ἄνθιμος μετά τινων ἐπισκόπων, εἴτε ὡς τὸν πατέρα ἐπισκεψόμενος τὸν ἐμὸν (καὶ τοῦτο γὰρ ἔδοξεν), εἴτε σπουδάζων ἅπερ ἐσπούδασε. Πολλὴν δὲ καὶ περὶ πολλῶν πεῖραν καθείς, τῶν παροικιῶν, Σασίμων, Λιμνῶν, τῆς ἡμετέρας χειροτονίας, χαρισάμενος, αἰτήσας, ἀπειλήσας, δικαιολογησάμενος, ψέξας, ἐγκω**[104]**μιάσας, κύκλους ἑαυτῷ περιγράψας, ὡς δέον πρὸς αὐτὸν μόνον ὁρᾶν ἡμᾶς καὶ τὴν νέαν μητρόπολιν, μείζονα οὖσαν. ⟨Τί περιγράφεις εἴσω τὴν ἡμετέραν πόλιν, ἡμῶν ποιουμένων καὶ τὴν Ἐκκλησίαν, ὡς ὄντως Ἐκκλησιῶν μητέρα καὶ ἄνωθεν;⟩. Τέλος, ἀπῆλθεν ἄπρακτος, πολλὰ περιπνεύσας καὶ βασιλισμὸν ἡμῖν, ὡς φιλιππισμόν[α], ἐγκαλέσας. Μὴ τοῦτο ἀδικεῖν σοι δοκοῦμεν; Οὐκ οἶμαι. Σκόπει δὲ καὶ τὸ τῆς ἐπιστολῆς, ὅπως ἔσχε παρὰ τῶν ὑβριστῶν ἡμῶν. Κλῆσιν συνοδικὴν ἐτύπωσαν πρὸς ἡμᾶς· ἐμοῦ δὲ ἀντιλέγοντος καὶ ὕβριν φάσκοντος, ἀλλὰ τό γε δεύτερον ἠξίουν δι' ἐμοῦ παρακληθῆναι ὑμᾶς περὶ τούτων βουλευσομένους. Τοῦτο ὑπέστην, ἵνα μὴ τὸ πρότερον γένηται, τὸ πᾶν ἐφ' ὑμῖν ποιούμενος, εἰ βούλεσθε συναγαγεῖν αὐτούς, καὶ ὅπου καὶ πηνίκα· ὅπερ τιμῶντος ἦν, οὐχ ὑβρίζοντος. Ἐπειδὴ

α. Δημοσθ. περὶ τοῦ στεφάνου XVIII 294.

δὲ οὐδὲ τοῦτο ἀδικοῦμεν, εἰπὲ τὸ λειπόμενον. Εἰ δὲ δεῖ παρ' ἐμοῦ τοῦτο μαθεῖν ὑμᾶς, αὐτὴν ὑμῖν ἀναγνώσομαι τὴν 'Ανθίμου ἐπιστολήν, ἥν, ὅτε κατέσχε Λίμνας, ἡμῶν ἀπαγορευόντων καὶ ἀπειλούντων, ἐπέσταλκε πρὸς ἡμᾶς, ὑβρίζων καὶ ὀνειδίζων καὶ ὥσπερ ἐπινίκιόν τινα καθ' ἡμῶν ᾄδων ὡς ἡττημένων. Καίτοι τίνα ἔχει λόγον, ἐκείνῳ μὲν προσκρούειν δι' ὑμᾶς, ὑμῖν δὲ ἀπαρέσκειν, ὡς ἐκείνῳ χαριζομένους; Ταῦτα **47** δὲ ἔδει πρότερον μαθεῖν, ὦ θαυμάσιε, καὶ μὴ τότε ὑβρίζειν, εἰ μή τι ἄλλο, ὡς πρεσβυτέρους. Εἰ δὲ λίαν ἐπιδεικτικῶς ἔχεις καὶ φιλοτίμως, καὶ ἐξ ὑπερδεξίων ἡμῖν διαλέγῃ, ὡς μητροπολίτης μικροπολίταις ἢ καὶ ἀπόλισιν, ἔστι καὶ ἡμῖν ὀφρὺς ἣν ἀνθέξομεν. Ῥᾷστον γὰρ τοῦτο παντὶ καὶ ἴσως εὐλογώτερον.

51

⟨ΝΙΚΟΒΟΥΛΩ⟩

[105] Τῶν γραφόντων ἐπιστολὰς (ἐπειδὴ καὶ τοῦτο αἰτεῖς), οἱ μὲν μακρότερα γράφουσιν ἢπερ εἰκός, οἱ δὲ καὶ λίαν ἐνδεέστερα· καὶ ἀμφότεροι τοῦ μετρίου[α] διαμαρτάνουσιν, ὥσπερ τῶν σκοπῶν οἱ τοξεύοντες, ἄν τε εἴσω πέμπωσιν, ἄν τε ὑπερπέμπωσι· τὸ γὰρ ἀποτυγχάνειν ἴσον, κἂν ἀπὸ τῶν ἐναντίων γίνηται. Ἔστι δὲ μέτρον τῶν ἐπιστολῶν ἡ χρεία· καὶ οὔτε μακρότερα γραπτέον, οὗ μὴ πολλὰ τὰ πράγματα, οὔτε μικρολογητέον, ἔνθα πολλά. Τί γάρ; Ἢ τῇ περσικῇ σχοίνῳ[β] μετρεῖσθαι δεῖ τὴν σοφίαν ἢ παιδικοῖς πήχεσι, καὶ οὕτως ἀτελῆ γράφειν ὡς μηδὲ γράφειν, ἀλλὰ μιμεῖσθαι τῶν σκιῶν τὰς μεσημβρινὰς ἢ τῶν γραμμῶν τὰς κατὰ πρόσωπον ἀπαντώσας, ὧν συνιζάνει τὰ μήκη καὶ παραφαίνεται μᾶλλον ἢ φαίνεται τῶν ἄκρων τισὶ γνωριζόμενα, καὶ ἔστιν, ὡς ἂν εἴποιμι καιρίως, εἰκασμάτων εἰκάσματα; Δέον, ἀμφοτέρων φεύγοντα τὴν ἀμετρίαν, τοῦ μετρίου κατατυγχάνειν. Περὶ μὲν δὴ τῆς συντομίας ταῦτα γινώσκω· περὶ δὲ σαφηνείας ἐκεῖνο γνώριμον, ὅτι χρὴ φεύγοντα τὸ λογοειδές, ὅσον ἐνδέχεται, μᾶλλον εἰς τὸ λαλικὸν ἀποκλίνειν· καί, ἵν' εἴπω συντόμως, αὕτη τῶν ἐπιστολῶν ἀρίστη καὶ κάλλιστα ἔχουσα, ἣ ἂν καὶ τὸν ἰδιώτην πείθῃ καὶ τὸν πεπαιδευμένον, τὸν μέν, ὡς κατὰ τοὺς πολλούς οὖσα, τὸν δέ, ὡς ὑπὲρ τοὺς πολλούς, καὶ ᾗ αὐτόθεν γνώριμος· ὁμοίως γὰρ ἄκαιρον καὶ γρῖφον νοεῖσθαι καὶ ἐπιστολὴν ἑρμηνεύεσθαι. Τρίτον ἐστὶ τῶν ἐπιστολῶν, ἡ χάρις. Ταύτην δὲ φυλάξομεν, εἰ μήτε παντάπασι ξηρὰ καὶ **48** ἀχάριστα γράφοιμεν καὶ ἀκαλλώπιστα, ἀκόσμητα καὶ ἀκόρητα, ὃ δὴ λέγεται, οἷον δὴ γνωμῶν καὶ παροιμιῶν καὶ ἀποφθεγμάτων ἐκτός, ἔτι δὲ σκωμμάτων καὶ αἰνιγμάτων, οἷς ὁ λόγος

α. Πρβλ. 'Αριστοτ. 'Ηθικὰ Νικομάχεια Ι 6, 1096a 33. β. Πρβλ. Καλλιμάχ. Αἴτια Ι fr. 1,18.

καταγλυκαίνεται· μήτε λίαν τούτοις φαινοίμεθα καταχρώμενοι· τὸ μὲν γὰρ ἀγροῖκον, τὸ δ' ἄπληστον. Καὶ τοσαῦτα τούτοις χρη**[108]**στέον, ὅσα καὶ ταῖς πορφύραις ἐν τοῖς ὑφάσμασι. Τροπὰς δὲ παραδεξόμεθα μέν, ὀλίγας δὲ καὶ ταύτας οὐκ ἀναισχύντους. Ἀντίθετα δὲ καὶ πάρισα καὶ ἰσόκωλα τοῖς σοφισταῖς ἀπορρίψομεν· εἰ δέ που καὶ παραλάβοιμεν, ὡς καταπαίζοντες μᾶλλον τοῦτο ποιήσομεν ἢ σπουδάζοντες. Πέρας τοῦ λόγου, ὅπερ τῶν κομψῶν τινος ἤκουσα περὶ τοῦ ἀετοῦ λέγοντος, ἡνίκα ἐκρίνοντο περὶ βασιλείας οἱ ὄρνιθες καὶ ἄλλος ἄλλως ἦκον ἑαυτοὺς κοσμήσαντες, ὅτι ἐκείνου κάλλιστον ἦν τὸ μὴ οἴεσθαι καλὸν εἶναι. Τοῦτο κἀν ταῖς ἐπιστολαῖς μάλιστα τηρητέον τὸ ἀκαλλώπιστον καὶ ὅτι ἐγγυτάτω τοῦ κατὰ φύσιν. Τοσαῦτα σοι περὶ ἐπιστολῶν, ὡς δι' ἐπιστολῆς παρ' ἡμῶν· καὶ ταῦτα ἴσως οὐ πρὸς ἡμῶν, οἷς τὰ μείζω σπουδάζεται· τἄλλα δὲ αὐτός τε φιλοπονήσεις, εὐμαθὴς ὤν, καὶ οἱ περὶ ταῦτα κομψοὶ διδάξουσιν.

52
ΤΩ ΑΥΤΩ

Ἐν μετοπώρῳ τὰ ἄνθη παρὰ τοῦ λειμῶνος αἰτεῖς καὶ γεγηρακότα ὁπλίζεις τὸν Νέστορα, ἐμέ τι νῦν ἀπαιτῶν δεξιὸν εἰς λόγους, ὃς πάλαι καὶ λόγου παντὸς καὶ **49** βίου τὸ τερπνὸν καταλέλυκα. Ὅμως δέ, (οὐ γὰρ Εὐρύσθειόν τινα τοῦτον ἆθλον ἐπιτάττεις ἡμῖν, οὐδὲ Ἡράκλειον, ἀλλὰ καὶ μάλα ἥμερον καὶ ἡμέτερον, τῶν ἐμῶν ἐπιστολῶν σοι συναγαγεῖν ὅσας οἷόν τε)· τ ῇ ν ῦ ν τ ο ῦ τ ο ν ἱ μ ά ν τ α ταῖς σαῖς ἐ γ κ α τ ά θ ο υ[α] βίβλοις, οὐκ ἐρωτικόν, ἀλλὰ λογικόν, οὐδὲ ἐπιδεικτικὸν μᾶλλον ἢ χρήσιμον καὶ τῆς ἡμετέρας αὐλῆς[1]. Ἄλλου μὲν γὰρ ἄλλο τι γνώρισμα, ἢ μικρὸν ἢ μεῖζον· τῶν δὲ ἡμετέρων λόγων τὸ παιδευτικὸν ἔν τε γνώμαις καὶ δόγμασιν, ὅπη παρείκοι. Καὶ καθάπερ εὐγενεῖ τόκῳ, τοῖς λόγοις ὁ πατὴρ ἀεὶ συνεμφαίνεται· οὐχ ἧττον ἢ τοῖς σωματικοῖς ὡς τὰ πολλὰ χαρακτῆρσιν οἱ φύσαντες. Τὸ μὲν οὖν ἡμέτερον τοιοῦτον. Σὺ **[109]** δὲ ἡμῖν ἀντιδοίης αὐτό τε τὸ γράφειν καὶ τὴν ἐξ ὧν γράφομεν ὠφέλειαν. Τούτου γὰρ ἀμείνω μισθὸν οὔτε αἰτεῖν οὔτε ἀπαιτεῖν ἔχομεν ἢ τοῖς αἰτοῦσι λυσιτελέστερον ἢ τῷ παρέχοντι πρεπωδέστερον.

53
ΤΩ ΑΥΤΩ

Ἀεὶ προτιμήσας ἐμαυτοῦ τὸν μέγαν Βασίλειον, εἰ κἀκείνῳ τοὺν-

1. Πρβλ. Ἰω. 10,16.
α. Ἰλιάδ. Ξ 219.

αντίον ἐδόκει, καὶ νῦν προτιμῶ οὐχ ἧττον διὰ τὴν ἀλήθειαν ἢ τὴν φιλίαν. Διὰ τοῦτο προθεὶς τὰς ἐκείνου ἐπιστολάς, τὰς ἐμὰς ὑποτίθημι. Καὶ γὰρ ἐπιθυμῶ πανταχοῦ συνεζεῦχθαι ἡμᾶς ἀλλήλοις, καὶ ἅμα τύπον παρέχων τοῖς ἄλλοις τοῦ μετρίου καὶ τῆς ὑφέσεως.

54
ΤΩ ΑΥΤΩ

50 Τὸ λακωνίζειν οὐ τοῦτό ἐστιν, ὅπερ οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλείστων ὀλίγας. Οὕτως ἐγὼ καὶ βραχυλογώτατον Ὅμηρον λέγω καὶ πολὺν τὸν Ἀντίμαχον. Πῶς; τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' οὐ τοῖς γράμμασι.

55
ΤΩ ΑΥΤΩ

Φεύγεις διώκοντας ἴσως νόμοις ἐρωτικοῖς, ἵνα σεαυτὸν ποιῇς τιμιώτερον. Ἧκε οὖν καὶ νῦν τὴν τοῦ μακροῦ χρόνου ζημίαν ἀναπλήρωσον ἡμῖν. Καὶ εἴ τί σε τῶν αὐτόθι κατέχοι, πάλιν ἀφήσεις ἡμᾶς, ὡς ἂν σεμνότερος ᾖς πάλιν ποθούμενος.

56
ΘΕΚΛΗ

Τὴν σμικράν σου προσθήκην τοῦ γράμματος ὡς μεγάλην ἐπιστολὴν ἐδεξάμην. Ἐμοὶ γὰρ ὑμεῖς καὶ ὑμῶν ἐγώ, τοῦ Πνεύματος οὕτως ἡμᾶς ἁρμόσαντος. Τοῦτο εἰδότες, εὔχεσθέ τε ὑπὲρ ἡμῶν καὶ περὶ πάντων θαρρεῖτε, ὡς οὐδένας **[112]** γνησιωτέρους ἡμῶν εὑρήσοντες οὐδὲ μᾶλλον τὰ ὑμέτερα κοινουμένους, εἰ καὶ μήπω μήτε συνήθεια πολλὴ μήτε πεῖρα τοῦτο ἐδίδαξεν. Περὶ δὲ τῶν λυπηρῶν τί χρὴ γράφειν ἢ ὅτι βούλομαι τῆς ἄκρας φιλοσοφίας καιρὸν τοῦτον νομίσαντας ἐγκαρτερεῖν τοῖς πάθεσι καὶ οὕτως ἀγωνίζεσθαι πρὸς τοὺς λυποῦντας, ἐπειδή γε ἄλλως οὔτε δυνατὸν οὔτε ὅσιον;

57
⟨ΤΗ ΑΥΤΗ⟩

52 Τὸ παριππεῦσαν ἔτος κρυμὸς γέγονε τῇ πατρίδι βαρὺς καὶ τὰς βλεφαρίδας τῶν ἀμπέλων τὰς ἤδη πρὸς ὠδῖνας λυομένας ἀνέ-

κοψεν· αἱ δὲ ἀπομείνασαι στεῖραι αὐχμηρὰς καὶ ἀβρόχους τὰς φιάλας ἐξειργάσαντο. Τί δή ποτ' οὖν σοι τὴν τῶν φυτῶν ἀκαρπίαν ἐκτραγῳδῆσαι προήχθημεν; Ἵνα γένῃ ἡμῖν, κατὰ τὸν Σολομῶντα, καὶ αὐτὴ ἄμπελος κυπρίζουσα[1] καὶ κατάκαρπος κληματίς, οὐ βότρυν ἐξανθήσασα, ἀλλὰ τῶν βοτρύων ἐκθλίψασα τοῖς διψῶσι τὴν δρόσον. Τίνες δέ εἰσιν οἱ διψῶντες; οἱ τῶν περίβολον τῆς συνόδου τειχίζοντες. Τούτους ὀρεινῷ μεθύσματι ποτίζειν οὐκ ἔχων ἐγώ, ἐπὶ τὴν πολυστάφυλόν σου κεχώρηκα δεξιάν, ἵν' ἡμῖν ἐκ ποταμίας τοὺς σοὺς κελεύσῃς ἐπιρρεῦσαι κρουνούς. Τοῦτο γὰρ τάχος ποιήσασα πολλῶν μὲν στόματα ξηρὰ θεραπεύσεις, εὐφρανεῖς δὲ πρῶτον ὡς ἔνι μάλιστα καὶ τὸν Ἀττικιστὴν ἐπαίτην ἐμέ.

58

ΒΑΣΙΛΕΙΩ

52 [113] Ἐγώ σε καὶ βίου καθηγητὴν καὶ δογμάτων διδάσκαλον καὶ πᾶν ὅ τι ἂν εἴποι τις τῶν καλῶν ἐθέμην τε ἀπ' ἀρχῆς καὶ νῦν τίθεμαι· καὶ εἴ τις ἄλλος ἐπαινέτης τῶν σῶν, ἢ μετ' ἐμοῦ πάντως ἢ μετ' ἐμέ· τοσοῦτον ἥττημαί σου τῆς εὐλαβείας καὶ οὕτω καθαρῶς εἰμι σός. Καὶ θαυμαστὸν οὐδέν· οὗ γὰρ πλείων ἡ συνουσία, πλείων καὶ ἡ πεῖρα· οὗ δὲ ἡ πεῖρα δαψιλεστέρα καὶ ἡ μαρτυρία τελεωτέρα. Καὶ εἴ τι ἄλλο μοι τοῦ ζῆν ὄφελος, ἡ σὴ φιλία καὶ συνουσία. Ἔχω μὲν οὕτω περὶ τούτων καὶ ἔχοιμι· ἃ δὲ νῦν γράφω, γράφω μὲν οὐχ ἑκών, γράφω δ' ὅμως. Καί μοι μηδὲ ἀχθεσθῇς· ἢ λίαν αὐτὸς ἀχθεσθήσομαι, εἰ μὴ κατ' εὔνοιαν ταῦτα λέγειν τε καὶ γράφειν πρὸς σὲ πιστευοίμην.

Πολλοὶ κατεγνώκασιν ἡμῶν ὡς περὶ τὴν πίστιν οὐκ ἰσχυρῶν, ὅσοι κοινοποιοῦσι τὰ ἡμέτερα καλῶς ποιοῦντες. Καὶ οἱ μὲν ἀσέβειαν ἐγκαλοῦσι φανερῶς, οἱ δὲ δειλίαν· ἀσέβειαν μέν οἱ μηδὲ ὑγιῶς ἔχειν πιστεύοντες, δειλίαν δέ οἱ τὴν ὑποστολὴν αἰτιώμενοι. Καὶ τὰ μὲν τῶν ἄλλων τί χρὴ καὶ λέγειν; Ὁ δ' οὖν νεωστὶ συνέβη. τοῦτό σοι διηγήσομαι.

Συμπόσιον ἦν καὶ τοῦ συμποσίου μετεῖχον οὐκ ὀλίγοι τῶν ἐπιφανῶν καὶ ἡμῖν φίλων, ἐν δὲ τούτοις καὶ ἀνήρ τις τῶν εὐλαβείας ὄνομα καὶ σχῆμα περικειμένων. Οὔπω πότος ἦν καὶ λόγος ἦν περὶ ἡμῶν, ὅπερ ἐν τοῖς συμποσίοις φιλεῖ συμβαίνειν ἀντ' ἄλλου τινὸς ἐπεισοδίου προτιθεμένων· πάντων δὲ τὰ σὰ θαυμαζόντων καὶ προστιθέντων ἡμᾶς ὡς τὰ ἴσα φιλοσοφοῦντας καὶ τὴν φιλίαν λεγόντων καὶ τὰς Ἀθήνας καὶ τὴν ἐν πᾶσι σύμπνοιάν τε καὶ ὁμόνοιαν, δεινὸν τὸ πρᾶγμα ποιεῖται ὁ δῆθεν φιλόσοφος. ⟨Καὶ τί τοῦτο, φησίν, ὦ οὗτοι;⟩ μάλα τι

---

1. Πρβλ. Ἆσμ. 2,13.

νεανικὸν ἐκβοήσας, ⟨Ὡς λίαν ὑμεῖς ψευδεῖς τε καὶ κόλακες· τἄλλα μὲν ἐπαινείσθωσαν οἱ ἄνδρες, εἰ δοκεῖ, οὐδὲ αὐτὸς ἀντιλέγω. Τὸ μέγιστον δὲ οὐ δίδωμι, τὴν ὀρθοδοξίαν μάτην μὲν ἐπαινεῖται Βασίλειος, μάτην δὲ Γρηγόριος, ὁ μὲν προδιδοὺς **[116]** τὴν πίστιν οἷς διαλέγε-**53**ται, ὁ δὲ συμπροδιδοὺς οἷς ἀνέχεται.⟩ — ⟨Πόθεν τοῦτο, ἔφην, ὦ μάταιε σὺ καὶ νέε Δαθὰν καὶ Ἀβειρὼν[1] τὴν ἀπόνοιαν; Πόθεν ἡμῖν ἥκεις δογματιστής; Πῶς σεαυτὸν ποιεῖς τηλικούτων κριτήν;⟩ —⟨Ἐκ τῆς κατ' Εὐψύχιον[α], ἔφη, συνόδου νῦν ἥκω τὸν μάρτυρα⟩ — καὶ γὰρ εἶχεν οὕτως — ⟨κἀκεῖσε ἤκουσα τοῦ μεγάλου Βασιλείου θεολογοῦντος τὰ μὲν περὶ Πατρὸς καὶ Υἱοῦ ἄριστά τε καὶ τελεώτατα καὶ ὡς οὐκ ἄν τις ῥᾳδίως ἄλλος, τὸ Πνεῦμα δὲ παρασύροντος⟩, καὶ προσετίθει τινὰ εἰκασίαν ὥσπερ τῶν ποταμῶν οἱ τὰς πέτρας μὲν παρατρέχοντες, τὴν δὲ ψάμμον κοιλαίνοντες. ⟨Ἦ τί δή ποτε, ὦ θαυμάσιε, σὺ μέν⟩ — ἔφη πρὸς ἐμὲ βλέπων — ⟨ἤδη φανερῶς οὕτω τὸ Πνεῦμα θεολογεῖς⟩ (καί τινος ἀπεμνημόνευε τῶν ἐμῶν, ὡς ἐν συνόδῳ πολυανθρώπῳ θεολογήσαντος εἶτα ἐπειπόντος τῷ Πνεύματι τοῦτο δὴ τὸ περιβόητον τό· Μέχρι τίνος ὑπὸ τῷ μοδίῳ τὸν λύχνον κρύψομεν;[2]), ⟨ὃ δὲ ὑποφαίνει μὲν ἀμυδρῶς καὶ οἷον σκιαγραφεῖ τὸν λόγον, οὐ παρρησιάζεται δὲ τὴν ἀλήθειαν πολιτικώτερον ἢ εὐσεβέστερον τὴν ἀκοὴν ἐπικλύζων καὶ τῇ δυνάμει τοῦ λόγου τὴν διπλόην περικαλύπτων⟩.

⟨Ὅτι ἐγὼ μέν, ἔφην, ἐν παραβύστῳ κείμενος καὶ τοῖς πολλοῖς ἀγνοούμενος καὶ μηδὲ ἃ λέγοιμι μηδὲ ὅτι λέγοιμι σχεδὸν γινωσκόμενος, ἀκινδύνως φιλοσοφῶ· τοῦ δὲ πλείων ὁ λόγος, ὡς περιφανεστέρου καὶ παρ' ἑαυτοῦ καὶ παρὰ τῆς Ἐκκλησίας. Καὶ δημοσίᾳ πᾶν τὸ λεγόμενον, πολύς τε περὶ αὐτὸν ὁ πόλεμος, ζητούντων λαβέσθαι τῶν αἱρετικῶν γυμνῆς τῆς φωνῆς καὶ αὐτοῦ Βασιλείου, ἵν' ὁ μὲν ἐξωσθῇ τῆς Ἐκκλησίας, ὁ μόνος σχεδὸν ὑπολειπόμενος τῆς ἀληθείας σπινθὴρ καὶ ἡ ζωτικὴ δύναμις, τῶν κύκλῳ πάντων κατειλημμένων, ῥιζωθῇ δὲ τὸ κακὸν ἐν τῇ πόλει καὶ ὥσπερ ἀπό τινος ὁρμητηρίου τῆς Ἐκκλησίας ταύτης πᾶσαν καταδράμῃ τὴν οἰκουμένην. Βέλτιον οὖν οἰκονομηθῆναι τὴν ἀλήθειαν, μικρὸν εἰξάντων ἡμῶν ὥσπερ νέφει τινὶ τῷ καιρῷ, ἢ καταλυθῆναι τῷ φανερῷ τοῦ κηρύγματος. Ἡμῖν μὲν γὰρ οὐδὲν βλάβος καὶ ἀπ' ἄλλων λέξεων τοῦτο συναγουσῶν Θεὸν τὸ Πνεῦμα γινώσκειν (οὐ γὰρ ἐν ἤχῳ μᾶλλον ἢ διανοίᾳ κεῖσθαι τὴν ἀλήθειαν)· τῇ **[117]** Ἐκκλησίᾳ δὲ μεγάλην ζημίαν τὸ δι' ἑνὸς ἀνδρὸς διωχθῆναι τὸ ἀληθές⟩.

54 Οὐκ ἐδέξαντο τὴν οἰκονομίαν ὡς ἔωλον καὶ παίζουσαν αὐτοὺς οἱ παρόντες· ἀλλὰ καὶ κατεβόων ἡμῶν ὡς τὴν δειλίαν μᾶλλον ἢ τὸν λόγον οἰκονομούντων. Πολὺ γὰρ εἶναι βέλτιον τὸ ἡμέτερον φυλάτ-

---

1. Πρβλ. Ἀριθ. κεφ. 16. 2. Πρβλ. Ματθ. 5,15.
α. Πρβλ. Σωζομενοῦ, Ἐκκλ. Ἱστορία V 11.

τειν διὰ τῆς ἀληθείας ἢ τοῦτό γε ἀχρειοῦν καὶ μὴ προσλαμβάνειν τὸ ἀλλότριον διὰ τῆς δῆθεν οἰκονομίας. Τὰ μὲν οὖν καθ' ἕκαστον, ὧν τε εἶπον, ὧν τε ἤκουσα, καὶ ὡς ἠγανάκτησα πρὸς τοὺς ἀντιτείνοντας πέρα τοῦ μετρίου σχεδὸν καὶ τῆς ἐμαυτοῦ συνηθείας, μακρὸν ἂν εἴη νῦν ἐκδιηγεῖσθαι καὶ ἴσως οὐκ ἀναγκαῖον. Τέλος δὲ τοῦ λόγου, τοὺς μὲν οὕτως ἀπεπεμψάμην. Σὺ δὲ δίδαξον ἡμᾶς, ὦ θεία καὶ ἱερὰ κεφαλή[α], μέχρι τίνος προϊτέον ἡμῖν τῆς τοῦ Πνεύματος θεολογίας καὶ τίσι χρηστέον φωναῖς καὶ μέχρι τίνος οἰκονομητέον, ἵν' ἔχωμεν ταῦτα πρὸς τοὺς ἀντιλέγοντας. Ἐγώ γὰρ εἰ δεοίμην νῦν τοῦτο μανθάνειν, ὁ πάντων μάλιστά σέ τε καὶ τὰ σὰ γινώσκων καὶ πολλάκις περὶ τούτων πληροφορίαν καὶ δεδωκὼς καὶ δεξάμενος, πάντων ἂν εἴην ἀμαθέστατός τε καὶ ἀθλιώτατος.

59
ΤΩ ΑΥΤΩ

Τοῦτο ἦν ὅπερ ἄλλος μὲν ἄν τις ὑπείδετο τῶν συνετωτέρων· ἐγὼ δὲ οὐκ ἔδεισα πρὸς σὲ γράφων, ὁ λίαν ἀρχαῖος καὶ μάταιος. Ἐλύπησέ σε τὰ γράμματα, ὡς δὲ ἐγώ φημι, οὐκ ὀρθῶς οὐδὲ δικαίως, ἀλλὰ καὶ λίαν περιττῶς. Καὶ τὴν λύπην οὐχ ὡμολόγησας μέν, οὐκ ἔκρυψας δέ, εἰ καὶ σοφῶς τοῦτο ἐποίησας, ὥσπερ τινὶ προσωπείῳ τῇ αἰδοῖ τὸ τῆς λύπης καλύπτων πρόσωπον. Ἐγώ δέ, εἰ μὲν δολερῶς καὶ κακοήθως τοῦτο ἐποίησα, οὐχ ὑπὸ τῆς σῆς λύπης μᾶλλον ἢ τῆς ἀληθείας βλαβήσομαι· εἰ δὲ ἁπλῶς καὶ μετὰ τῆς συνήθους εὐνοίας, τὰς ἐμὰς ἁμαρτίας, οὐ τὴν σὴν διάθεσιν αἰτιάσομαι. Πλήν γε ὅτι διορθώσασθαι ταῦτα μᾶλλον εἶχε καλῶς ἢ πρὸς τοὺς συμβουλεύοντας δυσχεραίνειν. Τὸ μὲν οὖν σὸν καὶ αὐτὸς ὄψει καὶ ἄλλοις συμβουλεύειν τὰ τοιαῦτα ἱκανὸς ὤν· ἐμὲ δὲ προθύμως ἔχεις, ἐὰν διδῷ Θεὸς καὶ **[120]** παρεσόμενον καὶ συναγωνιούμενον καὶ τὰ δυνατὰ συνεισοίσοντα. Τίς γὰρ ἀναδύσεται; τίς δὲ οὐ θαρρήσει ὑπὸ σοὶ καὶ μετὰ σοῦ περὶ τῆς ἀληθείας λέγων καὶ ἀγωνιζόμενος;

60
ΤΩ ΑΥΤΩ

55 Τοῦ πληρωθῆναί σοι τὸ ἐπίταγμα, τὸ μὲν τί ἐστιν ἐφ' ἡμῖ· τὸ δέ γε καί, οἶμαι, τὸ πλέον, ἐπὶ τῇ σῇ εὐλαβείᾳ. Ἐφ' ἡμῖν μέν, τὸ τῆς ὁρμῆς καὶ τῆς προθυμίας· οὔτε γὰρ ἄλλοτέ ποτε τὴν σὴν συντυχίαν ἐφύγομεν, ἀλλ' ἀεὶ ταύτην μεταδιώκομεν καὶ νῦν πλέον ταύτην

α. Πρβλ. Ἰλιάδ. Θ 281.

ποθοῦμεν. Ἐπὶ δὲ τῇ σῇ ὁσιότητι τὸ διορθωθῆναι τὰ ἡμέτερα· προσεδρεύομεν γὰρ τῇ κυρίᾳ τῇ μητρὶ πολὺν ἤδη καμνούσῃ χρόνον ἐξ ἀρρωστίας. Καὶ εἰ μὴ μέλλοιμεν ἀμφιβόλως αὐτὴν καταλείψειν, οὐ ζημιωθησόμεθα, εὖ ἴσθι τὴν παρουσίαν. Μόνον ταῖς εὐχαῖς, τῇ μὲν πρὸς ὑγίειαν, ἡμῖν δὲ πρὸς τὴν ὁδὸν ἐπικούρησον.

61

ΑΕΡΙΩ ΚΑΙ ΑΛΥΠΙΩ

Ὥσπερ ἀπαρχὰς ἀλῶνός τε καὶ ληνοῦ[1] καὶ τέκνων τοὺς ἀληθῶς φιλοτέκνους ἀνατιθέναι Θεῷ δίκαιόν τε καὶ ὅσιον, ὅτι παρ' αὐτοῦ καὶ ἡμεῖς αὐτοὶ καὶ τὰ ἡμέτερα, οὕτω καὶ νέας κληρονομίας, ἵνα τὸ μέρος προθύμως δοθὲν παράσχῃ τῷ πλείονι τὴν ἀσφάλειαν. Μὴ τοίνυν ἀναμείνητε μετὰ πάντας ἡμῖν γενέσθαι χρηστοί, ἀλλὰ πρὸ πάντων Θεῷ δι' ὃν καὶ πᾶσι καὶ τοὺς ἔξω ῥίψαντες νόμους τοῖς ἡμετέροις δουλεύσατε, τοῦτο παρ' ὑμῶν αὐτῶν καρποφοροῦντες, τὴν προθυμίαν. Τὰ μὲν γὰρ καταλειφθέντα παρ' ἄλλων, τὸ δὲ πρόθυμον παρ' ὑμῶν ἔξομεν, οἷς δυνατὸς ὁ Θεὸς ἀντιδοῦναι πολυπλάσια ὧν νῦν ἐπιδώσετε, οὐ μόνον ἐν τῷ προσκαίρῳ τούτῳ βίῳ καὶ ῥέοντι, ἀλλὰ καὶ ἐν τῷ αἰωνίῳ καὶ μένοντι· πρὸς ὃν μόνον ὁρᾶν ἀσφαλὲς καὶ εἰς ὃν πάσας τείνειν ἡμῶν τὰς ἐλπίδας. Ὡς οὖν **56** τοιούτου τευξόμενοι τοῦ Θεοῦ περὶ ὑμᾶς, οἷοί περ ἂν αὐτοὶ γένησθε τοῖς πτωχοῖς, μὴ μικροψύχως μηδὲ μικρολόγως, ἀλλὰ καὶ **[121]** λίαν φιλοτίμως τε καὶ προθύμως πληρώσατε τῇ κατοιχομένῃ τὴν βούλησιν, ἣν παρεῖναί τε ὑμῖν νομίσαντες καὶ ὁρᾶν τὰ γινόμενα, διὰ τῆς ἐπιδόσεως ἀναπαύσατε, ἵνα μὴ τὰ χρήματα μόνον ἔχητε παρ' αὐτῆς, ἀλλὰ καὶ στηρίζουσαν οἴκους τέκνων[2]· μητρὸς εὐλογίαν πορίσησθε, τοῦτο ἐνθυμηθέντες ὅτι βελτίων μικρὰ μερὶς μετὰ δικαιοσύνης[3], κατὰ τὸ γεγραμμένον, ἢ πλατυτέρα μετὰ μικρολογίας (ἵνα μὴ λέγω τι βλάσφημον) καὶ ὅτι πολλοὶ καὶ οἴκων ὅλων ἐκποιουμένων εἰς ἐκκλησίας ἠνέσχοντο, οἳ δὲ καὶ παρ' ἑαυτῶν πᾶσαν προήκαντο τὴν οὐσίαν καὶ τὴν καλλίστην ἐπραγματεύσαντο πραγματείαν, γενέσθαι διὰ τὸν ἐκεῖ πλοῦτον πένητες. Μὴ τοίνυν σπείρητε φειδομένως[4], ἵνα πλουσίως θερίσητε, ἀλλ' ἀγαθὸν κλῆρον[5] καὶ ὑμῖν αὐτοῖς καὶ τοῖς φιλτάτοις ὑμῶν τοῦτον χαρίσασθε, μηδὲν ὑφελόντες τῶν γεγραμμένων, ἀλλὰ πάντα μεθ' ἡδονῆς καὶ φαιδρότητος ἐπιδόντες ἢ ἀποδόντες ὡς οἰκεῖα τοῦ Θεοῦ, ὡς τοῦτο μόνον κερδανοῦντες ὅ τι ἂν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ἀναλώσητε. Τί γὰρ δεῖ θησαυρίζειν ληισταῖς καὶ κλέπταις καὶ καιρῶν μεταβολαῖς ἄλλοτε εἰς ἄλλους

---

1. Πρβλ. Ἐξ. 22,28. 2. Πρβλ. Σ. Σειρ. 3,9. 3. Πρβλ. Παρμ. 15,16.
4. Πρβλ. Β' Κορ. 9,6. 5. Πρβλ. Ψαλ. 15,5-6.

μετατιθέντων[1] καὶ ῥιπιζόντων τὴν ἄστατον εὐπορίαν, ἀλλὰ μὴ εἰς τὰς ἀσφαλεῖς ἀποθήκας ἀποτίθεσθαι καὶ τῶν ἐπιβουλευόντων ἰσχυροτέρας; Τὸ μὲν οὖν εὐτελὲς περὶ ἄλλα καὶ ἄλλοις δείξατε (καὶ γὰρ εὔχομαι δυνατοὺς ὑμᾶς εἶναι μετὰ χρηστότητος), ἡμῖν δὲ ἀγωνίσασθε «τὸν καλὸν ἀγῶνα»[2], ὅστις νικήσει τὸν ἄλλον εὐλαβείᾳ καὶ ταῖς ὀφειλομέναις εὐλογίαις ἐκ Θεοῦ τοῖς εὐγνώμοσι[3]. Πείσατε οὖν ἡμᾶς ὅτι γνησίως χριστιανίζετε, μᾶλλον δὲ ἀπὸ καλῆς ἀρξάμενοι ἀρχῆς καὶ οὕτως εὐσεβοῦς καὶ δικαίας, ἐντεῦθεν καὶ περὶ τῶν ἄλλων ὁμονοήσατε, ὡς ἂν ὑμεῖς τε ἀλλήλοις καὶ ἡμεῖς ὑμῖν ἐπευφραινώμεθα τά τε ἄλλα καὶ δεξιὸν ὑπόδειγμα γενομένοις πάσῃ τῇ Ἐκκλησίᾳ τῆς περὶ ταῦτα εὐγνωμοσύνης.

62
⟨ΑΜΦΙΛΟΧΙΩ⟩

57 [124] Οὐ βάρβαρον τὸ ἐπίταγμα τῆς ἀμιμήτου σου καλοκἀγαθίας, ἀλλ' ἑλληνικόν, μᾶλλον δὲ χριστιανικόν. Ὁ δὲ Ἀρμένιος, ἐφ' ᾧ πάνυ φιλοτιμῇ, βάρβαρος ἄντικρυς καὶ πόρρωθεν τῆς ἡμετέρας φιλοτιμίας.

63
ΑΜΦΙΛΟΧΙΩ

Ἀλγεῖς; Ἐγὼ δὲ τρυφῶ δηλονότι. Δακρύεις; Ἐγὼ δέ, ὡς ὁρᾷς, πανηγυρίζω καὶ τοῖς παροῦσι καλλωπίζομαι. Ἡ σὲ μὲν υἱὸς λυπεῖ δι' ἀρετὴν ἁρπαζόμενος καὶ τιμώμενος καὶ δεινὸν εἰ μὴ παρέσται σοι καὶ γηροκομήσει καὶ τὰ εἰκότα θεραπεύσει κατὰ τὸ σύνηθες; Ἐμὲ δὲ οὐκ ἀνιᾷ πατὴρ τὴν τελευταίαν ἐκδημίαν ἀφ' ἡμῶν ἐκδημήσας, ἐξ ἧς οὐκέτι πρὸς ἡμᾶς ἀναλύσει οὐδὲ παρ' ἡμῶν ὀφθήσεται; Εἶτα ἡμεῖς μὲν οὐδὲν ἐγκαλοῦμεν οὐδὲ τὴν ὀφειλομένην ἀπαιτοῦμεν παραμυθίαν, εἰδότες ὅτι τὰ ἴδια κακὰ καιρὸν οὐ δίδωσι τοῖς ἀλλοτρίοις σχολάζειν· οὐδὲ γὰρ οὕτω τίς ἐστι φιλικὸς καὶ φιλόσοφος ὥστε ὑπεράνω τῶν παθῶν εἶναι καὶ παρακαλεῖν ἄλλον, αὐτὸς δεόμενος παρακλήσεως. Σὺ δὲ τῇ πληγῇ πληγὴν ἐπιβάλλεις αἰτιώμενος ἡμᾶς, ὡς πυνθάνομαι καὶ νομίζων ἀμελεῖσθαι τὸν σὸν υἱόν, ἡμέτερον δὲ ἀδελφόν, ἢ προδεδόσθαι παρ' ἡμῶν, ὃ βαρύτερον, ἀλλὰ μὴ τῆς ζημίας ἡμᾶς ἐπαισθάνεσθαι ἣν ἐζημίωνται πάντες μὲν καὶ φίλοι καὶ συγγενεῖς, ἐγὼ δὲ καὶ πάντων μᾶλλον, ὁ καὶ τὰς ἐλπίδας τῆς ζωῆς ἐν ἐκείνῳ θέμενος καὶ μόνον μὲν ἔρεισμα, μόνον δὲ σύμβουλον ἀγαθόν, μόνον δὲ κοινωνὸν

---

1. Πρβλ. Ματθ. 6,19. 2. Β' Τιμ. 4,7. 3. Πρβλ. Παρμ. 10,6.

εὐσεβείας ὑπολαμβάνων. Καὶ τίσι τοῦτο εἰκάζεις; Εἰ μὲν τοῖς **[125]** πρώτοις, ἐνθυμήθητι ὅτι καὶ διέβην μέχρις ὑμῶν ἐξεπίτηδες, τῇ φήμῃ τεταραγμένος, καὶ κοινωνῆσαι γνώμης ὑμῖν πρόθυμος ἐγενόμην, ἡνίκα καὶ καιρὸς ἦν ἔτι περὶ τούτων βουλεύεσθαι· καὶ πάντα μᾶλλον ἢ ταύτης ἡμῖν ἐκοινωνήσατε, εἴτε ὑπὸ τῆς αὐτῆς ἀπορίας, εἴτ' οὐκ οἶδ' ὅ τι βουλη**58**θέντες. Εἰ δὲ τοῖς τελευταίοις, μάλιστα μὲν οὐκ εἶα τὸ πάθος πάλιν ὑμῖν ἐντυχεῖν καὶ ἡ τῷ πατρὶ χρεωστουμένη τιμὴ καὶ ὁσία, ἧς οὐδὲν ἐδυνάμην ποιήσασθαι προτιμότερον καὶ ταῦτα ὑπογυίου τοῦ πάθους ὄντος, ἡνίκα οὐκ ἀσεβὲς μόνον ἀλλ' οὐδὲ ὅλως εὐπρεπὲς ἔξω τοῦ καιροῦ φιλοσοφεῖν καὶ ὑπὲρ τὸ ἀνθρώπινον· ἔπειτα καὶ προκατειλῆφθαι ὑπὸ τῶν πραγμάτων ἐνομίσαμεν, πέρας ἤδη τῶν κατ' αὐτὸν ἐχόντων ὁποῖον ἐδόκει τῷ ἄγοντι τὰ ἡμέτερα. Ταῦτα μὲν δὴ τοιαῦτα. Νῦν δὲ καὶ τὴν λύπην ἄνες ἡμῖν πάντων οὖσαν ἀλογωτάτην, ὡς ἐμαυτὸν πείθω· καὶ εἴ τί σοι πλέον δοκεῖ, παράστησον, ἵνα μὴ καὶ ἡμᾶς ἐν τῷ μέρει καὶ σεαυτὸν λυπῇς καὶ πρᾶγμα πάσχῃς σφόδρα τῆς σῆς εὐγενείας ἀνάξιον ἀντ' ἄλλων ἡμᾶς αἰτιώμενος τοὺς οὐδὲν ἀδικοῦντας, ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὰ ἴσα τυραννηθέντας ὑπὸ τῶν κοινῶν φίλων καὶ οὓς μόνους εὐεργέτας ἐνόμιζες.

64

ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Ὅτε παρήει σου ἡ θεοσέβεια διὰ τῆς πατρίδος ἡμῶν, οὐδὲ τοῦ δωματίου προκύψαι οἷός τε ἦμην, ἐν ἐσχάτῃ ἀρρωστίᾳ διάγων. Ἐλύπει δέ με οὐ τοσοῦτον ἡ νόσος τὸν περὶ τῶν ἐσχάτων φόβον ἐπάγουσα, ἀλλ' ὅτι τῆς ἱερᾶς σου καὶ ἀγαθῆς συντυχίας ἀπεστερούμην, τοσαύτην ἔχων περὶ τὸ ἰδεῖν σου τὸ τίμιον πρόσωπον ἐπιθυμίαν, ὅσην εἰκὸς ἦν τὸν χρῄζοντα μὲν θεραπείας τῶν ψυχικῶν τραυμάτων, ταύτην δὲ παρὰ τῆς σῆς τελειότητος ἔξειν ἐλπίζοντα. Ἀλλ' εἰ καὶ τῶν ἁμαρτιῶν τῶν ἐμῶν γέ**[128]**γονεν ἔργον τὸ κατὰ τὸν καιρὸν ἐκεῖνον διαμαρτεῖν με τῆς σῆς συντυχίας, νῦν διὰ τῆς σῆς ἀγαθότητος ἔστι δυνατὸν γενέσθαι μοί τινα τῶν λυπηρῶν ἐπανόρθωσιν. Εἰ γὰρ καταξιώσειας κἀμοῦ μνήμην ποιεῖσθαι ἐν ταῖς εὐπροσδέκτοις σου προσευχαῖς, πάσης ἔσται μοι τοῦτο τῆς παρὰ τοῦ Θεοῦ εὐλογίας ἐφόδιον καὶ ἐν ταύτῃ μου τῇ ζωῇ καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι. Τὸ γὰρ ἄνδρα τοσοῦτον, οὕτως ἐναθλοῦντα τῇ πίστει τοῦ Εὐαγγελίου καὶ τηλικούτους διωγμοὺς ὑπομείναντα καὶ τοσαύτην ἑαυτῷ παρρησίαν ἐπὶ τοῦ δικαιοδότου Θεοῦ ἑτοιμάζοντα διὰ τῆς τῶν θλίψεων ὑπομονῆς, τοῦτον καὶ ἡμῶν καταξιοῦν **59** γενέσθαι προστάτην διὰ τῶν προσευχῶν, πέπεισμαι ὅτι τοσαύτην ἔχει τὴν δύναμιν, ὅση ἂν ἦν μοι καὶ εἰ παρά τινος τῶν ἁγίων ἐγίνετο μαρτύρων. Ὥστε παρακλήθητι ἀπαραλείπτως μεμνῆσθαι τοῦ σοῦ Γρηγορίου ἐν οἷς εὔχομαι εἶναί σου τῆς μνήμης ἐπάξιος.

65
ΤΩ ΑΥΤΩ

Τὰ πάντα τίμιος ὢν ἡμῖν καὶ τῶν φίλων ἐν τοῖς γνησίοις, ὁ αἰδεσιμώτατος ἡμῶν Εὐπράξιος ὁ ἀδελφός, τιμιώτερος ὤφθη καὶ γνησιώτερος ἐκ τῆς περὶ σὲ διαθέσεως, ὅς γε καὶ νῦν οὕτως ὥρμησε πρὸς τὴν σὴν θεοσέβειαν, ἵν' εἴπω τὸ τοῦ Δαυίδ, ὡς ἔλαφος πολὺ δίψος τὸ οὐ φορητόν, ποτίμῳ καὶ καθαρᾷ τῇ πηγῇ καταψύχουσα[1]. Καὶ μακάριος ὁ σοὶ πλησιάζειν ἠξιωμένος, μακαριώτερος δὲ ὁ τοῖς ὑπὲρ Χριστοῦ παθήμασι καὶ τοῖς ὑπὲρ ἀληθείας ἱδρῶσι τοιαύτην ἐπιθεὶς κορωνίδα ἧς ὀλίγοι τῶν φοβουμένων τὸν Θεὸν τετυχήκασιν. Οὐ γὰρ ἀβασάνιστον ἐπεδείξω τὴν ἀρετήν, οὐδὲ ἐν εὐδίας καιρῷ μόνον ὄρθιος ἔπλευσας καὶ τὰς τῶν ἄλλων ψυχὰς ἐκυβέρνησας, ἀλλ' ἐν ταῖς **[129]** δυσχερείαις τῶν πειρασμῶν διεφάνης καὶ τῶν διωκόντων γέγονας ὑψηλότερος τῷ γενναίως μεταναστῆναι τῆς ἐνεγκούσης. Καὶ ἄλλοι μὲν τὸ πατρῷον ἔδαφος ἔχουσιν, ἡμεῖς δὲ τὴν ἄνω πόλιν· ἄλλοι τὸν ἡμέτερον ἴσως θρόνον, ἡμεῖς δὲ τὸν Χριστόν· ὧ τῆς πραγματείας, οἵων ὑπεριδόντες οἷα κεκομίσμεθα. «Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος», πιστεύω δὲ ὅτι καὶ ἐξελευσόμεθα εἰς «ἀναψυχήν»[2]. Οὐ γὰρ εἰς τέλος ἐγκαταλείψει **60** ἡμᾶς ὁ Θεός[3], οὐδὲ περιόψεται τὸν ὀρθὸν λόγον δεδιωγμένον, ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν ἡμῶν αἱ παρακλήσεις αὐτοῦ εὐφραναῦσιν ἡμᾶς[4]. Τοῦτο μὲν οὖν καὶ πιστεύομεν καὶ εὐχόμεθα. Σὺ δέ, παρακαλῶ, ὑπερεύχου τῆς ταπεινώσεως ἡμῶν· καὶ ὁσάκις ἂν ἐμπίπτῃ καιρὸς καὶ εὐλογεῖν ἡμᾶς διὰ γραμμάτων μὴ κατόκνει καὶ εὐθυμοτέρους ποιεῖν τὰ κατὰ σαὐτὸν δηλῶν, ὃ ποιῆσαι καὶ νῦν κατηξίωσας.

66
ΤΩ ΑΥΤΩ

Καὶ γράφων καὶ μεμνημένος εὐφραίνεις ἡμᾶς, καί, ὃ τούτου μεῖζον, εὐλογῶν ἐν τοῖς γράμμασιν. Ἡμεῖς δέ, εἰ ἦμεν ἄξιοι τῶν σῶν παθημάτων καὶ τῆς ὑπὲρ Χριστοῦ καὶ διὰ Χριστὸν ἀθλήσεως, κατηξιώθημεν ἂν καὶ μέχρι σοῦ γενόμενοι περιπτύξασθαί σου τὴν θεοσέβειαν καὶ τύπον λαβεῖν τῆς ἐν τοῖς παθήμασι καρτερίας. Ἐπειδὴ δὲ ἀνάξιοι τούτου τυγχάνομεν, πολλαῖς θλίψεσι καὶ ἀσχολίαις ἐνοχλούμενοι, ὃ δεύτερόν ἐστι ποιοῦμεν· προσαγορεύομεν τὴν τελειότητά σου καὶ ἀξιοῦ**[132]**μεν μὴ ἀποκάμνειν σε μεμνημένον ἡμῶν.

---

1. Πρβλ. Ψαλ. 41,2. 2. Ψαλ. 65,12. 3. Πρβλ. Ψαλ. 102,9. 4. Πρβλ. Ψαλ. 93,19.

Οὐ γὰρ ὠφέλεια ἡμῖν μόνον τῶν σῶν καταξιοῦσθαι γραμμάτων, ἀλλὰ καὶ καύχημα πρὸς τοὺς πολλοὺς καὶ καλλώπισμα, ὅτι λόγος ἡμῶν ἐστι παρ᾽ ἀνδρὶ τοσούτῳ τὴν ἀρετὴν καὶ τοσαύτην ἔχοντι πρὸς Θεὸν οἰκειότητα, ὥστε καὶ ἄλλους οἰκειοῦν δύνασθαι καὶ λόγῳ καὶ ὑποδείγματι.

67

ΙΟΥΛΙΑΝΩ

Ἐμοὶ πρὸς σὲ φιλίας μὲν πολλὰ δίκαια, καὶ εἰ μή τι ἄλλο, οἱ λόγοι ὧν οὐδὲν τοῖς πολλοῖς αἰδεσιμώτερον οὐδὲ οἰκειότερον· ἀπεχθείας δὲ ὑπόθεσις οὐδεμία οὔτε ἐστί, μήτε γένοιτο. Ἃ γὰρ πρὸς τὸν ἀδελφὸν Νικόβουλον ἢ παρὰ Νικοβούλου **61** λελύπησαι, οὐκ ἐμὰ μᾶλλον ἢ τὰ ἐν Ἰνδοῖς πραττόμενα· ὅσον ἐπὶ τὸ μὴ συναρέσκεσθαι μηδενὶ τῶν γεγενημένων. Μὴ τοίνυν ἐμοὶ ταῦτα λογίσῃ μηδὲ διὰ τοῦτο χεῖρόν τι βουλεύσῃ περὶ σεαυτοῦ· ἀλλ᾽ ἣν ὑπέσχου τοῖς πτωχοῖς φιλανθρωπίαν, ταύτην ἐπιτελῆ ποίησον. Καὶ μέν τοι καὶ τοὺς περὶ ἐμὲ κληρικοὺς ὅσους παρητησάμην τῆς ἀπογραφῆς ἐλευθέρωσον, ἐκεῖνο ἐνθυμηθεὶς ὅτι λίαν τῶν ἀτόπων ἐστὶν ἄλλους μὲν καὶ οὐσίαν ὅλην καθιεροῦν τῷ Θεῷ, σὲ δὲ μηδὲ προῖκα βούλεσθαι εἶναι χρηστόν, καὶ ἄλλαις μὲν πόλεσι πάντας τοὺς περὶ τὸ βῆμα δοθῆναι, ἡμῖν δὲ μηδὲ τοὺς συνόντας καὶ θεραπεύοντας, καὶ ταῦτα παρ᾽ ὑμῶν τῶν οἰκειοτάτων οὓς τυχὸν οὐκ αἰσχυνοῦμεν. Ταῦτα ἐπισταλῆναί σοι παρ᾽ ἡμῶν καλῶς εἶχε. Συντυχεῖν δὲ οὐκ ἐξεγένετο, ἐπειδή με ἡ νόσος ἐξώρμησε πρὸς τὰ Τύανα θεραπείας τευξόμενον, ἕως καιρός· καὶ συγγίνωσκε. Ἀντὶ δὲ ἡμῶν ἔχεις Θεὸν παρόντα καὶ βοηθοῦντα τοῖς πένησι, τὸν πολὺ τῆς παρουσίας ἡμῶν αἰδεσιμώτερον.

68

ΤΩ ΑΥΤΩ

[133] Ἐκάλεσας ἡμᾶς ἐπὶ τὴν μονήν, καλῶς γε ποιῶν, ὡς κοινωνοὺς τοῦ κατὰ τὴν ἐπανίσωσιν σκέμματος· καὶ γάρ ἐστιν οὐ μικρᾶς τὸ πρᾶγμα φροντίδος. Ἐγὼ δέ, εἰ μὲν ὑγιαίνων ἐτύγχανον, σφόδρα ἂν ἀπήντησα προθύμως· καὶ ἥξω δέ, ὅταν οἷόν τε ᾖ, Θεοῦ θέλοντος. Νῦν δὲ διὰ γραμμάτων πληρῶ τὰ τῆς παρουσίας. Οἶδά σε καὶ γονέων ὄντα ἱερῶν καὶ τῷ θείῳ φόβῳ συνηυξημένον ἄνωθεν. Ἃ οὖν ἐπίστασαι συμφέρειν σοι καὶ πρὸς εὐδοξίαν καὶ πρὸς ἀσφάλειαν ψυχῆς, ταῦτα δηλονότι ποιήσεις κἂν ἡμεῖς αὐτοὶ μὴ γράφωμεν. Εἰ δέ τι καὶ ἡμᾶς συνεισενεγκεῖν δεῖ, τοῦτο γνωρίζομεν ὅτι ἀντ᾽ ἄλλης τινὸς πολιτείας ἣν εἰσφέρουσι τῷ Θεῷ χρι**62**στιαναὶ ψυχαί, τοῦτό σοι

πρόκειται νῦν· καὶ μεγάλα σεαυτῷ θησαυρίσεις[1] τοῦ κοινοῦ φροντίσας καὶ εἴ τι πρὸ τούτου διετέθη κακῶς καὶ τοῦτο ἐπανορθωσάμενος. Ἓν δὲ καὶ μέγιστον εἰς ἀσφάλειαν (ὃ καὶ πρῶτόν σοι φυλακτέον), συνεργοὺς λαβεῖν οὓς καὶ συνέσει καὶ τρόπῳ διαφέρειν τῶν ἄλλων γινώσκεις. Τί γὰρ ὄφελος κυβερνήτην εἶναι χρηστόν, πονηροῖς χρώμενον ἐρέταις;

69
ΤΩ ΑΥΤΩ

Ἔχω τὴν ὑπόσχεσιν καὶ θαρρῶ τῷ τρόπῳ δι' ὃν ἔχω καὶ τὴν δωρεάν. Μάλιστα μὲν οὖν οἶδε τὸ μέτρον τῶν ἐπιδόσεων καὶ τῶν ἀντιδόσεων ὁ μέγας τῶν χρεῶν διαλύτης[2]· εἰ δὲ καὶ ἐφ' ἡμῖν ἐστι τὰ τοιαῦτα συντίθεσθαι, παρ' ἡμῶν ἡ θυσία, παρὰ σοῦ τὸ φιλάνθρωπον. Μερισώμεθα τὴν ἀντίδοσιν.

70
ΕΥΤΡΟΠΙΩ

[136] Τί τοῦτο; Εὐτρόπιος ὁ μέγας ἐν ἡμετέροις· καὶ ἡμεῖς ἀκούομεν, ἀλλ' οὐκ ἀπολαύομεν. Ὁ δὲ Τάνταλος ἐκεῖνος τί ποτ' ἄλλο ἢ τοῦτο ἦν, ἐν μέσαις πηγαῖς δίψει τηκόμενος; Σὺ μὲν οὖν ποθεῖς τὴν συντυχίαν τὴν ἡμετέραν, ὡς γράφεις, καὶ καλῶς ποιεῖς· ἔδει γὰρ ὄντα σε ὅπερ εἰ μὴ περιφρονεῖν τοὺς φίλους, ἀλλὰ καὶ ὁδοῦ πάρεργον εὖ ποιεῖν ἡμᾶς καὶ ταῦτα τιμᾶν μετὰ τὴν ἀρχὴν ἃ καὶ ἄρχων τιμᾶν ἠξίους. Ἐμὲ δὲ πῶς οἴει διακεῖσθαι καὶ τίνα ἔχειν τὴν ψυχήν, ποθοῦντα **63** μὲν οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον, ὡς τὸ εἰκὸς (τὸ γὰρ αἰδεσιμώτερον, ποθεινότερον), τῇ δὲ ἀρρωστίᾳ πεπεδημένον; Σὺ δέ μοι γενοῦ τὸ Αἰγύπτιον φάρμακον, εἴτε λόγος τοῦτο ἦν, εἴτε τι ἕτερον, ᾧ φαρμακεύει τὰς ψυχὰς[α] Ὅμηρος ἐν ταῖς λύπαις. Γενήσῃ δὲ πῶς; Πρῶτον μὲν συγγινώσκων, ἕτοιμον γὰρ τὸ χρηστὸν εἰς συγγνώμην· ἔπειτα παιδεύων ἡμᾶς ἐξ ὧν ἂν ἐπιστέλλῃς, ἐπεὶ καὶ ἄρχοντά σε τῆς ἀρετῆς μᾶλλον ἢ τῆς ἐξουσίας θαυμάζειν εἴχομεν.

---

1. Πρβλ. Ματθ. 6,20. 19,21. Μάρκ. 10,21. Λουκ. 18,22. 2. Πρβλ. Ματθ. 6,12. 18,32. Λουκ. 6,37. 11,4.

α. Πρβλ. Ὀδυσσ. δ 219-229.

71
ΤΩ ΑΥΤΩ

Ἄλλος μὲν ἄλλο τι τῶν σῶν ἐπαινείτω (πάντως δὲ ἀρκέσεις γλώσσαις πολλαῖς μεριζόμενος)· ἐγὼ δὲ ὃ μάλιστα θαυμάσας ἔχω, τοῦτο ἐρῶ. Τοσοῦτόν σοι καλοκἀγαθίας καὶ λόγων περίεστιν ὥστε σοι καὶ τοῦτο μόνον φίλους ποιεῖν, τὸ νομισθῆναί τινας τοιούτους. Ἐμὲ γοῦν πρὸς πᾶσιν οἷς γε τετίμηκας οὕσι τοσούτοις ἡνίκα τὸν ὑψηλότατον εἶχες θρόνον ἔχοντα τὸ ἐπίφθονον ἔτι, καὶ κατὰ τὴν Ἀσίαν περιτυχών, εἴ τι μέμνησαι (μέμνησαι δὲ οἶδ' ὅτι τηλικοῦτος ὢν καὶ τὰ φιλικά, μετὰ τῆς ἐν πᾶσι τελειότητος), τά τε ἄλλα εἶδες ὡς ἥδιστα καὶ γράφειν διεκελεύσω, λόγους τιμῶν τοὺς σούς. Οὐ μόνον δέ, ἀλλὰ καὶ γράψαι πρότερος ἠξίωσας, **[137]** τοὺς ἀγαθοὺς τῶν γραφέων μιμούμενος οἳ τῷ παραδεικνύναι τὰ πολλὰ τοὺς μαθητὰς ἐκπαιδεύουσι. Τοῦτο οὖν νῦν τε πεποίηκας εὖ ποιῶν· καὶ τοῦ λοιποῦ χαρίζεσθαι μὴ κατόκνει, κἂν σε ὑψηλὸν αὖθις οἱ θρόνοι φέρωσιν (οἴσουσι γὰρ τὴν ἀρχήν, οὐ τὴν ἀρετήν· οὐδὲ γὰρ ἔχεις ὅ τι ὑψωθῇς κατὰ ταύτην, ἥκων πρὸς τὸ ἀκμαιότατον). Ἀλλὰ καὶ τὰ κοινὰ πράττων τῶν φίλων μὴ ἀμέλει, κατὰ τοὺς Ὁμηρικοὺς νεανίας ἐν μέσῳ πολέμῳ τὰ φιλικὰ σπουδάζοντας, ἐπειδὴ καὶ τούτῳ ποικίλλει τὴν ποίησιν ὁ σὸς Ὅμηρος.

72
ΓΡΗΓΟΡΙΩ ΝΥΣΣΗΣ

64 Μὴ σφόδρα δάκνου τοῖς λυπηροῖς. Ἂν γὰρ ἧττον λυπώμεθα, ἧττόν ἐστι λυπηρά. Οὐδὲν δεινὸν εἰ ἀνεθάλφθησαν οἱ αἱρετικοὶ καὶ τῷ ἔαρι θαρροῦσι τῶν φωλεῶν ἐξερπύσαντες, ὡς αὐτὸς γράφεις. Μικρὰ συριοῦσιν, εὖ οἶδα, εἶτα καταδύσονται καὶ τῇ ἀληθείᾳ καὶ τῷ καιρῷ πολεμούμενοι καὶ τόσῳ μᾶλλον ὅσῳπερ ἂν τῷ Θεῷ τὸ πᾶν ἐπιτρέπωμεν.

73
ΤΩ ΑΥΤΩ

Περὶ ὧν ἐπέσταλκας, οὕτως ἔχομεν· οὔτε ὑπερορώμενοι δυσχεραίνομεν καὶ τιμώμενοι χαίρομεν. Τοῦ μὲν γὰρ ἡμεῖς ἄξιοι, τὸ δὲ τῆς ὑμετέρας φιλοτιμίας. Προσεύχου περὶ ἡμῶν. Τῇ βραχυλογίᾳ συγγίνωσκε· πάντως γάρ, εἰ καὶ μικρὰ ταῦτα, σιωπῆς γε μακρότερα.

α. Πρβλ. Ἰλιάδ. Ι 185-191.

74
ΤΩ ΑΥΤΩ

Καὶ μένων συνεκδημῶ διὰ τῆς ἀγάπης ὑμῖν· πάντα γὰρ ὁ πόθος κοινοποιεῖ τὰ ἡμέτερα. Καὶ πολλὰς ἐλπίδας ἔχω, τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ θαρ**[140]**ρῶν καὶ ταῖς ὑμετέραις εὐχαῖς, ὅτι πάντα κατὰ νοῦν ὑμῖν ἐκβήσεται καὶ ἡ καταιγὶς εἰς αὔραν λυθήσεται καὶ τοῦτον ὑμῖν ὁ Θεὸς τῆς ὀρθοδοξίας δώσει μισθόν, τὸ τοὺς ἐπηρεάζοντας ὑπερσχεῖν. Μάλιστα μὲν οὖν ἴδοιμεν ὑμᾶς ἐν τάχει καὶ ἀπολάβοιμεν **65** ὡς εὐχόμεθα. Εἰ δὲ χρονίζοιτε, τῶν πραγμάτων οὕτω τυπούντων, γράμμασι γοῦν εὐφραίνειν ἡμᾶς μὴ ἀπαξιοῦτε δηλοῦσι τὰ ὑμέτερα καὶ προσεύχεσθαι τὰ συνήθη περὶ ἡμῶν. Ἐρρωμένους ὑμᾶς καὶ τοῖς πᾶσιν εὐθύμους ὁ ἀγαθὸς Θεὸς χαρίσαιτο, τῆς Ἐκκλησίας τὸ κοινὸν ἔρεισμα.

75
ΒΙΤΑΛΙΑΝΩ

Οὐ συνεχῶς ὁμιλοῦμέν σοι. Τὸ δὲ αἴτιον, ὅτι πολλοὶ περὶ σὲ καὶ οἷς ἥκιστα χαίρομεν. Εἰ δὲ ἀνακαθήραις σεαυτὸν τῶν πολλῶν καὶ σύνοικον ἔχοις τὴν ἀρετήν, ὄψει καὶ χωλῶν δρόμον, ὡς ἡ παροιμία. Τοῦτο γὰρ καὶ ὑπισχνούμεθα σὺν Θεῷ καὶ πράξομεν.

76
ΓΡΗΓΟΡΙΩ ΝΥΣΣΗΣ

Καὶ τοῦτο ἀπέκειτο τῇ μοχθηρᾷ μου ζωῇ, τὸ Βασιλείου θάνατον ἀκοῦσαι καὶ τῆς ἁγίας ἐκείνης ψυχῆς ἐκδημίαν, ἣν ἐξεδήμησεν ἀφ' ἡμῶν ἵν' ἐνδημήσῃ πρὸς Κύριον, πάντα τὸν βίον μελέτην τούτου πεποιημένος. Ἀλλ' ἐγὼ μὲν μετὰ τῶν ἄλλων καὶ τοῦτο ἀφήρημαι διὰ τὸ καὶ νῦν ἔτι πονηρῶς ἔχειν τοῦ σώματος καὶ λίαν ἐπικινδύνως, τὸ καὶ περιπτύξασθαι τὴν ἁγίαν κόνιν καί σοι παρεῖναι τὰ εἰκότα φιλοσοφοῦντι καὶ τοὺς κοινοὺς ἡμῶν φίλους παραμυθήσασθαι. Τὸ γὰρ τὴν τῆς Ἐκκλησίας ἰδεῖν ἐρημίαν, τοιαύτην ἀποκειραμένης δόξαν καὶ τοιοῦτον ἀποσεισαμένης στέφανον, οὔτε ὄψει θεατὸν οὔτε ἀκοῇ χωρητὸν τοῖς γε νοῦν **[141]** ἔχουσι. Σὺ δέ μοι δοκεῖς, πολλῶν ὄντων καὶ φίλων καὶ λόγων τῶν εἰς παράκλησιν, ὑπ' οὐδενὸς ἂν οὕτω παρακληθῆναι ὡς ὑπὸ σεαυτοῦ καὶ τῆς ἐκείνου **66** μνήμης· οἳ καὶ τοῖς ἄλλοις πᾶσι γεγόνατε φιλοσοφίας ὑπόδειγμα καὶ οἷόν τις στάθμη πνευματικὴ τῆς τε ἐν τοῖς χρηστοῖς εὐταξίας καὶ τῆς ἐν τοῖς ἀνιαροῖς καρτερίας, ἐπειδὴ δύο ταῦτα οἶδε φιλοσοφία, εὐπραξίαν τε διαθέ-

σθαι μετρίως καὶ συμφορὰν εὐσχημόνως. Ταῦτα παρ' ἡμῶν πρὸς τὴν σὴν τιμιότητα· ἐμὲ δὲ τίς παραμυθήσεται χρόνος ἢ λόγος, τὸν ταῦτα γράφοντα, πλὴν τῆς σῆς συνουσίας καὶ ὁμιλίας, ἣν ἀντὶ πάντων ἡμῖν ὁ μακάριος καταλέλοιπεν, ἵν' ἐν σοὶ τὰ ἐκείνου καθορῶντες ὥσπερ ἐν ἐσόπτρῳ καλῷ τε καὶ διαυγεῖ, κἀκεῖνον ἔχειν νομίζωμεν;

77

ΘΕΟΔΩΡΩ

Πυνθάνομαί σε βαρέως ἔχειν πρὸς τὰς γεγενημένας ἡμῖν παρὰ τῶν μοναστῶν καὶ τῶν πτωχῶν ὕβρεις. Καὶ θαυμαστὸν οὐδέν, ἁπλῆγα ἔτι σε τυγχάνοντα καὶ τῶν ἡμετέρων κακῶν ἀπείρατον, πρὸς τὰ τοιαῦτα δυσφόρως ἔχειν. Ἡμεῖς δέ, ὡς καὶ κακῶν πλειόνων πεπειραμένοι καὶ τῆς ὕβρεως κοινωνήσαντες, εἰκότως ἂν ἀξιόπιστοι νομισθείημεν παραινοῦντες τῇ σῇ εὐλαβείᾳ ἅπερ ἥ τε πολιὰ διδάσκει καὶ ὁ λόγος ὑποδείκνυσι. Δεινὰ μὲν τὰ γεγενημένα καὶ πέρα δεινῶν, τίς ἀντερεῖ; — ὑβρισθῆναι θυσιαστήρια, συγχυθῆναι μυστήρια, μέσους ἡμᾶς ἑστάναι τῶν τελουμένων καὶ τῶν λιθαζόντων καὶ φάρμακον ποιεῖσθαι κατὰ τῶν λιθασμῶν τὰς ἐντεύξεις, αἰδῶ παρθένων ἐπιλησθῆναι, μοναστῶν εὐκοσμίαν, πτωχῶν συμφοράν, ζημιωθέν**[144]** των ἐκ τῆς τραχύτητος καὶ τὸν ἔλεον. Ἀλλ' ἴσως μακροθυμεῖν ἄμεινον καὶ πολλοῖς ἐξ ὧν πάσχομεν διδόναι μακροθυμίας ὑπόδειγμα· οὐ γὰρ οὕτως ὁ λόγος πείθει τοὺς πολλοὺς ὡς ἡ πρᾶξις, ἡ σιωπῶσα παραίνεσις. Μέγα νομίζομεν εἶναι τὸ δίκας παρὰ τῶν ἠδικηκότων λαβεῖν· μέγα φημὶ (καὶ γὰρ καὶ τοῦτο χρήσιμον εἰς τὴν τῶν ἄλλων διόρθωσιν), ἀλλὰ πολλῷ τούτου μεῖζον καὶ θεϊκώτερον τὸ καρτερεῖν πάσχοντας. Ἐκεῖνο μὲν γὰρ τὴν κακίαν ἐπιστομίζει, τοῦτο δὲ χρηστοὺς εἶναι πείθει, ὃ τοῦ μὴ κακοὺς εἶναι πολὺ κρεῖττόν ἐστι καὶ τελεώτερον. Μεγάλην ἡμῖν νομίσωμεν προκεῖσθαι πραγματείαν φιλανθρωπίας **67** καὶ συγχωρήσωμεν τὰ εἰς ἡμᾶς, ἵνα καὶ αὐτοὶ τύχωμεν συγχωρήσεως[1] καὶ προεισενέγκωμεν χρηστότητα τῇ χρηστότητι.

Ζηλωτὴς ἤκουσε Φινεές, ὅτι τὴν Μαδιανῖτιν τῷ πόρνῳ συνεξεκέντησε καὶ ἐξεῖλεν ὄνειδος ἐξ υἱῶν Ἰσραήλ[2]· ἀλλ' ἐπηνέθη πλέον, ὅτι τοῦ λαοῦ προσηύξατο πταίσαντος. Στῶμεν οὖν καὶ ἡμεῖς καὶ ἐξιλασώμεθα καὶ κοπασάτω ἡ θραῦσις, κατὰ τὸ γεγραμμένον, καὶ λογισθήτω τοῦτο ἡμῖν εἰς δικαιοσύνην[3]. Ἐπηνέθη καὶ Μωυσῆς, ὅτι τὸν Αἰγύπτιον ἀνεῖλε τῷ Ἰσραηλίτῃ περιαλγήσας[4]· ἀλλ' ἐθαυμάσθη πλέον, ὅτι Μαριὰμ τὴν ἀδελφὴν διὰ τὸ γογγύσαι λεπρωθεῖσαν διὰ τῆς

---

1. Πρβλ. Ματθ. 6,12. 2. Πρβλ. Ἀριθ. 25,6-11. 3. Πρβλ. Ψαλ. 105,30-31. 4. Πρβλ. Ἐξ. 2,12.

74
ΤΩ ΑΥΤΩ

Καὶ μένων συνεκδημῶ διὰ τῆς ἀγάπης ὑμῖν· πάντα γὰρ ὁ πόθος κοινοποιεῖ τὰ ἡμέτερα. Καὶ πολλὰς ἐλπίδας ἔχω, τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ θαρ**[140]**ρῶν καὶ ταῖς ὑμετέραις εὐχαῖς, ὅτι πάντα κατὰ νοῦν ὑμῖν ἐκβήσεται καὶ ἡ καταιγὶς εἰς αὔραν λυθήσεται καὶ τοῦτον ὑμῖν ὁ Θεὸς τῆς ὀρθοδοξίας δώσει μισθόν, τὸ τοὺς ἐπηρεάζοντας ὑπερσχεῖν. Μάλιστα μὲν οὖν ἴδοιμεν ὑμᾶς ἐν τάχει καὶ ἀπολάβοιμεν **65** ὡς εὐχόμεθα. Εἰ δὲ χρονίζοιτε, τῶν πραγμάτων οὕτω τυπούντων, γράμμασι γοῦν εὐφραίνειν ἡμᾶς μὴ ἀπαξιοῦτε δηλοῦσι τὰ ὑμέτερα καὶ προσεύχεσθαι τὰ συνήθη περὶ ἡμῶν. Ἐρρωμένους ὑμᾶς καὶ τοῖς πᾶσιν εὐθύμους ὁ ἀγαθὸς Θεὸς χαρίσαιτο, τῆς Ἐκκλησίας τὸ κοινὸν ἔρεισμα.

75
ΒΙΤΑΛΙΑΝΩ

Οὐ συνεχῶς ὁμιλοῦμέν σοι. Τὸ δὲ αἴτιον, ὅτι πολλοὶ περὶ σὲ καὶ οἷς ἥκιστα χαίρομεν. Εἰ δὲ ἀνακαθήραις σεαυτὸν τῶν πολλῶν καὶ σύνοικον ἔχοις τὴν ἀρετήν, ὄψει καὶ χωλῶν δρόμον, ὡς ἡ παροιμία. Τοῦτο γὰρ καὶ ὑπισχνούμεθα σὺν Θεῷ καὶ πράξομεν.

76
ΓΡΗΓΟΡΙΩ ΝΥΣΣΗΣ

Καὶ τοῦτο ἀπέκειτο τῇ μοχθηρᾷ μου ζωῇ, τὸ Βασιλείου θάνατον ἀκοῦσαι καὶ τῆς ἁγίας ἐκείνης ψυχῆς ἐκδημίαν, ἣν ἐξεδήμησεν ἀφ' ἡμῶν ἵν' ἐνδημήσῃ πρὸς Κύριον, πάντα τὸν βίον μελέτην τούτου πεποιημένος. Ἀλλ' ἐγὼ μὲν μετὰ τῶν ἄλλων καὶ τοῦτο ἀφήρημαι διὰ τὸ καὶ νῦν ἔτι πονηρῶς ἔχειν τοῦ σώματος καὶ λίαν ἐπικινδύνως, τὸ καὶ περιπτύξασθαι τὴν ἁγίαν κόνιν καί σοι παρεῖναι τὰ εἰκότα φιλοσοφοῦντι καὶ τοὺς κοινοὺς ἡμῶν φίλους παραμυθήσασθαι. Τὸ γὰρ τὴν τῆς Ἐκκλησίας ἰδεῖν ἐρημίαν, τοιαύτην ἀποκειραμένης δόξαν καὶ τοιοῦτον ἀποσεισαμένης στέφανον, οὔτε ὄψει θεατὸν οὔτε ἀκοῇ χωρητὸν τοῖς γε νοῦν **[141]** ἔχουσι. Σὺ δέ μοι δοκεῖς, πολλῶν ὄντων καὶ φίλων καὶ λόγων τῶν εἰς παράκλησιν, ὑπ' οὐδενὸς ἂν οὕτω παρακληθῆναι ὡς ὑπὸ σεαυτοῦ καὶ τῆς ἐκείνου **66** μνήμης· οἳ καὶ τοῖς ἄλλοις πᾶσι γεγόνατε φιλοσοφίας ὑπόδειγμα καὶ οἷόν τις στάθμη πνευματικὴ τῆς τε ἐν τοῖς χρηστοῖς εὐταξίας καὶ τῆς ἐν τοῖς ἀνιαροῖς καρτερίας, ἐπειδὴ δύο ταῦτα οἷδε φιλοσοφία, εὐπραξίαν τε διαθέ-

σθαι μετρίως καὶ συμφορὰν εὐσχημόνως. Ταῦτα παρ' ἡμῶν πρὸς τὴν σὴν τιμιότητα· ἐμὲ δὲ τίς παραμυθήσεται χρόνος ἢ λόγος, τὸν ταῦτα γράφοντα, πλὴν τῆς σῆς συνουσίας καὶ ὁμιλίας, ἣν ἀντὶ πάντων ἡμῖν ὁ μακάριος καταλέλοιπεν, ἵν' ἐν σοὶ τὰ ἐκείνου καθορῶντες ὥσπερ ἐν ἐσόπτρῳ καλῷ τε καὶ διαυγεῖ, κἀκεῖνον ἔχειν νομίζωμεν;

77

ΘΕΟΔΩΡΩ

Πυνθάνομαί σε βαρέως ἔχειν πρὸς τὰς γεγενημένας ἡμῖν παρὰ τῶν μοναστῶν καὶ τῶν πτωχῶν ὕβρεις. Καὶ θαυμαστὸν οὐδέν, ἁπλῆγα ἔτι σε τυγχάνοντα καὶ τῶν ἡμετέρων κακῶν ἀπείρατον, πρὸς τὰ τοιαῦτα δυσφόρως ἔχειν. Ἡμεῖς δέ, ὡς καὶ κακῶν πλειόνων πεπειραμένοι καὶ τῆς ὕβρεως κοινωνήσαντες, εἰκότως ἂν ἀξιόπιστοι νομισθείημεν παραινοῦντες τῇ σῇ εὐλαβείᾳ ἅπερ ἥ τε πολιὰ διδάσκει καὶ ὁ λόγος ὑποδείκνυσι. Δεινὰ μὲν τὰ γεγενημένα καὶ πέρα δεινῶν, τίς ἀντερεῖ; — ὑβρισθῆναι θυσιαστήρια, συγχυθῆναι μυστήρια, μέσους ἡμᾶς ἑστάναι τῶν τελουμένων καὶ τῶν λιθαζόντων καὶ φάρμακον ποιεῖσθαι κατὰ τῶν λιθασμῶν τὰς ἐντεύξεις, αἰδῶ παρθένων ἐπιλησθῆναι, μοναστῶν εὐκοσμίαν, πτωχῶν συμφοράν, ζημιωθέν**[144]**των ἐκ τῆς τραχύτητος καὶ τὸν ἔλεον. Ἀλλ' ἴσως μακροθυμεῖν ἄμεινον καὶ πολλοῖς ἐξ ὧν πάσχομεν διδόναι μακροθυμίας ὑπόδειγμα· οὐ γὰρ οὕτως ὁ λόγος πείθει τοὺς πολλοὺς ὡς ἡ πρᾶξις, ἡ σιωπῶσα παραίνεσις. Μέγα νομίζομεν εἶναι τὸ δίκας παρὰ τῶν ἠδικηκότων λαβεῖν· μέγα φημὶ (καὶ γὰρ καὶ τοῦτο χρήσιμον εἰς τὴν τῶν ἄλλων διόρθωσιν), ἀλλὰ πολλῷ τούτου μεῖζον καὶ θεϊκώτερον τὸ καρτερεῖν πάσχοντας. Ἐκεῖνο μὲν γὰρ τὴν κακίαν ἐπιστομίζει, τοῦτο δὲ χρηστοὺς εἶναι πείθει, ὃ τοῦ μὴ κακοὺς εἶναι πολὺ κρεῖττόν ἐστι καὶ τελεώτερον. Μεγάλην ἡμῖν νομίσωμεν προκεῖσθαι πραγματείαν φιλανθρωπίας **67** καὶ συγχωρήσωμεν τὰ εἰς ἡμᾶς, ἵνα καὶ αὐτοὶ τύχωμεν συγχωρήσεως[1] καὶ προεισενέγκωμεν χρηστότητα τῇ χρηστότητι.

Ζηλωτὴς ἤκουσε Φινεές, ὅτι τὴν Μαδιανῖτιν τῷ πόρνῳ συνεξεκέντησε καὶ ἐξεῖλεν ὄνειδος ἐξ υἱῶν Ἰσραήλ[2]· ἀλλ' ἐπηνέθη πλέον, ὅτι τοῦ λαοῦ προσηύξατο πταίσαντος. Στῶμεν οὖν καὶ ἡμεῖς καὶ ἐξιλασώμεθα καὶ κοπασάτω ἡ θραῦσις, κατὰ τὸ γεγραμμένον, καὶ λογισθήτω τοῦτο ἡμῖν εἰς δικαιοσύνην[3]. Ἐπηνέθη καὶ Μωυσῆς, ὅτι τὸν Αἰγύπτιον ἀνεῖλε τῷ Ἰσραηλίτῃ περιαλγήσας[4]· ἀλλ' ἐθαυμάσθη πλέον, ὅτι Μαριὰμ τὴν ἀδελφὴν διὰ τὸ γογγύσαι λεπρωθεῖσαν διὰ τῆς

---

1. Πρβλ. Ματθ. 6,12. 2. Πρβλ. Ἀριθ. 25,6-11. 3. Πρβλ. Ψαλ. 105,30-31. 4. Πρβλ. Ἐξ. 2,12.

εὐχῆς ἐθεράπευσε[1]. Σκόπει καὶ τὰ ἑξῆς. Ἀπειλοῦνται Νινευῖται καταστροφήν, ἀλλὰ δάκρυσιν ἐξωνοῦνται τὴν ἁμαρτίαν[2]. Μανασσῆς ἐν βασιλεῦσι παρανομώτατος, ἀλλ' ἐν τοῖς σωθεῖσι διὰ θρῆνον περιφανέστατος. «Τί σε διαθῶ, Ἐφραΐμ»[3], παρὰ τοῦ Θεοῦ λέγεται. Ὅσης ὀργῆς ὁ λόγος· καὶ ὑπεραspισμὸς ἐπάγεται. Τί τῆς φιλανθρωπίας ταχύτερον; Πῦρ Σοδομιτικὸν αἰτοῦσιν οἱ μαθηταὶ κατὰ τῶν ἀγόντων τὸν Ἰησοῦν, ὁ δὲ ἀπαξιοῖ τὴν ἐκδίκησιν[4]. Τέμνει Μάλχου τὸ ὠτίον Πέτρος, ἑνὸς τῶν ὑβριστῶν, Ἰησοῦς δὲ ἀποκαθίστησι[5]. Τί δὲ ὁ ἐρωτήσας εἰ ἑπτάκις τῷ ἀδελφῷ συγχωρητέον πταίσαντι[6]; Οὐ μικρολογίαν καταγινώσκεται; Τῷ γὰρ ἑπτάκις τὸ ἑβδομηκον**[145]**τάκις ἑπτὰ προστίθεται[7]. Τί δὲ ὁ χρεωφειλέτης ἐν τοῖς Εὐαγγελίοις, ὁ μὴ συγχωρήσας ἃ συγκεχώρηται[8]; Οὐ πικρότερον διὰ τοῦτο εἰσπράττεται; Τί δὲ ἡ τύπωσις τῆς εὐχῆς; Οὐκ ἀφέσει βούλεται τὴν ἄφεσιν πραγματεύεσθαι[9];

Τοσαῦτα ἔχοντες ὑποδείγματα, μιμησώμεθα Θεοῦ φιλανθρωπίαν καὶ μὴ βουληθῶμεν μαθεῖν αὐτοὺς ἀφ' ἡμῶν ὅσον κακὸν ἁμαρτίας ἀντίδοσις. Ὁρᾷς ἀκολουθίαν χρηστότητος; Νομοθετεῖ πρῶτον, εἶτα διακελεύεται, ὑπισχνεῖται, ἀπειλεῖ, ὀνειδίζει, ἐπανατείνεται, κατέχει, ἀπειλεῖ πάλιν· ὅταν ἐκβιασθῇ, πληγὴν ἐπάγει καὶ ταύτην κατὰ μικρόν, χώραν ὑπανοίγων ταῖς διορθώσεσι. Μὴ τοίνυν μηδὲ αὐτοὶ πλήξωμεν ἀθρόως (οὐ γὰρ ἀσφαλές), ἀλλὰ τῷ φόβῳ σωφρονίσαντες τῇ φιλανθρωπίᾳ νικήσωμεν καὶ λάβωμεν ὑποχρέους εὐλαβείας τῷ συνειδότι πλέον ἢ τῇ ὀργῇ βασανίσαντες. Μὴ ξηράνωμεν συκῆν ἔτι καρποφορεῖν δυναμένην, μὴ ὡς ἀχρήστου καταγνῶμεν καὶ καταργούσης τὸν τόπον, ἣν θεραπεύσει τυχὸν τεχνίτου γεωργοῦ προστασία καὶ ἐπιμέλεια[10]. Μηδὲ τοσοῦτον ἔργον καὶ περιβόη**68**τον δι' ἐπήρειαν ἴσως τοῦ πονηροῦ καὶ φθόνον οὕτως ἐν βραχεῖ καταλύσωμεν, ἀλλὰ βουληθῶμεν φιλάνθρωποι φανῆναι μᾶλλον ἢ ἐντελεῖς, καὶ φιλόπτωχοι πλέον ἢ φιλοδίκαιοι· μηδὲ τῶν ὑπεκκαιόντων ἡμᾶς εἰς τοῦτο πλέον ἢ τῶν κατεχόντων ἀνεχώμεθα καὶ τὸ αἰσχρόν, εἰ μή τι ἄλλο, ἐνθυμηθέντες εἰ δόξαιμεν πρὸς πτωχοὺς ἀγωνίζεσθαι, οἳ τοῦτο μέγα πλεονεκτοῦσι, τό, κἂν ἀδικῶσι, ἐλεεῖσθαι διὰ τὴν συμφοράν. Νῦν οἷον πάντας μέν σοι προσπίπτειν πτωχούς τε καὶ πτωχοτρόφους, πάντας δὲ μοναστὰς καὶ παρθένους ὑπὲρ αὐτῶν ἱκετεύοντας. Δὸς τοῖς πᾶσιν ἀντὶ τούτων τὴν χάριν (ἐπειδὴ καὶ συνετρίβησαν ἱκανῶς, ὡς δῆλον ἐξ ὧν ἡμῶν ἐδεήθησαν) καὶ πρὸ πάντων ἡμῖν τοῖς ὑπὲρ αὐτῶν πρεσβεύουσιν. Οὓς εἴ σοι δεινὸν εἶναι φαίνεται τὸ παρ' αὐτῶν ἀτιμασθῆναι, πολλῷ φανήτω δεινότερον τό σοι παραινοῦντας ταῦτα μὴ ἀκουσθῆναι. Τῷ δὲ καλῷ Παύλῳ συγχωρήσειεν ὁ Θεὸς ἃ εἰς ἡμᾶς ἐξύβρισεν.

---

1. Πρβλ. Ἀριθ. 12,10-15. 2. Πρβλ. Ἰων. κεφ. 3. 3. Ὡσ. 11,8. 4. Πρβλ. Λουκ. 9,54-55. 5. Πρβλ. Λουκ. 22,50-51. 6. Πρβλ. Ματθ. 18,21. 7. Πρβλ. Ματθ. 18,22. 8. Πρβλ. Ματθ. 18,24-34. 9. Πρβλ. Ματθ. 6,12. Λουκ. 11,4. 10. Πρβλ. Λουκ. 13,6-9.

78

ΘΕΟΤΕΚΝΩ

[148] Οἴδαμεν ὅτι χαλεπόν ἐστι, προσφάτου τῆς ἀδικίας οὔσης καὶ τοῦ θυμοῦ ζέοντος ἔτι, παραδεχθῆναι τοὺς λογισμούς· τυφλὸν γὰρ ὁ θυμὸς καὶ ἡ λύπη καὶ μάλιστα ὅταν τὸ δικαίως ἀγανακτεῖν παρῇ. Ὅμως ἐπειδὴ καὶ αὐτοὶ τῶν συνηδικημένων ἐσμὲν καὶ συνυβρισμένων καὶ οὐχ ἧττον ἀγανακτούντων, διὰ τοῦτό ἐσμεν δίκαιοι καὶ συμβουλεύοντες μὴ ἀτιμασθῆναι. Δεινὰ πεπόνθαμεν· εἰ δὲ βούλει, πρόσθες οἷα μηδεὶς ἄλλος ἀνθρώπων. Ἀλλὰ μὴ διὰ τοῦτο καὶ ἡμᾶς αὐτοὺς ἀδικήσωμεν, μηδὲ τοσοῦτον εὐσέβειαν μισήσωμεν ὅσον ἡμῖν οὐ συμφέρει. Μέγα ἐστὶ γυνὴ καὶ τίμιον θυγάτηρ, ἀλλ' οὔπω ψυχῆς τιμιώτερον. Ἐνθυμήθητι ὅτι νεωστὶ μὲν τῆς χάριτος ἠξιώθης καὶ τῷ λουτρῷ τῶν ἁμαρτιῶν ἐκαθάρθης, κίνδυνος δὲ οὐχ ὁ τυχὼν αἵματι μολῦναι τὴν δωρεὰν καὶ πάλιν ἄλλης δεηθῆναι καθάρσεως. Μὴ τοίνυν ἐπιβουλεύσωμεν ἡμῖν αὐτοῖς μηδὲ τὴν παρρησίαν τὴν πρὸς Θεὸν ἀποβάλωμεν, πικροὶ τοῖς ἠδικηκόσι φανέντες καὶ ὑπὲρ τὸ μέτρον ἀγανακτοῦντες. Ἀφῶμεν τῷ Θεῷ τὸν ἄνθρωπον καὶ τοῖς ἐκεῖθεν κολαστηρίοις· ἡμεῖς δὲ φιλάνθρωπον κτησώμεθα τὸν κριτήν, αὐτοὶ φανέντες φιλάνθρωποι, καὶ συγχωρήσωμεν ἵνα συγχωρηθῶμεν[1]. Καὶ μή σε ἀπατάτω μάταιος λογισμός, **69** ὅτι τὸ δικαίως ἐπεξελθεῖν ἀνεύθυνον καὶ τὸ παραδοῦναι τοῖς νόμοις τὸν παρανομήσαντα. Εἰσὶ νόμοι Ῥωμαίων, εἰσὶ δὲ καὶ ἡμέτεροι. Ἀλλ' οἱ μὲν ἄμετροι καὶ πικροὶ καὶ μέχρις αἵματος προϊόντες· ἡμῖν δὲ χρηστοὶ καὶ φιλάνθρωποι καὶ μὴ συγχωροῦντές τι τῷ θυμῷ χρῆσθαι κατὰ τῶν ἀδικούντων. Τούτοις ἐμμείνωμεν καὶ τούτοις ἀκολουθήσωμεν, ἵνα μικρὰ χαρισάμενοι (μικρὰ γὰρ ἡ ἐνταῦθα ζωὴ καὶ τοῦ μηδενὸς ἀξία), μεγάλα παρὰ τοῦ Θεοῦ ἀντιλάβωμεν, τὴν παρ' αὐτοῦ φιλανθρωπίαν καὶ τὰς ἐκεῖθεν ἐλπίδας.

79

ΣΙΜΠΛΙΚΙΑ

[149] Ἐπαινεῖς τὸν ἅγιον καὶ κοινὸν ἡμῶν πατέρα, τὸ τῆς πίστεως ἔρεισμα, τὸν τῆς ἀληθείας κανόνα καὶ χαρακτῆρα τῆς εὐσεβείας, τὴν πλήρη φρονήσεως πολιάν, τὸν ζωῆς ἀνθρωπίνης καὶ ἀρετῆς μέτρα νικήσαντα, τὸν πιστὸν θεράποντα[2] καὶ μέγαν ἀρχιερέα[3], τὸν Θεοῦ καὶ ἀνθρώπων μεσίτην[4], τὸ τοῦ Πνεύματος καταγώγιον[5]· τοῦτο

---

1. Πρβλ. Ματθ. 18,35. 2. Πρβλ. Ματθ. 24,45. 25,21. Λουκ. 12,42. 19,17. 3. Πρβλ. Ἑβρ. 4,14. 4. Πρβλ. Α' Τιμ. 2,5. 5. Πρβλ. Α' Κορ. 6,19.

μὲν ὀρθῶς ποιεῖς, ἐπεὶ καὶ πᾶς λόγος ἐλάττων ἐστὶ τῆς ἁγίας ἐκείνης καὶ μακαρίας ψυχῆς, εἰ μή με ἀπατᾷ τὸ φίλτρον ἢ καὶ τὸ πάθος τῷ πόθῳ κιρνάμενον. Ἐκεῖνο δέ σου καὶ λίαν τεθαύμακα, πῶς ἐπαινεῖς μὲν ὡς ἅγιον καὶ μέχρι τούτου τὰ εἰκότα τιμᾷς, τὸ δὲ ἔργον αὐτοῦ καταλύειν ἐπιχειρεῖς, ὥσπερ τῶν ἀναγίων καὶ μάλιστα ὕβρεως ὄντων ἀξίων, τῶν εἰκῇ ζησάντων καὶ μεταστάντων. Εἰ μὲν γὰρ ὡς ἀνδραπόδου μεταποιῇ ἰδίου τοῦ συμποίμενος καὶ τὸ μικρὸν τοῦτο κέρδος διώκεις, οὐκ ἔχω πῶς ἐπαινέσω, ἵνα μετρίως εἴπω, καὶ σφόδρα τοῦτο τῆς σῆς μεγαλοψυχίας ἀνάξιον. Πῶς γὰρ οὐκ ἄτοπον, χρυσῷ μὲν καὶ ἀργυρίῳ τιμᾶν τὸ Θεῖον καὶ σοῖς περιττοῖς τῆς κτήσεως, ἔνθα καὶ πλεῖον τοῦ πρὸς εὐσέβειαν ἴσως τὸ κατ' ἐπίδειξιν, ἱερεῖ δὲ ὅλως βούλεσθαι ζημιοῦν Ἐκκλησίαν καὶ ἀποσυλᾶν τῶν ἀναθημάτων τὸ ἁγιώτατον;

70 Εἰ δὲ ὅτι κατ' ἐξουσίαν τοῦτο πεποιήκαμεν, ἀλλ' οὐχὶ τὴν σὴν εὐγένειαν ὑπεμνήσαμεν οὐδὲ τῇ φιλοτιμίᾳ καιρὸν ἐδώκαμεν δυσχεραίνεις, λέγοις μὲν ἄν τι δίκαιον, καὶ τὸ πάθος ἀνθρώπινον· ἴσθι δὲ μείζονος ἐπιδόσεως εἶναί σοι νῦν ἢ τῷ τότε **[152]** καιρῷ, ὅσῳ τοῦ αὐτὴν ἐπιδοῦναι τὸ λαβοῦσι συγχωρῆσαι φιλοτιμότερον. Κἀκείνως μὲν τῷ Θεῷ μόνον ἐδόκεις χαρίζεσθαι, οὕτω δὲ καὶ ἡμῖν τοῖς ἐκείνου θεραπευταῖς καὶ τὸ ὄνομα αὐτοῦ βαστάζειν ἠξιωμένοις. Μὴ τοίνυν μήτε ἐκείνῳ χαλέπαινε μήτε ἡμῖν· ὁ μὲν γὰρ τετυράννηται, οὐκ ἠδίκηκεν, ἡμεῖς δὲ τί θαυμαστόν, εἰ τῇ σῇ χρηστότητι θαρροῦντες ἐπὶ τοῦτο προεληλύθαμεν καὶ ἅμα τῇ κοινῇ τοῦ παντὸς χωρίου ψήφῳ πιστεύσαντες; Ἦν εἰ μὲν πρὸς χάριν ἐποιήσαντό τινες ἢ κακούργως, αὐτοὶ ἂν εἰδεῖεν καὶ τῷ Θεῷ λόγον ὑπέχοιεν· οὐ γὰρ ἡμέτερον τοῦτο εἰδέναι, οὐδὲ ταῖς πάντων ἐμβατεύειν γνώμαις· ἡμᾶς δέ, πῶς παρώσασθαι ῥᾴδιον ἦν ἢ πῶς τοσαῦτα δάκρυα παριδεῖν ἢ τοῦ χωρίου τὴν ἐρημίαν ἐπὶ τοσοῦτον ἀθεραπεύτου καὶ ἀποιμάντου καὶ τὴν πνευματικὴν ἐπιστασίαν οὐκ ἔχοντος;

Ἐκεῖνο δέ σοι καὶ πρὸ πάντων δῆλον, ὅτι οἱ τότε μὲν συντιθέμενοι, νῦν δὲ ἀρνούμενοι, πρᾶγμα ποιοῦσιν οὔτε εὐσεβὲς οὔτε ἐλεύθερον. Καὶ πολλῷ βελτίους ἂν ἦσαν τότε ἀντιλέγοντες ἢ νῦν κολακεύοντες καὶ τὰ ἑαυτῶν καταλύοντες καὶ ἀνθρώπους μᾶλλον ἢ Θεὸν φοβούμενοι[1]. Οὓς πάλιν ἐρεῖν οἴου διὰ τὴν εὐκολίαν, ὅτι φόβῳ τῷ πρὸς σὲ μετετέθησαν καὶ πολλῷ γε ἀληθέστερον· ἐπειδὴ δεῖ παίειν μὲν αὐτοὺς ἀεί, θηρᾶσθαι δὲ ψευδεῖς καὶ σεσοφισμένας ἀπολογίας. Εἰ δέ σοι ταῦτα μὲν ὀρθῶς δοκεῖ λέγεσθαι οἰκονομίας δὲ ἀπαιτεῖτε λόγον (ἐπεὶ καὶ τοῦτο ἀκούω, οὐ γὰρ ἐν τοῖς γράμμασιν ἐνεκάλεσας), δικαίως τοῦτο ἀπαιτείσθω καὶ φιλανθρώπως καὶ οὐδὲν μεμψόμεθα· οὐδὲ γὰρ ἡμῖν ἀρέσκει ζημιοῦσθαι δεσποτῶν ἐπιείκειαν.

Τί λοιπὸν ἔτι; ὡς ἀναξίου τοῦ ἀνδρὸς ἴσως λαμβάνεσθαι καὶ

---

1. Πρβλ. Πράξ. 5,29.

διὰ τοῦτο ἐπισκήπτειν τῇ κα**[153]**ταστάσει; Τοῦτο γάρ πως καὶ ἐγκαλεῖν εὐπρεπέστερον. Ὁ δέ μοι πρὸς τοῦτο λόγος ἁπλοῦς καὶ ῥάδιος. Ἡμεῖς οὐδ' ἄλλον τινὰ τῶν ἐν αἰτίαις ἀφίεμεν ἀνεξέταστον, οὐδ' ἂν πάνυ τῶν φίλων ἢ καὶ τῶν εὖ γεγονότων (οὐδὲν γὰρ τοῦ Θεοῦ καὶ τοῦ κανόνος αἰδεσιμώτερον), οὐδὲ τοῦτον ἀφήσομεν. Ἀλλ' εἴ τις ἔχοι τι κατηγορεῖν, εἰ μὲν βούλει, παρούσης σου καὶ συνδικαζούσης· εἰ δὲ μή, καὶ ἀπούσης, ἐφ' ἡμῶν ἐξετασθείς, εἰ μὲν ἀθῷος εὑρίσκοιτο, κἂν ᾖ δοῦλος, ἀποφευ**71**γέτω· ἐπειδὴ καὶ δούλων καὶ δεσποτῶν ὁ αὐτὸς πατὴρ καὶ Θεὸς καὶ οὐ ταῖς ἀξίαις τὸ δίκαιον διορίζεται. Εἰ δὲ ἁλίσκοιτο, τηνικαῦτα ὑπὸ τῆς ἰδίας ἁμαρτίας κατακριθήσεται. Καὶ οὕτως οὔτε ὁ κανὼν ὑβρισθήσεται οὔτε ὁ ἀπελθὼν ἀτιμασθήσεται (τὸ γὰρ καθ' ἡμᾶς ἴσως καὶ παροπτέον, ὡς οὐδενὸς ἀξίους) καὶ αὐτὴ φεύξῃ πονηρὰν ὑπόνοιαν, ὡς διὰ τὸ ἀλλοτρίως ἔχειν πρὸς ἡμᾶς καὶ τὴν ὑγιῆ πίστιν, ταῦτα τεχνάζουσα σοφιστικῶς ἀλλ' οὐκ εὐγενῶς, καὶ ὑπ' ἄλλου μὲν κινουμένη, εἰς ἄλλο δὲ ἀποσκήπτουσα. Ὁ συμβουλεύω σοι μὴ παθεῖν ὡς οὔτε ὅσιον οὔτε εὐπρεπές· μηδὲ τοὺς ἡμετέρους νόμους ἀτιμάσασαν, ἐπὶ τοὺς ἔξωθεν καταφεύγειν, μηδὲ προσφιλονεικεῖν ἡμῖν, ἀλλὰ συγγινώσκειν, εἴ τι ἁπλούστερον πεποιήκαμεν διὰ τὴν ἐλευθερίαν τῆς χάριτος καὶ δέξασθαι νικηθῆναι μᾶλλον καλῶς ἢ νικῆσαι κακῶς τῷ ἀντιβῆναι τῷ Πνεύματι.

80

⟨ΦΙΛΑΓΡΙΩ⟩

Ἐρωτᾷς πῶς τὰ ἡμέτερα. Καὶ λίαν πικρῶς. Βασίλειον οὐκ ἔχω, Καισάριον οὐκ ἔχω, τὸν πνευματικὸν ἀδελφὸν καὶ τὸν σωματικόν. «Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με»[1], μετὰ τοῦ Δαυὶδ φθέγξομαι. Τὰ τοῦ σώματος πονηρῶς ἔχει, τὸ γῆρας ὑπὲρ κεφαλῆς, φροντίδων ἐπιπλοκαί, πραγμάτων ἐπιδρομαί, τὰ τῶν φίλων ἄπιστα, τὰ τῆς Ἐκκλησίας ἀποίμαντα. Ἔρρει τὰ καλά[α], γυμνὰ τὰ κακά, ὁ πλοῦς ἐν νυκτί, πυρσὸς οὐδαμοῦ, Χριστὸς καθεύδει[2]. Τί χρὴ παθεῖν; Μία μοι τῶν κακῶν λύσις, ὁ θάνατος. Καὶ τὰ ἐκεῖθέν μοι φοβερά, τοῖς ἐντεῦθεν τεκμαιρομένῳ.

81

ΓΡΗΓΟΡΙΩ ΝΥΣΣΗΣ

72 [156] Δυσχεραίνεις τῇ περιόδῳ καὶ ἀστατεῖν σεαυτῷ φαίνῃ,

---

1. Ψαλ. 26,10. 2. Πρβλ. Ματθ. 8,24.
α. Ξενοφ. Ἑλλην. Α' 1,23.

καθάπερ τῶν ξύλων ἃ καθ' ὕδατος φέρεται. Μηδαμῶς, ὦ θαυμάσιε, μὴ οὕτως ἔχε. Τῶν μὲν γὰρ ἀκούσιος ἡ φορά, σοῦ δὲ κατὰ Θεὸν ἡ περίοδος καὶ πάγιον τὸ τοὺς πολλοὺς εὖ ποιεῖν, κἂν εἰ μὴ τῷ τόπῳ πεπήγοις. Εἰ μὴ καὶ τὸν ἥλιον αἰτιῷτό τις ὅτι περιτρέχει σπείρων τὴν ἀκτῖνα καὶ πάντα ζωογονῶν ὅσα ἐπέρχεται, ἢ καὶ τῶν ἀστέρων τοὺς ἀπλανεῖς ἐπαινῶν κακίζοι τοὺς πλάνητας, ὧν καὶ τὸ πλάνον ἐναρμόνιον.

82

ΑΛΥΠΙΩ

Πρώτην σοι ταύτην καὶ ἐπιστολὴν γράφω καὶ προσάγω πρεσβείαν, ὥστε δίκαιος ἂν εἴην καὶ κατὰ τοῦτο τυχεῖν σου περὶ ὧν ἀπαγγέλλω. Ἀπαγγέλλω δὲ τί; Σπαράσσει τὴν ἡμετέραν οἰκίαν τὴν παρ' ὑμῖν, ὡς πυνθάνομαι, βιαίοις ἐφόδοις ὁ καλὸς Παλλάδιος, ὁ δὲ βοηθήσων οὐδείς. Καλὸν οὖν ἐστί σοι μάλιστα μὲν καὶ παρόντος κήδεσθαι τοῦ ἀνδρός, πολλῷ δὲ πλέον ἀπόντος, ὡς ἂν μὴ παντάπασιν οἴχηται διαφθαρέντα καὶ διαρρυέντα τὰ πράγματα κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ μηδὲ τοῖς μαχομένοις αὐτοῖς ἧ τι πλέον, τὸ ἆθλον οὐκ ἔχουσι τοῦ παλαίσματος.

83

ΤΩ ΑΥΤΩ

73 Ἐπαινῶ ὅτι κήδῃ τῶν ἡμετέρων· ἔτι ἐπαινῶ **[157]** τὸ καὶ γνωρίσαι δι' ἐπιστολῆς ἡμῖν ὅτι τοῦτο ποιεῖς. Τὸ μὲν γὰρ τῷ δικαίῳ χαρίζῃ, τὸ δὲ ἡμῖν. Ἀλλ' ὅπως μὴ ἀποκάμνῃς ἡμῖν καὶ πρὸς τὸ ἑξῆς εὖ ποιῶν· ἀεὶ δέ τι φαίνοιο τῇ σπουδῇ προστιθείς, ἵνα σὲ καὶ πλέον θαυμάζωμεν. Ὁ δὲ υἱὸς Εὐφήμιος οὔπω μὲν πάρεστιν, ἐλπίζεται δέ, καὶ οἶμαί σοι μὴ πολλοῦ πόνου δεήσειν, εἰ παραγένοιτο.

84

ΤΩ ΑΥΤΩ

Φορτουνάτος, ὁ τὴν ἐπιστολὴν ἐγχειρίζων σοι, φίλος καὶ οἰκεῖός ἐστιν ἡμέτερος· εἰ δὲ δεῖ προσθήκης τινός, καὶ διάκονος τῶν ἐπαινουμένων. Ταῦτα ἔδει σε μαθεῖν παρ' ἡμῶν. Τἄλλα δὲ οἶδ' ὅτι παρὰ σεαυτοῦ προσθήσεις, τὸ οἰκείως ὁρᾶν τὸν ἄνδρα καὶ κηδεμονικῶς ἐν οἷς ἂν δέηται τῆς σῆς εὐλαβείας. Ὡς ὅ τι ἂν τοῦτον εὖ ποιήσῃς, εὐεργετήσων εἶ ἡμᾶς.

85
ΤΩ ΑΥΤΩ

Οἰκείωσαι τὰ ἡμέτερα, ὥσπερ οὖν καὶ προλαβὼν ᾠκειώσω καὶ δι' ἔργων τοῦτο δεδήλωκας. Οἰκειώσῃ δὲ τὸν ἀγαπητὸν ἀδελφὸν καὶ συμπρεσβύτερον ἡμῶν Λουκιανὸν τά τε ἄλλα ἡδέως ὁρᾶν ἀξιῶν καὶ προτρεψάμενος κήδεσθαι τῆς αὐτόθι **74** τῶν συγγενῶν ἡμῶν οἰκίας· ἐπειδὴ σὺν Θεῷ καὶ τὰ πράγματα πέρας ἔλαβε δεξιὸν κρίσει τε ὑμετέρᾳ καὶ φιλανθρωπίᾳ τοῦ Κρείττονος.

86
ΤΩ ΑΥΤΩ

Οἷα τυραννεῖς ἡμᾶς ἐκ φιλίας· διακινεῖται ἡμῖν τὸ δόγμα τὸ περὶ τὰς εὐχάς, καὶ τοὺς χλαινοφόρους ἐγκρίνομεν, οὔπω μὲν τοσοῦτον παρανομοῦντες ὅσον οἱ δεινοὶ τὰ ἐρωτικὰ παρ' Ἕλλησιν. Οὐ γὰρ θύουσι μόνον ὡς θεῷ τῷ πάθει, ἀλλὰ καὶ τοῖς ὅρκοις συγγνώμην νέμουσι τοῖς δι' ἔρωτα. Εἰ δέ τι καὶ παρανομοῦμεν, ὅτι διὰ φιλίαν πάσχομεν, τοῦτο οὐχ ἁμαρτάνοντες. Ἧκε **[160]** οὖν, εἰ μὲν βούλει, μεταμφιασάμενος, ἵν' ἀμφότερα ἡμῖν ὡς κάλλιστα ἔχῃ καὶ τὸ σοῦ τυχεῖν καὶ τὸ τοῦ δόγματος μὴ διαμαρτεῖν· εἰ δὲ μή, καὶ ἀπὸ τῆς χλανίδος πάντως. Κἄν τις ἡμᾶς διώκῃ παρανομίας, ἄχρι τούτου γε ῥητορεύσομεν ὅτι τῶν ἐπιτελούντων εἶ τὴν εὐχήν, οὐ τῶν καλουμένων. Ἐὰν δὲ τοῦτό τις ἐξ ἡμῶν μὴ προσδέξηται, τί πρὸς ἐκεῖνο ἐρεῖ· ὡς ὀρφανὸν καλοῦμέν σε; Οὕτω μὲν δὴ καὶ τυραννήσεις, ἐπειδὴ σὸς ὁ καιρός. Τριττὸν δὲ ὃ καὶ μέγιστον, ἔξεστί σοι καὶ ὡς ἐπ' εὐχὴν ἡμᾶς καλοῦντι, μετασχεῖν τῆς εὐχῆς. Σὲ μὲν οὖν οὕτως εἰσδεξόμεθα ῥητορεύοντες. Ὑπὲρ δὲ τῆς ἀδελφῆς ἡμᾶς οὐδεὶς εὐθυνεῖ παραγενομένης, ἀλλ' ἐκ τοῦ ἐναντίου κἀκείνην καὶ ἡμᾶς, εἰ μὴ παραγένοιτο. Ὥστε ἡ μὲν αὐτόκλητος ἡκέτω· σὺ δὲ παρακέκλησο καὶ ἀπάντησον τὸ μέν τι ἡμῖν θαρρήσας, τὸ δὲ τῇ εὐχῇ, ἵνα καὶ φαιδροτέραν ποιήσῃς ἡμῖν τὴν πανήγυριν· ἐπειδή σοι σὺν Θεῷ ἱκανῶς τὰ περὶ τὴν γαστέρα ᾠκονόμηται, μᾶλλον δὲ ὀρφανικῶς καί, ἵν' οὕτως εἴπω, λίαν εὐκτικῶς καὶ γενναίως.

87
ΦΙΛΑΓΡΙΩ

75 Τοῦ μὲν μὴ δύνασθαι ἡμᾶς συγγενέσθαι ἀλλήλοις ταὐτὸν αἴτιον ἀμφοτέροις· σοί τε γὰρ χρῆται τὸ σῶμα ὡς χρῆται, ἵνα μηδὲν λέγω πλέον, ἐμέ τε ἴσθι λίαν ἔχοντα μοχθηρῶς. Οὐ γὰρ ἂν ὤκνησα πρὸ πάντων, ἐπανήκων ἐκ τῆς ἀποδημίας, εὖ τοῦτο ἐπίστω, καὶ προσ-

δραμεῖν σοι καὶ περιπτύξασθαι καὶ συμβούλῳ χρήσασθαι περὶ τῶν προκειμένων ἀνδρὶ καὶ φίλῳ καὶ συνετῷ καὶ ὑψηλῷ τὴν εὐσέβειαν. Ὃ δὲ λειπόμενον **[161]** ἦν, τὸ διὰ γραμμάτων ὁμιλεῖν ἡμᾶς ἀλλήλοις, τοῦτο ἐποίησας μὲν αὐτὸς εὖ ποιῶν, ποιοῦμεν δὲ καὶ ἡμεῖς. Οὐ μικρὰ ἡμῖν ἐστι οὐδὲ μικροῦ λόγου περὶ ὧν ἐπιστέλλεις· ὅθεν οὐδὲ αὐτοὶ παρέργως οὐδὲ ῥᾳθύμως ταῦτα διασκεψάμενοι, ἀλλὰ καὶ λίαν ἐπιμελῶς ἐπὶ τὴν κρίσιν ταύτην προεληλύθαμεν. Κεκμήκαμεν ἀγωνιζόμενοι πρὸς τὸν φθόνον καὶ τοὺς ἱεροὺς ἐπισκόπους τὴν κοινὴν ὁμόνοιαν διαλύοντας καὶ τῶν ἰδίων φιλονεικιῶν τὸ τῆς πίστεως πάρεργον ποιουμένους. Διὰ τοῦτο ἔγνωμεν πρύμναν κρούσασθαι, τὸ τοῦ λόγου, καὶ εἰς ἡμᾶς αὐτοὺς συσταλῆναι, ὥσπερ τὸν ναυτῖλόν φασιν ἰχθὺν ὅταν χειμῶνος αἰσθάνηται, καὶ τοὺς μὲν ἄλλους ὁρᾶν πόρρωθεν βαλλομένους καὶ βάλλοντας, αὐτοὶ δὲ πρὸς τὰ ἐκεῖσε μετασκευάζεσθαι. Εἰ δὲ τὴν Ἐκκλησίαν καταλιπεῖν ἐπικίνδυνον, ὡς γράφεις, ποίαν; εἰ μὲν τὴν ἡμετέραν, κἀγώ φημι καὶ ὀρθῶς λέγεται· εἰ δὲ τὴν μηδὲν προσήκουσαν μηδ' ἐπικηρυχθεῖσαν ἡμῖν, ἀνεύθυνοι. Ἀλλ' ὅτι ἐπεμελήθημεν χρόνον τινά, τούτῳ κρατούμεθα; πολλοὶ καὶ ἄλλοι κρατηθεῖεν ἄν, ὅσοι ξένων ἐπεμελήθησαν. Καὶ τάχα τὸ μὲν καμεῖν ἔμμισθον, τὸ δὲ ἀπειπεῖν οὐχ ὑπεύθυνον. Μηδὲν οὖν δείσῃς περὶ ἡμῶν τούτου γε ἕνεκεν· ἀλλ' ἐκεῖνο μᾶλλον, μή τι βλαπτώμεθα.

88

ΝΕΚΤΑΡΙΩ

76 Ἔδει τὸ βασίλειον ἄγαλμα τὴν βασιλίδα πόλιν κοσμεῖν. Διὰ τοῦτό σε μέν, ὡς ἔπρεπεν, ἐγκόλπιον ἔχει μετὰ τῶν ἀρετῶν καὶ τῶν λόγων καὶ τῶν ἄλλων καλῶν οἷς ἡ θεία σε χάρις ἀξιοπρεπῶς κατεπλούτισεν. Ἡμᾶς δὲ μακρὰν ἀπεσκυβάλισε καὶ ἀπέρριψεν ὡσανεὶ συρφετόν τινα καὶ ἄχνην καὶ κῦμα θαλάσσιον. Ἀλλ' ἐπεὶ τὰ τῶν φίλων κοινά, κοινοποιοῦμαι μὲν ἔγωγε τὴν σὴν εὐπραγίαν καὶ τῆς τε δόξης **[164]** μετασχεῖν ἡγοῦμαι καὶ τῆς ἄλλης εὐημερίας. Κοινώνει δὲ καὶ αὐτὸς ὅσα δεῖ τῶν ἐνταῦθα φροντίδων καὶ περιστάσεων τοῖς σοῖς ἀποδήμοις· καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε, τοῦτο δὴ τὸ τῶν τραγῳδῶν, ἀλλὰ καὶ τῶν πόνων ἐν μέρει συναντιλαμβάνου τῷ φίλῳ, ἵνα καθόλου δίκαιος ᾖς, δικαίως καὶ ἴσως διαιτῶν φιλίᾳ καὶ φίλοις. Καί σοι παραμένοι τὸ εὐπραγεῖν χρονιώτερον, ὡς καὶ εὖ δράσῃς πλεῖον, μᾶλλον δὲ ἀναφαίρετόν σοι προσείη καὶ ἀΐδιον μετὰ τὴν ἐντεῦθεν εὐημερίαν ἐπὶ τὴν ἐκεῖ διαβάντι.

89
ΒΟΣΠΟΡΙΩ

Αἰδοῦμαί σου τῆς κλήσεως τὸ φιλόπονον. Αἰσχυνοίμην δ' ἂν πλέον ἐμαυτὸν μὴ τἀληθῆ γράφων. Δέδοικα μὴ πέρας ἡμῖν ἔχῃ καὶ τὰ πράγματα· οὕτως αἰσχύνομαι τὴν ἐμὴν πολιὰν καὶ τὴν κοινὴν τράπεζαν καὶ τοὺς ἐκ νεότητος πόνους, ἔλαττον παρ' ὑμῖν ἔχων καὶ τῶν κακίστων καὶ ὑφ' ὧν ἥκιστα ἂν ὠήθην ἀτιμαζόμενος.

90
ΑΝΥΣΙΩ

77 Πῶς ἔχει τὰ πράγματα ἡμῖν ἐρωτᾷς. Μετά τινος ἱστορίας ἀποκρινούμεθα. Ἐπρέσβευον Ἀθηναῖοι πρὸς Λακεδαιμονίους, φησίν, ἡνίκα ἐτυραννοῦντο· ἡ πρεσβεία δὲ ἦν γενέσθαι τι αὐτοῖς ἐκεῖθεν φιλάνθρωπον. Ὡς δὲ ἐπανῆκον ἐκ τῆς πρεσβείας, ἔπειτα ἤρετό τις· «Πῶς ὑμῖν οἱ Λακεδαιμόνιοι; — Ὡς μὲν δούλοις, ἔφασαν, λίαν χρηστῶς· ὡς δὲ ἐλευθέροις, λίαν ὑβριστικῶς». Τοῦτο οὖν καὶ αὐτὸς ἔχω γράφειν· πράττομεν γὰρ τῶν μὲν ἀπεγνωσμένων φιλανθρωπότερον, τῶν δὲ μελόντων Θεῷ φορτικώτερον. Ἥ τε γὰρ νόσος παραλυπεῖ ἔτι, μᾶλλον δὲ λίαν λυπεῖ, οἵ τε φίλοι κακοῦντες οὐκ ἀνιᾶσι καὶ τὰ δυνατὰ βλάπτοντες. Ἀλλ' εὔχου τὸ Θεῖον εὐμενὲς ἡμῖν εἶναι καὶ δυοῖν θάτερον ἢ φευξόμεθα τὰ δεινὰ πάντως ἢ καρτερή**[165]**σομεν. Ἔστι δὲ καὶ τοῦτο ἐπιεικῶς συμφορᾶς ἐλάττωσις.

91
ΝΕΚΤΑΡΙΩ

Τὰ μὲν καθ' ἡμᾶς ἔχει ὡς ἔχει· ἄνευ πολέμου καὶ πραγμάτων καθήμεθα, σιωπῆς ἀκίνδυνον γέρας[α] ἀντὶ πάντων τιμήσαντες. Καί τι καὶ ὠνάμεθα τῆς ἡσυχίας, ἐλέῳ Θεοῦ ἱκανῶς τῆς ἀρρωστίας ἀνενεγκόντες. Σὺ δὲ «κατευοδοῦ καὶ βασίλευε»[1], ὡς ὁ θεῖος Δαυίδ φησι· καί σοι συνδιέποι τὴν ἱερωσύνην ὁ τιμήσας Θεός, πάσης ἐπηρείας ὑψηλοτέραν ταύτην χαριζόμενος. Ἵνα δὲ τοῦ θαρρεῖν ἀλλήλοις ἀπόδειξιν δῶμεν καὶ μή τι πάσχωμεν ἀνθρώπινον Θεῷ παριστάμενοι, ἐγὼ μὲν ταῦτα πρεσβεύω πρὸς σέ, σὺ δέ μοι προθύμως ἐπίνευσον. Τοῦ γνησιωτάτου υἱοῦ ἡμῶν Παγκρατίου κηδόμεθα, πολλῶν ἕνεκεν ἀναγκαίων τοῦτο ποιοῦντες. Τοῦτον καὶ

1. Ψαλ. 44,5.
α. Σιμωνίδου, Fr. 66 Bergk.

προσίεσθαι θέλησον εὐμενῶς καὶ συστῆσαι τῶν φίλων τοῖς **78** σπουδαιοτέροις, ὥστε τοῦ σκοποῦ τυχεῖν. Ὁ δὲ σκοπός, στρατείᾳ τινὶ τὴν ἀπραγμοσύνην λαβεῖν· ἐπεὶ μηδὲ εἷς βίος ἀνεπηρέαστος τοῖς πονηροῖς, ὃ καὶ αὐτὸς γινώσκεις.

92
ΦΙΛΑΓΡΙΩ

Πῶς ἔχει σοι τὰ τοῦ σώματος; ἢ δηλονότι βραχὺς ὁ λόγος, ὅπως ἂν ἔχοι; Περὶ δὲ τῆς ψυχῆς οὐκ ἐρήσομαι πῶς. Οἶδα γὰρ ὅτι καὶ λίαν καλῶς· ἐπειδὴ γενναίως ἐμφιλοσοφεῖς τοῖς πάθεσιν τοῦ σώματος, ὥσπερ βάσανον ἀρετῆς ἀλλ' οὐχ ὕλης ἀνωμαλίαν τὸ πρᾶγμα δεξάμενος, ἵν' ᾖ σοι τὸ κακοπαθεῖν τῆς τῶν ἄλλων ὑγιείας μακαριώτερον. Δίδως καὶ ταύτην ἱκανὴν τῆς φιλοσοφίας ἀπό**[168]**δειξιν, τὸ τοιαῦτα καὶ περὶ τοιούτων ἐπιτάσσειν ἡμῖν· ἃ κἂν ἄλλοις θαρρῶμεν γράφειν, ἀλλὰ τό γε ὑπὸ σοὶ κριτῇ κινδυνεύειν οὐκ ἀσφαλές. Πειρασόμεθα δ' ὅμως μὴ ἀντιλέγειν κελεύοντι.

93
ΣΩΦΡΟΝΙΩ

Ἔχει τι δεξιὸν ἡμῖν ἡ ἀναχώρησις, τὸ ἄπραγμον καὶ ἡσύχιον· ἀλλ' οὔπω τοσοῦτον ὅσον σκαιόν, τὸ τῆς ὑμετέρας χωρίζειν φιλίας καὶ συνουσίας, τοσούτου πράγματος. Ἄλλοι τῆς σῆς τελειότητος ἀπολαύουσιν· ἡμῖν δὲ μέγα κἂν εἰ τοῦτο ἔχοιμεν, σκιὰν ὁμιλίας τὴν ἐν τοῖς γράμμασιν. Ἆρά σε ὀψόμεθα πάλιν; Ἆρα περιπτυξόμεθα τὸ ἡμέτερον σεμνολόγημα καὶ τοῦτο δοθήσεται τῷ τῆς ζωῆς ἡμῶν λειψάνῳ; Εἰ μὲν δοθείη, πᾶσα τῷ Θεῷ χάρις· εἰ δὲ μή, τεθνήκαμεν ἤδη τῷ πλείστῳ μέρει. Σὺ δὲ μέμνησο τοῦ σοῦ Γρηγορίου καὶ διηγοῦ τὰ ἡμέτερα.

94
ΑΜΑΖΟΝΙΩ

79 Ἄν τις ἔρηταί σε τῶν κοινῶν φίλων (πολλοὺς δὲ εἶναι πείθομαι τούτους)· — «Ποῦ δὲ νῦν ὁ Γρηγόριος ἡμῖν; πράττει δὲ τί;» θαρρῶν φαθι ὅτι ἐφ' ἡσυχίας φιλοσοφεῖ, τοσαῦτα τῶν ἀδικούντων φροντίζων ὅσα τῶν οὐδὲ εἰ γεγόνασι γινωσκομένων· οὕτως ἐστὶν ἀήττητος. Ἄν δέ σε πάλιν ὁ αὐτὸς ἐπανέρηται· — «Πῶς δὲ τὴν διάζευξιν φέρει τῶν φίλων;», μηκέτι θαρρῶν εἴπῃς ὅτι φιλοσοφεῖ, ἀλλὰ

καὶ λίαν ἀγεννῶς ἔχει. Ἄλλου μὲν γὰρ ἄλλος ἥττων ἐστίν, ἡμεῖς δὲ φιλίας καὶ φίλων. Τούτων εἷς ἐστι καὶ ὁ θαυμάσιος Ἀμαζόνιος. Τάχα δ' ἂν ἑνὶ μόνῳ θεραπεύσαις ἡμᾶς καὶ ῥᾴους ἐπὶ σοὶ ποιήσας, εἰ μνημονεύεις ἡμῶν καὶ ὅτι τοῦτο ποιεῖς πείθοις τοῖς γράμμασιν.

95

ΛΕΟΝΤΙΩ

Ὦ τῆς δεξιᾶς νόσου καὶ τῆς τῶν ἐχθρῶν ἐπη**[169]**ρείας, δι' ἣν ἡμεῖς ἐλεύθεροι γεγόναμεν ἔξω τοῦ Σοδομιτικοῦ πυρὸς[1] καὶ τῆς ἐπισκοπικῆς ἐκλύσεως. Ὑμῖν δὲ πῶς ἔχει τὰ πρὸς τὸν Θεόν; Ταῦτα ἐχέτω καλῶς, τἄλλα δέ, ὅπως ἂν ἔχῃ, χαίρειν ἐάσωμεν. Μικρὸν ἔτι καὶ ὄψομαι τοὺς ἐμοὺς ὑβριστάς, ἡνίκα ἂν πυρὶ κρίνηται[2] τὰ ἡμέτερα. Προσαγορεύομεν ὑμᾶς καὶ δι' ὑμῶν τοὺς κοινοὺς φίλους. Μέμνησθέ μου τῶν λιθασμῶν.

96

ΥΠΑΤΙΩ

Πολὺν ἐζημιώμεθα χρόνον, οὐκ ἐχούσης τὸν πρῶτον ἐν ἀνδράσι τῆς πρώτης ἐν πόλεσιν. Ἔδει γάρ, οἶμαι, χεθῆναι τὸ ἀγαθὸν καὶ κοινὸν γενέσθαι τὸ πάντων **80** ὄφελος, ὡς ἂν σπείραις τὴν εὐνομίαν ἐξ ὕψους, καθάπερ τὰ σπέρματα οἱ τὰς τροφὰς ἡμερώσαντες, ὡς γοῦν τοῖς μύθοις δοκεῖ καὶ τοῖς πλάσμασιν. Ἐμοὶ δὲ καὶ πλέον ἀλγεῖν περίεστιν, ὅτι τοσοῦτον ἀπολαύσας μόνον, ὅσα καὶ ἀστραπῆς ὀλίγα τὴν ὄψιν περιλαμπούσης, ἔπειτα ἡττήθην τοῦ φθόνου καὶ εἰς ἐμαυτὸν συνεστάλην, ἄλλοις τοῦ κράτους τῆς Ἐκκλησίας παραχωρήσας καὶ τῆς εὐπρεπεστέρας σκηνῆς (ἵν' οὕτως εἴπω διὰ τοὺς παίζοντας εὐκόλως τὰ μὴ παιδιᾶς ἄξια). Σὺ δέ, ὦ πάντων ἄριστε, τὴν αὐτὴν σῴζε πρὸς ἡμᾶς διάθεσιν, ἥτις κατὰ τὴν μαγνῆτιν πρὸς ἑαυτὴν ἕλκει τὰ σιδήρια.

97

ΗΡΑΚΛΕΙΑΝΩ

Ἀεὶ σὺ παρ' ἡμῖν ὁ καλὸς Ἡρακλειανὸς καὶ λέγων τι παιδεύσεως καὶ ἀκούων· καὶ Κωνσταντινούπολις μεθ' ἡμῶν ἡ καλὴ δι' ὑμᾶς, εἰ καὶ πρόσκαιρος, οὕτω τοῦ φθόνου θελήσαντος. Εἰ δὲ καὶ

---

1. Πρβλ. Γεν. 19,24. Λουκ. 17,29. 2. Πρβλ. Α' Κορ. 3,13.

παρὰ σοὶ Γρηγόριος, ἄμεινον ἂν ἀμφοτέροις **[172]** ἔχοι. Δηλώσεις δὲ τοῦτο δι' ἐπιστολῶν ἃς ἐπιστελεῖς ἡμῖν, ὃ μόνον ἐνδέχεται.

98

ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΙΤΕΥΟΜΕΝΟΥΣ

Ὑμεῖς μοι δοκεῖτε μηδ' ἂν τῆς Διογένους πήρας, εἰ καθ' ἡμᾶς ἦν ἀποσχέσθαι τοῦ Σινωπέως, ἀλλὰ κἀκείνῳ ἂν τὰς χεῖρας ἐπιβαλεῖν, τέχνην ἐπικαλοῦντες αὐτῷ τὸν τρίβωνα καὶ τὴν βακτηρίαν καὶ αὐτὸ τὸ κεκτῆσθαι μηδὲν ἐκ φιλοσοφίας, ἄλλοτε δὲ ἄλλῃ θύρᾳ προσφοιτᾶν εἰκῇ διαζῶντα καὶ ὅθεν ἔτυχεν, ὁπότε καὶ τῷ ἀδελφῷ Θεοτέκνῳ ζημίαν ἐπιβαλεῖν ἐπιχειρεῖτε τὴν ἐκ τῶν τεχνῶν. Τί πρῶτον ἢ τί μέγιστον εἴπω τῶν ὑπὲρ αὐτοῦ δικαίων; ὡς διάκονός ἐστιν ἢ ὡς ἄπορος ἢ ὡς ξένος καὶ ἄλλοις μᾶλλον ἡμῶν προσήκων ἢ ὅτι τὸν βίον αἰδέσιμος **81** καὶ τῶν μαρτύρων ἱερεὺς καὶ πάροικος; Ἴστε δὲ ὅτι καὶ ξενοτροφεῖ παρὰ δύναμιν. Καὶ τοῦτο ἴσως ἀδικεῖ μόνον ὅτι μόνος τῶν αὐτόθι βιάζεται εἶναι χρηστούς. Τούτων ὅ τι μὲν μέγιστόν ἐστιν αὐτοὶ κρίνατε· τῷ δὲ ἀνθρώπῳ διὰ πάντα συγχωρήσατε, μὴ δόξητε μικρὰ τὸ κοινὸν ὠφελοῦντες μεγάλα ζημιοῦσθαι αὐτοί, γυμνόν, ὃ δὴ λέγεται, μὴ ἀμφιεννύντες[1], ἀλλ' ἀποδύοντες.

99

⟨ΣΑΚΕΡΔΩΤΙ⟩

Πυνθάνομαί σε ἀναχωρητικῶς ἔχειν καὶ εἴθε γένοιο ἡμῖν Ἰωάννης ὁ Βαπτιστὴς ἢ καὶ Ἠλίας ὁ τοῦ Καρμήλου καὶ τοῦτο μόνον ἀδικήσαιεν ἡμᾶς οἱ μισοῦντες, τὸ πρὸς Θεὸν συναγαγεῖν καὶ δοῦναι γνησίως τοῖς ἄνω, πραγμάτων καὶ θορύβων ἀπαλλαγέντας, ἵν' ἄκοντες γοῦν εὖ ποιῶσιν ἡμᾶς, ἐπειδὴ μὴ ἑκόντες δύνανται.

100

ΓΙΓΑΝΤΙΩ

[173] Ἡσθεὶς τῇ κλήσει, ὑπερήσθην οἷς γράφεις, οὐχ ὅτι ἐπαινούμεθα (μικρὸν γάρ), ἀλλ' ὅτι φρονεῖς ὀρθῶς· καὶ δεσμός σοι τῆς πρὸς ἡμᾶς ἀγάπης ἡ τῶν αὐτῶν ἐλπὶς καὶ ἡ γνησία τῆς Τριάδος προσκύνησις, ἣν φθεγγόμεθα μᾶλλον ἢ ἀναπνέομεν καὶ μετὰ κινδύνων καὶ ἀκινδύνως, τὰ μὲν ἄλλα διδόντες τοῖς καιροῖς, ὡς ἂν βού-

---

1. Πρβλ. Ματθ. 25,43.

λωνται, περιφέρειν, τοῦτο δὲ ἀκίνητον ἐν ταῖς ψυχαῖς ἔχοντες, τὸν μόνον ἄφθονον θησαυρὸν καὶ ὄντως ἡμέτερον. Ὡς ἔγωγε, ὅταν τἄλλα ἐνθυμηθῶ καὶ ὅσαι θλίψεις, αἳ μὲν περιέσχον ἡμᾶς, αἳ δὲ περιέχουσι, καὶ τὴν ἀνωμαλίαν τῶν ἄνω καὶ κάτω στροβούντων ἡμᾶς κακῶν καὶ τὸν πόλεμον ὃν πολεμούμεθα ὑπὸ πάντων οὐδὲν ἀδικοῦντες, πρὸς τοῦτο δὲ ἀποβλέψω μόνον ὅτι κῆρυξ γενέσθαι **82** τῆς ἀληθείας κατηξιώθην, παρερριμμένης τε καὶ ἀπεπτυσμένης «ἐν γῇ ἐρήμῳ» διδασκαλίας ὑγιαινούσης «καὶ ἀβάτῳ καὶ ἀνύδρῳ»[1], κατὰ τὸ γεγραμμένον, μικρὸν εἰπεῖν ὅτι λύω πᾶσαν ἀδημονίαν, ἀλλὰ καὶ ὑπερήδομαι[2] ὡς μειζόνων ἢ κατ' ἐμαυτὸν ἠξιωμένος. Πρὸς οὖν τί ταῦτα γράφω; ἵν' ἐκεῖνο δηλώσω, ὅτι μόνη μοι βεβαία φιλία καὶ οἰκείωσις πρὸς τοὺς οὕτως ἔχοντας. Τῶν δὲ οὕτως ἐχόντων τίς ἂν ἑκὼν ἀπολείποιτο εὖ φρονῶν; Τίς δὲ μείζων ἑορτὴ τοῦ τοιούτοις συνεορτάζειν; Εἰ δὲ ἡ ἀρρωστία καὶ ὁ χειμὼν ἐμποδίζει τὴν προθυμίαν, οἴσω μὲν αὐτὸς τὴν ζημίαν· συγγινώσκετε δὲ ὑμεῖς καὶ καιρὸν ἄλλον συντυχίας ἡμῖν ἐπεύχεσθαι.

101

ΠΡΟΣ ΚΛΗΔΟΝΙΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ*

36 [176] Τῷ τιμιωτάτῳ καὶ θεοφιλεστάτῳ ἀδελφῷ καὶ συμπρεσβυτέρῳ Κληδονίῳ Γρηγόριος ἐν Κυρίῳ χαίρειν.

Βουλόμεθα μαθεῖν τίς ἡ καινοτομία περὶ τὴν Ἐκκλησίαν, ἵν' ἐξῇ παντὶ βουλομένῳ καὶ «παραπορευομένῳ»[3], κατὰ τὸ γεγραμμένον, διασπᾶν τὴν ποίμνην[4] καλῶς ἠγμένην[5] καὶ συλαγωγεῖν[6] κλοπιμαίοις ἐφόδοις[7], μᾶλλον δὲ λῃστρικοῖς **38** καὶ παραλόγοις διδάγμασιν. Εἰ μὲν γὰρ εἶχόν τι καταγινώσκειν ἡμῶν περὶ τὴν πίστιν οἱ νῦν ἐπελθόντες, οὐδ' οὕτω μὲν χωρὶς ὑπομνήσεως ἡμῶν ἔδει τὰ τοιαῦτα τολμᾶν. Πεῖσαι γὰρ ἐχρῆν ἢ πεισθῆναι θελῆσαι πρότερον (εἴπερ τις καὶ ἡμῶν λόγος ὡς τὸν Θεὸν φοβουμένων καὶ κοπιασάντων ὑπὲρ τοῦ λόγου καὶ τὴν Ἐκκλησίαν ὠφελησάντων) καὶ τότε, εἴπερ ἄρα καινοτομεῖν, πλὴν καὶ ἀπολογία τις ἦν ἴσως τοῖς ὑβρισταῖς. Ἐπειδὴ δὲ καὶ ἐγγράφως καὶ ἀγράφως καὶ ἐνταῦθα καὶ πορρωτέρω καὶ μετὰ κινδύνων καὶ ἀκινδύνως ἡ πίστις ἡμῶν κεκήρυκται, πῶς οἱ μὲν ἐγχειροῦσι τοῖς τοιούτοις, οἱ δὲ ἡσυχάζουσι;

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Paul Gallay, Grégoire de Nazianze, Lettres Théologiques. Sources Chrétiennes No 208, Paris 1974. (Ἐπ. 101, 102, 202).

1. Ψαλ. 62,2. 2. Πρβλ. Β' Κορ. 7,4. 3. Πρβλ. Ψαλ. 79,13. 4. Πρβλ. Ἰω. 10,12. 5. Πρβλ. Ψαλ. 77,52. Ἱερ. 31,10. 6. Πρβλ. Ἰω. 10,12. 7. Πρβλ. Ἰω. 10,1,10.

Καὶ οὐχὶ τοῦτό πω δεινόν, καίπερ ὂν δεινόν, εἰ τὴν ἑαυτῶν κακοδοξίαν ἄνθρωποι ταῖς ἀκεραιοτέραις ψυχαῖς διὰ τῶν κακουργοτέρων ἐναποτίθενται, ἀλλ' ὅτι καὶ ἡμῶν καταψεύδονται ὡς ὁμοδόξων καὶ ὁμοφρόνων. Τῷ χαλκῷ τὸ δέλεαρ περιβάλλοντες καὶ διὰ τοῦ προσχήματος τούτου τὸ ἑαυτῶν θέλημα κακῶς ἐκπληροῦντες καὶ τὴν ἁπλότητα ἡμῶν, ἐξ ἧς ἀδελφικῶς αὐτοὺς ἐωρῶμεν καὶ **[177]** οὐκ ἀλλοτρίως, κακίας ἐφόδιον ποιησάμενοι· οὐ μόνον δέ, ἀλλ' ὅτι **40** καὶ ὑπὸ τῆς δυτικῆς συνόδου δεδέχθαι φασίν, ὡς πυνθάνομαι, ὑφ' ἧς τὸ πρότερον ἦσαν κατακριθέντες, ὡς πᾶσιν εὔδηλον. Εἰ μὲν οὖν ἐδέχθησαν ἢ νῦν ἢ πρότερον οἱ τὰ Ἀπολλιναρίου φρονοῦντες, τοῦτο δειξάτωσαν καὶ ἡμεῖς στέρξομεν. Δῆλον γὰρ ὅτι τῷ ὀρθῷ λόγῳ συνθέμενοι· οὐδὲ γὰρ ἐνδέχεται ἄλλως, εἰ τούτου τετυχήκασι. Δείξουσι δὲ πάντως ἢ διὰ τόμου συνοδικοῦ ἢ δι' ἐπιστολῶν κοινωνικῶν· οὗτος γὰρ τῶν συνόδων ὁ νόμος. Εἰ δὲ λόγος τοῦτό ἐστι καὶ ἀναπλασμὸς εὐπρεπείας ἕνεκεν αὐτοῖς καὶ πιθανότητος τῆς πρὸς τοὺς πολλοὺς εὑρημένος διὰ τὸ τῶν προσώπων ἀξιόπιστον, δίδαξον αὐτοὺς ἠρεμεῖν καὶ διέλεγχε. Τῇ γὰρ σῇ πολιτείᾳ καὶ ὀρθοδοξίᾳ τοῦτο πρέπειν ὑπολαμβάνομεν.

Μὴ ἀπατάτωσαν οἱ ἄνθρωποι μηδὲ ἀπατάσθωσαν ἄνθρωπον ἄνουν δεχόμενοι τὸν Κυριακόν, ὡς αὐτοὶ λέγουσι, μᾶλλον δὲ τὸν Κύριον ἡμῶν καὶ Θεόν. Οὐδὲ γὰρ τὸν **42** ἄνθρωπον χωρίζομεν τῆς θεότητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν, πρότερον μὲν οὐκ ἄνθρωπον, ἀλλὰ Θεὸν καὶ Υἱὸν μόνον καὶ προαιώνιον[1], ἀμιγῆ σώματος καὶ τῶν ὅσα σώματος, ἐπὶ τέλει δὲ καὶ ἄνθρωπον, προσληφθέντα ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας, παθητὸν σαρκί, ἀπαθῆ θεότητι, περιγραπτὸν σώματι, ἀπερίγραπτον πνεύματι, τὸν αὐτὸν ἐπίγειον καὶ οὐράνιον, ὁρώμενον καὶ νοούμενον, χωρητὸν καὶ ἀχώρητον, ἵν' ὅλῳ ἀνθρώπῳ τῷ αὐτῷ καὶ Θεῷ ὅλος ἄνθρωπος ἀναπλασθῇ πεσὼν ὑπὸ τὴν ἁμαρτίαν.

Εἴ τις οὐ Θεοτόκον τὴν ἁγίαν Μαρίαν ὑπολαμβάνει, χωρίς ἐστι τῆς θεότητος. Εἴ τις ὡς διὰ σωλῆνος τῆς Παρθένου διαδραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγοι θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς (θεϊκῶς μέν, ὅτι χωρὶς ἀνδρός· ἀνθρωπικῶς δέ, ὅτι νόμῳ κυήσεως), ὁμοίως ἄθεος. Εἴ **44** τις διαπεπλάσθαι τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι **[180]** λέγοι Θεόν, κατάκριτος. Οὐ γέννησις γὰρ Θεοῦ τοῦτό ἐστιν, ἀλλὰ φυγὴ γεννήσεως. Εἴ τις εἰσάγει δύο Υἱούς, ἕνα μὲν τὸν ἐκ τοῦ Θεοῦ καὶ Πατρός, δεύτερον δὲ τὸν ἐκ τῆς μητρός, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτόν, καὶ τῆς υἱοθεσίας[2] ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. Φύσεις μὲν γὰρ δύο, Θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο, οὐδὲ Θεοί. Οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι,

---

1. Πρβλ. Ψαλ. 54,20. 73,12. Ἑβρ. 1,2. 2. Πρβλ. Ρωμ. 8,15,23. Γαλ. 4,5. Ἐφ. 1,5. Ἰω. 1,12.

εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς[1] προσηγόρευσε. Καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ Σωτὴρ (εἴπερ μὴ ταὐτὸν τὸ ἀόρατον τῷ ὁρατῷ καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον), οὐκ ἄλλος δὲ καὶ ἄλλος· μὴ γένοιτο. Τὰ γὰρ ἀμφότερα ἐν τῇ συγκράσει, Θεοῦ μὲν ἐνανθρωπήσαντος, ἀνθρώπου δὲ θεωθέντος, ἢ ὅπως ἄν τις ὀνομάσειε. Λέγω δὲ ἄλλο καὶ ἄλλο, ἔμπαλιν ἢ ἐπὶ τῆς Τριάδος ἔχει. Ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, **46** ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν· οὐκ ἄλλο δὲ καὶ ἄλλο, ἓν γὰρ τὰ τρία καὶ ταὐτὸν τῇ θεότητι.

Εἴ τις ὡς ἐν προφήτῃ λέγοι κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαί τε καὶ συνάπτεσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας[2], μᾶλλον δὲ πλήρης τῆς ἐναντίας[3]. Εἴ τις οὐ προσκυνεῖ τὸν ἐσταυρωμένον, «ἀνάθεμα ἔστω»[4] καὶ τετάχθω μετὰ τῶν θεοκτόνων. Εἴ τις ἐξ ἔργων τετελειωμένον ἢ μετὰ τὸ βάπτισμα ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγοι, καθάπερ οὓς Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, «ἀνάθεμα ἔστω»[5]. Τὸ **[181]** γὰρ ἠργμένον ἢ προκόπτον ἢ τελειούμενον οὐ Θεός, κἂν διὰ τὴν κατὰ μικρὸν ἀνάδειξιν[6] οὕτω λέγηται. Εἴ τις ἀποτεθεῖσθαι νῦν τὴν σάρκα λέγοι καὶ γυμνὴν εἶναι τὴν θεότητα τοῦ σώματος, ἀλλὰ μὴ μετὰ τοῦ προσλήμματος καὶ εἶναι καὶ ἥξειν, μὴ ἴδοι τὴν δόξαν τῆς παρουσίας[7]. Ποῦ γὰρ τὸ σῶμα νῦν, εἰ μὴ μετὰ τοῦ προσλαβόντος; Οὐ γὰρ δὴ κατὰ τοὺς Μανιχαίων λήρους τῷ ἡλίῳ ἐναποτέθειται, ἵνα τιμηθῇ διὰ τῆς ἀτιμίας· ἢ εἰς τὸν ἀέρα ἐχέθη καὶ διελύθη, ὡς φωνῆς φύσις καὶ ὀδμῆς ῥύσις καὶ **48** ἀστραπῆς δρόμος οὐχ ἱσταμένης. Ποῦ δὲ καὶ τὸ ψηλαφηθῆναι αὐτὸν μετὰ τὴν ἀνάστασιν[8] ἢ ὀφθήσεσθαί ποτε ὑπὸ τῶν «ἐκκεντησάντων»[9]; Θεότης γὰρ καθ' ἑαυτὴν ἀόρατος. Ἀλλ' ἥξει μὲν μετὰ τοῦ σώματος, ὡς ὁ ἐμὸς λόγος, τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει[10] ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος. Ὥσπερ δὲ ταῦτα λέγομεν ἀποσκευαζόμενοι τὴν ὑπόνοιαν, οὕτω κἀκεῖνα γράφομεν διορθούμενοι τὴν καινοτομίαν.

Εἴ τις λέγοι τὴν σάρκα ἐξ οὐρανοῦ κατεληλυθέναι, ἀλλὰ μὴ ἐντεῦθεν εἶναι καὶ παρ' ἡμῶν, «ἀνάθεμα ἔστω»[11]. Τὸ γὰρ «Ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ»[12], καὶ «Οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι»[13], καὶ «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου»[14] καὶ εἴ τι ἄλλο τοιοῦτον, νομιστέον λέγεσθαι διὰ τὴν πρὸς τὸν οὐράνιον ἕνωσιν, ὥσπερ καὶ τὸ «διὰ Χριστοῦ γεγονέναι τὰ πάντα»[15] καὶ «κατοικεῖν Χριστὸν ἐν ταῖς

---

1. Πρβλ. Α' Κορ. 15,45-47. Β' Κορ. 4,16. Ἐφ. 3,16. 2. Πρβλ. Α' Κορ. 12,10. 3. Πρβλ. Ἐφ. 4,19. 4. Πρβλ. Α' Κορ. 16,22. 5. Ἔνθ' ἀν. 6. Πρβλ. Λουκ. 2,52. 7. Πρβλ. Β' Θεσ. 2,8. 8. Πρβλ. Λουκ. 24,39. Ἰω. 20,27. 9. Πρβλ. Ζαχ. 12,10. Ἰω. 19,37. 10. Πρβλ. Ματθ. 17,2. Μάρκ. 9,2. Λουκ. 9,29. 11. Α' Κορ. 16,22. 12. Α' Κορ. 15,47. 13. Α' Κορ. 15,48. 14. Ἰω. 3,13. 15 Πρβλ. Ἰω. 1,3.

καρδίαις ἡμῶν»[1], οὐ κατὰ τὸ φαινόμενον τοῦ Θεοῦ, ἀλλὰ κατὰ τὸ νοούμενον, κιρναμένων ὥσπερ τῶν φύσεων, οὕτω δὴ καὶ τῶν κλήσεων καὶ περιχωρουσῶν εἰς ἀλλήλας τῷ λόγῳ τῆς συμφυΐας.

50 Εἴ τις εἰς ἄνουν ἄνθρωπον ἤλπικεν, ἀνόητος ὄντως ἐστὶ καὶ οὐκ ἄξιος ὅλως σώζεσθαι. Τὸ γὰρ ἀπρόσληπτον, ἀθεράπευτον· ὃ δὲ ἥνωται τῷ Θεῷ **[184]** τοῦτο καὶ σώζεται. Εἰ ἥμισυς ἔπταισεν ὁ Ἀδάμ, ἥμισυ καὶ τὸ προσειλημμένον καὶ τὸ σωζόμενον. Εἰ δὲ ὅλος ὅλῳ τῷ γεννηθέντι ἥνωται, καὶ ὅλως σώζεται. Μὴ τοίνυν βασκαινέτωσαν ἡμῖν τῆς παντελοῦς σωτηρίας, μηδὲ ὀστᾶ μόνον καὶ νεῦρα καὶ ζωγραφίαν ἀνθρώπου τῷ Σωτῆρι περιτιθέτωσαν. Εἰ μὲν γὰρ ἄψυχος ὁ ἄνθρωπος, τοῦτο καὶ Ἀρειανοὶ λέγουσιν, ἵν' ἐπὶ τὴν θεότητα τὸ πάθος ἐνέγκωσιν, ὡς τοῦ κινοῦντος τὸ σῶμα, τούτου καὶ πάσχοντος. Εἰ δὲ ἔμψυχος, εἰ μὲν οὐ νοερός, πῶς καὶ ἄνθρωπος; οὐ γὰρ ἄνουν ζῷον ὁ ἄνθρωπος. Καὶ ἀνάγκη τὸ σχῆμα μὲν ἀνθρώπειον εἶναι καὶ τὴν σκηνήν[2], τὴν δὲ ψυχὴν ἵππου τινὸς ἢ βοὸς ἢ ἄλλου τῶν ἀνοήτων. Τοῦτο γοῦν ἔσται καὶ τὸ σωζόμενον· καὶ διεψεύσθην ἐγὼ παρὰ τῆς ἀληθείας, ἄλλου τιμηθέντος, ἄλλος μεγαλαυχούμενος. Εἰ δὲ νοερὸς ἀλλ' οὐκ ἄνους ὁ ἄνθρωπος, παυσάσθωσαν ὄντως ἀνοηταίνοντες.

52 Ἀλλ' ἤρκει, φησίν, ἡ θεότης ἀντὶ τοῦ νοῦ. Τί οὖν πρὸς ἐμὲ τοῦτο; Θεότης γὰρ μετὰ σαρκὸς μόνης οὐκ ἄνθρωπος, ἀλλ' οὐδὲ ψυχῆς μόνης, οὐδὲ ἀμφοτέρων χωρὶς τοῦ νοῦ, ὃ καὶ μᾶλλον ἄνθρωπος. Τήρει οὖν τὸν ἄνθρωπον ὅλον καὶ μῖξον τὴν θεότητα, ἵνα με τελέως εὐεργετῇς. Ἀλλ' οὐκ ἐχώρει, φησί, δύο τέλεια. Οὐδὲ γάρ, εἴπερ σωματικῶς σκοπεῖς. Ἀγγεῖον γὰρ μεδιμναῖον οὐ χωρήσει διμέδιμνον, οὐδὲ σώματος ἑνὸς τόπος δύο ἢ πλείω σώματα· εἰ δὲ ὡς νοητὰ καὶ ἀσώματα, σκόπει ὅτι καὶ ψυχὴν καὶ λόγον καὶ νοῦν καὶ Πνεῦμα Ἅγιον ὁ αὐτὸς ἐχώρησα καὶ πρὸ ἐμοῦ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα ὁ κόσμος οὗτος, τὸ ἐξ ὁρατῶν λέγω καὶ ἀοράτων σύστημα[3]. Τοιαύτη γὰρ ἡ τῶν νοητῶν φύσις, ἀσωμάτως καὶ ἀμερίστως καὶ ἀλλήλοις καὶ σώμασι μίγνυσθαι. Ἐπεὶ καὶ φωναὶ πλείους ἀκοῇ μιᾷ χωρηταὶ καὶ ὄψεις πλειόνων τοῖς αὐτοῖς ὁρατοῖς καὶ ὀσφραντοῖς ὄσφρησις, οὔτε τῶν αἰσθήσεων στενοχωρουμένων ὑπ' ἀλλήλων ἢ ἐκθλιβομένων οὔτε τῶν αἰσθητῶν ἐλαττουμένων τῷ πλήθει τῆς ἀντιλήψεως.

[185] Ποῦ δὲ καὶ τέλειον νοῦς ἀνθρώπου ἢ καὶ ἀγγέλου συγκρίσει θεότητος, ἵνα τὸ ἕτερον ἐκθλιβῇ παρουσίᾳ τοῦ μείζονος; Οὐδὲ γὰρ αὐγή τις πρὸς ἥλιον, οὐδὲ νοτὶς ὀλίγη **54** πρὸς ποταμόν, ἵνα τὰ μικρὰ προανέλωμεν, οἴκου μὲν αὐγήν, γῆς δὲ νοτίδα, καὶ οὕτω χωρηθῇ τὰ μείζω καὶ τελεώτερα. Πῶς γὰρ χωρήσει δύο τέλεια, οἶκος μὲν αὐγὴν καὶ ἥλιον, γῇ δὲ νοτίδα καὶ ποταμόν, τοῦτο διασκεψώμεθα· καὶ γὰρ πολλῆς ὄντως τὸ πρᾶγμα φροντίδος ἄξιον. Ἢ ἀγνοοῦσιν ὅτι τὸ

---

1. Ἐφ. 3,17. Πρβλ. Ἰω. 14,23. 2. Β' Κορ. 5,14. 3. Πρβλ. Κολ. 1,16.

πρός τι τέλειον πρὸς ἕτερον ἀτελές, ὡς βουνὸς πρὸς ὄρος καὶ κόκκος νάπυος πρὸς κύαμον ἤ τι ἄλλο τῶν μειζόνων σπερμάτων, κἂν τῶν ὁμογενῶν μεῖζον λέγηται· εἰ δὲ βούλει, ἄγγελος πρὸς Θεὸν καὶ πρὸς ἄγγελον ἄνθρωπος; Τέλειον οὖν ὁ ἡμέτερος νοῦς καὶ ἡγεμονικόν, ἀλλὰ ψυχῆς καὶ σώματος, οὐχ ἁπλῶς τέλειον, Θεοῦ δὲ δοῦλον καὶ ὑποχείριον, ἀλλ' οὐ συνηγεμονικὸν οὐδὲ ὁμότιμον. Ἐπεὶ καὶ Μωυσῆς Φαραὼ μὲν θεός[1], Θεοῦ δὲ θεράπων[2], ὡς ἀναγέγραπται· καὶ ἀστέρες νύκτα μὲν περιλάμπουσιν, ἡλίῳ δὲ κρύπτονται, ὡς μηδ' ὅτι εἰσὶν ἡμέρᾳ γνωρίζεσθαι· καὶ λαμπὰς ὀλίγη μεγάλῃ πυρκαϊᾷ προσχωρήσασα οὔτε ἀπόλλυται οὔτε φαίνεται οὔτε χωρίζεται, ἀλλ' ὅλον ἐστὶ πυρκαϊά, τοῦ ὑπερέχοντος ἐκνικήσαντος.

Ἀλλὰ κατάκριτος, φησίν, ὁ ἡμέτερος νοῦς. Τί δὲ ἡ σάρξ; Οὐ κατάκριτος;[3] Ἢ καὶ ταύτην ἀποσκεύασαι διὰ **56** τὴν ἁμαρτίαν ἢ κἀκεῖνο πρόσαγε διὰ τὴν σωτηρίαν. Εἰ τὸ χεῖρον προσείληπται, ἵν' ἁγιασθῇ διὰ τῆς σαρκώσεως, τὸ κρεῖττον οὐ προσληφθήσεται, ἵν' ἁγιασθῇ διὰ τῆς ἐνανθρωπήσεως; Εἰ ὁ πηλὸς[4] ἐζυμώθη καὶ «νέον φύραμα»[5] γέγονεν, ὦ σοφοί, ἡ εἰκὼν[6] οὐ ζυμωθήσεται καὶ πρὸς Θεὸν ἀνακραθήσεται, θεωθεῖσα διὰ τῆς θεότητος; Κἀκεῖνο προσθήσομεν· εἰ διέπτυσται πάντως ὁ νοῦς ὡς ἁμαρτητικὸς καὶ κατάκριτος καὶ διὰ τοῦτο σῶμα μὲν προσείληπται, νοῦς δὲ παραλέλειπται, συγγνώμη τοῖς πταίουσι περὶ νοῦν. Μαρτυρία γὰρ Θεοῦ σαφῶς ἔδειξε τὸ τῆς θεραπείας ἀδύνατον. Εἶπω τὸ μεῖζον; Σὺ μὲν διὰ τοῦτο ἀτιμάζεις, ὦ βέλτιστε, τὸν ἐμὸν νοῦν, ὡς σαρκολάτρης, εἴπερ ἀνθρωπολάτρης ἐγώ, ἵνα συνδήσῃς **[188]** Θεὸν πρὸς σάρκα, ὡς οὐκ ἄλλως δεθῆναι δυνάμενον, καὶ διὰ τοῦτο ἐξαιρεῖς τὸ μεσότοιχον[7]. Ὁ δὲ ἐμὸς λόγος τίς, τοῦ ἀφιλοσόφου καὶ ἀπαιδεύτου; Ὁ νοῦς τῷ νοΐ μίγνυται, ὡς ἐγγυτέρῳ καὶ οἰκειοτέρῳ καὶ διὰ τούτου σαρκὶ μεσιτεύοντος θεότητι καὶ παχύτητι.

58 Τίς δὲ καὶ ὁ λόγος αὐτοῖς τῆς ἐνανθρωπήσεως ἴδωμεν, εἶτ' οὖν σαρκώσεως, ὡς αὐτοὶ λέγουσιν. Εἰ μὲν ἵνα χωρηθῇ Θεός, ἄλλως ἀχώρητος ὤν, καὶ ὡς ὑπὸ παραπετάσματι τῇ σαρκὶ[α] τοῖς ἀνθρώποις προσομιλήσῃ[8], κομψὸν τὸ προσωπεῖον αὐτοῖς καὶ τὸ δρᾶμα τῆς ὑποκρίσεως· ἵνα μὴ λέγω ὅτι καὶ ἄλλως ὁμιλῆσαι ἡμῖν οἷόν τε ἦν, ὥσπερ ἐν βάτῳ πυρὸς[9] καὶ ἀνθρωπίνῳ εἴδει[10] τὸ πρότερον. Εἰ δὲ ἵνα λύσῃ τὸ κατάκριμα τῆς ἁμαρτίας τῷ ὁμοίῳ τὸ ὅμοιονβ ἁγιάσας ὥσπερ σαρκὸς ἐδέησε διὰ τὴν σάρκα κατακριθεῖσαν καὶ ψυχῆς διὰ τὴν ψυχήν, οὕτω καὶ νοῦ διὰ τὸν νοῦν οὐ πταίσαντα μόνον ἐν τῷ Ἀδάμ, ἀλλὰ καὶ πρω-

---

1. Πρβλ. Ἐξ. 7,1. 2. Πρβλ. Δευτ. 34,5. Ἰησ. Ν. 1,2. 3. Πρβλ. Ρωμ. 8,3. Ἐφ. 2,3. 4. Πρβλ. Γεν. 2,7. Τωβ. 8,8. 5. Α' Κορ. 5,7. 6. Πρβλ. Γεν. 1,26,27. 9,6. 7. Πρβλ. Ἐφ. 2,14. 8. Πρβλ. Βαρ. 3,38. 9. Πρβλ. Ἐξ. 3,2. 10. Πρβλ. Γεν. 18,1 ἑξ.

α. Πρβλ. Πλάτωνος, Πρωταγόρας 316e. β. Πρβλ. Πλάτωνος, Γοργίας 510b.

τοπαθήσαντα, ὅπερ οἱ ἰατροὶ λέγουσιν ἐπὶ τῶν ἀρρωστημάτων. Ὃ γὰρ τὴν ἐντολὴν ἐδέξατο, τοῦτο καὶ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν· ὃ δὲ οὐκ ἐφύλαξε, τοῦτο καὶ τὴν παράβασιν ἐτόλμησεν· ὃ δὲ παρέβη, τοῦτο καὶ τῆς σωτηρίας ἐδεῖτο μάλιστα· ὃ δὲ τῆς σωτηρίας ἐδεῖτο, τοῦτο καὶ προσελήφθη· ὁ νοῦς ἄρα προσείληπται.

Τοῦτο νῦν ἀποδέδεικται, κἂν μὴ βούλωνται, γεωμετρικαῖς, ὡς φασιν αὐτοί, ἀνάγκαις καὶ ἀποδείξεσι. Σὺ δὲ ποιεῖς παραπλήσιον ὥσπερ ἂν εἰ, ὀφθαλμοῦ ἀνθρώπου πταίσαντος καὶ ποδὸς προσπταίσαντος, τὸν πόδα μὲν ἐθεράπευες, τὸν δὲ ὀφθαλμὸν ἀθεράπευτον εἴας· ἢ ζωγράφου **60** τι μὴ καλῶς γράψαντος, τὸ μὲν γραφὲν μετεποίεις, τὸν δὲ ζωγράφον ὡς κατορθοῦντα παρέτρεχες. Εἰ δὲ ὑπὸ τούτων ἐξειργόμενοι τῶν λογισμῶν καταφεύγουσιν ἐπὶ τὸ δυνατὸν εἶναι Θεῷ καὶ χωρὶς νοῦ σῶσαι τὸν ἄνθρωπον, δυνατὸν δή που καὶ χωρὶς σαρκὸς μόνῳ τῷ βούλεσθαι, ὥσπερ καὶ τὰ ἄλλα πάντα ἐνεργεῖ καὶ ἐνήργηκεν ἀσωμάτως. Ἄνελε οὖν μετὰ τοῦ νοῦ καὶ τὴν σάρκα, ἵν' ᾖ σοι τέλειον τὸ τῆς ἀπονοίας. Ἀλλ' ἀπατῶνται ὑπὸ τοῦ γράμματος[1] καὶ διὰ τοῦτο τῇ σαρκὶ προστρέχουσι, τὴν συνήθειαν τῆς Γραφῆς **[189]** ἀγνοοῦντες. Ἡμεῖς αὐτοὺς καὶ τοῦτο διδάξομεν.

Ὅτι μὲν γὰρ πανταχοῦ τῆς Γραφῆς ἄνθρωπος καὶ Υἱὸς ἀνθρώπου προσαγορεύεται, τί δεῖ πρὸς εἰδότας καὶ λέγειν; Εἰ δὲ διισχυρίζονται τῷ «Ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[2] καὶ διὰ τοῦτο περιξέουσι τοῦ ἀνθρώπου τὸ κάλλιστον, ὥσπερ οἱ σκυτεῖς τὰ παχύτερα τῶν δερμάτων, ἵνα Θεὸν σαρκὶ συγκολλήσωσιν, ὥρα λέγειν αὐτοῖς καὶ σαρκῶν μόνων τὸν Θεὸν εἶναι Θεόν, ἀλλ' οὐχὶ καὶ ψυχῶν, διὰ τὸ γεγράφθαι· «Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός»[3] καί· «Πρὸς σὲ πᾶσα σὰρξ ἥξει»[4] καί· «Εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ»[5], τοῦτ' ἔστι πᾶς ἄνθρωπος· ἢ πάλιν ἀσωμάτους **62** καὶ ἀοράτους καταβεβηκέναι τοὺς πατέρας ἡμῶν εἰς Αἴγυπτον καὶ τὴν ψυχὴν τοῦ Ἰωσὴφ δεδέσθαι μόνην ὑπὸ τοῦ Φαραώ[6], διὰ τὸ γεγράφθαι· «Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβησαν εἰς Αἴγυπτον»[7] καί· «Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ»[8], πρᾶγμα δεθῆναι μὴ δυνάμενον. Ἀγνοοῦσι γὰρ οἱ ταῦτα λέγοντες ὅτι συνεκδοχικῶς τὰ τοιαῦτα ὀνομάζεται, ἀπὸ μέρους τοῦ παντὸς δηλουμένου, ὥσπερ καί· «Νεοσσοὶ τῶν κοράκων ἐπικαλοῦνται τὸν Θεόν»[9], ἵν' ἡ πτηνὴ δηλωθῇ φύσις, καὶ Πλειὰς καὶ Ἔσπερος καὶ Ἄρκτουρος[10] μνημονεύονται ἀντὶ πάντων ἀστέρων καὶ τῆς περὶ τούτους οἰκονομίας.

Καὶ ἅμα οὐκ ἄλλως οἷόν τε ἦν τὴν τοῦ Θεοῦ δηλωθῆναι περὶ ἡμᾶς ἀγάπην ἢ ἐκ τοῦ μνημονευθῆναι τὴν σάρκα καὶ ὅτι δι' ἡμᾶς κατέβη καὶ μέχρι τοῦ χείρονος. Σάρκα γὰρ εἶναι ψυχῆς εὐτελέστερον,

---

1. Πρβλ. Β' Κορ. 3,6. 2. Ἰω. 1,14. 3. Ἰω. 17,2. 4. Ψαλ. 64,3. 5. Ψαλ. 144,21. 6. Πρβλ. Γεν. 39,20. 7. Πρβλ. Πράξ. 7,14-15. 8. Ψαλ. 104,18. 9. Πρβλ. Ψαλ. 146,9. 10. Ἰὼβ 9,9. 38,31-32.

πᾶς ἂν τῶν εὖ φρονούντων ὁμολογήσειεν. Τὸ οὖν· «Ὁ Λόγος σὰρξ ἐγένετο»[1] ἴσον δοκεῖ μοι δύνασθαι τῷ καὶ ἁμαρτίαν αὐτὸν γεγονέναι λέγεσθαι καὶ κατάραν[2]· οὐκ εἰς ταῦτα τοῦ Κυρίου μεταποιηθέντος, πῶς γάρ; ἀλλ' ὡς διὰ τοῦ ταῦτα δέξασθαι τὰς ἀνομίας ἡμῶν ἀναλαβόντος καὶ τὰς νόσους βαστάσαντος[3]. Ταῦτα μὲν οὖν ἱκανῶς ἐν τῷ παρόντι διὰ τὸ σαφὲς καὶ **64** τοῖς πολλοῖς εὔληπτον. Οὐ γὰρ λογογραφεῖν ἀλλ' ἐπισχεῖν τὴν ἀπάτην βουλόμενοι ταῦτα γράφομεν, τὸν δὲ τελεώτερον περὶ τούτων λόγον, εἰ δοκεῖ, καὶ διὰ μακροτέρων ἀποδώσομεν.

Ὃ δὲ τούτων ἐστὶ βαρύτερον, οὐδ' αὐτὸ τοῦτο παρα**[192]**λιπεῖν ἀναγκαῖον. «Ὤφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς»[4] καὶ δεύτερον Ἰουδαϊσμὸν καὶ δευτέραν περιτομὴν καὶ θυσίας δευτέρας εἰσάγοντες· εἰ γὰρ τοῦτο, τί κωλύει καὶ πάλιν γεννηθῆναι Χριστὸν εἰς ἀθέτησιν τῶν αὐτῶν καὶ προδοθῆναι πάλιν ὑπὸ Ἰούδα καὶ σταυρωθῆναι καὶ ταφῆναι καὶ ἀναστῆναι, ἵνα πληρωθῇ τὰ πάντα τὰ τῆς αὐτῆς ἀκολουθίας, κατὰ τὴν ἑλληνικὴν ἀνακύκλησιν, τὰ αὐτὰ περιφερούσης τῆς αὐτῆς τῶν ἄστρων κινήσεως; Τίς γὰρ ἡ ἀποκλήρωσις, τὸ μέν τι γενέσθαι τῶν τότε συμβάντων, τὸ δὲ παρεθῆναι; Τοῦτο δειξάτωσαν οἱ σοφοὶ καὶ τῷ πλήθει τῶν βιβλίων φιλοτιμούμενοι.

Ἐπειδὴ δὲ τῷ περὶ Τριάδος φυσιούμενοι[5] λόγῳ καταψεύδονται μὲν ἡμῶν, ὡς οὐχ ὑγιῶς ἐχόντων περὶ τὴν πίστιν[6], δελεάζουσι δὲ τοὺς πολλούς, ἐκεῖνο γινώσκειν ἀναγκαῖον ὅτι Ἀπολλινάριος μὲν τὸ τῆς θεότητος ὄνομα τῷ Ἁγίῳ Πνεύματι δούς, τὴν δύναμιν τῆς θεότητος οὐκ ἐφύλαξε. Τὸ γὰρ ἐκ μεγάλου καὶ μείζονος καὶ μεγίστου **66** συνιστᾶν τὴν Τριάδα, ὥσπερ ἐξ αὐγῆς καὶ ἀκτῖνος καὶ ἡλίου, τοῦ Πνεύματος καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς (ὅπερ σαφῶς ἐν ἐκείνου γέγραπται λόγοις), κλῖμάξ ἐστι θεότητος, οὐκ εἰς οὐρανὸν ἀνάγουσα[7], ἀλλ' ἐξ οὐρανοῦ κατάγουσα. Ἡμεῖς δὲ Θεὸν γινώσκομεν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, ταῦτα δὲ οὐ κλήσεις ψιλὰς τεμνούσας ἀξιωμάτων ἢ δυνάμεων ἀνισότητας, ἀλλὰ μίαν καί τὴν αὐτὴν ὥσπερ προσηγορίαν, οὕτω καὶ θεότητος φύσιν καὶ οὐσίαν καὶ δύναμιν.

Εἰ δέ τις ταῦτα μὲν ὀρθῶς οἴεται λέγεσθαι, ἐγκαλεῖ δὲ τὴν τῶν αἱρετικῶν κοινωνίαν, δειξάτω τις τοῦτο τῶν ἡμετέρων, καὶ ἢ πείσομεν ἢ ἀναχωρήσομεν. Πρὸ κρίσεως δὲ οὐδὲ ἄλλο τι καινοτομεῖν ἀσφαλές, μὴ ὅτι πρᾶγμα τοσοῦτον καὶ περὶ τηλικούτων. Ἡμεῖς μὲν οὖν ταῦτα καὶ διεμαρτυράμεθα Θεὸν καὶ ἀνθρώπους καὶ διαμαρτυρόμεθα. Καὶ οὐδὲ νῦν, εὖ ἴσθι, ταῦτ' ἂν ἐγράψαμεν, εἰ μὴ τὴν Ἐκκλησίαν ἑωρῶμεν διασπωμένην καὶ τεμνομένην καὶ ταῖς ἄλλαις τερατείαις

---

1. Ἰω. 1,14. 2. Πρβλ. Β' Κορ. 5,21. Γαλ. 3,13. 3. Πρβλ. Ἡσ. 53,4. Πρβλ. Ματθ. 18,17. Α' Πέτρ. 2,24. Α' Ἰω. 3,5. 4. Γαλ. 5,12. 5. Πρβλ. Α' Κορ. 8,1. 6. Πρβλ. Τίτ. 1,13. 2,2. 7. Πρβλ. Γεν. 28,12.

καὶ τῷ νῦν «συνεδρίῳ τῆς ματαιότητος»[1]. Εἰ δέ τις, ταῦτα λεγόντων ἡμῶν καὶ διαμαρτυρομένων, ἢ διὰ χρείας τινὰς **[193]** ἢ διὰ φόβον ἀνθρώπινον ἢ διὰ μικροψυχίας ἀτόπους ἢ διὰ τὸ ἀποίμαντον τέως καὶ ἀκυβέρνητον ἢ διὰ τὸ ξενοχαρὲς καὶ πρὸς τὰς καινοτομίας ἕτοιμον, διαπτύει μὲν ἡμᾶς ὡς οὐδενὸς λόγου ἀξίους, προστρέχει δὲ τοῖς τοιούτοις καὶ διαιρεῖ τὸ καλὸν σῶμα τῆς Ἐκκλησίας[2], αὐτὸς βαστάσει τὸ κρῖμα, ὅστις ἐὰν ᾖ[3], καὶ ὑφέξει τῷ Θεῷ λόγον ἐν ἡμέρᾳ κρίσεως[4]. Εἰ δὲ οἱ μακροὶ λόγοι καὶ τὰ νέα ψαλτήρια καὶ ἀντίφθογγα τῷ Δαυὶδ καὶ ἡ τῶν μέτρων χάρις ἡ τρίτη Διαθήκη νομίζεται, καὶ ἡμεῖς ψαλμολογήσομεν καὶ πολλὰ γράψομεν καὶ μετρήσομεν. Ἐπειδὴ δοκοῦμεν καὶ ἡμεῖς Πνεῦμα Θεοῦ ἔχειν[5], εἴπερ Πνεύματος χάρις τοῦτό ἐστιν, ἀλλὰ μὴ ἀνθρωπίνη καινοτομία. Ταῦτά σε βούλομαι διαμαρτύρασθαι τοὺς πολλούς, ἵνα μὴ βάρος ἔχωμεν ὡς τοιοῦτο κακὸν παρορῶντες καὶ παρὰ τὴν ἡμετέραν ῥᾳθυμίαν πονηροῦ δόγματος νομὴν καὶ ἰσχὺν λαμβάνοντος.

102

ΠΡΟΣ ΚΛΗΔΟΝΙΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ*

70 Ἐπειδὴ πολλοὶ προσιόντες τῇ σῇ εὐλαβείᾳ πληροφορίαν ζητοῦσι περὶ πίστεως καὶ διὰ τοῦτο ἀπήτησας ἡμᾶς ἀγαπητικῶς σύντομον ὅρον τινὰ καὶ κανόνα τοῦ ἡμετέρου φρονήματος, διὰ τοῦτο ἐγράψαμεν τῇ σῇ εὐλαβείᾳ (ὃ καὶ πρὸ τῶν γραμμάτων ἐγνώριζες) ὅτι ἡμεῖς τῆς κατὰ Νικαίαν πίστεως, τῆς τῶν ἁγίων Πατέρων τῶν ἐκεῖ συνελθόντων ἐπὶ καθαιρέσει τῆς Ἀρειανῆς αἱρέσεως, οὐδὲν οὔτε προετιμήσαμεν πώποτε οὔτε προτιμᾶν δυνάμεθα, ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως σὺν Θεῷ καὶ ἐσόμεθα, προσδιαρθροῦντες τὸ ἐλλιπῶς εἰρημένον ἐκείνοις περὶ τοῦ Ἁγίου Πνεύματος (διὰ τὸ μηδὲ κεκινῆσθαι τηνικαῦτα τοῦτο τὸ ζήτημα), ὅτι μιᾶς θεότητος εἰδέναι χρὴ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, Θεὸν καὶ τὸ Πνεῦμα γινώσκοντας. Τοὺς **72** οὖν οὕτω φρονοῦν**[196]**τας καὶ διδάσκοντας ἔχε κοινωνικούς, ἐπεὶ καὶ ἡμεῖς· τοὺς δὲ ἑτέρως ἔχοντας ἀποστρέφου καὶ ἀλλοτρίους ἡγοῦ καὶ τοῦ Θεοῦ καὶ τῆς καθολικῆς Ἐκκλησίας. Ἐπειδὴ δὲ καὶ περὶ τῆς θείας ἐνανθρωπήσεως εἴτ' οὖν σαρκώσεως κινεῖταί τι ζήτημα, καὶ τοῦτο διορίζου πᾶσι περὶ ἡμῶν ὅτι τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς καὶ μετὰ τοῦτο ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, εἰς ἓν ἄγομεν καὶ οὐ δύο υἱοὺς ὀνομάζομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἐν ἀδιαιρέτῳ θεότητι καὶ τιμῇ προσκυνοῦμεν. Εἰ

---

* Κατὰ τὴν ἔκδοσιν P. Gallay... Ἰδὲ σελ. 261 τοῦ παρόντος τόμου.

1. Ψαλ. 25,4. 2. Πρβλ. Κολ. 1,24 3. Γαλ. 5,10. 4. Πρβλ. Ματθ. 12,36. 5. Πρβλ. Α' Κορ. 7,40.

δέ τις οὐ συντίθεται τούτοις ἢ νῦν ἢ ὕστερον, αὐτὸς ὑφέξει τῷ Θεῷ λόγον ἐν ἡμέρᾳ κρίσεως[1].

Ἡ μὲν οὖν πρὸς τὴν ἀνόητον αὐτῶν περὶ τοῦ νοῦ δόξαν ἔνστασις ἡμῶν καὶ ἀντίθεσις, ὡς ἐν βραχεῖ, τοιαύτη καὶ οὕτως ἔχουσα· μονοὶ γὰρ σχεδὸν ὃ δογματίζουσιν ὄντως καὶ πάσχουσιν, ἀνοίᾳ τὸν νοῦν περικόπτοντες. Ἵνα δὲ μὴ κατηγορῶσιν ἡμῶν ὡς τὴν τοῦ ἀγαπητοῦ Οὐϊταλίου πίστιν, ἣν ἀπαιτηθεὶς ὑπὸ τοῦ μακαρίου Δαμάσου τοῦ τῆς Ῥώμης ἐπισκόπου ἔγγραφον ἐπιδέδωκε, πρότερον μὲν ἀποδεχομένων, νῦν δὲ ἀναινομένων, καὶ περὶ τούτου βραχέα δηλώσομεν. Οὗτοι γὰρ ἡνίκα μὲν ἂν τοῖς γνησίοις αὐτῶν **74** μαθηταῖς καὶ μύσταις τῶν ἀπορρήτων θεολογῶσιν, ὥσπερ οἱ Μανιχαῖοι τοῖς ἐκλεκτοῖς λεγομένοις, ὅλην τὴν νόσον αὐτῶν ἐκκαλύπτοντες, μόλις καὶ τὴν σάρκα τῷ Σωτῆρι διδόασιν. Ὅταν δὲ ταῖς κοιναῖς ὑπολήψεσι περὶ τῆς ἐνανθρωπήσεως, ἃς ἡ Γραφὴ παρίστησιν, ἐλέγχωνται καὶ πιέζωνται, τὰς μὲν εὐσεβεῖς λέξεις ὁμολογοῦσι, περὶ δὲ τὸν νοῦν κακουργοῦσιν, οὐκ ἄψυχον μὲν οὐδὲ ἄλογον οὐδὲ ἄνουν οὐδὲ ἀτελῆ ὁμολογοῦντες τὸν ἄνθρωπον, ψυχὴν δὲ καὶ λόγον καὶ νοῦν αὐτὴν εἰσάγοντες τὴν θεότητα, ὡς αὐτῆς τῇ σαρκὶ συγκραθείσης μόνης, ἀλλ' οὐχὶ καὶ τῶν ἡμετέρων καὶ ἀνθρωπίνων, εἰ καὶ τὸ ἀναμάρτητον κρεῖττον ἢ καθ' ἡμᾶς ἦν καὶ τῶν ἡμετέρων παθῶν καθάρσιον.

[197] Οὕτω γοῦν καὶ τὸ «Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν»[2] παρεξηγοῦνται κακῶς καὶ λίαν εὐήθως, νοῦν Χριστοῦ τὴν θεότητα λέγοντες, οὐχ, ὅπερ ἡμεῖς, ὑπολαμβάνοντες ὅτι οἱ τὸν ἑαυτῶν νοῦν καθήραντες μιμήσει τοῦ νοὸς ἐκείνου, ὃν ὑπὲρ ἡμῶν ὁ Σωτὴρ ἀνεδέξατο, καὶ πρὸς αὐτὸν ῥυθμίζοντες, ὡς ἐφικτόν, οὗτοι νοῦν Χριστοῦ ἔχειν λέγονται· ὡς καὶ σάρκα Χριστοῦ μαρτυρηθεῖεν ἂν ἔχειν ἐκεῖνοι οἱ τὴν σάρκα παιδαγωγήσαντες[3] καὶ σύσσωμοι καὶ συμμέτοχοι[4] Χριστοῦ, κατὰ τοῦτο γενόμενοι καί· «Ὡς ἐφορέσαμεν τὴν **76** εἰκόνα τοῦ χοϊκοῦ, οὕτω, φησί, φορέσομεν τὴν εἰκόνα τοῦ ἐπουρανίου»[5]. Οὕτω δὲ καὶ τέλειος αὐτοῖς ἄνθρωπος οὐχ ὁ πεπειραμένος κατὰ πάντα τὰ ἡμέτερα χωρὶς ἁμαρτίας[6], ἀλλὰ τὸ ἐκ Θεοῦ καὶ σαρκὸς σύγκραμα δογματίζεται. Τούτου γάρ, φησί, τί τελειότερον;

Τὸ δ' αὐτὸ καὶ περὶ τὴν τῆς ἐνανθρωπήσεως κακουργοῦσι φωνήν, τὸ ἐνηνθρώπησεν οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ὃν ἑαυτῷ περιέπηξεν, ἐξηγούμενοι, κατὰ τὸ εἰρημένον· «Αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ»[7], ἀλλ' ἀνθρώποις ὡμίλησε καὶ συνεπολιτεύσατο λέγοντες καὶ διδάσκοντες καὶ πρὸς ἐκείνην καταφεύγοντες τὴν φωνὴν τὴν «Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη»[8] λέγουσαν. Καὶ τί ἄν τις ἀγωνίζοιτο ἐπὶ πλεῖον; Οἱ τὸν ἄνθρωπον

---

1. Πρβλ. Ματθ. 12,36. 2. Α' Κορ. 2,16. 3. Πρβλ. Γαλ. 5,24. 4. Πρβλ. Ἐφ. 3,6. 5. Α' Κορ. 15,49. 6. Πρβλ. Ἑβρ. 4,15. 7. Ἰω. 2,25. 8. Βαρ. 3,38.

ἀποσκευαζόμενοι καὶ τὴν ἐντὸς εἰκόνα τὸ ἐκτὸς ἡμῶν καθαρίζουσι μόνον διὰ τοῦ καινοῦ προσωπείου καὶ τοῦ ὁρωμένου, τοσοῦτον ἑαυτοῖς μαχόμενοι ὥς ποτε μὲν διὰ τὴν σάρκα καὶ τὰ ἄλλα παχέως καὶ σαρκικῶς ἐξηγεῖσθαι (ἐντεῦθεν γὰρ αὐτοῖς ὁ δεύτερος Ἰουδαϊσμὸς ὥρμηται καὶ ἡ χιλιοέτης καὶ ληρώδης ἐν τῷ παραδείσῳ τρυφὴ καὶ σχεδὸν τὸ τὰ αὐτὰ πάλιν ἐπὶ τοῖς **78** αὐτοῖς ἀναλαμβάνειν ἡμᾶς), ποτὲ δὲ δόκησιν μᾶλλον ἢ ἀλήθειαν τῆς σαρκὸς εἰσάγειν ὡς οὐδὲν τῶν ἡμετέρων παθούσης, οὐδὲ ὅσα τῆς ἁμαρτίας ἐστὶν ἐλεύθερα, καὶ κεχρῆσθαι πρὸς τοῦτο τῇ ἀποστολικῇ φωνῇ, οὐκ ἀποστολικῶς νοουμένῃ ἢ λεγομένῃ, ἐν ὁμοιώματι ἀνθρώπων τὸν Σωτῆρα ἡμῶν γεγενῆσθαι καὶ σχήματι εὑρῆσθαι ὡς ἄνθρωπον[1], ὡς οὐχὶ τοῦ ἀνθρωπίνου εἴδους ἐν τούτοις δηλου**[200]**μένου, φαντασίας δέ τινος ἀπατηλῆς καὶ δοκήσεως.

Ἐπειδὴ τοίνυν αἱ φωναὶ αὗται καλῶς μὲν νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσί, κακῶς δὲ ἐξηγούμεναι τὸ δυσσεβὲς ἔχουσι, τί θαυμαστὸν εἰ καὶ τοὺς Οὐϊταλίου λόγους ἡμεῖς μὲν ἐπὶ τὸ εὐσεβέστερον ἐδεξάμεθα, οὕτω τοῦ θέλειν πείθοντος, ἄλλοι δὲ πρὸς τὸν τῶν γεγραμμένων νοῦν ἀγριαίνουσιν; ὅ μοι δοκεῖ καὶ Δάμασος αὐτὸς μεταδιδαχθεὶς καὶ ἅμα πυθόμενος ἐπὶ τῶν προτέρων μένειν αὐτοὺς ἐξηγήσεων, ἀποκηρύκτους αὐτοὺς πεποιῆσθαι καὶ τὸ γραμματεῖον ἀνατεταφέναι τῆς πίστεως σὺν ἀναθεματισμῷ καὶ πρὸς αὐτὴν τὴν ἀπάτην αὐτῶν δυσχεράνας, ἣν ἔπαθεν ἐξ ἁπλότητος.

Ταῦτ' οὖν ἐληλεγμένοι σαφῶς, μὴ χαλεπαινέτωσαν ἡμῖν, ἀλλ' ἐντρεπέσθωσαν[2], μηδὲ καταψευδέσθωσαν, ἀλλὰ συστελλέσθωσαν καὶ τῶν πυλώνων ἐξαλειφέτωσαν τὸ **80** μέγα καὶ θαυμαστὸν αὐτῶν ἐκεῖνο πρόγραμμά τε καὶ κήρυγμα τῆς ὀρθοδοξίας, μετὰ ζητήματος εὐθὺς ἀπαντῶντες τοῖς εἰσιοῦσι καὶ διακρίσεως, τὸ δεῖν προσκυνεῖν μὴ ἄνθρωπον θεοφόρον, ἀλλὰ Θεὸν σαρκοφόρον. Οὔ τί γένοιτ' ἂν ἀλογώτερον, κἂν τῷ ῥήματι μέγα τούτῳ φρονῶσιν οἱ νέοι τῆς ἀληθείας κήρυκες; Χάριν μὲν γὰρ ἔχει τινὰ σοφιστικὴν τῷ τάχει τῆς ἀντιστροφῆς καὶ ψηφολογικὴν τερατείαν τοὺς ἀπαιδεύτους τέρπουσαν· ἔστι δὲ τῶν γελοίων γελοιότερον καὶ τῶν ἀσυνέτων ἀσυνετώτερον. Εἰ γάρ τις μεταβαλὼν τὴν «ἄνθρωπος» φωνὴν καὶ τὴν «σὰρξ» εἰς Θεὸν (ὧν τὸ μὲν ἡμῖν ἀρέσκει, τὸ δὲ αὐτοῖς), ἔπειτα τῇ ἀντιστροφῇ χρήσαιτο τῇ θαυμασίᾳ ταύτῃ καὶ θεογνώστῳ, τί συναχθήσεται; τὸ δεῖν προσκυνεῖν μὴ σάρκα θεοφόρον, ἀλλὰ Θεὸν ἀνθρωποφόρον. Ὦ τῆς ἀτοπίας! τὴν ἀποκεκρυμμένην μετὰ Χριστὸν σοφίαν σήμερον ἡμῖν καταγγέλλουσιν, ἐφ' ᾧ καὶ δακρύειν ἄξιον. Εἰ γὰρ πρὸ τριάκοντα τούτων ἐτῶν ἡ πίστις ἤρξατο, τετρακοσίων σχεδὸν ἐτῶν γεγονότων ἀφ' οὗ Χριστὸς πεφανέρωται, κενὸν ἐν τοσούτῳ χρόνῳ τὸ Εὐαγγέλιον ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ἡμῶν[3], καὶ **82** μάτην μὲν οἱ

1. Πρβλ. Φιλιπ. 2,7. 2. Πρβλ. Ψαλ. 34,4. 26,39,15. 69,3. 82,18.
3. Α' Κορ. 15,14.

μαρτυρήσαντες ἐμαρτύρησαν, μάτην δὲ καὶ τοῦ λαοῦ προέστησαν οἱ τοιοῦτοι καὶ τηλικοῦτοι προστάται, καὶ τῶν μέτρων ἡ χάρις, ἀλλ' οὐ τῆς πίστεως.

[201] Τίς δὲ οὐκ ἂν αὐτοὺς ἀγάσαιτο τῆς παιδεύσεως, οἳ σαφῶς αὐτοὶ τὰ Χριστοῦ διαιροῦντες καὶ τὸ μὲν ἐγεννήθη[1] καὶ ἐπειράσθη[2] καὶ ἐπείνησε[3] καὶ ἐδίψησεν[4], ἐκοπίασέ[5] τε καὶ ὕπνωσε[6], τῷ ἀνθρωπίνῳ προσνέμοντες, τὸ δὲ ὑπὸ ἀγγέλων ἐδοξάσθη[7], καὶ τὸν πειραστὴν ἐνίκησε[8]· καὶ ἔτρεψεν[9], οὕτω καὶ ὕπερθε θαλάσσης ἐπέζευσε[10], τῇ θεότητι λογιζόμενοι· καὶ τὸ μὲν «Ποῦ τεθείκατε Λάζαρον»[11] ἡμέτερον εἶναι λέγοντες, τὸ δὲ «Λάζαρε, δεῦρο ἔξω»[12] βοᾶν καὶ τὸν τετραήμερον[13] νεκρὸν ἐγείρειν, ὑπὲρ ἡμᾶς· καὶ τὸ μὲν ἠγωνίασε[14] καὶ ἐσταυρώθη[15] καὶ ἐτάφη[16], τοῦ προκαλύμματος, τὸ δὲ ἐθάρσησε[17] καὶ ἀνέστη[18] καὶ ἀνέβη[19], τοῦ θησαυρίσματος; Ἔπειτα κατηγοροῦσιν ἡμῶν ὡς δύο φύσεις εἰσαγόντων ἀπηρτημένας ἢ μαχομένας καὶ μεριζόντων τὴν ὑπερφυᾶ καὶ θαυμασίαν ἕνωσιν· **84** δέον ἢ μὴ ποιεῖν ὃ κατηγοροῦσιν ἢ μὴ κατηγορεῖν ὃ πράττουσιν, εἴπερ ἑαυτοῖς γοῦν ἀκολουθεῖν ἐγνώκασιν, ἀλλὰ μὴ καὶ τὰ ἴδια λέγειν καὶ τὰ τῶν ἀντιπάλων. Τοιοῦτόν ἐστιν ἡ ἀλογία· καὶ πρὸς ἑαυτὴν καὶ πρὸς τὴν ἀλήθειαν ἀπομάχεσθαι, ὡς μηδὲ περιπίπτοντας αὐτοὺς ἑαυτοῖς ἢ νοεῖν ἢ αἰσχύνεσθαι.

Καὶ εἴ τις οἴεται ταῦτα γράφειν ἡμᾶς ἢ λέγειν ἑκόντας, ἀλλ' οὐ τυραννουμένους καὶ τὴν ἕνωσιν ἀποσπεύδοντας, ἀλλ' οὐχὶ καὶ λίαν σπουδάζοντας, ἴστω κακῶς φρονῶν καὶ οὐκ ἐστοχασμένως τῆς ἡμετέρας ἐπιθυμίας, οἷς οὐδὲν εἰρήνης ἐστὶν ἢ γέγονε προτιμότερον, ὡς αὐτὰ πείθει τὰ πράγματα, κἂν ἃ ποιοῦσί τε καὶ νεανιεύονται καθ' ἡμῶν ἀποκλείῃ παντάπασι τὴν ὁμόνοιαν.

103
ΠΑΛΛΑΔΙΩ

82 Εἴ τις ἐρωτήσειέ με· τί τῶν ἐν τῷ βίῳ κάλλιστον; εἴποιμι ἂν ὅτι φίλοι. Τούτων δὲ τίνας μάλιστα τιμητέον; τοὺς ἀγαθοὺς ἂν εἴποιμι. Τούτων δὲ τίνα πρῶτον ὀνομάζεις; οὐκ ἄλλον τινὰ πρὸ τῆς

---

1. Πρβλ. Ματθ. 1,16. 2. Πρβλ. Ἑβρ. 2,18. 4,15. Πρβλ. Ματθ. 4,1. Μάρκ. 1,13. Λουκ. 4,1. 3. Πρβλ. Ματθ. 4,2. Λουκ. 4,2. 4. Πρβλ. Ἰω. 19,28. Πρβλ. Ματθ. 25,35. 5. Πρβλ. Ἰω. 4,6. 6. Πρβλ. Ματθ. 8,24. Μάρκ. 4,38. Λουκ. 8,23. 7. Πρβλ. Λουκ. 2,8-14. 8. Πρβλ. Ματθ. 4,10-11. Λουκ. 4,12,13. 9. Πρβλ. ἔνθ' ἀν. 10. Πρβλ. Ματθ. 14,25. Μάρκ. 6,48. Ἰω. 6,19. 11. Ἰω. 11,34. 12. Ἰω. 11,43. 13. Πρβλ. Ἰω. 11,39. 14. Πρβλ. Λουκ. 22,44. 15. Πρβλ. Ματθ. 27,35. Μάρκ. 15,24. Λουκ. 23,33. Ἰω. 19,23. Μάρκ. 15,46. 16. Λουκ. 23,53. Ἰω. 19,41-42. 17. Πρβλ. Ματθ. 27,43. 18. Πρβλ. Ματθ. 28,6,7. Μάρκ. 16,6. Λουκ. 24,6,34. Α' Κορ. 15,4. 19. Πρβλ. Μάρκ. 16,19. Λουκ. 24,51. Πράξ. 1,9.

σῆς ἀρετῆς οἶδ' ὅτι θήσομαι. Καὶ γράφω ταῦτα **[204]** οὐ τὴν δυναστείαν κολακεύων, ἀλλὰ τὸν τρόπον τιμῶν, οὗ μικροὶ μὲν κήρυκες ἴσως ἡμεῖς, πλὴν τὸ εἰς δύναμιν οὐκ ἐλλείποντες· καὶ οὐ κήρυκες μόνον ἀλλὰ καὶ συναγωνισταί, ταῖς εὐχαῖς τὸ δύνασθαι συνεισφέροντες. Μέχρι τούτου στῆσαι τὴν ἐπιστολὴν ἐβουλόμην· ἐπεὶ δὲ καὶ τὸ Θεῖον οὐ σέβομαι μόνον, ἀλλὰ καὶ τὸ εὐεργετεῖν ἀπαιτοῦμεν, δέξαι καὶ αὐτὸς οὐ διοχλούμενος παρ' ἡμῶν (οὐ γὰρ ὄχλος σοι τὰ ἡμέτερα· τοῖς προλαβοῦσι τοῦτο εἰκάζειν ἔχω), ἀλλ' ὑπομιμνῃσκόμενος παρ' ἡμῶν τὸν σὸν ἱκέτην Εὐφήμιον. Πάλιν προσάγω σοι καὶ πάλιν καθικετεύω μὴ μόνον φιλανθρώπως δέξασθαι τὸν νέον, ἀλλὰ καὶ συγγνῶναι τῆς βραδυτῆτος, ἐπειδὴ ὀρφανικοῖς πράγμασιν ἐπιστὰς ἀναγκαίως ἠσχολήθη περὶ τὸ οἰκίδιον, ἀλλὰ καὶ εἰς τὸ πρόσω προαγαγεῖν εἰς τιμήν τε ἡμετέραν καὶ δόξαν τῆς σῆς καλοκἀγαθίας. Πολλῶν γὰρ ὄντων οὓς εὖ πεποίηκας καὶ ποιήσεις, **83** οὐδενός σοι τοῦτο εἰς φιλοτιμίαν ἔλατον, ὡς παρὼν ἐδίδαξα. Καὶ νῦν ἀξιῶ πιστευθῆναι· ὁ γὰρ αὐτὸς καὶ διὰ τὴν ὀρφανίαν ἐλεεινὸς καὶ διὰ τὸν τρόπον ἀγαπητὸς ἡμῖν, ἵνα μὴ λέγω διὰ τὴν ἀγχιστείαν τοῦ αἵματος.

104
⟨ΟΛΥΜΠΙΩ⟩

Τὰς μὲν ἄλλας χάριτας ὅσων ἔτυχον εἰλημφὼς οἶδα παρὰ τῆς σῆς ἡμερότητος· καὶ σὲ ἀντὶ τούτων ἀμείψαιτο τοῖς παρ' ἑαυτοῦ χρηστοῖς ὁ Θεός, ἓν δὲ τῶν χρηστῶν εὐδόκιμον καὶ λαμπρὸν διεξελθεῖν τὴν ἀρχήν. Ἤν δὲ νῦν αἰτῶ, δώσων ἔρχομαι μᾶλλον ἥπερ ληψόμενος, εἰ μὴ φορτικὸν εἰπεῖν. Τὴν ἀθλίαν Φιλουμένην δι' ἐμαυτοῦ προσάγω σοι καὶ τῇ σῇ δίκῃ προσπεσουμένην καὶ ὑμῖν τὰ δάκρυα στήσουσαν οἷς συντρίβει τὴν ἡμετέραν ψυχήν. Ἃ μὲν οὖν ἠδίκηται καὶ παρ' ὧν, αὐτὴ δηλώσει· οὐ γὰρ ἡμῖν γε κατηγορεῖν οὐδενὸς ἀσφαλές, αὐτοὺς δὲ τοσοῦτον εἰπεῖν ἀναγκαῖον, ὅτι χηρεία καὶ ὀρφανία πᾶσι μὲν βοηθητέα τοῖς γε νοῦν ἔχουσι, μάλιστα δὲ οἷς γυνὴ καὶ τέκνα ἐν μέσῳ, τὰ μεγάλα **[205]** τοῦ ἐλεεῖν ἐνέχυρα· ἐπειδή γε ἀνθρώποις δικάζομεν, ὄντες ἄνθρωποι. Ἡμῖν δὲ συγγνώμη τοῦ δι' ἐπιστολῶν ταῦτα πρεσβεύειν, ἐπειδή γε τῷ ἀρρωστεῖν ζημιούμεθα.

105
ΤΩ ΑΥΤΩ

Ὁ μὲν καιρὸς ὀξύς, ὁ δὲ ἀγὼν πολύς, ἡ δὲ νόσος βαρεῖα, μικροῦ καὶ ἀκινήτους ἡμᾶς ποιήσασα. Τί λοιπόν, ἢ Θεοῦ δεηθῆναι καὶ τὴν σὴν ἱκετεῦσαι φιλανθρωπίαν; **84** τοῦ μέν, ἐπὶ νοῦν ἀγαγεῖν σοι τὰ

χρηστότερα· τὴν δέ, μὴ τραχέως ἀποπέμψασθαι τὴν ἡμετέραν πρεσβείαν, ἀλλ' ἡμέρως δέξασθαι τὸν ἄθλιον Παῦλον, ὃν ὑπὸ χεῖρας ἤγαγεν ἡ δίκη τὰς σὰς ἴσως, ἵνα σε λαμπρότερον ἐργάσηται τῷ μεγέθει τῆς ἡμερότητος καὶ τὰς ἡμετέρας εὐχὰς — εἴ τινές εἰσι — τῇ σῇ προξενήσῃ φιλανθρωπίᾳ.

106
ΤΩ ΑΥΤΩ

Ἰδού σοι καὶ ἄλλη γραμμάτων ὑπόθεσις, ἃς σὺ ποιεῖς, εἰ χρὴ τἀληθῆ λέγειν, τῷ τιμᾶν προκαλούμενος. Ἰδού σοι καὶ ἄλλος ἱκέτης φόβου δέσμιος οὗτος, ὁ συγγενὴς ἡμῶν Εὐστράτιος, ὃς μεθ' ἡμῶν καὶ δι' ἡμῶν προσπίπτει τῇ σῇ ἀγαθότητι, οὔτε διαπαντὸς ἀφηνιάζειν τῆς σῆς ἀρχῆς ἀνεχόμενος, εἰ καὶ φόβος δίκαιος αὐτὸν διεπτόησεν, οὔτε δι' ἄλλου σοι προσπεσεῖν ἢ δι' ἡμῶν αἱρούμενος, ἵνα καὶ σεμνοτέραν ἑαυτῷ ποιήσῃ τὴν φιλανθρωπίαν, τοιούτοις πρεσβευταῖς χρώμενος οὓς, εἰ μή τι ἄλλο, αὐτὸς μεγάλους ποιεῖς, οὕτω τὰς παρακλήσεις δεχόμενος. Ἓν καὶ σύντομον φθέγξομαι. Τὰς μὲν ἄλλας πρώτας χάριτας ἐδίδους ἡμῖν, ταύτην δὲ τῇ σεαυτοῦ κρίσει δώσεις· ἐπειδὴ ἅπαξ ὥρμησας παραμυθεῖσθαι τὸ γῆρας ἡμῶν καὶ τὴν ἀσθένειαν ταῖς τοιαύταις τιμαῖς. Προσθήσω δὲ ὅτι καὶ τὸ Θεῖον ἀεὶ σεαυτῷ ποιεῖς εὐμενέστερον.

107
ΚΛΗΔΟΝΙΩ

[208] Ἐρωτᾷς τί βούλεται ἡμῖν ἡ σιγή; Βούλεται λόγου μέτρα καὶ σιωπῆς. Ὁ γὰρ τοῦ παντὸς κρατήσας ῥᾷον κρατήσει τοῦ μέρους· πρὸς δὲ καὶ θυμὸν ἡμεροῖ μὴ λαλούμενον, ἀλλ' ἐν ἑαυτῷ δαπανώμενον.

108
ΤΩ ΑΥΤΩ

85 Σιωπῶμεν τῷ λόγῳ, τὸ λαλεῖν ἃ χρὴ διδασκόμενοι καὶ τῶν παθῶν ἐπικρατεῖν γυμναζόμεθα. Εἰ μέν τις δέχεται τοῦτο, καλῶς· εἰ δὲ μή, καὶ τοῦτο κέρδος τῆς σιωπῆς, τὸ τοῖς πολλοῖς μηδὲ ἀποκρίνεσθαι.

109
ΤΩ ΑΥΤΩ

Οὐ κωλύω τὴν συντυχίαν· εἰ γὰρ καὶ ἡ γλῶττα σιγᾷ, τά γε ὦτα τοῖς σοῖς λόγοις ἡδέως παρέξομεν, ἐπειδὴ τοῦ λαλεῖν ἃ τὸ χρὴ ἀκούειν οὐκ ἀτιμότερον.

110
⟨ΠΑΛΛΑΔΙΩ⟩

Καινὸς τῆς νουθεσίας ὁ τρόπος· ἐπειδὴ γὰρ λαλῶν οὐκ ἐπεῖχον τὰς γλώσσας τῇ σιωπῇ τὸ σιγᾶν ἐδίδαξα, τῷ ὁμοίῳ τὸ ὅμοιον ἐκπαιδεύων. Οὕτος καὶ Χριστοῦ νόμος· ἐπειδὴ νομοθετῶν ἡμῖν οὐκ ἐκάθηρεν[1], ἡμεροῖ τῷ ἀνθρωπίνῳ τὸν ἄνθρωπον κατὰ τὴν μεγάλην αὐτοῦ τῆς περὶ ἡμᾶς οἰκονομίας φιλανθρωπίαν.

111
⟨ΕΥΓΕΝΙΩ⟩

86 [209] Σὺ φιλοσοφεῖς τὴν ἐρημίαν καὶ τὴν ἄμετρον οὕτω νηστείαν, ἐγὼ δὲ τὴν σιωπήν. Μεταδῶμεν ἀλλήλοις τοῦ χαρίσματος[2]· ἐπειδὰν δὲ εἰς ἓν γενώμεθα, κοινῇ τὸν Θεὸν ᾀσόμεθα, καρποφοροῦντες ὥσπερ εὔλογον σιωπήν, οὕτω καὶ λόγον ἔνθεον.

112
ΚΕΛΕΥΣΙΩ

Εἰσεδεξάμην σε καὶ σιωπῶν, ἵνα μάθῃς καὶ σιωπῆς λόγον τῇ γραφίδι λαλούμενον. Λαλήσω δὲ ἃ πρέπει φιλίᾳ καὶ τοιούτῳ καιρῷ. Παρανομεῖς, ὁ δικαστής, οὐ νηστεύων· καὶ πῶς φυλάξεις τοὺς ἀνθρωπίνους νόμους, τοὺς θείους περιφρονῶν; Κάθαρόν σου τὸ δικαστήριον, ἵνα μὴ δυοῖν ἕν, ἢ γίνῃ κακὸς ἢ νομίζῃ. Τὸ προτιθέναι θέας αἰσχρὰς ἑαυτόν ἐστι θεατρίζειν. Κεφάλαιον τοῦ λόγου, ἴσθι κρινόμενος ὁ κριτὴς καὶ ἧττον ἁμαρτήσεις. Τούτων οὐδὲν εἶχόν σοι παρασχεῖν ἄμεινον.

---

1. Πρβλ. Ρωμ. 3,20,28. Γαλ. 2,16. 2. Πρβλ. Α′ Κορ. 12,4.

113
ΤΩ ΑΥΤΩ

Μὴ κρῖνέ με σιγῶντα, οὐδὲ γὰρ ἐγώ σε φθεγγόμενον, ὃ περὶ τῶν βρωμάτων ὁ Παῦλος ἐνομοθέτησεν[1]. Εἰ δὲ κρίνεις, φοβοῦ τὴν γλῶσσαν, μὴ κατὰ σοῦ κινηθῇ πρῶτον, εἴ σε λάβοι τοῦ σιωπᾶν ἄξιον.

114
ΤΩ ΑΥΤΩ

87 Ἐπειδή μοι τὴν σιωπὴν ἐγκαλεῖς καὶ τὴν ἀγροικίαν, ὦ λάλε καὶ ἀστικέ, φέρε σοι διαμυθολογήσω μῦθον οὐκ ἄμουσον, εἴ πως, ἀλλὰ ταύτῃ γε, δυναίμην ἐπισχεῖν σε τῆς φλυαρίας. Ἐπέσκωπτον αἱ χελιδόνες τῶν κύκνων τὸ μὴ ἐθέλειν ὁμιλεῖν τοῖς ἀνθρώποις μήτε δημοσιεύειν τὴν μουσικήν, ἀλλ' ἀμφὶ τοὺς λειμῶνας διάγειν καὶ τοὺς ποταμοὺς καὶ τὴν ἐρημίαν ἀσπάζεσθαι καὶ βραχέα μὲν ᾄδειν, ἃ δὲ καὶ ᾄδοιεν ᾄδειν ἐν σφίσιν αὐτοῖς, ὥσπερ αἰσχυνομένους τὴν μουσικήν. «Ἡμῶν δέ, ἔφασαν, αἱ πόλεις καὶ οἱ ἄνθρωποι καὶ οἱ θάλαμοι, καὶ περιλαλοῦμεν τοῖς ἀνθρώποις καὶ τὰ ἡμέτερα διηγούμεθα ταῦτα δὴ τὰ ἀρχαῖα καὶ ἀττικά, **[212]** τὸν Πανδίονα, τὰς Ἀθήνας, τὸν Τηρέα, τὴν Θρᾴκην, τὴν ἀποδημίαν, τὸ κῆδος, τὴν ὕβριν, τὴν ἐκτομήν, τὰ γράμματα καὶ ἐπὶ πᾶσι τὸν Ἴτυν, καὶ ὡς ἐγενόμεθα ἐξ ἀνθρώπων ὄρνιθες». Καὶ οἱ μόλις μὲν αὐτὰς ἠξίωσαν καὶ λόγου τῆς ἀδολεσχίας μισήσαντες, ἐπεὶ δὲ ἠξίωσαν· «Ἀλλ' ἡμῶν μὲν ἕνεκεν, ἔφασαν, ὦ αὗται, κἂν εἰς τὴν ἐρημίαν ἀφίκοιτό τις, ὥστε ἀκοῦσαι τῆς μουσικῆς, ὅταν ἀνῶμεν τῷ Ζεφύρῳ τὰς πτέρυγας ἐμπνεῖν ἡδύ τι καὶ ἐναρμόνιον· ὥστ' εἰ μὴ πολλὰ καὶ ἐν πολλοῖς ᾄδομεν, ἀλλ' αὐτὸ δὴ τοῦτο κάλλιστόν ἐστιν ἡμῶν ὅτι μέτρῳ φιλοσοφοῦμεν τὸ μέλος καὶ οὐκ ἀναμίγνυμεν θορύβοις τὴν μουσικήν. Ὑμᾶς δὲ καὶ εἰσοικιζομένας οἱ ἄνθρωποι δυσχεραίνουσι καὶ ᾀδούσας ἀποστρέφονται· καὶ μάλα ἐν δίκῃ, αἵ γε οὐδὲ ἐκτμηθεῖσαι τὴν γλῶτταν δύνασθε σιωπᾶν, ἀλλ' αὐταὶ τὴν ἀφωνίαν ὑμῶν ὀδυρόμεναι καὶ τὸ ἐφ' ὑμῖν πάθος, ἔπειτά ἐστε λαλίστεραι **88** τίνος οὐχὶ τῶν εὐγλώττων καὶ μουσικῶν;». Σύνες ὅ τοι λέγω[α], φησὶν ὁ Πίνδαρος, κἂν εὕρῃς τὴν ἐμὴν ἀφωνίαν ἀμείνω τῆς σῆς εὐγλωττίας, παῦσαι καταφλυαρῶν ἡμῶν τῆς σιωπῆς· ἢ σοι παροιμίαν ἐρῶ μάλα μὲν ἀληθῆ, μάλα δὲ σύντομον, ὅτι τότε ᾄσονται κύκνοι, ὅταν κολοιοὶ σιωπήσωσιν.

---

1. Πρβλ. Ρωμ. 14,3.
α. Πινδάρου fr. 150 (Snell).

115
⟨ΘΕΟΔΩΡΩ⟩

Ἑορτὴ καὶ τὰ γράμματα καὶ τὸ κρεῖσσον ὅτι προφθάνεις τὸν καιρόν, τῇ προθυμίᾳ τὸ προεορτάζειν ἡμῖν χαριζόμενος. Τὰ μὲν οὖν παρὰ τῆς σῆς εὐλαβείας τοιαῦτα· ἡμεῖς δὲ ὧν ἔχομεν τὸ μεῖζον ἀντιδίδομεν, τὰς εὐχάς. Ἵνα δέ τι καὶ ὑπόμνημα παρ' ἡμῶν ἔχῃς, τὸ δ' αὐτὸ καὶ τοῦ ἁγίου Βασιλείου, πυκτίον ἀπεστάλκαμέν σοι τῆς Ὠριγένους Φιλοκαλίας ἐκλογὰς ἔχον τῶν χρησίμων τοῖς φιλολόγοις. Τοῦτο καὶ δέξασθαι καταξίωσον καὶ ἀπόδειξιν ἡμῖν δοῦναι τῆς ὠφελείας καὶ σπουδῇ καὶ Πνεύματι βοηθούμενος.

116
ΕΥΛΑΛΙΩ

Γέγονε καὶ ἡ Λαμὶς ἐμοὶ τῆς σιωπῆς χωρίον καὶ **[213]** φιλοσοφίας ἐγγυμναστήριον· ἣν ὡς σιγῶν ἐθεασάμην, ἰδεῖν ἐπιθυμῶ καὶ φθεγγόμενος, ἵνα τοῖς τε ἀδελφοῖς πληρώσω τὸν πόθον καὶ ὑμᾶς ἀμύνωμαι τῆς μικρολογίας τοὺς κακοὺς τῶν ἐμῶν νευμάτων ἐξηγητάς. Αὐτὸς γὰρ ὁ λαλῶν παρέσομαι, οὐκέτ' ἀλληγορούμενος οὐδὲ εἰκαζόμενος, ἀλλὰ καθαρῶς νοούμενος.

117
ΤΩ ΑΥΤΩ

89 Καινόν τι πέπονθα· παρόντι σιγήσας, ἀπόντα ποθῶ, ἵνα καὶ μεταδῶ λόγου καὶ μεταλάβω. Καλὸν γὰρ ὥσπερ ἄλλου παντός, οὕτω δὴ καὶ λόγων ἀπαρχὰς ἀνατιθέναι τῷ Λόγῳ πρῶτον, εἶτα τοῖς φοβουμένοις τὸν Κύριον.

118
ΕΥΓΕΝΙΩ

«Καιρὸς τῷ παντὶ πράγματι»[1], φησὶν ὁ Ἐκκλησιαστής· διὰ τοῦτο «Ἔθέμην φυλακὴν τῷ στόματί μου»[2], ἡνίκα καιρός, καὶ «Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω»[3], ἐπειδὴ τούτου καιρός. «Ἐσιώπησα γάρ»[4],

---

1. Ἐκκλ. 3,1. 2. Ψαλ. 38,2. 3. Ψαλ. 39,10. 4. Ἡσ. 42,14. Πρβλ. Ψαλ. 31,3. 49,21.

φησὶν ἡ Γραφή· μὴ καὶ ἀεὶ σιωπήσομαι; Ἐσιώπησα μὲν ἐμαυτῷ· λαλήσω δὲ τοῖς ἄλλοις. Οἱ δέ, εἰ μὲν ἃ χρὴ φθέγγοιντο, πᾶσα χάρις· εἰ δὲ μή, καὶ τὰ ὦτα φραξόμεθα.

119

ΠΑΛΛΑΔΙΩ

Χριστῷ συνενέκρωσα τὴν γλῶσσαν, ἡνίκα ἐνήστευον, καὶ ἀναστάντι συνήγειρα. Τοῦτό μοι τῆς σιωπῆς τὸ μυστήριον, ἵν', ὥσπερ ἔθυσα νοῦν ἀνεκλάλητον, οὕτω θύσω καὶ λόγον κεκαθαρμένον.

120

ΕΛΛΑΔΙΩ

90 Ὁρᾶν τὰ ἐλπιζόμενα[1] πόρρωθεν διδαχθέντες (χρήσομαι γὰρ τῷ σῷ προοιμίῳ) καὶ τοῖς ἤδη παροῦσιν ἐνευφραινόμεθα. Τὴν γὰρ ἁγίαν τοῦ Πάσχα ἡμέραν, εἰς ἣν ἀπηντήκαμεν, τῶν ἐκεῖθεν ἀγαθῶν οἶδα μυσταγωγίαν, ἑορτὴν οὖσαν διαβατήριον[2]. Ὧν καλῶς ἐποίησας καὶ αὐτὸς ἀναμνήσας ἡμᾶς, οἷς **[216]** ἀπέσταλκας καὶ οἷς γράφεις. Ἐγὼ δὲ πολλὰ μὲν ἤδη Πάσχα διῆλθον καὶ τοῦτο ὠνάμην τῆς μακροτέρας ζωῆς. Νῦν δὲ καθαρώτερον ἐπιθυμῶ, τὴν Αἴγυπτον ταύτην ἐξελθὼν τοῦ βίου τὴν βαρεῖαν καὶ σκοτεινὴν, καὶ τοῦ πηλοῦ καὶ τῆς πλινθείας[3] ἐλευθερωθεὶς ᾗ συνδεδέμεθα, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας[4] μεταναστῆναι. Ταῦθ' ἡμῶν προσεύχου καὶ ὑπερεύχου, εἴ τί σοι μέλει τοῦ τὰ μέγιστα εὖ ποιεῖν ἡμᾶς. Σὲ δὲ πολλάκις γένοιτο τῷ κοινῷ τῆς Ἐκκλησίας συνεορτάσαι βιωσίμως ἔχοντα. Εἰ δέ μοι δοίητε καὶ τὸ γῆρας ἐν καλῷ καταλῦσαι τῇ Ἐκκλησίᾳ ταύτῃ δόντες ἐπίσκοπον, ὃν ἀναδείξει τὸ Πνεῦμα τὸ Ἅγιον, ἔργον ἔσεσθε ἀγαθὸν εἰργασμένοι καὶ τί ἂν γὰρ ἢ πατρικῶν εὐλογιῶν[5] ἄξιον;

121

ΘΕΟΔΩΡΩ

Ἀγάπης συμβόλοις ἡδόμεθα καὶ μάλιστα καιροῦ τοιούτου καὶ παρὰ τοιούτου νεοπαγοῦς τε ὁμοῦ καὶ τελείου καί, ἵνα σε τοῖς ἀπὸ τῆς Γραφῆς δεξιώσωμαι, ἱδρυμένου ἐν τῇ νεότητι[6]· οὕτω γὰρ ἐκείνη καλεῖ τὸ πλεῖον ἐν συνέσει τῆς ἡλικίας.

---

1. Πρβλ. Ἑβρ. 11,1. 2. Πρβλ. Ἐξ. 12,11. 3. Πρβλ. Ἐξ. 1,13-14. 4. Πρβλ. Ἀριθ. 13,2. Δευτ. 32,49. 34,4. 5. Πρβλ. Γεν. 49,26. 6. Πρβλ. Ψαλ. 143,12.

91 Οἱ μὲν οὖν παλαιοὶ πατέρες δρόσον οὐρανοῦ καὶ πιότητα γῆς[1] μετὰ τῶν ἄλλων ἐπηύχοντο τοῖς παισὶν (εἰ μή τῳ φίλον καὶ ταῦτα νοεῖν ὑψηλότερον), ἡμεῖς δέ σοι τὸ πᾶν πνευματικῶς ἀντιδώσομεν· «Πλησώσαι Κύριος πάντα τὰ αἰτήματά σου»[2], καὶ γένοιο τοιούτων τέκνων πατὴρ (εἰ δεῖ σοι συντόμως καὶ οἰκείως ἐπεύξασθαι) οἷον σεαυτὸν ὑποφαίνεις τοῖς σοῖς πατράσιν, ὡς ἂν τά τε ἄλλα καὶ ἡμεῖς ἐπὶ σοὶ δοξαζοίμεθα.

122
ΤΩ ΑΥΤΩ

Χρεωστεῖς μὲν ἡμῖν καὶ ὡς νοσεροῖς θεραπείας, εἴπερ μία τῶν ἐντολῶν ἀσθενούντων ἐπίσκεψις[3]· χρεωστεῖς δὲ καὶ τοῖς ἁγίοις μάρτυσι τὴν δι' ἔτους τιμήν, ἣν ἐν Ἀριανζοῖς τοῖς σοῖς ἑορτάζομεν **[217]** τῇ εἰκάδι δευτέρᾳ τοῦ καθ' ἡμᾶς μηνὸς Δαθοῦσα. Καὶ ἅμα οὐκ ὀλίγα τῶν ἐκκλησιαστικῶν δεῖται κοινῆς διασκέψεως. Πάντων οὖν ἕνεκεν ἀόκνως παραγενέσθαι καταξίωσον· καὶ γάρ, εἰ πολὺς ὁ κάματος, ἀλλ' ἀντίρροπος ὁ μισθός.

123
ΤΩ ΑΥΤΩ

Ἡδέσθην σου τὴν παρουσίαν καὶ στέργω τὴν συνουσίαν, καίτοι γε ἄλλως ἐμαυτὸν νουθετήσας οἴκοι μένειν καὶ καθ' ἡσυχίαν φιλοσοφεῖν· τοῦτο γὰρ εὗρον ἐμαυτῷ ἐκ πάντων λυσιτελέστερον. Ἐπεὶ δὲ οἵ τε ἀέρες ἔτι ταραχώδεις καὶ οὐκ ἀνῆκεν ἡ ἀρρωστία, παρακαλῶ, μικρὸν μακροθύμησον, συνεύχου δὲ τὴν ὑγίειαν· καὶ ἡνίκα ἂν ᾖ καιρός, ἐπιστησόμεθα σαῖς εὐχαῖς.

124
ΤΩ ΑΥΤΩ

92 Καλεῖς; Ἡμεῖς δὲ σπεύδομεν· σπεύδομεν δὲ μόνῳ πλησιάσαι καὶ μόνοι. Συνόδους γὰρ καὶ συλλόγους πόρρωθεν ἀσπαζόμεθα[4], ἐξ οὗ μοχθηρῶν πεπειράμεθα τῶν πολλῶν, οὕτω γὰρ εἰπεῖν μέτριον. Τί οὖν ἔτι λείπεται; Πόθῳ δικαίῳ βοήθησον διὰ τῶν εὐχῶν, ἵνα τύχωμεν ὧν σπουδάζομεν.

---

1. Πρβλ. Γεν. 27,28. 2. Ψαλ. 19,6. 3. Πρβλ. Ἰακ. 1,27. Σ. Σειρ. 7,35. 4. Πρβλ. Ἑβρ. 11,13.

125
ΟΛΥΜΠΙΩ

Παιδεύεταί τι καὶ πολιά, καὶ οὐ πάντη τὸ γῆρας, ὡς ἔοικεν, εἰς σύνεσιν ἀξιόπιστον. Ἐγὼ γοῦν πάντων μὲν μάλιστα τῶν Ἀπολλιναριστῶν εἰδὼς τὴν ἐνθύμησιν καὶ ἀσέβειαν, ὁρῶν δὲ οὐκ ἀνεκτὴν αὐτῶν τὴν ἀπόνοιαν, ἐνόμιζον τῇ μακροθυμίᾳ πράους αὐτοὺς ποιήσειν καὶ μαλάξειν κατὰ μικρόν, ὅπερ οὖν καὶ ταῖς ἐλπίσιν ὑπέτεινον. Ἔλαθον **[220]** δέ, ὡς ἔοικε, κἀκείνους χείρους ποιήσας καὶ τὴν Ἐκκλησίαν βλάψας τῇ ἀκαίρῳ φιλοσοφίᾳ· οὐ γὰρ δυσωπεῖ τοὺς πονηροὺς ἐπιείκεια. Καὶ νῦν, εἰ μὲν αὐτό μοι δυνατὸν ἦν δι' ἐμαυτοῦ ταῦτα διδάξαι, οὐκ ἂν ὤκνησα, εὖ ἴσθι, καὶ παρὰ δύναμιν κινηθεὶς προσπεσεῖν τῇ σῇ τιμιότητι. Ἐπειδὴ δὲ περαιτέρω προήγαγεν ἡμᾶς ἡ ἀρρωστία καὶ τοῖς Ξανξαρίδος θερμοῖς χρήσασθαι ἀναγκαῖον ἐγένετο, τῶν ἰατρῶν τοῦτο συμβουλευσάντων, ἀντ' ἐμαυτοῦ ποιοῦμαι τὰ γράμματα. Ἐτόλμησαν οἱ κακοὶ καὶ κακῶς ἀπολούμενοι[1] πρὸς πᾶσι τοῖς ἄλλοις καὶ καθῃρημένους ἐπισκόπους ὑπὸ πάσης ἀνατολικῆς καὶ δυτικῆς συνόδου καλέσαντες, ἢ παριοῦσι καταχρησάμενοι (οὐ γὰρ ἔχω τοῦτο εἰπεῖν ἀκριβῶς) καὶ πασῶν κατεξαναστάντες βασιλικῶν διατάξεων καὶ ὑμετέρων προσταγμάτων, **93** ἐπισκόπου ὄνομα περιθεῖναί τινι τῶν παρ' αὐτοῖς ἀσεβῶν καὶ κιβδήλων, οὐδενὶ τοσοῦτον, ὡς οἶμαι, ὅσον τῇ ἐμῇ νεκρώσει (τοῦτο γὰρ δεῖ λέγειν) θαρρήσαντες. Ταῦτα εἰ μὲν ἀνεκτά, ἐνεγκάτω μὲν ἡ σὴ στερρότης· οἴσομεν δὲ καὶ ἡμεῖς, ὥσπερ οὖν καὶ πολλάκις ἠνέγκαμεν. Εἰ δὲ βαρέα καὶ οὐδὲ τοῖς εὐλαβεστάτοις βασιλεῦσιν αὐτοῖς φορητά, ἐπεξελθεῖν τοῖς γεγενημένοις, εἰ καὶ τῆς ἀπονοίας ἔλαττον, καταξίωσον.

126
ΤΩ ΑΥΤΩ

Ὄναρ ηὐθύμησα. Καὶ γὰρ μέχρι τῆς μονῆς ἐνεχθείς, ὥστε τινὸς ἐκ τοῦ λουτροῦ παραμυθίας τυχεῖν, εἶτα τὴν σὴν συντυχίαν ἐλπίσας καὶ ὥσπερ ἐν χερσὶν ἔχων ἤδη τὸ ἀγαθὸν καί τινας ἡμέρας προσδιατρίψας, ἐξαίφνης ἀπήχθην ὑπὸ τῆς ἀρρωστίας τὰ μὲν ἤδη λυπούσης, τὰ δὲ ἀπειλούσης. Καὶ εἰ δεῖ τινα εἰκασίαν εὑρεῖν τῷ πάθει, ταὐτὸν ἔπαθον τοῖς πολύποσιν, οἳ βίᾳ τῶν πετρῶν ἀποσπώμενοι κινδυνεύουσι καὶ ταῖς κοτύλαις **[221]** πολλάκις, ὧν τι προσαφιᾶσι ταῖς πέτραις ἤ τι παρ' αὐτῶν προσλαμβάνουσι. Τὸ μὲν οὖν ἡμέτερον τοιοῦτον. Ἃ δ' ἂν παρὼν ἐδεήθην τῆς σῆς καλοκἀγαθίας, ταῦτα καὶ ἀπὼν ἐθάρρησα. Τὸν υἱὸν Νικόβουλον σφόδρα εὗρον τῇ τοῦ δρόμου φρον-

1. Πρβλ. Ματθ. 21,41.

τίδι καὶ τῇ τῆς μονῆς προσεδρείᾳ στενοχωρούμενον, ἄνθρωπον καὶ ἀσθενῆ καὶ τῶν τοιούτων ἀήθη καὶ τὴν ἐρημίαν οὐ φέροντα. Τούτῳ πρὸς ἄλλο μὲν πᾶν ὅ τι ἂν ᾖ σοι φίλον χρήσασθαι θέλησον· καὶ γὰρ πρόθυμος εἰς πάντα ὑπηρετεῖν τῇ σῇ ἐξουσίᾳ· ταύτης δέ, εἰ δυνατόν, ἐλευθέρωσον τῆς φροντίδος· εἰ μή τι ἄλλο, καὶ ὡς ἡμέτερον τιμῶν νοσοκόμον, ἐπειδὴ πολλὰ καὶ περὶ πολλῶν δεηθέντες καὶ τυχόντες χρήζομεν καὶ εἰς ἡμᾶς αὐτοὺς τῆς σῆς ἡμερότητος.

127
ΕΛΛΑΔΙΩ

94 Ἡδὺ μὲν καὶ ἄλλως τὸ προσαγορεύειν τὴν σὴν εὐλάβειαν· ἐμοὶ δὲ ἥδιον οὕτω διακειμένῳ. Τὸ γὰρ καθ' ἑκάστην ἀπογινώσκεσθαι σχεδὸν τὴν ἡμέραν πλέον ἔχεσθαί σου ποιεῖ, ὡς ἀεὶ τὰ τελευταῖα παρακερδαίνοντα. Ἐπειδὴ δὲ τὸ κέρδος ὁμολογῶ, χρεωστῶ τὴν ἀντίδοσιν τῷ αἰδεσιμωτάτῳ υἱῷ Νικοβούλῳ παρ' οὗ τὸ κέρδος· ὅπερ δὲ ποιοῦσιν οἱ πένητες πρὸς τοὺς εὐπόρους βλέποντες, ἵνα παρ' ἐκείνων εὖ πάθωσι, τοῦτο καὶ αὐτὸς ποιῶ διὰ σοῦ τῷ ἀνδρὶ διαλύων τὸ χρέος. Χρήζει δὲ ἀπραγμοσύνης, πάντα τὸν χρόνον ταύτῃ συνειθισμένος· πρὸς ταύτην αὐτῷ συνάρασθαι καταξίωσον.

128
ΠΡΟΚΟΠΙΩ

Διὰ μακροῦ σε προσφθέγγομαι, τὸν ἀντὶ πάντων ἐμοὶ καὶ πρὸ πάντων, ὃν καὶ παρόντα τῶν μεγάλων ἠξίους καὶ ἀπόντα οἶδ' ὅτι τῶν αὐτῶν ἀξιοῖς. Μισθὸς δὲ γενέσθω τῷ διακόνῳ τῆς ἐπιστολῆς τῷ υἱῷ ἡμῶν Ἀνθίμῳ ὑπὲρ μεγάλων μέγας. Τίς οὗτος; τῆς παρὰ σοῦ προστασίας τυχεῖν, ἐν οἷς ἂν δέηται. Μέγιστον δὲ εἰς τὴν πρεσβείαν ἡμῖν καὶ ὁ ἀνὴρ αὐτὸς ἐξ ἐπιφανοῦς στρατείας, ἴσως καὶ **[224]** τοῖς μεγάλοις ὑμῖν γνώριμος καὶ ἡ συμφορὰ τοῦ σώματος αὐτόθεν τὴν ὄψιν πείθουσα. Βαρεῖα μὲν καὶ καθ' ἑαυτήν, τῷ παρ' ἀξίαν δὲ ὡς εἰκὸς βαρυτέρα. Τούτοις προστεθεῖσα καὶ ἡ παρ' ἡμῶν παράκλησις οἶδ' ὅτι κατορθώσει μᾶλλον τὸ σπουδαζόμενον.

129
ΤΩ ΑΥΤΩ

95 Εἰ μὲν μὴ πονηρῶς ἡμῖν ἐχρῆτο τὸ σῶμα μηδὲ περὶ τοῦ ζῆν αὐτοῦ πονηρὰς εἴχομεν τὰς ἐλπίδας, πρῶτον μὲν ἂν καὶ μέγιστον

ἐκερδάναμεν τὴν σὴν συντυχίαν καὶ συνουσίαν, ἥ σοι παρ' ἡμῶν πάντως ὠφείλετο· δεύτερον δὲ ὡς δι' ἡμῶν αὐτῶν ταύτην ἂν ἐπληρώσαμεν τὴν πρεσβείαν. Ἐπεὶ δὲ κείμεθα παντελῶς τῇ ἀρρωστίᾳ πεπεδημένοι καὶ οὐχ ἑκόντες ἐζημιώμεθα, ὃ δεύτερον ἦν ποιοῦμεν, πρόσιμέν σοι διὰ τῶν γραμμάτων καὶ δεξιούμεθα καὶ κατασπαζόμεθα καὶ θαρροῦμεν δεηθῆναι περὶ τοῦ συνδιακόνου ἡμῶν Εὐγενίου, ὃν ἐξαιτούμεθα παρὰ τῆς σῆς μεγαλονοίας. Εἰ μὲν οὖν οὐδέν ἐστιν ἀδίκημα ἡ πρὸς τὸν ἀνόσιον Ῥηγιανὸν οἰκειότης (οὐ γὰρ ἄλλο γε οὐδὲν ἀδικῶν φαίνεται), δι' αὐτὸ τὸ δίκαιον, οὗ σὺ βραβευτὴς καὶ προστάτης· εἰ δὲ ἀδίκημα τοῦτο κρίνεις, διά γε τὸν Θεὸν ᾧ παρέστηκε καὶ τὴν ἡμετέραν πολιάν, ἣν αἰδέσιμον οἶδας πολλοῖς τῶν φοβουμένων τὸν Κύριον, δὸς οὖν, παρακαλῶ, καὶ ἡμῖν καὶ τῷ κλήρῳ παντὶ ταύτην τὴν χάριν καὶ δεξιὰς σεαυτῷ ποίησον τὰς κατὰ Θεὸν ἐλπίδας, ἐλευθερώσας τῆς ἐπηρείας τὸν ἄνθρωπον. Ἀντιλήψῃ δὲ ὧν δίδως οὐκ ἐλάττονα (εἰ μὴ μέγα τοῦτο εἰπεῖν), τὰς παρ' ἡμῶν εὐχάς.

130
ΤΩ ΑΥΤΩ

[225] Ἔχω μὲν οὕτως, εἰ δεῖ τἀληθὲς γράφειν, ὥστε πάντα σύλλογον φεύγειν ἐπισκόπων, ὅτι μηδεμιᾶς συνόδου τέλος εἶδον χρηστὸν μηδὲ λύσιν κακῶν μᾶλλον ἐσχηκὸς ἢ προσθήκην. Ἀεὶ γὰρ φιλονεικίαι καὶ φιλαρχίαι (ἀλλ' ὅπως μή με φορτικὸν ὑπολάβῃς οὕτω γράφοντα) καὶ λόγου κρείττονες· καὶ θᾶττον ἄν τις **96** ἐγκληθείη κακίαν ἑτέροις δικάζων ἢ τὴν ἐκείνων λύσειε. Διὰ τοῦτο εἰς ἐμαυτὸν συνεστάλην καὶ μόνην ἀσφάλειαν ψυχῆς τὴν ἡσυχίαν ἐνόμισα. Νῦν δὲ καὶ τὴν ἀρρωστίαν ἔχω προστατοῦσαν τῆς κρίσεως, ἀεὶ σχεδὸν τὰ τελευταῖα π έων καὶ εἰς οὐδὲν ἐμαυτῷ χρῆσθαι δυνάμενος. Διὰ τοῦτο συγγινωσκέτω μὲν ἡμῖν ἡ σὴ μεγαλόνοια, πεισθήτω δὲ διὰ σοῦ καὶ ὁ εὐσεβέστατος βασιλεὺς μὴ ῥᾳθυμίαν ἡμῶν καταγινώσκειν, ἀλλὰ συγγινώσκειν τῇ ἀσθενείᾳ δι' ἣν οἶδε καὶ συγχωρήσας ἡμῖν δεηθεῖσιν ἀντ' ἄλλης εὐεργεσίας τὴν ἀναχώρησιν.

131
⟨ΟΛΥΜΠΙΩ⟩

Τοῦτό μοι τῆς ἀρρωστίας ἐστὶ βαρύτερον, τὸ ἀρρωστοῦντα μηδὲ πιστεύεσθαι, ἀλλ' ἐκδημίαν οὕτω μακρὰν ἐπιτάττεσθαι καὶ εἰς μέσους θορύβους ὠθεῖσθαι, ὧν τὴν ἀναχώρησιν ἠγαπήσαμεν, μικροῦ καὶ χάριν διὰ τοῦτο τῇ τοῦ σώματος κακοπαθείᾳ ὁμολογήσαντες. Ἀπράγμων γὰρ ἡσυχία τῆς ἐν πράγμασι περιφανείας τιμιωτέρα. Τοῦτο ἐπέ-

στειλα μὲν καὶ πρώην τῷ θαυμασιωτάτῳ οὐϊκα**[228]**ρίῳ τὸ αὐτὸ δεξάμενος πρόσταγμα· ἐπιστεῖλαι δὲ καὶ νῦν ὑπὲρ ἡμῶν ἡ σὴ μεγαλόνοια καταξιωσάτω, ὃν ἀξιόπιστον μάρτυρα τῆς ἡμετέρας ἔχομεν ἀρρωστίας. Πείθει δὲ καὶ ἡ ζημία ἣν ἐζημιώμεθα νῦν, μηδὲ προσδραμεῖν καὶ ἀπολαῦσαί σου δυνηθέντες, ἄρχοντος οὕτω δεξιοῦ καὶ οὕτω θαυμασίου τὴν ἀρετήν, ὡς καὶ τὰ προοίμια τῆς σῆς ἀρχῆς εἶναι τιμιώτερα τῆς διὰ τέλους ἑτέρων εὐδοκιμήσεως.

132
ΣΑΤΟΡΝΙΝΩ

97 Ἀπαιτεῖς, εὖ οἶδα, τὰ φιλικά, καὶ εἰ τολμηρότερον ἄλλως τὸ γράφειν. Τοῖς μὲν γὰρ ἔξω τὴν ἐξουσίαν, ἡμῖν δὲ νέμεις τὴν παρρησίαν ὡς ὁμόδουλος ἀγαθὸς[1] τοῖς Θεῷ πλησιάζειν ἠξιωμένοις. Διὰ τοῦτό σε καὶ προσφθεγγόμεθα καὶ ποθοῦντί σοι παραστήσομεν τὰ ἡμέτερα. Πάντα ἡμῖν σὺν Θεῷ καλῶς ἔχει, πλὴν ἑνός, τοῦ μεριμνᾶν περὶ τῶν Ἐκκλησιῶν οὕτω ταρασσομένων. Ταύταις ὅ τι ἂν δυνηθῇς εἰσενεγκεῖν, μὴ κατοκνήσῃς τὴν κοινὴν ὁμόνοιαν καὶ λόγῳ καὶ ἔργῳ βραβεῦσαι, ἐπειδὴ πάλιν ἐπισκόπων σύνοδος καὶ δέος πάλιν μὴ καὶ νῦν αἰσχυνθῶμεν, πικρὸν καὶ ταύτης λαβούσης τὸ τέλος, ὥσπερ τῆς πρότερον. Τὰ γὰρ ἡμέτερα Θεῷ τῷ πάντα εἰδότι καὶ γινώσκειν καὶ κρίνειν ἀφήσομεν, εἰ καὶ ἡδέως εἴξαμεν τῷ φθόνῳ καὶ τοῖς βουλομένοις, οὐ χρηστοῦ τινος πράγματος, ὡς δοκεῖ τοῖς πολλοῖς, ἀλλὰ καὶ λίαν ἐπικινδύνου παραχωρήσαντες καὶ ὥσπερ ἐκ χειμῶνος δεινοῦ καὶ τραχέος εἰς ὅρμον τινὰ εὔδιον καὶ ἀσφαλῆ καταντήσαντες.

133
ΒΙΚΤΟΡΙ

[229] Οὐχ ὅτι νῦν γράφομεν, τολμηροί, ἀλλ' ὅτι μὴ τάχιον, ὀκνηροί. Μᾶλλον δὲ οὐδὲ τοῦτο. Οὐ γὰρ εὐποροῦμεν δι' ὧν ἐπιστελοῦμεν, καίτοι γε πῶς οἴει τοῦτο ποθοῦντες, ἐν ἀγρῷ πόρρω που τῆς μονῆς διατρίβοντες κἀκεῖ τοῦ σώματος ἡμῶν ἐπιμελούμενοι. Νῦν δέ, ἡνίκα καιρός, καὶ προσφθεγγόμεθά σε καὶ ἀξιοῦμεν ἣν παροῦσιν ἡμῖν τιμὴν ἐχαρίζου, ταύτην καὶ ἀποῦσι χαρίζεσθαι καὶ μὴ διὰ γραμμάτων ὀκνεῖν παραμυθεῖσθαι ἡμᾶς σφόδρα τῷ χωρισμῷ κάμνοντας. Ἐπει**98**δὴ δὲ πάλιν σύνοδος, ἀγὼν πάλιν, καὶ τοῦτο ἐν μέσοις ἐχθροῖς πάντα τηρεῖσιν ἐπιμελῶς τὰ ἡμέτερα, δὸς χεῖρα τῇ κοινῇ καταστάσει, ὡς μέρος ὢν τῆς Ἐκκλησίας οὐ τὸ φαυλότατον καὶ μὴ περιίδῃς πάντα

---

1. Πρβλ. Ματθ. 25,21,23. Λουκ. 19,17.

καταναλωθέντα τῷ ἐμπρησμῷ τῷ νῦν περιέχοντι τὴν Ἐκκλησίαν. Ἀλλ' ὅ τι ἂν δυνηθῇς τῶν σβεστηρίων ὀργάνων, τοῦτο προσένεγκε καὶ τοῖς ἄλλοις διακελεύου, ἵνα καὶ τὸ σὸν εὖ ἔχῃ, τοῦ κοινοῦ πράττοντος ἄμεινον.

134
ΤΩ ΑΥΤΩ

Ὄντως νικητὴς σὺ καὶ διὰ πάντων ἀριστεύς, ὦ θαυμάσιε. Νικῶν γὰρ τοῖς ὅπλοις τοὺς πολεμίους, ἕως ἐξῆν, καὶ νῦν πάντας νικᾷς χρηστότητι. Διὰ τοῦτο καὶ τὴν προσηγορίαν ταύτην ἐθαρρήσαμεν προσαγαγεῖν καὶ μετὰ τῆς προσηγορίας τὸν τιμιώτατον υἱὸν Ὑπερέχιον, ὃν οἶδα ὅτι καὶ διὰ τὸν τρόπον τιμήσεις, εἰ πεῖραν τοῦ ἀνδρὸς λάβοις; καὶ δι' ἡμᾶς οἷς ἔγνωκας τὰ πάντα χαρίζεσθαι. Καὶ θαρρεῖν σοι κέλευε, εἰς ὑπόμνημα τῆς ἡμετέρας φιλίας, ἥν, ὅσον αἰδῇ, πεπείσμεθα.

135
ΣΩΦΡΟΝΙΩ

Φιλοσοφοῦμεν ἐφ' ἡσυχίας· τοῦτο οἱ μισοῦντες ἡμᾶς ἠδικήκασιν, ὡς εἴθε τι καὶ ἄλλο τοιοῦτον, ἵνα μᾶλλον αὐτοὺς εὐεργέτας γινώσκωμεν. Πολλὰ **[232]** γάρ ἐστι καὶ ἀδικουμένους εὖ πάσχειν καὶ καλῶς πάσχοντας ἀδικεῖσθαι. Τὰ μὲν οὖν ἡμέτερα τοιαῦτα. Καὶ εἰ μὴ τοὺς ἄλλους πείθομεν, αὐτόν γέ σε ἀντὶ πάντων **99** εἰδέναι βουλόμεθα, ᾧ λόγον ὑπέχομεν ἡδέως τῶν ἡμετέρων, μᾶλλον δὲ εἰδέναι πεπείσμεθα καὶ πείθειν τοὺς ἀγνοοῦντας. Ὑμῖν δέ, παρακαλῶ, πᾶσα σπουδὴ γενέσθω νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, συμφρονῆσαι καὶ εἰς ἓν ἐλθεῖν τὰ τῆς οἰκουμένης τμήματα κακῶς διεστῶτα καὶ μάλιστα εἰ λάβοιτε αὐτοὺς οὐχ ὑπὲρ τοῦ λόγου τῆς πίστεως, ἀλλ' ὑπὲρ τῶν ἰδίων μικροψυχιῶν διεστῶτας, ὅπερ ἐγὼ τετήρηκα. Οὕτω καὶ ὑμῖν ἔμμισθον ἂν εἴη τὸ δύνασθαι· καὶ ἡμῖν ἡ ἀναχώρησις ἀλυποτέρα, εἰ φανείημεν μὴ κενῶς ταύτην ἁρπάσαντες, ἀλλ' ἑκοντὶ ῥίψαντες ἡμᾶς αὐτοὺς κατὰ πελάγους[1], ὥσπερ ὁ Ἰωνᾶς ἐκεῖνος, ἵν' ὁ κλύδων παύσηται καὶ σωθῶσιν ἀσφαλῶς οἱ ἐμπλέοντες. Εἰ δὲ οὐδὲν ἧττον χειμάζονται, τό γε ἡμέτερον εἰσενήνεκται.

---

1. Πρβλ. Ἰων. 1,12,15.

136
ΜΟΔΑΡΙΩ

Ἡμῖν σὺ καὶ συγγενὴς καὶ οἰκεῖος καὶ πᾶν ὁτιοῦν ἂν εἴποι τις τοιοῦτόν τις. Ἡ γάρ εὐσέβεια συνῆψεν ἡμᾶς καὶ τὸ τῆς ἀρετῆς εὐδόκιμον, ἣν ἐν σοὶ κατεμάθομεν δείξαντι σαφῶς ὅτι τὸ ἑλληνικὸν καὶ τὸ βάρβαρον σωμάτων οὐ ψυχῶν ἐστι διαφορά, καὶ τόπων διάστασις, ἀλλ' οὐ τρόπων οὐδὲ προαιρέσεων. Ἦ γένοιτο πολλοὺς τῶν ἡμετέρων τὸ γένος τὴν σὴν μιμήσασθαι καλοκἀγαθίαν καὶ πάντα ἡμῖν οἶδ' ὅτι ἔξει καλῶς, τά τε κοινὰ καὶ τὰ ἴδια. Παρακαλῶ δέ, ὥσπερ τὸν ἔξωθεν πόλεμον τῇ σεαυτοῦ δεξιᾷ καὶ συνέσει καταλύεις γενναίως ὑπὲρ ἡμῶν ἱστάμενος, οὕτω λῦσον καὶ τὸν ἡμέτερον, ὅσα γέ ἐστιν ἐπὶ σοί, εἰρηνικὸν γενέσθαι τὸ τέλος τοῖς συνελθοῦσι νῦν ἐπισκόποις ἀγωνισάμενος. Τὸ γὰρ συνιέναι μὲν πολλάκις, μηδὲν δὲ πέρας εὑρίσκεσθαι τῶν κακῶν, ἀλλ' ἀεὶ προστιθέναι ταραχαῖς ταραχάς, μείζονος τῆς αἰσχύνης, ὃ καὶ αὐτὸς γινώσκεις.

137
ΤΩ ΑΥΤΩ

100 [233] Ἐπόθουν διὰ πολλοῦ προσειπεῖν σου τὴν τιμιότητα καὶ χάρις τῷ Θεῷ δεδωκότι τὴν ἀφορμήν. Ζητῶν δὲ ὅπως ἂν ἀμείψαίμην τὸν ἐγχειρίζοντά σοι τὴν ἐπιστολήν, κάλλιστον τοῦτο εὗρον παραθέσθαι αὐτὸν τῇ σῇ ἐξουσίᾳ. Ὃν μέρος τι καὶ δι' ἡμᾶς ἡδέως ὁρᾶν ἀξίου, ἐμόν τε ὄντα καὶ σόν· σύνοικον μὲν ἡμέτερον, στρατιώτην δὲ σὸν (λέγω δὲ τὸν νῦν προσιόντα σοι δι' ἡμῶν Θεόδωρον), ὅπως ἂν καὶ αὐτὸς αἴσθηται τῆς τιμῆς, ἣν ἀεὶ τετιμήμεθα παρὰ σοῦ καὶ νῦν ἔτι τιμώμεθα.

138
ΒΟΣΠΟΡΙΩ

Ἐνόμιζον μὲν καὶ ὑπὲρ τῶν προτέρων χρεωστεῖσθαί μοι παρ' ὑμῶν ἀπολογίαν, οὕτως ἀρχαῖός τίς εἰμι καὶ μάταιος. Ἐπειδὴ δὲ οὐκ ἀνίετε πολεμοῦντες ἡμῖν, ἀλλ' ἀεὶ τοῖς προτέροις ἐπαγωνίζεσθε καὶ ταῖς ὕβρεσιν ὕβρεις προσεξευρίσκετε, οὐκ οἶδα δι' ἥντινα αἰτίαν, εἴτε ἡμᾶς μισοῦντες, εἴτε ἄλλοις τὴν ἀτιμίαν ἡμῶν χαριζόμενοι, ταῦτα μὲν τῷ Θεῷ καὶ εἰδέναι καὶ κρίνειν παρήσομεν, ὃν λανθάνει τῶν ὄντων οὐδέν, ὅ φησιν ἡ θεία Γραφή[1], κἂν κυκῶμεν τὸ τῆς ἀληθείας πρόσω-

1. Πρβλ. Ἰὼβ 34,21.

πον εὐπρεπείας ἕνεκεν τῆς πρὸς τοὺς πολλούς. Εὐαγγελιζόμεθα δὲ τὴν ὑμετέραν εὐλάβειαν· ἡττήμεθα καὶ τῆς Ἐκκλησίας, ἂν διδῷ Θεός, τὰ δυνατὰ φροντίζειν οὐ κατοκνήσομεν (ἐπειδὴ τοῦτο ἀγωνίζεσθε καὶ μάλιστα τοῦ καιροῦ κατεπείγοντος διὰ τὴν προσδοκωμένην τῶν ἐναντίων ἐπιδρομήν, ὡς αὐτὸς γράφεις)· **101** ἀλλὰ τὸ ταπεινὸν τοῦτο σῶμα χρήσομεν τῷ Θεῷ, μέχρις ἂν διαρκῇ καὶ σθένωμεν, ἵνα μήτε **[236]** ἡμεῖς βάρος ἔχωμεν, οὕτω κατακρινόμενοι παρ' ὑμῶν καὶ παρὰ παντὸς τοῦ κλήρου καταβοώμενοι παντοίοις ὀδυρμοῖς ἐκθλίβοντος ἡμᾶς καὶ τὴν Ἐκκλησίαν ὁρῶντες ἀμελουμένην καὶ τοὺς πολλοὺς πλήσσοντες, ὥσπερ ὑπερορῶντες τὰ τῆς Ἐκκλησίας· μήτε ὑμεῖς μακρότερα κάμνητε ἀτιμοῦντες ἡμᾶς. Καὶ τοῦτο πράξομεν ταῖς ὑμετέραις εὐχαῖς, εἰ αὐτὸς ὀκνεῖς τῆς Ἐκκλησίας τὴν προστασίαν, ὡς αὐτός τε λέγεις καὶ πείθει τὰ πράγματα. Βέλτιον γὰρ ἐκείναις ἐναποθανεῖν ταῖς φροντίσιν ἢ ταύταις, ἐπειδὴ δεῖ πάντως ταλαιπωρεῖν οὕτω τυποῦντος τοῦ Θεοῦ τὰ ἡμέτερα.

139

ΘΕΟΔΩΡΩ

Ὁ ἀναλαβὼν Δαυὶδ μὲν τὸν ἑαυτοῦ δοῦλον ἐκ ποιμαντικῆς εἰς βασιλείαν[1], τὴν δὲ σὴν εὐλάβειαν εἰς ποιμαντικὴν ἀπὸ ποίμνης, ὁ οἰκονομῶν κατὰ τὸ ἑαυτοῦ θέλημα τὰ ἡμέτερα καὶ πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν, αὐτὸς καὶ νῦν ἐπὶ νοῦν ἀγάγοι τῇ σῇ τελειότητι γνῶναι τὴν ἀτιμίαν ἣν ἠτιμάσμεθα παρὰ τῶν κυρίων τῶν ἐπισκόπων περὶ τὰς ψήφους, τῇ μὲν καταστάσει συντιθεμένων, ἡμᾶς δὲ παρωθουμένων. Οὐ γὰρ δὴ τὴν σὴν εὐλάβειαν αἰτιάσομαι, νεωστί τε ἐπιστᾶσαν τοῖς πράγμασι καὶ ἀγνοοῦσαν τὰ πλεῖστα, ὡς εἰκός, τῆς καθ' ἡμᾶς ἱστορίας. Ταῦτα μὲν οὖν ἱκανῶς· οὐδὲ γὰρ βούλομαι διοχλεῖν σοι μακρότερα, ἵνα μὴ φαίνωμαι φορτικός, ἄρτι τῆς φιλίας ἀρχόμενος. Ἃ δὲ πάρεστι μετὰ τοῦ Θεοῦ βουλευομένοις ἡμῖν, ταῦτα γνωρίζομεν. Ἐγὼ γὰρ ὑπεχώρησα μὲν τῆς κατὰ Ναζιανζὸν Ἐκκλησίας οὔτε ὡς καταφρονῶν τοῦ Θεοῦ, οὔτε ὡς περιορῶν τοῦ μικροῦ ποιμνίου (μηδὲ γὰρ πάθοι τοῦτο ψυχὴ φιλόσοφος), ἀλλὰ πρῶτον μὲν ὡς οὐδενὶ κηρύγματι τοιούτῳ κρατούμενος, δεύτερον δὲ διὰ τὸ συντετρίφθαι τῇ ἀρρωστίᾳ καὶ **[237]** νομίζειν μὴ ἐξαρκεῖν πρὸς τὰς τοιαύτας φροντίδας. Ἐπειδὴ **102** καὶ ὑμεῖς ἐβαρεῖτε τὴν ἀναχώρησιν ὀνειδίζοντες, καὶ αὐτὸς οὐκ ἔφερον τὰς παρὰ πάντων μοι γινομένας καταβοήσεις, ὅ τε καιρὸς χαλεπός, ἀπειλῶν ἡμῖν ἐχθρῶν ἔφοδον ἐπὶ βλάβῃ τοῦ κοινοῦ πάσης τῆς Ἐκκλησίας, τέλος ἠττήθην ἧττον τῷ σώματι μὲν ὀδυνηράν, τῇ δὲ ψυχῇ ἴσως οὐ πονηράν. Ἐπιδίδωμι τὸ ταπεινὸν

1. Πρβλ. Ψαλ. 77,70.

τοῦτο σῶμα τῇ Ἐκκλησίᾳ, μέχρις ἂν ᾖ δυνατόν, αἱρετώτερον εἶναι νομίζων ὁτιοῦν παθεῖν σαρκικῶς μᾶλλον ἢ πνευματικῶς πλήσσεσθαι καὶ πλήσσειν τοὺς πολλοὺς τὰ χείρω περὶ ἡμῶν ὑπειληφότας, ἐξ ὧν αὐτοὶ πάσχουσι. Ταῦτ' οὖν εἰδώς, καὶ συνεύχου καὶ τὴν γνώμην ἡμῶν ἀπόδεξαι· οὐ χεῖρον δ' ἴσως εἰπεῖν καὶ τυποῦ πρὸς εὐλάβειαν.

140

⟨ΟΛΥΜΠΙΩ⟩

Πάλιν γράφω, παρεῖναι δέον· ἀλλὰ παρὰ σοῦ μοι τὸ θάρσος, ᾧ καὶ τῶν πνευματικῶν βραβευτὰ (ἵνα πρῶτον εἴπω τὸ πρῶτον) καὶ τῶν κοινῶν ἐπανορθωτά, καὶ θεόθεν τὰ ἀμφότερα· ὁ καὶ μισθὸν εὐσεβείας λαβών, τὸ κατὰ νοῦν χωρεῖν σοι τὰ πράγματα καὶ μόνῳ τυγχάνειν ἁλωτὰ τὰ μὴ τοῖς ἄλλοις ἁλώσιμα. Σύνεσις γάρ σοι καὶ ἀνδρεία τὴν ἀρχὴν ἄγουσιν, ἡ μὲν εὑρίσκουσα τὸ πρακτέον, ἡ δὲ ῥᾳδίως ἐπιτελοῦσα τὸ εὑρεθέν. Καὶ τὸ μέγιστον, ἡ τῆς χειρὸς καθαρότης, ᾗ πάντα εὐθύνεται. Ποῦ σοι χρυσὸς ὁ ἄδικος; οὐδ' ἐγένετο, πρῶτον ἐξορίαν κατακριθείς, ὡς ἀφανὴς τύραννος. Ποῦ δὲ ἀπέχθεια; κατακέκριται. Ποῦ δὲ χάρις; ἐνταῦθα τι κλίνῃ (κατηγορήσω γάρ σου μικρόν), ἀλλὰ Θεοῦ φιλανθρωπίαν μιμούμενος, ἣν καὶ νῦν αἰτεῖ δι' ἡμῶν Αὐρήλιος, ὁ σὸς στρατιώτης, ὃν ἄφρονα φυγάδα καλῶ καὶ ἱκέτην σώφρονα, ὅτι ὑπὸ τὰς ἡμετέρας ἑαυτὸν τέθεικε χεῖρας καὶ διὰ τῶν ἡμετέρων τὰς σάς, ὥσπερ τινὰ εἰκόνα βασιλικήν, τὴν πολιὰν ἡμῶν προβαλλόμενος καὶ τὴν ἱερωσύνην, ἣν **[240]** αἰδεῖσθαι πολλάκις καθωμολόγησας. Ἰδού σοι προσάγει τοῦτον ἡ θυοφόρος χεὶρ αὕτη καὶ ἀναίμακτος καὶ πολλοὺς μὲν ἐπαίνους σου γράψασα, γράψουσα δέ, οἶδ' ὅτι, καὶ πλείους, εἰ Θεὸς παρατείνειεν ὑμῖν τὴν ἀρχήν, τήν τε σὴν λέγω καὶ τοῦ συνεργοῦ τῆς σῆς θέμιδος.

141

ΤΩ ΑΥΤΩ

103 Πάλιν φιλανθρωπίας καιρὸς καὶ πάλιν ἐγὼ τολμηρὸς γράμμασι πιστεύων παράκλησιν περὶ τοσούτου πράγματος. Ποιεῖ γάρ με θρασὺν ἡ νόσος, οὐδὲ προϊέναι συγχωροῦσα· οὐ γὰρ εὐπρεπῆ παρέχει τὴν εἴσοδον. Τίς οὖν ἡ πρεσβεία; καί μου δέξαι ταύτην ἡμέρως καὶ φιλανθρώπως. Δεινὸν μὲν καὶ ἀνδρὸς θάνατος (πῶς γὰρ οὔ;) τοῦ σήμερον ὄντος καὶ αὔριον οὐκ ἐσομένου οὐδὲ πρὸς ἡμᾶς ἀναλύσοντος· πολλῷ δὲ δεινότερον πόλιν ἀποθανεῖν, ἣν βασιλεῖς ἱδρύσαντο καὶ χρόνοι συνεστήσαντο καὶ ἀκολουθία μακρὰ διεφύλαξεν. Ὑπὲρ τῆς Διοκαισαρέων ὁ λόγος, τῆς ποτε πόλεως, νῦν δὲ οὐ πόλεως, εἰ μὴ σὺ

νεύσειας ἥμερον. Ταύτην σοι προσπίπτειν νόμισον δι' ἡμῶν καὶ φωνὴν ἐχέτω καὶ σχῆμα πενθικὸν περικείσθω καὶ κειράσθω κόμας, ὥσπερ ἐν δράματι καὶ τούτους ποιείσθω πρὸς σὲ τοὺς λόγους· «Δός μοι χεῖρα χαμαὶ κειμένῃ, βοήθησον ἀσθενούσῃ. Μὴ συνεπιθῇ τῷ χρόνῳ, μηδὲ διαφθείρῃς τὰ Περσῶν λείψανα. Πόλεις ἐγείρειν σοι πρεπωδέστερον ἢ καταλύειν τὰς κεκμηκυίας. Γενοῦ πολιστὴς ἢ τῷ προσθεῖναί τι τοῖς οὖσιν ἢ τῷ φυ**[241]**λάξαι τὴν οὖσαν. Μὴ ἀνάσχῃ μέχρι τῆς σῆς ἀρχῆς εἶναι πόλιν καὶ μετὰ σὲ μηκέτ' εἶναι· μηδὲ δοῦναι πονηρὸν τῷ χρόνῳ διήγημα, λαβεῖν ἀριθμουμένην ἐν πόλεσιν καὶ καταλιπεῖν χωρίον ἀοίκητον τήν ποτε πόλιν ὄρεσι καὶ κρημνοῖς καὶ ὕλαις μόναις γνωριζομένην». Ταῦτα μὲν ποιείτω καὶ λεγέτω πρὸς τὴν σὴν φιλανθρωπίαν ἡ τοῦ πλάσματος πόλις. Ἡμῶν δὲ ὡς φίλων δέξαι παραίνεσιν· σωφρονίσαι μὲν θέλησον τοὺς ἐξημαρτηκότας εἰς τὸ πρόσταγμα τῆς σῆς ἐξουσίας, ὑπὲρ γὰρ τούτου οὐδὲν θαρροῦμεν, εἰ καὶ μὴ ἀπὸ κοινοῦ σκέμματός φασιν εἶναι τὸ θράσος, ἀλλὰ μειρακίσκων τινῶν ὁρμὴν ἀλόγιστον· τὸ πλεῖον δὲ τῆς ὀργῆς συγχωρῆσαι καὶ λογισμῷ χρήσασθαι μείζονι· μητρός ὑπερήλγησαν νεκρουμένης, οὐκ ἤνεγκαν πολῖται καλεῖσθαι καὶ εἶναι ἀπόλιδες, ἐμάνησαν, παρηνόμησαν, ἀπέγνωσαν τῆς ἑαυτῶν σωτηρίας, ἔκφρονας αὐτοὺς τὸ παράδοξον τοῦ πάθους ἐποίησεν. Ἆρ' οὖν διὰ τοῦτο χρὴ μηδὲ εἶναι πόλιν τὴν πόλιν; Μηδαμῶς, **104** ὦ θαυμάσιε, μὴ τοῦτο ἐπιγράψῃς. Ἀλλὰ τίμησον μὲν πάντας πολίτας καὶ πολιτευτὰς καὶ ἀξιωματικοὺς ἱκετεύοντας· πάντων γὰρ οἴου τὴν συμφορὰν ὁμοίως ἅπτεσθαι καὶ εἰ τῷ μεγέθει τῆς σῆς ἐξουσίας ἐφησυχάζουσιν, οἷον ὑποβρύχια στένοντες. Τίμησον δὲ τὴν ἡμετέραν πολιάν, οἷς δεινὸν εἴ ποτε τὴν μεγάλην πόλιν ἔχοντες, νῦν μηδὲ πόλιν ἔχοιμεν καὶ θηρίων οἰκητήριον γένοιτο μετὰ τὴν σὴν ἀρχὴν ὅ τε ναὸς ὃν ἠγείραμεν τῷ Θεῷ καὶ ἡ περὶ τοῦτον ἡμῶν φιλοκαλία. Οὐδὲ γάρ εἰ ἀνδριάντες κατενεχθήσονται, τοῦτο δεινόν, εἰ καὶ ἄλλοις δεινόν· μηδὲ περὶ τούτων νομίσῃς ἡμῖν εἶναι τὸν λόγον, οἷς περὶ τὰ κρείττονα ἡ σπουδή, ἀλλ' εἰ συγκατενεχθήσεται τούτοις πόλις ἀρχαία καί τι λαμπρὸν ἐνεγκοῦσα, ζώντων ἡμῶν καὶ ὁρώντων τῶν παρὰ σοὶ τιμωμένων καί τινα ἰσχὺν ἔχει νομιζομένων. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος τοσοῦτος.

Οὐδὲ γὰρ εἰ πλείονα εἴποιμεν, ἰσχυρότερόν τι τῶν σῶν εὑρήσομεν λογισμῶν, οἷς ἔθνος τοσοῦτον ἄγεται καὶ ἀχθείη γε πλείω καὶ μείζω καὶ ἐπὶ μεί**[244]**ζοσι ταῖς ἀρχαῖς. Ἐκεῖνο δὲ ἀναγκαῖον γνῶναι τὴν σὴν μεγαλόνοιαν περὶ τῶν προεμπεπτωκότων, ὅτι παντελῶς εἰσιν ἄθλιοι, ἀπερριμμένοι καὶ μηδεμιᾶς ἀταξίας τοῖς ἡμαρτηκόσι κοινωνήσαντες, ὡς πολλοὶ πείθουσιν ἡμᾶς τῶν τότε παρόντων. Πρὸς ταῦτα βούλευσαι ὅ,τι ἂν συμφέρειν νομίσῃς καὶ πρὸς τὴν ἐντεῦθεν δόξαν καὶ πρὸς τὰς ἐκεῖθεν ἐλπίδας. Ἡμεῖς δὲ τὸ παραστὰν οἴσομεν, οὐκ ἀλύπως μέν, οἴσομεν δέ· τί γὰρ ἂν καὶ πράξαιμεν ἕτερον; Εἰ δὲ τὰ χείρω νικήσειεν, ἓν χαριούμεθα μόνον, τῇ ποτε πόλει ἐπιβαλούμεθα δάκρυα.

142
ΤΩ ΑΥΤΩ

Εἰ καὶ ὁ πόθος τῆς σῆς συντυχίας θερμὸς καὶ ἡ χρεία τῶν δεομένων μεγάλη, ἀλλ' ἡ νόσος ἀήττητος. Διὰ τοῦτο γράμμασι πιστεῦσαι ταύτην τὴν πρεσβείαν **105** ἐθάρρησα. Αἰδέσθητι μὲν ἡμῶν τὴν πολιάν, ἣν ἠδέσθης ἤδη καλῶς ποιῶν καὶ πολλάκις. Αἰδέσθητι δὲ καὶ τὴν ἀρρωστίαν ταύτην, ἣ μέρος τι καὶ οἱ κατὰ Θεὸν ἱδρῶτες συνεισήνεγκαν, εἴ τι δεῖ καὶ νεανιεύσασθαι[1]. Καὶ διὰ τοῦτο φεῖσαι μὲν τῶν πολιτευομένων πρὸς ἡμᾶς βλεπόντων, ὡς ἐχόντων ἡμῶν ἐπὶ σοῦ παρρησίαν. Φεῖσαι δὲ τῶν ἄλλων τῶν ὑπὸ τὴν ἡμετέραν φροντίδα. Καὶ γὰρ οὐδεμία ζημία τοῖς πράγμασιν ἐκ τῆς φιλανθρωπίας, ἐπεὶ τῷ φόβῳ πλείονα κατορθοῖς ἢ ταῖς τιμωρίαις ἕτεροι. Σοὶ δὲ ἀντὶ τούτων γένοιτο τὸ τοιούτου τυχεῖν τοῦ κριτοῦ[2], οἱόσπερ ἂν αὐτὸς γένῃ τοῖς δεομένοις καὶ ἡμῖν τοῖς πρεσβεύουσιν.

143
ΤΩ ΑΥΤΩ

Τί τὸ πολλὰ παθεῖν καὶ τὸ εὖ παθεῖν τοῖς ἀνθρώποις χαρίζεται; Διδάσκει φιλανθρωπίαν καὶ κλίνει τοῖς δεομένοις. Οὐδὲν γὰρ τοιοῦτον παίδευμα **[245]** πρὸς τὸ ἐλεεῖν ὡς τὸ προλαβεῖν χρηστότητα. Τοῦτο καὶ αὐτῷ μοι συμβέβηκεν· ἔμαθον τὸ συμπαθὲς ἐξ ὧν ἔπαθον. Καὶ ὁρᾷς τὸ ἡμέτερον μεγαλόψυχον; αὐτὸς χρῄζων τῆς σῆς ἡμερότητος ἐν τοῖς ἐμοῖς πράγμασιν, ὑπὲρ ἄλλων πρεσβεύω καὶ οὐ δέδοικα μὴ δαπανήσω σου τὸ φιλάνθρωπον ἐν τοῖς ἀλλοτρίοις. Γράφω δὲ ταῦτα ὑπὲρ τοῦ πρεσβυτέρου Λεοντίου, εἴτ' οὖν ποτε πρεσβυτέρου· ὃς εἰ μὲν ἄξια πέπονθεν ὧν πεποίηκεν, ἐνταῦθα στῶμεν, μὴ τὸ ὑπερβάλλον ἀδικία γένηται· εἰ δέ τι τῇ τιμωρίᾳ προσχρεωστεῖται καὶ οὔπω τοῖς ἁμαρτήμασι τὰ τῆς ὕβρεως ἀντισώθη, τοῦτο ἡμῖν συγχώρησον καὶ τῷ Θεῷ καὶ τῷ βήματι καὶ τῷ κοινῷ συλλόγῳ τῶν ἱερέων, οἷς ποτε συνηρίθμητο καὶ εἰ νῦν ἀνάξιον ἑαυτὸν ἀπέφηνεν οἷς τε πεποίηκεν, οἷς τε πέπονθεν. Εἰ μὲν οὖν πείθομεν, τοῦτο ἄριστον· εἰ δὲ μή, προσάγομέν σοι πρεσβευτὴν αἰδεσιμώτερον, τὸν κοινωνόν σοι καὶ τῆς ἀρχῆς καὶ τῆς εὐδοξίας.

---

1. Πρβλ. Β' Κορ. 11,30. 2. Πρβλ. Ματθ. 5,25. 6,15. 18,35. 25,40.

144

ΤΩ ΑΥΤΩ

106 Οὐ πανταχοῦ τὸ τάχος ἐπαινετόν. Διὰ τοῦτο ἀνεβαλόμην τὴν ἀπόκρισιν εἰς τόδε περὶ τῆς τοῦ αἰδεσιμωτάτου Οὐηριανοῦ θυγατρός, τῷ χρόνῳ τι διδοὺς εἰς διόρθωσιν καὶ ἅμα τῆς σῆς στοχαζόμενος ἀγαθότητος οὐκ ἐπαινούσης τὸ διαστάσιον, ἐξ ὧν ἡμῖν τὴν πεῦσιν ἐπέτρεψας, οὓς οὐ ταχεῖς ἤδεις οὐδὲ ἀπερισκέπτους πρὸς τὰ τοιαῦτα. Διὰ τοῦτο μὲν οὖν κατέσχον ἐμαυτὸν εἰς δεῦρο καί, οἶμαι, οὐκ ἀλογίστως. Ἐπεὶ δὲ εἰς στενὸν ἤκομεν τοῦ καιροῦ καὶ ἀνάγκη γνωρίσαι τὸ παρὰ τῆς ἐξετάσεως εὑρεθέν, καὶ δὴ γνωρίσομεν. Διπλῆ τις ἡ παῖς εἶναί μοι φαίνεται, μεριζομένη αἰδοῖ τε γονέων καὶ ἀνδρὸς συνηθείᾳ. Καὶ τὰ μὲν ῥήματα μετ' ἐκείνων ἐστίν, ἡ δὲ διάνοια οὐκ οἶδα εἰ μή τι καὶ μετὰ τούτου, ὡς παραδηλοῖ τὸ δάκρυον. Αὐτὸς μὲν οὖν δηλαδὴ πράξεις ὃ παρίσταται τῇ σῇ δίκῃ καὶ τῷ καπευθύνοντί σε πρὸς πάντα Θεῷ. Ἐγὼ δὲ ἥδιστα ἂν γνώμην ἔδωκα τῷ υἱῷ Οὐηριανῷ πολλὰ **[248]** τῶν ἐν μέσῳ παραδραμεῖν ἐπὶ τῷ μὴ κυρῶσαι τὸ ἀποστάσιον, ὃ τοῖς ἡμετέροις ἀπαρέσκει πάντως νόμοις, κἂν οἱ Ῥωμαίων ἑτέρως κρίνωσι. Τὸ δίκαιον γὰρ φυλαχθῆναι ἐπάναγκες, ὃ καὶ ἡμεῖς σοι εὐχόμεθα ἀεὶ λέγειν τε καὶ ποιεῖν.

145

ΟΥΗΡΙΑΝΩ

Οὐδὲν δεινὸν ποιοῦσιν οἱ δήμιοι· καὶ γὰρ ὑπηρετοῦνται νόμοις· οὐδὲ τὸ ξίφος παράνομον, ᾧ τοὺς πονηροὺς κολάζομεν· ἀλλ' ὅμως οὐκ ἐπαινεῖται δήμιος οὐδὲ ἀσμενίζεται φονικὸν ξίφος. Οὕτως οὐδὲ ἡμεῖς ἀνεχόμεθα γενέσθαι μισητοὶ διὰ τῆς ἡμετέρας χειρὸς καὶ γλώσσης τοῦ ἀποστασίου βεβαιουμένου. Κρεῖττον γὰρ ἑνώσεως καὶ φιλίας ἢ διαστάσεως καὶ βίου λύσεως μέσους γίνεσθαι. Τοῦτό **107** μοι δοκεῖ καὶ ὁ θαυμασιώτατος ἄρχων ἐνθυμηθεὶς ἡμῖν ἐπιτρέψαι τὴν πεῦσιν τῆς σῆς θυγατρός, ὡς οὐκ ἀποτόμως οὐδὲ ἀπαθῶς ἐλθεῖν δυναμένοις ἐπὶ τὴν λύσιν. Οὐ γὰρ ὡς λογιστήν, ἀλλ' ὡς ἐπίσκοπον δηλαδὴ προεβάλετο καὶ μέσον ἐποιήσατο τῆς καθ' ὑμᾶς περιπετείας. Παρακαλῶ τοίνυν χαρίσασθαί τι τῇ ἐμῇ δειλίᾳ· καὶ εἰ μὲν τὰ κρείττω νικᾷ, χρήσασθε ἡμῖν ὑπηρέταις τῆς ὑμετέρας βουλήσεως, καὶ χαίρομεν τὰ τοιαῦτα ἐπιταττόμενοι· εἰ δὲ τὰ χείρω τε καὶ σκαιότερα καὶ οἷς οὐδέπω καὶ τήμερον ἐνεχειρήσαμεν, ἄλλον ἐπιζητεῖτε τὸν πρὸς ταῦτα ἐπιτηδειότερον. Ἐμοὶ δὲ οὐ σχολή, ἵνα τῇ ὑμετέρᾳ φιλίᾳ χαρίσωμαι (εἰ καὶ τὰ πάντα οἶδα ὑμᾶς ἐμαυτῷ τιμιωτάτους), Θεῷ προσκρούειν, ᾧ λόγον ὑπέθω παντὸς κινήματος καὶ διανοήματος. Τῇ δὲ σῇ θυγατρὶ

τότε πιστεύσομεν (εἰρήσεται γὰρ τἀληθές)[α], ὅταν δυνηθῇ τὸ αἰδεῖσθαι ὑμᾶς φυγοῦσα παρρησιάζεσθαι τὴν ἀλήθειαν. Ὡς νῦν γε τὸ πάθος ἐλεεινόν· μερίζει γὰρ ὑμῖν μὲν τὰ ῥήματα, τῷ δὲ ἀνδρὶ τὸ δάκρυον.

146

⟨ΟΛΥΜΠΙΩ⟩

[249] Τοῦτο ἦν ὅπερ ἔλεγον ὥσπερ ἔκ τινος προφητείας εἰς πάντα δεξιοῦ σου τυγχάνων καὶ ἀπλήστως τῆς σῆς ἡμερότητος ἐμφορούμενος, ὅτι δέδοικα μὴ κενώσω τὸ φιλάνθρωπον ὑμῶν ἐν τοῖς ἀλλοτρίοις. Ἰδοὺ γὰρ ἀγὼν ἐμὸς (εἴπερ ἐμός, ὁ τῶν ἐμῶν), καὶ οὐ μετὰ τῆς ἴσης παρρησίας ποιοῦμαι τοὺς λόγους. Πρῶτον μὲν ὅτι ἐμός. Τὸ γὰρ ὑπὲρ ἑαυτοῦ δεῖσθαι, εἰ καὶ χρησιμώτερον, ἀλλὰ ταπεινότερον. Ἔπειτα ὑφορῶμαι τὸν κόρον ὡς τὸ ἡδὺ λύοντα καὶ πᾶσιν ἐναντιούμενον τοῖς καλοῖς. Ἔχει μὲν οὖν οὕτω ταῦτα καὶ εἰκάζω λίαν ὀρθῶς. Ὅμως δὲ τῷ τε Θεῷ θαρρῶν, ᾧ παρέστηκα καὶ τῇ σῇ περὶ τὸ εὖ ποιεῖν μεγαλοψυχίᾳ, τὴν ἱκεσίαν ταύτην ἐθάρρησα.

108 Ἔστω κάκιστος πάντων Νικόβουλος ὃς ἓν ἀδικεῖ μόνον, ὅτι δι' ἡμᾶς ἐστιν ἐπίφθονος καὶ τοῦ δέοντος ἐλευθεριώτερος. Ἔστω καὶ δικαιότατος ἀνθρώπων ὁ νῦν ἡμῖν πολεμῶν. Αἰσχύνομαι γὰρ κατηγορεῖν ἐπὶ τῆς σῆς ὀρθότητος οὗ πρώην ὑπερεμάχουν· ἀλλ' οὐκ οἶδα εἴ σοι παραστήσεται δίκαιον ὑπὲρ ἄλλων ἁμαρτημάτων ἐν ἄλλοις ἀπαιτεῖσθαι δίκην καὶ τούτων ἀλλοτρίων καὶ οὐδὲ ἑκουσίων, τὸν οὕτω κινήσαντα τοὺς οἰκέτας καὶ τοσοῦτον ἀγαναχτήσαντα, ὥστε ἐνδοῦναι τῷ ἐγκαλοῦντι προθυμότερον ἢπερ ἐκεῖνος ἐβούλετο; Ἀλλὰ δεῖ δουλεύειν Νικόβουλον ἢ τοὺς τούτου παῖδας, ὃ δοκεῖ τοῖς ἐπηρεάζουσιν; Αἰσχύνομαι γὰρ τὴν ὑπόθεσιν τῆς ἐπηρείας καὶ τὸν καιρόν, εἰ σοῦ τε ἄρχοντος καὶ ἡμῶν παρὰ σοὶ δυναμένων τοῦτο γενήσεται. Νῦν βοηθεῖται τὰ δημόσια, νῦν αὔξεται τὰ βουλευτήρια, ὅτε λυπεῖ τὰ ἴδια; Μηδαμῶς, ὦ θαυμάσιε, μὴ τοῦτο παραστήτω τῇ σῇ καθαρότητι. Ἀλλὰ συνεὶς μὲν τῷ πτηνῷ τάχει τῆς διανοίας τὴν ἀφ' ἧς ταῦτα γίνεται κακοήθειαν, αἰδεσθεὶς δὲ ἡμᾶς τοὺς σοὺς ἐπαινέτας, φιλάνθρωπον σεαυτὸν παράσχου τοῖς κινουμένοις κριτήν, ὡς οὐκ ἀνθρώποις μόνον **[252]** δικάζων σήμερον, ἀλλὰ καὶ ἀρετῇ καὶ κακίᾳ· οὗ μᾶλλον ἢ τοῦ καθ' ἕκαστον φροντιστέον τοῖς γε κατὰ σὲ τὴν ἀρετὴν καὶ δεξιοῖς ἄρχουσιν. Ἔσται δέ σοι παρ' ἡμῶν ἐπὶ τούτοις οὐ τὸ τῶν εὐχῶν μόνον, ὧν οἶδά σε μὴ περιφρονοῦντα κατὰ τοὺς πολλούς, ἀλλὰ καὶ τὸ περιβόητον καταστῆσαι τὴν σὴν ἀρχὴν πᾶσιν οἷς γνωριζόμεθα.

α. Πρβλ. Δημοσθένους, Πρὸς τὴν ἐπιστ. XI 17. Ἰσοκράτους, Ἀρεοπαγ. VII 76.

147
ΑΣΤΕΡΙΩ

Τί Θεοῦ δικαιότερον; Ἀλλ' ὅμως, πάντων ποιητὴς ὢν καὶ δεσπότης, ἐξαίρετον ἑαυτοῦ λαὸν ποιεῖται καὶ ὀνομάζει τὸν Ἰσραήλ, καὶ οὐκ αἰσχύνεται μὴ ἄδικος παρὰ τοῦτο νομίζηται. Τί οὖν θαυμαστὸν εἰ καὶ ἡμεῖς, πάντων κηδόμενοι τῶν ὑπὸ τὴν ἡμετέραν χεῖρα καὶ προστασίαν, πλέον τοῦ υἱοῦ Νικοβούλου περιεχόμεθα, ὃν καὶ γηροκόμον καὶ νοσοκόμον γινώσκομεν καὶ οἷον ἔρεισμα καὶ βακτηρίαν τῆς ἀσθενείας ἡμῶν ὑποβεβλήμεθα; Τοῦτον ὑπὸ τὰς σὰς τίθεμεν χεῖρας καὶ διὰ τῶν σῶν ταῖς τοῦ ἄρχοντος, πάνυ δεινὸν νομίζοντες τοὺς μὲν ἄλλους καὶ τῶν μεγίστων ἐγκλημάτων ἐλευθεροῦν δι' ἡμῶν, καὶ πρώτους γε τοὺς νῦν πικρούς **109** κατηγόρους, τοῦτον δὲ μηδὲ τῆς ἐπηρείας δύνασθαι καὶ ἧς τυγχάνομεν ἐπὶ τῶν ξένων τιμῆς, ταύτης ἐφ' ἡμῶν αὐτῶν μὴ τυγχάνειν, ἀλλὰ ταὐτὸν πάσχειν τοῖς ὀφθαλμοῖς, οἳ τἄλλα ὁρῶντες ἑαυτοὺς οὐχ ὁρῶσιν ἢ τῶν πηγῶν ταῖς ἐν βάθει κειμέναις, αἳ τὰ πλησίον οὐχ ὑπορρέουσαι τὰ πόρρω ποτίζουσιν. Ἔστω δεινὰ τὰ τετολμημένα τοῖς παιδαρίοις ἢ ὑπέρδεινα· ὥσπερ οὖν ἴσως οὐδὲν ἢ μικρὸν εὑρεθήσεται, εἰ μὴ τῷ καιρῷ τῆς ἐξετάσεως στενοχωρηθείημεν. Ἀλλὰ τί τοῦτο πρὸς τοὺς δεσπότας, οἳ μηδενὸς τῶν γεγενημένων κεκοινωνήκασιν; ἢ τίς ὁ λόγος, ὑπὲρ τῶν ἀλλοτρίων ἁμαρτημάτων ἐν ἄλλοις ἀπαιτεῖσθαι δίκην καὶ νῦν τῶν δημοσίων φροντίζειν, ἡνίκα λυπεῖ τὸ ἴδιον;

148
ΤΩ ΑΥΤΩ

[253] Τί τοῦτο; ἴσως ἐρεῖς· πάλιν ἡμῖν Γρηγόριος; πάλιν ἐπιστολαί; πάλιν αἰτήσεις; Ὦ τῆς ἀπληστίας, ἣν αὐτοὶ κεκινήκαμεν. Μηδαμῶς, ὦ θαυμάσιε, μὴ τοῦτο πάθῃς. Τίνων γὰρ οἱ λιμένες ἢ τῶν χειμαζομένων; τίνων δὲ τὰ φάρμακα ἢ τῶν ἀρρωστούντων; ὥνπερ ἡμεῖς μὴ ἀποστερηθείημεν καὶ τοσούτῳ μᾶλλον ὅσῳ πιστευόμεθα δύνασθαι παρὰ σοί. Οὐκ ἔτι γὰρ αἰτοῦμεν, ἀλλ' ἀπαιτοῦμεν, ἀεὶ χάριτος χάριν προκαλουμένης. Νικόβουλος ἐν ἐπηρείαις, ταὐτὸν δὲ εἰπεῖν ὅτι ἡμεῖς· ἡμῶν γάρ ἐστιν ἀνάπαυσις. Καὶ πῶς οἷόν τε σιωπᾶν καὶ μὴ φορτικὸν εἶναι καὶ τὸν σφόδρα φιλόσοφον; Δὸς χεῖρα πιεζομένοις, ἵνα καὶ αὐτὸς τῆς ἐκ Θεοῦ τύχης, χρήζων ταύτης ὡς ἄνθρωπος. Καὶ χρῆσαι πάσῃ τῇ φιλίᾳ καὶ τῇ συνέσει καὶ τῷ δύνασθαι σὺν Θεῷ περὶ τὰ ἡμέτερα πράγματα. Οὔτε γὰρ σίδηρος ἔμπυρος πολλῶν δεῖται τῶν παρὰ τοῦ λίθου κρουμάτων, ἵνα τὸ ἐγκείμενον πῦρ δημοσιεύσῃ· ἀλλ' ἐπλήγη τε ὁμοῦ καὶ τὸ πῦρ ἥστραψεν. Οὔτε αὐτὸς μακροτέρας δεήσῃ παρακλήσεως, καὶ τοῦτο ὑπὲρ ἡμῶν, καὶ τοιούτου τοῦ

πείθοντος ὄντος καὶ **110** οὕτω γνησίου κοινωνοῦ τῆς ἀρχῆς. Ἓν καὶ σύντομον φθέγξομαι· τὰς μὲν ἄλλας χάριτας ἄλλοι δι' ἡμῶν ἐλάμβανον, ταύτης δὲ ἡμεῖς χρῄζομεν ὑπὲρ ἡμῶν αὐτῶν, ὃ καὶ μᾶλλον δυσωπησάτω τὴν σὴν λογιότητα.

149
ΓΕΩΡΓΙΩ

Τὸ ἀρρωστοῦν θεραπεύεται, ἀλλ' οὐ συντρίβεται. Πῶς οὖν ὁ συνδιάκονος ἡμῶν Εὐθάλιος, οὔτε τὸν βαθμὸν αἰδεσθείς, οὔτε τὴν οἰκειότητα τιμήσας, δεσμοῖς καὶ πληγαῖς συνέτριψε τὸν ἄθλιον Φιλαδέλφιον, ὡς δείκνυσι καὶ τῶν πληγῶν τὰ ση**[256]**μεῖα, τοῦτο τεθαύμακα. Μὴ τοίνυν παρέργως δέξῃ τὸ γεγονός, ἀλλὰ τὸ συμβάν, ἐλθὼν διὰ σεαυτοῦ, παράστησον ἡμῖν. Παρέστω δὲ καὶ ὁ διάκονος καὶ λόγων ὑφέξων τῆς κατηγορίας καὶ τύπον ληψόμενος περὶ τῆς τοῦ συντριβέντος ζωῆς. Οὐ γὰρ ἀνεχόμεθα τοιαύτην ἀσχημοσύνην τολμᾶσθαι σχεδὸν ἐν ταῖς ἡμετέραις ὄψεσιν.

150
ΑΣΤΕΡΙΩ

Χαίρω καὶ γράφων καὶ ἐγκαλούμενος ὅτι μὴ γράφω, εἴ ποτε τοῦτο συμβαίνει· χρηστὰ γάρ σου καὶ τὰ ἐγκλήματα. Καίτοι γε πολλάκις καὶ περὶ πολλῶν ἐπιστείλας οἶδα, καὶ μέντοι καὶ τυχὼν περὶ ὧν ἐδεήθην σου. Καὶ εἰ μή τι ἄλλο, τό γε πλῆθος τῶν εὖ πεπονθότων μαρτυρεῖ μοι τὰ γράμματα. Εἰ δὲ σὺ μὲν ἀφθονώτερος εἶ τὴν φιλίαν ἤ τις ἂν εὔξαιτο, ἐγὼ δὲ περὶ τὰς αἰτήσεις δειλότερος, σὺ μὲν ἔχε τὰ πρῶτα τῆς ἀρετῆς, ἐμοὶ δὲ συγγνώμη τὸ φορτικὸν φεύγοντι, ἐπειδὴ πᾶν μ έ τ ρ ο ν ἄ ρ ι σ τ ο ν[α] οἶδεν ὁ τοῦ σοφοῦ λόγος. Πλὴν τῷ Θεῷ χάρις, ὅτι σοι τὸ εὖ ποιεῖν **111** ἐνεχείρισεν, οὕτω κοινὸν ἐπιστήσας ἡμῖν εὐεργέτην τε καὶ συνάρχοντα. Ἐπεὶ καὶ νῦν ἐγχειρίζω σοι διὰ ταύτης μου τῆς ἐπιστολῆς τὸν ἀδελφὸν καὶ συνδιάκονον ἡμῶν Γεώργιον, ἄνδρα τῶν ἐξαιρέτων ἡμῖν καὶ τῇ Ἐκκλησίᾳ χρησιμώτατον, ἀξιῶν θάρσους αὐτὸν τυχεῖν ἐν οἷς πρός τινας διαφέρεται καὶ μὴ συναρπασθῆναι τῇ τυραννίδι.

α. Ἀπόφθεγμα Κλεοβούλου. Κλήμ. Ἀλεξ. Στρωμ. Α′ 14,61. ΒΕΠΕΣ 7,260,2.

151

ΝΕΚΤΑΡΙΩ

Καλῶς οἱ πολλοὶ στοχάζονται τῆς σῆς διανοίας· μᾶλλον δὲ οὐκ εἰκάζουσιν, ἀλλ' ἡμῖν φιλοτι**[257]**μουμένοις οὐκ ἀπιστοῦσιν, ὅτι μὴ μικρᾶς ἡμᾶς ἀξιοῖς αἰδοῦς καὶ τιμῆς. Τούτων εἷς ἐστι καὶ ὁ τιμιώτατος υἱὸς ἡμῶν Γεώργιος, ὅς, πολλαῖς ζημίαις περιπεσὼν καὶ κάμνων ἱκανῶς ἐν τοῖς πράγμασιν, ἕνα λιμένα σωτηρίας εὑρίσκει, τὸ προσαχθῆναί σοι δι' ἡμῶν καὶ τυχεῖν τινος φιλανθρωπίας παρὰ τοῦ τιμιωτάτου τῶν οἰκείων Κόμητος. Δὸς οὖν τὴν χάριν, εἰ βούλει μέν, αὐτῷ καὶ τῇ χρείᾳ· εἰ βούλει δέ, ἡμῖν, οἷς τὸ πάντα χαρίζεσθαι οἶδ' ὅτι ἐγνωσμένον ἐστί σοι καὶ αὐτοῖς πείθεις τοῖς πράγμασι.

152

ΘΕΟΔΩΡΩ

Καιρός μοι τὸ τῆς Γραφῆς εἰπεῖν· Πρὸς τίνα βοήσομαι ἀδικούμενος; Τίς ὀρέξει μοι χεῖρα πιεζομένῳ[1]; Εἰς τίνα τὸ βάρος τῆς Ἐκκλησίας χωρήσει, κακῶς οὕτω διακειμένης καὶ λελυμένης; «Δ αμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων»[2] ὅτι μὴ δίκαια πάσχει τὸ τοῦ Θεοῦ ποίμνιον, ἀποίμαντον ὂν καὶ ἀνεπίσκεπτον διὰ τὴν ἡμετέραν νέκρωσιν. Ἐμὲ γὰρ ἡ νόσος κατέχει καὶ τάχιον ἀπήγαγε τῆς Ἐκκλησίας καὶ νῦν παντάπασιν ἀχρειοῖ, **112** ἀεὶ τὰ τελευταῖα πνέοντα καὶ πλέον τοῖς πράγμασι συντριβόμενον. Εἰ μὲν οὖν ἄλλην τινὰ κεφαλὴν εἶχεν ἡ ἐπαρχία, πρὸς ἐκείνην ἔδει βοᾶν καὶ διαμαρτύρεσθαι· τῆς δὲ σῆς εὐλαβείας ὑπερκειμένης, πρὸς σὲ βλέπειν ἀναγκαῖον. Φρόντισον τῆς σῆς Ἐκκλησίας ὃν βούλει τρόπον καὶ μὴ παρίδῃς ἀναξίως ἑαυτῆς πράττουσαν. Ἵνα γὰρ τἆλλα ἐάσω, οἷα νῦν ἐπιστάντες οἱ Ἀπολλιναριανοί, τὰ μὲν πεποιήκασι, τὰ δὲ ἀπειλοῦσι, παρὰ τῶν κυρίων μου τῶν συμπρεσβυτέρων μαθήσῃ, Εὐλαλίου τοῦ χωρεπισκόπου καὶ Κελευσίου, οὓς ἐξ ἔργου πρὸς τὴν σὴν εὐλάβειαν ἀπεστάλκαμεν. Καὶ τὸ ταῦτα ἐπισχεῖν, οὐ τῆς ἡμετέρας ἐστὶν ἡλικίας καὶ ἀσθενείας, **[260]** ἀλλὰ τῆς σῆς ἀγχινοίας καὶ δυνάμεως, ἐπειδή σοι, μετὰ τῶν ἄλλων, καὶ τὸ ἰσχύειν ἔδωκεν ὁ Θεός ἐπὶ τῇ κοινῇ τῆς Ἐκκλησίας προστασίᾳ. Εἰ δὲ ταῦτα λέγων καὶ γράφων μὴ ἀκουοίμην, ὃ λείπεται μόνον, τοῦτο γενήσεται, δημοσίᾳ κηρύξαι πᾶσι καὶ καταστῆσαι γνώριμον ὅτι ἐπισκόπου χρῄζει ἡ Ἐκκλησία, ἵνα μὴ παρὰ τῆς ἡμετέρας ἀρρωστίας καταβλάπτηται. Τὸ δὲ ἑξῆς ὑμεῖς εἴσεσθε.

---

1. Πρβλ. Ἀββ. 1,2. 2. Α' Τιμ. 5,21.

153
ΒΟΣΠΟΡΙΩ

Δὶς ἤδη τοῦτο ἐπτέρνισμαι[1] παρ' ὑμῶν καὶ ἠπάτημαι (οἶδας ὃ λέγω)· καὶ εἰ μὲν δικαίως, ὀσφρανθείη Κύριος παρ' ὑμῶν ὀσμὴν εὐωδίας[2]· εἰ δὲ ἀδίκως, συγγνοίη Κύριος. Οὕτω γὰρ ἐμὲ περὶ ὑμῶν λέγειν εὔλογον, ἐπειδὴ φέρειν καὶ ἀδικούμενοι προστετάγμεθα[3]. Πλὴν ὥσπερ ὑμεῖς κύριοι τῆς ὑμετέρας γνώμης, οὕτω κἀγὼ τῆς ἐμῆς. Οὐκέτι βαρὺς ὑμῖν ἔσται Γρηγόριος ὁ βαρύς. Ἀναχωρήσω πρὸς Θεὸν τὸν μόνον καθαρόν τε καὶ ἄδολον. Εἰς ἐμαυτὸν συσταλήσομαι. Ταῦτα ἐμαυτῷ νενομοθέτηκα· δὶς γὰρ πρὸς τὸν αὐτὸν λίθον πταίειν τοῖς ἀνοήτοις μόνοις ἡ παροιμία δίδωσιν.

154
ΟΛΥΜΠΙΩ

113 Ἡμῖν ἄρχων σὺ καὶ μετὰ τὴν ἀρχήν (κρίνομεν γὰρ ἑτέρως ἢ ὡς οἱ πολλοὶ τὰ πράγματα), ὅτι πᾶσαν ἀρχικὴν ἀρετὴν ἐν σεαυτῷ συλλαβὼν ἔχεις. Πολλοὶ μὲν γὰρ τῶν ὑψιθρόνων ἐμοὶ κάτω, ὅσους ἡ χεὶρ ποιεῖ ταπεινοὺς καὶ δούλους τῶν ἀρχομένων· πολλοὶ δὲ ὑψηλοὶ καὶ μετέωροι, κἂν ἑστήκασι κάτω, ὅσους ἄνω τίθησιν ἀρετὴ καὶ ποιεῖ μειζόνων ἀρχῶν ἀξίους. **[261]** Ἀλλὰ τί τούτων ἐμοί; Οὐκέτι μεθ' ἡμῶν ὁ μέγας Ὀλύμπιος οὐδὲ φέρει τοὺς ἡμετέρους οἴακας· οἰχόμεθα, προδεδόμεθα, γεγόναμεν αὖθις δευτέρα Καππαδοκία, πρώτη παρὰ σοῦ γεγονότες. Καὶ τὰ μὲν τῶν ἄλλων τί χρὴ λέγειν; Ἀλλὰ τίς γηροκομήσει τὸν σὸν Γρηγόριον καὶ φαρμακεύσει τὴν ἀσθένειαν ταῖς τιμαῖς καὶ θήσει τιμιώτερον τὸν παρὰ σοῦ πολλοῖς προξενοῦντα φιλάνθρωπον; Νῦν μὲν οὖν ἀπίοιτε τὴν ὑμετέραν ὁδὸν σὺν ὁδηγίᾳ καὶ πομπῇ κρείττονι, πολλὰ μὲν δάκρυα καταλιπόντες ἡμῖν, πολὺν δὲ πλοῦτον ἐπικομιζόμενοι παρ' ὑμῶν καὶ οἷον οὐ πολλοὶ τῶν ἀρχόντων, τὴν εὐδοξίαν καὶ τὸ ἀνάγραπτοι τυγχάνειν ἐν ταῖς ἁπάντων ψυχαῖς, στήλαις οὐκ εὐκινήτοις. Εἰ δὲ πάλιν ἡμῖν ἐπισταίητε μετὰ μείζονος καὶ λαμπροτέρας τῆς ἀρχῆς (τοῦτο γὰρ ὁ πόθος ἡμῖν μαντεύεται), τελεώτερα τῷ Θεῷ τὰ χαριστήρια πάντως ἀνοίσομεν.

---

1. Πρβλ. Γεν. 27,36. 2. Πρβλ. Γεν. 8,21. 3. Πρβλ. Ματθ. 5,10. Α' Πέτρ. 2,19. 3,14.

155
ΑΣΤΕΡΙΩ

Τί τοῦτο πάσχομεν; οἴχεσθε καταλιπόντες ἡμᾶς καὶ ἡμεῖς ἀρρωστοῦμεν, οὐδὲ τοσοῦτον παρὰ τοῦ φθόνου συγχωρηθέντες, ὅσον ἐφ' ὑμῖν τὰ προπεμπτήρια φθέγξασθαι. Ὢ τῆς ζημίας καὶ τῆς ἐπηρείας. Κινδυνεύω τι καὶ τολμηρὸν εἰπεῖν· τί λαβεῖν ἔδει τὸ ἀγαθόν, εἰ μὴ παραμένειν ἔμελλεν; Οὐ γὰρ τοσοῦτον **114** εὐφραίνει παρὸν τῶν τερπνῶν οὐδέν, ὅσον ἀνιᾷ χωριζόμενον. Τετιμήμεθα παρ' ὑμῶν, δεδοξάσμεθα, τῆς ἀρχῆς ἀπηλαύσαμεν, τῆς φιλανθρωπίας ἐνεφορήθημεν. Οὔτε γὰρ ἐπιλελήσμεθα τούτων, οὔτε ἐπιλησόμεθα· πρότερον ἡμῶν αὐτῶν ἢ ὑμῶν. Τί δέ παρ' ἡμῶν ἀντὶ τούτων ὑμῖν; Τί δ' ἄλλο γε ἢ ὧν ἔχομεν τὸ κάλλιστον; ἔχομεν δὲ τὰς εὐχάς, αἷς σώζοισθε καὶ εὐδοκιμοίητε. Καὶ πάλιν ἡμῖν ὀφθείητε, ἂν ἄρα τοσαύτης τύχωμεν τοῦ ζῆν προθεσμίας.

156
ΤΩ ΑΥΤΩ

[264] Μέγας ἐν ἀνθρώποις ὁ Ἡρακλῆς, ὡς ὁ λόγος (ἵνα σε λόγιον ὄντα καί τινος ἀναμνήσω τῶν σῶν)· ἀλλ' οὐκ ἂν τοσοῦτος ἦν, εἰ μὴ τὸν Ἰόλαον εἶχε συναγωνιζόμενον, καὶ κατὰ τῆς Ὕδρας μάλιστα, τοῦ πικροῦ τούτου καὶ πολυκεφάλου θηρίου, ἧς ὁ μὲν ἐξέτεμνε τὰς κεφαλάς, ὁ δὲ ἐπέκαιεν, ὥσπερ τὰ τῆς κακίας ὑμεῖς. Πολλοὺς παρήλαυνον οἱ Ἀκτορίωνες ἅρμασιν[α], ὡς Ὁμήρῳ δοκεῖ· δίδυμοι γὰρ ἦσαν καὶ τὰ σώματα καὶ τὴν τέχνην, ὁ μὲν τὰς ἡνίας, ὁ δὲ τὴν μάστιγα μεριζόμενοι καὶ τὸ νικᾶν ἀλλήλοις συνερανίζοντες. Πολλοὺς διασῴζει κυβερνήτης πλωτῆρας, ἀλλ' οὐκ ἂν ὁμοίως διέσωζε μὴ καλῷ πρωρεῖ βοηθούμενος, ὃς καὶ διαθρεῖ τοὺς ἀνέμους καὶ τὰς ὑφάλους προδείκνυσι καὶ γίνεται τῆς νηὸς οἱόν τις ὀφθαλμός. Τοιοῦτον ἡμῖν καὶ τὸ ὑμέτερον. Λαμπρὸν γὰρ ὄντα τὸν ἄρχοντα καὶ παρ' ἑαυτοῦ, λαμπρότερον αὐτὸς ἐργάζῃ τῇ συνεργίᾳ· ὃν πολλὰ ἐπαινοῦντες τοῦτο θαυμάζομεν μάλιστα ὅτι τοσαύτην τοῖς δημοσίοις εὔνοιαν σῴζοντες χώραν δίδοτε τοῖς φιλικοῖς, οὐ τραχύτητι τρόπου τὸ ἀκριβὲς ἐνδεικνύμενοι, κατὰ τοὺς πολλοὺς τῶν ἀμέτρων, ἡμερότητι δὲ μᾶλλον τὸ τῆς ἀρχῆς αὐστηρὸν τιθασσεύοντες.

α. Πρβλ. Ἰλιάδ. Ψ 638-641.

157
⟨ΘΕΟΔΩΡΩ⟩

115 Τὰ μὲν πνευματικὰ πέρας ἔχει· οὐκέτι προσθήσω διοχλεῖν ὑμῖν. Συνίοιτε, φράσσοισθε, βουλεύοισθε καθ' ἡμῶν. Νικάτωσαν οἱ μισοῦντες ἡμᾶς· φυλαττέσθωσαν ἀκριβῶς οἱ κανόνες, ἀφ' ἡμῶν ἀρ-**[265]**ξάμενοι τῶν ἀμαθεστάτων. Οὐδεὶς ἀκριβείας φθόνος· τὰ φιλικὰ δὲ μὴ κεκωλύσθω. Οἱ τοῦ τιμιωτάτου υἱοῦ Νικοβούλου παῖδες ἥκασιν εἰς τὴν πόλιν ταχυγραφεῖν μαθησόμενοι· τούτους τά τε ἄλλα καὶ οἰκείως ἰδεῖν καὶ πατρικῶς θέλησον (οὐ γὰρ καὶ τοῦτο κωλύουσιν οἱ κανόνες), καὶ ὅπως ἂν γειτονῶσι τῇ Ἐκκλησίᾳ φρόντισον. Βούλομαι γὰρ αὐτοὺς καὶ τὸ ἦθος τυποῦσθαι πρὸς ἀρετήν, τῇ σῇ τελειότητι συνεχῶς ἐντυγχάνοντας.

158
ΕΥΛΑΛΙΩ

Οὐδὲν ἰσχυρότερον ἀληθείας[1], ὡς τῷ Ἔσδρᾳ κἀμοὶ δοκεῖ· ἡ γὰρ παρθένος Ἀλυπιανὴ κατὰ πᾶσαν ἀκρίβειαν λόγον ἀπαιτουμένη παρ' ἡμῶν, ὡς προσέταξας, τοῦ οἰκείου φρονήματος, ἐπαρρησιάσατο καθαρῶς τὴν ἀλήθειαν, παρθενίαν ὁμολογοῦσα καὶ ταύτης ἐχομένη θερμότερον μὲν ἢ ὡς προσεδοκῶμεν, εὐσταθέστερον δὲ ἢ θερμότερον, λέγω ζήλῳ μὲν παρθενικῷ, πολλαῖς[2] δὲ ταῖς ἀποκρίσεσι. Καὶ τὸ τραχὺ τῆς ἐρωτήσεως ἡμῶν τῷ τέλει χρηστὸν ἐφάνη· τὸ γὰρ στερρὸν τῆς γνώμης μᾶλλον διέδειξε. Ταῦτ' οὖν εἰδώς, ὑπερεύχου τε τῆς παιδὸς καὶ ἣν ἔλαβεν ἀρχὴν τῆς σωτηρίας γεώργησον, εἰς δόξαν Θεοῦ τε καὶ ἡμῶν καὶ παντὸς τοῦ τῶν εὐλαβῶν συντάγματος.

159
⟨ΘΕΟΔΩΡΩ⟩

116 Αἷμα μὲν ἐμόν, θρέμμα δὲ ὑμέτερον, κτῆμα δὲ Θεῷ τῶν τιμίων προσάγω τῇ σῇ εὐλαβείᾳ τὴν αἰδεσιμωτάτην θυγατέρα ἡμῶν Ἀμαζονίαν τὴν **[268]** παρθένον· ἧς καὶ τὸ πιστὸν αἰδούμενος καὶ τῇ ἀρρωστίᾳ τοῦ σώματος βοηθῶν καὶ διὰ τοῦτο ἐν πᾶσι χεῖρά τε ὀρέγων καὶ κηδόμενος, πρᾶγμα ποιήσεις ἐλευθέριον καὶ τῆς σῆς εὐλαβείας ἄξιον, προσθήσω δέ, καὶ τῆς ἡμετέρας φιλίας.

---

1. Πρβλ. Α' Ἔσδρ. 4,35. 2. Πρβλ. Σ. Σολ. 4,9.

160
ΤΩ ΑΥΤΩ

Σὺ καὶ ἡμεῖς διὰ τοῦτο βουλόμεθα τὰ δίκαια γενέσθαι τῇ θυγατρὶ ἡμῶν Εὐγενίᾳ παρὰ τῆς σῆς εὐλαβείας καὶ μὴ περιιδεῖν αὐτὴν ἀδικουμένην ὑπὸ τῶν αὐτῆς κληρονόμων· ἀδικηθείη δ' ἄν, ὡς ἐμοὶ φαίνεται, εἴ τινος στερηθείη τῶν τῇ ἐγγόνῃ παρὰ τῆς τήθης καταλειφθέντων, ἣν καὶ ἀνεθρέψατο κατὰ πᾶσαν ἐπιμέλειαν· καὶ ἀπέλιπεν ἐπ' ὀλίγοις ἀντὶ πολλῶν ὧν ὑπισχνεῖτό τε καὶ ἤλπιζεν.

161
ΤΩ ΑΥΤΩ

Ἃ δίκαια ᾤμην, ἐπέσταλκα. Εἰ δὲ ἄλλο τι καὶ μὴ ταῦτα παρέστη (πείθομαι γὰρ ὡς ὀρθῶς παρέστη) καὶ τοῦτο δεξόμεθα. Ἡ ἀδικοῖμεν ἂν καὶ παρανο**117**μοῖμεν εἰς αὐτὴν τὴν εὐσέβειαν, ὡς μὲν τὰ δίκαια κρίνοντι τοὺς προσιόντας ἡμῖν προσάγοντες, οἷς δ' ἂν δικάσῃς μηκέτι ἐμμένοντες· ὃ τοῖς πολλοῖς ποιεῖν σύνηθες τῶν λίαν ἀθλίων καὶ ἀπαιδεύτων.

162
ΤΩ ΑΥΤΩ

Ἃ παρὰ τῶν κυρίων μου τῶν τιμιωτάτων ἐπισκόπων ἐπέσταλται πρὸς τὴν σὴν εὐλάβειαν, ταῦτα καὶ παρ' ἡμῶν ἐπεστάλθαι νομίσας, δός, παρακαλῶ, χεῖρα ταῖς ἐλευθέραις καὶ μὴ περιίδῃς αὐτὰς τυραννουμένας καὶ περιωθουμένας ὑπὸ τῆς τοῦ ἀνδρὸς δυναστείας, καθ' οὗ προεληλύθασιν, ἀλλ' ἐπικούρησον τὰ εἰκότα, εἰ μὲν οἶδας ἃ πάσχουσι δι' ἃ πάσχουσιν· εἰ δ' ἀγνοεῖς, ὅτι καὶ τοῦτο πάσχουσι τῷ σοι μὴ γινώσκεσθαι τὴν ἀδικίαν μηδὲ πιστεύεσθαι. Εἰ δέ τις οἴεται περιερ**[269]**γοτέρους εἶναι ἡμᾶς, ὡς οὐδὲν προσήκουσαν δίκην οἰκειουμένους, πειθέτω τοῦτο, καὶ στέρξομεν. Νῦν δὲ δέδοικα μὴ οὐχ οὕτως ἔχει· μάλιστα μὲν γὰρ οὐδὲ μεμέρισται τὰ Χριστοῦ καὶ Χριστὸς οὐδὲ ὅρους ἔχει φιλανθρωπία. Εἰ δὲ καὶ μεμερίσθαι θείη τις, δύο τοὺς ἐν τῷ πράγματι βαρουμένους γινώσκω, τήν τε σὴν εὐλάβειαν καὶ ἡμᾶς, εἰ παροφθείη τὸ δίκαιον. Ὑπὸ γὰρ τὴν ἀμφοτέρων οἰκονομίαν οἱ κρινόμενοι. Καὶ δέος μὴ παρασυρῇ λόγων πιθανότητι τὸ ἀληθές. Διὰ τοῦτο καὶ συνδίκαζε καὶ προδίκαζε καὶ ὑπερμάχει τῆς ἀσθενείας ἡμῶν, μή πως εἰς ἀνάγκην καταστῶμεν, καίπερ οὕτω τοῦ σώματος ἔχοντος, θερμότερον τῇ ἀληθείᾳ συναγωνίζεσθαι μετὰ τοῦ Θεοῦ καὶ τῆς τῶν σῶν εὐχῶν συνεργίας.

163
ΤΩ ΑΥΤΩ

118 Ὁ Θεὸς χαρίσαιτό σε ταῖς Ἐκκλησίαις, εἰς δόξαν τε ἡμῶν καὶ πολλῶν ὄφελος, οὕτως ὄντα περιεσκεμμένον καὶ ἀσφαλῆ τὰ πνευματικά, ὥστε καὶ ἡμᾶς ποιεῖν ἀφελεστέρους, τοὺς πλέον ἔχειν τι τῷ χρόνῳ νομιζομένους. Ἐπειδὴ τοίνυν ἠθέλησας κοινωνοὺς ἡμᾶς λαβεῖν πνευματικοῦ σκέμματος (λέγω δὴ τοῦ ὅρκου ἕνεκεν, ὃν Γεώργιος ὁ Πασπασινὸς ἄνθρωπος ὁμωμοκὼς φαίνεται) τό γε παραστὰν ἡμῖν τῇ σῇ εὐλαβείᾳ δηλώσομεν. Παίζουσιν ἑαυτοὺς οἱ πολλοί, κατὰ τὸν ἐμὸν λόγον, τοὺς μὲν κατὰ τῶν ἀρῶν προκειμένους ὅρκους ὅρκους νομίζοντες, τοὺς ἐγγράφους δὲ δίχα τῶν ῥημάτων ἀφοσίωσιν, ἀλλ' οὐχ ὅρκον ὑπολαμβάνοντες. Πῶς γὰρ τὸ μὲν τῶν χρεῶν χειρόγραφον δεσμεῖ πλέον τῆς ἁπλῆς ὁμολογίας, τὸν δὲ ἐγγεγραμμένον ὅρκον, ἄλλο τι ἢ ὅρκον ὑποληψό**[272]**μεθα; Καί, συντόμως εἰπεῖν, ὅρκος ἡμῖν ἐστιν ἡ τοῦ ἐπερωτήσαντος καὶ πεισθέντος πληροφορία. Οὐ μὴν οὐδὲ τὸ βεβιᾶσθαι φάσκειν ἱκανὸν εἰς παραίτησιν (ἡ βία γὰρ ἦν ὁ νόμος ὃν ἔδεισεν), οὐδὲ τῷ δικαστηρίῳ ὕστερον ὑπερέχειν· αὐτὸ γὰρ τὸ δικάσασθαι, παρορκίας. Τοῦτο καὶ τὸν ἀδελφὸν Γεώργιον ἐπείσαμεν μὴ «προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις»[1], μηδὲ λόγους ἀνευρίσκειν συνηγόρους τοῦ πλημμελήματος, ἀλλ' ὅρκον εἰδέναι τὸν ἐγγεγραμμένον καὶ ὑποκλαίειν τῷ Θεῷ καὶ τῇ σῇ εὐλαβείᾳ περὶ τῆς ἁμαρτίας, εἰ καὶ πρότερον ἄλλως ὑπελάμβανεν, ἑαυτὸν ἀπατῶν. Ταῦτα οὖν αὐτοί τε διελέχθημεν τῷ ἀνδρί· καὶ σὺ δῆλον ὅτι διαλεχθεὶς ἐπιμελέστερον, ἐπὶ πλέον αὐτὸς κατανύξεις, ὡς μέγας τῶν ψυχῶν θεραπευτὴς καὶ τῷ κανόνι φαρμακεύσας αὐτὸν ἐφ' ὅσον ἂν δοκῇ χρόνον, οὕτως ἐποίσεις τὴν φιλανθρωπίαν τοῦ χρόνου· τοῦ χρόνου δὲ μέτρον, τὸ μέτρον τῆς κατανύξεως.

ΤΙΜΟΘΕΩ

119 Ἀεὶ καλὸς ἐγὼ τῶν καλῶν θηρευτὴς (ἵνα τι καὶ νεανιεύσωμαι), ὃς καὶ τὴν σὴν λογιότητα κρυπτομένην καὶ τὸ λανθάνειν φιλοσοφοῦσαν ἀνεῦρόν τε λόγοις ἰχνευτικοῖς καὶ τοῖς ἄλλοις ἐγνώρισα· καί, ἵν' εἴπω τι τῶν ἡμετέρων, τὸ ὑπὸ τῷ μοδίῳ[2] φῶς ἐπὶ τῆς λυχνίας ἐδημοσίευσα. Ἵνα γὰρ ἐάσω τἆλλα τῶν σῶν καλῶν, τὴν παίδευσιν, τὴν εὐσέβειαν, τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον (ἃ πάντα ἑνὸς γενέσθαι τῶν λίαν ἐστὶ χαλεπῶν), ἰδοὺ τό γε παρὸν πηλίκον· καὶ μνημονεύεις ἡμῶν καὶ δεξιοῦσαι τοῖς γράμμασι καὶ προστίθης ἐπαίνους,

1. Ψαλ. 140,4. 2. Πρβλ. Ματθ. 5,15.

οὐχ ἵν' ἐπαινέσῃς (συνίημι γάρ σου τῆς φιλοσοφίας), ἀλλ' ἵνα κρείττους ποιήσῃς καὶ προαγάγῃς εἰς τὸ ἔμπροσθεν, αἰσχυνομένους μὴ τοιούτους φαίνεσθαι οἵους ὑπολαμβάνεις. Τὰ μὲν οὖν ἡμέτερα **[273]** πέρας ἔχει. Ὑπεχωρήσαμεν τῷ φθόνῳ, φιλοσοφοῦμεν ἐφ' ἡσυχίας τῷ Θεῷ, καθ' ἡμᾶς αὐτοὺς συγγινόμεθα ταῖς εὐχαῖς, τῶν ἐν μέσῳ κλόνων καὶ θορύβων ἠλευθερώμεθα. Σὺ δὲ ἡμῖν ἀνδρίζου καὶ κραταιοῦ[1] καὶ ὑπεραγωνίζου τῆς Τριάδος εἰς δύναμιν. Καὶ ὁ πραὺς ἔστω μαχητής[2], ὃ καὶ ἡμᾶς ἑώρας ποιοῦντας· οὐ γὰρ βούλομαι κέρκωπας μὲν εὐδοκιμεῖν, ἠρεμεῖν δὲ λέοντας. Καὶ ἡμῶν ὑπερεύχου σφόδρα καμνόντων, ἵν' εἰρηνικῆς τύχωμεν τῆς ἐξόδου, ἤδη πρὸς τοῦτο νεύοντες

165
ΣΤΑΓΕΙΡΙΩ

Πυνθάνομαί σε πρὸς τὸ πάθος ἀφιλοσόφως ἔχειν καὶ οὐκ ἐπήνεσα· δεῖ γὰρ τἀληθῆ γράφειν, ἄλλως τε καὶ πρὸς ἄνδρα φίλον καὶ καλοκἀγαθίας μεταποιούμενον. Ἔχω γὰρ οὕτω περὶ τούτων, ὥς γε ἐμαυτὸν πείθω, καὶ λίαν ὀρθῶς **120** οὔτε τὸ λίαν ἀπαθὲς ἐπαινῶ, οὔτε τὸ ἄγαν περιπαθές· τὸ μὲν γὰρ ἀπάνθρωπον, τὸ δὲ ἀφιλόσοφον. Ἀλλὰ δεῖ τὴν μέσην βαδίζοντα, τῶν μὲν ἄγαν ἀσχέτων φιλοσοφώτερον φαίνεσθαι, τῶν δὲ φιλοσοφούντων ἀμέτρως ἀνθρωπικώτερον. Καὶ εἰ μὲν πρὸς ἄλλον τινὰ ἐπέστελλον, ἴσως ἄν μοι καὶ μακροτέρων ἐδέησε λόγων, καὶ τὰ μὲν συμπαθεῖν ἔδει, τὰ δὲ παραινέσαι, τὰ δὲ ἴσως ἐπιτιμῆσαι· τό τε γὰρ συναλγεῖν ἱκανὸν εἰς παραμυθίαν καὶ δεῖται τὸ ἀρρωστοῦν τῆς ἐκ τοῦ ὑγιαίνοντος θεραπείας. Ἐπεὶ δὲ πρὸς ἄνδρα πεπαιδευμένον ποιοῦμαι τοὺς λόγους, ἀρκεῖ τοσοῦτον εἰπεῖν· Γενοῦ σεαυτοῦ καὶ τῶν βίβλων αἷς καθωμίλησας, ἐν αἷς πολλοὶ μὲν βίοι, πολλοὶ δὲ τρόποι, πολλαὶ δὲ ἡδοναὶ καὶ λειότητες, πολλαὶ δέ, ὡς τὸ εἰκός, συμφοραὶ καὶ τραχύτητες. Πλέκει γὰρ ταῦτα δι' ἀλλήλων ὁ Θεός, ἐμοὶ δοκεῖν, ἵνα μήτε τὸ λυποῦν ἀθεράπευτον ᾖ, μήτε τὸ εὐφραῖνον ἀπαιδαγώγητον καὶ ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωροῦντες πρὸς αὐτὸν μόνον βλέπωμεν. Ταῦτα οὖν ὥσπερ κανόνα καὶ γνώμονα προσάγομεν τῷ σῷ πάθει. Καὶ εἰ μὲν ἐπαινούμενόν τινα ἔγνως τῶν λίαν ὑποπεσόντων τοῖς ἀλγεινοῖς ἤ τι τῷ ἀλγεῖν κατορθώσαντα, χρῷ τῷ λυποῦντι καὶ τοῦ πένθους ἀπόλαυε (οὐδεὶς φθόνος συμφορᾶς **[276]** θρηνουμένης)· εἰ δὲ κακιζόμενον καὶ ψεγόμενον, ἡ μὲν παροιμία φησίν· Ὁ τρώσας ἰάσεται[α], νῦν δὲ καλῶς ἔχει λέγειν· «Ὁ τετρωμένος». Ἡμῖν δὲ καὶ ἄλλως αἰσχρὸν καὶ παρὰ τὸν

---

1. Πρβλ. Ψαλ. 30,25. 2. Πρβλ. Λουκ. 22,36.
α. Leutsch, Paroemiographi graeci II p. 762-763.

ἡμέτερον νόμον μιμεῖσθαι τοὺς πολλοὺς ἐν τοῖς τοιούτοις· ἐπειδὴ καὶ τῶν παρόντων ἡμᾶς ὑψηλοτέρους ὁ λόγος ποιεῖ καὶ πείθει ταῦτα μὲν παρατρέχειν ὡς σκιὰς[1α] καὶ αἰνίγματα[2] καὶ μήτε τὸ λυποῦν μήτε τὸ εὐφραῖνον νομίζειν ἀλήθειαν, ζῆν δὲ ἀλλαχοῦ κἀκεῖσε ὁρᾶν καὶ μόνον μὲν λυπηρὸν εἰδέναι κακίαν, μόνον δὲ ἡδὺ τὴν ἀρετὴν καὶ τὴν πρὸς Θεὸν οἰκείωσινβ. Ταῦτα κατέπαδε σεαυτοῦ καὶ ῥᾴων ἔσῃ· μᾶλλον δὲ οἶδ' ὅτι κατέπῃσάς τε ἤδη καὶ κατεπάσεις, κἂν αὐτοὶ μὴ γράφωμεν.

166
ΤΩ ΑΥΤΩ

121 Ἔχω τι τῆς ἐπιστολῆς, ὦ θαυμάσιε, ὄφελος, καὶ οὐ μικρὸν ἴσως, ὡς δεινὸς τῶν τοιούτων θεραπευτής. Ἐξέκρουσέ σοι τὴν λύπην ἡ ἐπιτίμησις καὶ τοῦ πάθους τὸ ἐρυθριᾶν ἀντεισῆλθε καὶ πρὸς ἀντίρρησιν διανίστασαι μάλα σοφιστικῶς καὶ γενναίως. Καί μοι δοκεῖς, καθάπερ οἱ Ἀχιλλέως ἵπποιγ παρ' Ὁμήρῳ, τὴν κεφαλὴν διάρας καὶ τὴν κόνιν ἀποσεισάμενος (ἐπειδὴ τοῦ ἀποπενθεῖν Πάτροκλον καιρὸς ἦν), αὖθις πεδίων ἐπιθυμεῖν καὶ ὅπλων καὶ ἐπιδείξεων· οὕτω σοι τὸ γράμμα τὸ πρὸς ἡμᾶς λαμπρὸν καὶ φιλότιμον καί τι καὶ πληκτικόν, εἴ τι ἐγώ σου συνίημι. Ἀνδρίζου μόνον καὶ φιλοσόφει κατὰ τοῦ πάθους, καὶ ἡμεῖς δεξόμεθα μὴ μέγα εἶναι τὸ ἀπὸ γῆς κρίνειν τοὺς πλέοντας καὶ μεῖζον εἶναι τὸ ἀγωνίζεσθαι ἢ ἀλείφειν πρὸς συμφοράς, εἰ μή τις ἐκεῖνο λέγοι, ὅτι οὔτε σοι τοῦ ἀγωνίζεσθαι ἢ ἀνάγεσθαι ἀνάγκη τις ἦν (εἴπερ κρεῖττόν τι φιλοσοφία τῶν ἐν οἷς ἐστι νῦν), ἡμῖν τε πρὸς πολλὰ καὶ πολλάκις καὶ ὅλον, οἶμαι, τὸν βίον ἡ παράτα[277]ξις· ἐν οἷς εἰ μὴ λίαν ἀμαθῶς μηδὲ ἀνάνδρως ἀλείφομεν ἢ ἀγωνιζόμεθα, πολλοὶ δοκιμάζουσιν.

167
ΕΛΛΑΔΙΩ

Ἰδού σοι καὶ ὑπόμνημα τῆς ἡμετέρας φιλίας, ὁ γλυκύτατος υἱὸς ἡμῶν Νικόβουλος, τὸ πρῶτον ἡμῖν τῶν ἐν τῷ γένει σπουδαζομένων· ὃν χαριῇ μὲν ἡμῖν καὶ διδασκάλων συστήσας τοῖς σπουδαιοτέροις· χαριῇ δὲ πλέον καὶ τὸ ἦθος **122** πρὸς ἀρετὴν ῥυθμίσας. Ἔσται δὲ τοῦτο, εἰ προτραπείη συχνὰ πλησιάζειν σοι καὶ τὸ μέγιστον, εἰ γινώσκοι μὴ παρορώμενος· ἐπεὶ καὶ ὀφθαλμὸς παιδευτοῦ σιωπῶσα

---

1. Πρβλ. Κολ. 2,17. Ἑβρ. 8,5. 2. Πρβλ. Α' Κορ. 13,12.
α. Πρβλ. Πλάτωνος, Πολιτ. Ζ 515c. β. Πρβλ. Πλάτωνος, Πολιτ. Ι 613b. γ. Ἰλιάδ. Ρ 456-457.

διδασκαλία. Χρεωστεῖς δὲ ἡμῖν, εἰ μὴ φορτικὸν εἰπεῖν, καὶ τὰ πνευματικά, ὡς ἀρχιερεὺς ἀρχιερεῦσι, καὶ τὰ λογικά, ὡς λόγιος φιλολόγοις.

168
ΦΩΤΙΩ

Πάντα ὅσα ἔχεις ἐμά ἐστι[1] (Θεοῦ γὰρ φωνὴν ποιήσομαι τὸ προοίμιον), ἐμὰ δὲ λέγω οὐ κατὰ τὴν κοινωνίαν μόνην τοῦ πνεύματος, ἀλλ' ὅτι καὶ τῇ παρούσῃ καταστάσει τῆς Ἐκκλησίας ἴσως οὐκ ὀλίγην μοῖραν συνεισηνέγκαμεν, ἕως ἦμεν ἔτι ἐν τοῖς πράγμασι καὶ τοῦ κοινοῦ προειστήκειμεν. Νῦν γὰρ ἓν φροντίζεται μόνον ἡμῖν, ἡ ἐκδημία, πρὸς ἣν συστελλόμεθα καὶ συσκευαζόμεθα. Ἔστω δὴ καὶ τὰ ἐμὰ σά, τῇ ἀγάπῃ κοινοποιούμενα· κάλλιστον δὲ τῶν ἐμῶν ὁ τιμιώτατος ἀδελφὸς καὶ συμπρεσβύτερος ἡμῶν Σακερδώς, δι' οὗ σε καὶ προσφθεγγόμεθα καὶ ὁρᾶν νομίζομεν.

169
ΣΤΡΑΤΗΓΙΩ

Ὡ πόσον ἀλλήλων διετειχίσθημεν, οὕτω τοῦ Θεοῦ τὰ ἡμέτερα φέροντος. Ὡ τῆς ἱερᾶς ἑστίας καὶ συ**[280]**ζυγίας καὶ τοῦ κοινοῦ λιμένος πάντων τῶν φοβουμένων τὸν Κύριον. Ἄλλοι τῶν ἡμετέρων καλῶν ἀπολαύουσιν· ἐμοὶ δὲ ὑπελείφθη μόνη ἡ μνήμη καὶ τὸ ζηλοτυπεῖν τοὺς μετέχοντας. Ἵνα δὲ καὶ αὐτὸς τῶν ἡμετέρων μετέχῃς καλῶν, γνωρίζω σοι τὸν τιμιώτατον ἀδελφὸν καὶ συμπρεσβύτερον ἡμῶν Σακερδῶτα, ὃν οἶδα ὅτι θεασάμενος ἐρεῖς· «Ὄντως καλοῦ παντὸς ἐραστὴς ὁ Γρηγόριος».

170
ΠΑΛΛΑΔΙΩ

123 Τὸ πολλάκις θαρρεῖν ἐπιστέλλειν οὐ τῆς ἡμετέρας θρασύτητος, ἀλλὰ τῆς σῆς ἡμερότητος· οὐδεὶς γὰρ κόρος ἡμῖν τοῦ διὰ γραμμάτων ὑμῖν ὁμιλεῖν, ἐπειδή γε ἄλλως οὐκ ἔχομεν, οὕτως οἰκονομήσαντος τοῦ Θεοῦ τὰ ἡμέτερα. Τῷ δὲ τιμιωτάτῳ υἱῷ ἡμῶν καὶ συμπρεσβυτέρῳ Σακερδῶτι (ὃν διαφερόντως ἠγαπήσαμέν τε καὶ ἀγαπῶμεν γνησίως φιλοσοφοῦντα καὶ τῷ Θεῷ διὰ τῆς πολιτείας ἑνούμενον), ὁρμήσαντι τῶν οἰκείων ἕνεκεν ἐπὶ τὴν μεγάλην διὰ σὲ πόλιν, οὐκ οἶδα τί ἂν ἐχαρισάμεθα μεῖζον ἢ τῇ σῇ καλοκἀγαθίᾳ γνωρίσαντες.

---

1. Πρβλ. Ἰω. 16,15. Λουκ. 15,31.

171
ΑΜΦΙΛΟΧΙΩ

Μόλις ποτὲ τῶν ἐκ τῆς ἀρρωστίας ἀνανεύσαντες πόνων, ἐπὶ σὲ τὸν τῆς ἰάσεως πρόξενον δεδραμήκαμεν· γλῶσσα[1] γὰρ ἱερέως φιλοσοφοῦσα τὸν Κύριον ἀνεγείρει τοὺς κάμνοντας. Ποίει τοίνυν τὸ κρεῖττον ἱερουργῶν καὶ λῦε τῶν ἡμαρτημένων[2] τὸ μέγεθος, τῆς ἀναστασίμου θυσίας ἁπτόμενος. Ἐμοὶ γὰρ καὶ ἐγρηγορότι καὶ καθεύδοντι μέλει τὰ κατὰ σὲ καί μοι γέγονας πλῆκτρον ἀγαθόν, καὶ λύραν ἐναρμόνιον ταῖς ἡμετέραις ψυχαῖς εἰσῴκησας., ἀφ' ὧν μυριάκις γράφων πρὸς ἐπίγνωσιν[3] τὰς ἡμετέρας ψυχὰς ἐξήσκησας. Ἀλλ', ὦ θεοσεβέστατε, μὴ κατόκνει καὶ προσεύχεσθαι καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν[4], ὅταν λόγῳ καθέλκῃς τὸν Λόγον, **[281]** ὅταν ἀναιμάκτῳ τομῇ σῶμα καὶ αἷμα τέμνῃς δεσποτικόν, φωνὴν ἔχων τὸ ξίφος.

172
ΕΛΛΑΔΙΩ

124 Ἤσθην τοῖς γράμμασι· πῶς δὲ οὐκ ἔμελλον τῷ μνήμην εἶναί σοι καὶ τεθνηκότων; Προσόντων δὲ καὶ τῶν συμβόλων τῆς ἑορτῆς, πλείων ἡ χάρις. Ἀλλὰ πρόσθες οἷς δίδως, ἅπερ αἰτεῖς. Προσεύχου δὲ περὶ ἡμῶν, εἰ μὲν συμφέρει, πάλιν ἡμᾶς ὑπομνησθῆναι καὶ ὑπομνῆσαι τῆς ἑορτῆς· εἰ δὲ μή, πρὸς τὰ ἐκεῖσε μετατεθῆναι καὶ τὴν ἀληθινὴν ἑορτὴν ἢ λαβεῖν ἢ ἰδεῖν ἔνθα «εὐφραινομένων πάντων ἡ κατοικία»[5]. Τῶν γὰρ τοῦ βίου στροφῶν κεκορέσμεθα.

173
ΠΟΣΤΟΥΜΙΑΝΩ

Ὑψηλὸς εἶ τὴν παίδευσιν καὶ ταύτην ὁποτέραν βούλει καὶ εἰς ὅ τι βούλει τῶν λόγων εἶδος. Τῆς μὲν γὰρ κλέος οἷον ἀκούομεν (οὐ γὰρ Ῥωμαϊκός τις ἐγὼ τὴν γλῶσσαν, οὐδὲ τὰ Ἰταλῶν δεινός), τῆς δὲ πεπειράμεθα ὥστε καὶ ἄλλοις γνωρίζειν ἔχειν, εἴ τι καὶ ἡμῖν μέτεστι τοῦ τὰ τοιαῦτα κρίνειν· μετεῖναι δὲ οὐκ ὀλίγοι φασίν. Ἦρθης ἀρχαῖς οὐκ ὀλίγαις· μᾶλλον δὲ ἦρας οὐκ ὀλίγας, εἰ δεῖ τὸν ἀληθέστερον εἰπεῖν λόγον. Ἦλθες ἐπὶ τὸ ἀκρότατον τῆς **[284]** ἐξουσίας, οὐ τύχης δῶρον, ὡς ἂν πολλοὶ φαῖεν, ἀλλ' ἀρετῆς ἆθλον ταύτην δεξάμε-

---

1. Πρβλ. Ψαλ. 34,28. 70,24. 2. Πρβλ. Ψαλ. 50,3. Ἰώβ 42,9. Ἡσ. 40,2. 58,6. Σ. Σολ. 18,2. 3. Πρβλ. Ρωμ. 10,2 ἑξ. 4. Πρβλ. Ρωμ. 8,27,34. Β' Κορ. 5,20. 5. Ψαλ. 86,7.

νος, ἵνα καὶ αὐτὴ γένηται σεμνοτέρα καὶ βασιλεὺς ἐπαινεθῇ τῆς ἐπὶ σοὶ κρίσεως. Ἔτι καὶ ταῦτα μικρά, προσθήσω δέ τι καὶ τῶν ἡμετέρων· προετελέσθης πρότερον τὴν εὐσέβειαν, εἶθ' ὑπεδέξω. Μέμνημαι γὰρ τῶν σῶν λόγων καὶ τὸ θαῦμα ἔνηχον ἔτι ταῖς ἐμαῖς ἀκοαῖς. Εἰ τούτοις προσθείης τὸ καὶ μεμνῆσθαι τῶν φίλων (προσθήσεις δὲ οἶδ' ὅτι, τοῖς παρελθοῦσι τοῦτο τεκμαίρομαι), μᾶλλόν σε θαυμασόμεθα. **125** Οὗτος τῆς ἀνθρωπίνης ὅρος εὐδαιμονίας, εἴτ' οὖν μακαριότητος. Τὸ δὲ πρόσθε Γαδείρων μὴ πειρατὸν εἶναι ἀνθρώποις[α], Πινδάρῳ φιλοσοφοῦντι πιστεύομεν. Ἐπεὶ δὲ μεγάλων τυχών, μεγάλων καὶ ὑπόχρεως εἶ καί σε πεποίηκεν ἡμέτερον πρότερον, εἶτα ἐπέστησεν ἡμῖν εὖ ποιῶν ὁ Θεὸς καὶ ἅμα τῶν ἀτόπων ἄνδρα τοσοῦτον μὴ τὰ μέγιστα ἀπαιτεῖν, ἐκεῖνο δέξαι με παραινοῦντα. Μηδὲν οὕτω νόμιζε τῇ σῇ πρέπειν ἀρχῇ (ἐπειδὴ πάλιν σύνοδος ἐπισκόπων, οὐκ οἶδα δι' ὅ τι καὶ ὅπως συναγομένων), ὡς τὸ ἐπὶ σοῦ καὶ διὰ σοῦ εἰρηνεύεσθαι τὰς Ἐκκλησίας, κἂν δέῃ σφοδρότερον ἐπιτιμῆσαι τοῖς στασιάζουσιν. Εἰ δὲ τῷ δοκῶ περιττὸς εἶναι, τῶν μὲν πραγμάτων ἀναχωρήσας, τὴν δὲ φροντίδα μὴ καταλύσας, τοῦτο σὺ μὴ θαυμάσῃς. Οὐ γὰρ ὥσπερ τῶν θρόνων καὶ τῆς ὀφρύος τοῖς βουλομένοις, οὕτω καὶ τῆς εὐσεβείας παρεχωρήσαμεν· ἀλλὰ νῦν ἀξιόπιστοι καὶ πλέον, ὡς οἶμαι καὶ σοὶ δοκεῖν, ὡς οὐδὲν ἴδιον, ἀλλὰ τὸ κοινὸν θεραπεύοντες.

174
ΕΥΔΟΞΙΩ

Νικῶ σε τοῖς φιλικοῖς· ἐπιστέλλω γὰρ πρότερος, **[285]** ὡς ὁρᾷς. Καὶ οὐδ' ἂν ἐκαλλωπισάμην, εὖ ἴσθι (οὐ γὰρ ἐμόν), εἰ μὴ μέγα ἐποιούμην τὴν σὴν φιλίαν, μηδὲ τῶν ἀναγκαίων ἐδόκει μοι, ὥσπερ ὕσπληγι πῶλον, διεγεῖραί σε πρὸς τὸ γράφειν. Μάλιστα δ' ἂν πρὸς τοῦτο παροξυνθείης, εἰ ἐκεῖνο ἐνθυμηθείης, τίς ὢν καὶ τίνι καὶ τὸ τίνος, ἃ γράφω, γράφω, καὶ ὅτι πρέπει τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας τῆς πατρικῆς, οὕτω δὴ καὶ τῆς φιλίας κληρονομεῖν. Πρὸς δέ, ἐκεῖνο λογίζεσθαι καλῶς ἔχει, ὅτι σοὶ μὲν ἀκμὴ φιλοσοφεῖν, ἡμεῖς δὲ φιλοσόφων πατέρες καὶ δεῖ ἐπιδείκνυσθαι ἡμῖν τὴν ἀρετήν, ὥσπερ τῶν ἀθλητῶν οἱ γενναῖοι τοῖς παιδοτρίβαις. Εἴπω τι καὶ μεῖζον τῶν εἰρημένων; Οὐ μικρὰ ἡμῖν φιλοσοφίας ὅμηρα παρὰ σοί· αἷμα ἡμέτερον ἐκπαιδεύεις καὶ αἷμα τῶν **126** ἐγγυτάτων. Οἶδας οὓς λέγω, τοὺς τοῦ γνησιωτάτου καὶ τιμιωτάτου υἱοῦ ἡμῶν Νικοβούλου παῖδας. Τούτοις ὅ τι ἂν συμπράττῃς, ἡμῶν μνημονεύειν οἴου, οἳ οὐδενὸς ἄλλου φαυλότεροι, εἴ τι δεῖ τοῖς λέγουσι πιστεύειν, κρίνειν τε λόγους καὶ σπουδὴν δοκιμάζειν καὶ διδασκάλους δεξιοὺς ὑψηλοτέρους ποιεῖν τοῖς ἐπαίνοις.

α. Πρβλ. Πινδάρου, Δ', Νεμ. 69.

175
ΤΩ ΑΥΤΩ

Πάλιν πρὸς σὲ Νικόβουλος ὁ ἐμός· καὶ πάλιν ἐγὼ περιττός, μάλα σε σπεύδοντα καὶ αὐτὸν ὀτρύνων. Ἐπειδὴ φύσεως μὲν ἔχει δεξιᾶς ὁ νέος (εἰ μή με ἀπατᾷ τὸ βούλεσθαι), ὃ δὲ τοῖς εὐφυέσιν ὡς τὰ πολλὰ συνέζευκται, ῥᾳθυμότερός πώς ἐστι καὶ κέντρων δεόμενος, τὴν παρὰ σεαυτοῦ σπουδὴν ἀντεισένεγκε. Καὶ ἵνα τι τῶν ὑμετέρων εἴπω, τὸν μυθικὸν τέττιγα[α] μιμησάμενος καὶ ἀντὶ τῆς ῥαγείσης νευρᾶς Εὐνόμῳ τῷ σῷ γενόμενος, ἀναπλήρωσον τὴν ᾠδήν. Οὕτω μοι δοκεῖς ἐνευδοκιμήσειν τῷ νέῳ καὶ ἡμῖν χαριεῖσθαι τὰ μέ[288]γιστα, οἳ μὴ πολλά σου καὶ τῆς σῆς λογιότητος ἔμπροσθεν ἄγομεν.

176
ΤΩ ΑΥΤΩ

Τί φῶμεν πεπονθέναι σε πρὸς ἡμᾶς, ὦ θαυμάσιε; Τίς ἡ τοῦ μὴ γράφειν αἰτία; Οὔτε ὑπεροψίαν ἐγκαλέσομεν, οὔτε ἀργίαν, οὔτε τὸ μὴ ἔχειν ὅ τι γράψεις· οὐ πρὸς σοῦ τὸ ταῦτα παθεῖν. Ἦ που τῶν ἰάμβων ἡμῖν μνησικακεῖς, ὧν ὁ **127** κακῶς ἀπολούμενος Οὐαλεντῖνος προσέπτυσε καὶ ταῦτά σου θέλοντος. Οὐ γὰρ ἦν ῥήτορος ἀνδρὸς καὶ δεινοῦ ἄνδρ' ἐπαμύνασθαι, ὁπότε τις πρότερον ἰαμβοποιεῖν τοιαῦτα κατετόλμησεν. Ἀλλ', Ἀ χ ι λ ε ῦ, δ ά μ α σ ο ν θ υ μ ὸ ν μ έ γ α ν[β]... καὶ κίνησον αὖθις ἡμῖν τὴν γραφίδα, τὴν σὴν μελίαν· μὴ δόξῃς, μικρὰ πεπονθώς, ἁπαντᾶν εἰς μείζω, τὸν ἐπισκοπικὸν τρόπον. Ἵππευε, θήρα, βάδιζε ὡς ἂν ἐθέλῃς, ἐμοῦ γε εἵνεκα, οὔτε τι γράψομεν ἔτι, οὔτε προσπαίξομεν. Καὶ ταῦτα ἱκανῶς, τοσούτου τιμώμεθα τὴν σὴν φιλίαν. Ἡ μὲν οὖν παιδιὰ τοσαύτη καὶ ἐπὶ τοσοῦτον. Ὁ δὲ οὐκέτι παιζόντων ἐστίν, ἀλλὰ καὶ λίαν σπουδαζόντων, τὸν γλυκύτατον υἱὸν ἡμῶν Νικόβουλον αὖθις ἐγχειρίζομέν σοι. Καὶ δέχοιο παρ' ἡμῶν τοῦτον ὡς παρ' ἡμῶν, τὸ μὲν ῥητορικὸν ἔργον τῷ πατρὶ χαριούμενος, τὸ δὲ σοφιστικὸν ἡμῖν. Οἶδα γὰρ ὅτι θελήσαντί σοι τὸ πρᾶγμα ἐπίδρομον. Τοῖς δὲ θαυμασίοις σοφισταῖς τὴν ὀφρὺν μόνον ἀφήσεις καὶ τὸ περὶ τοῦ πλείονος μάχεσθαι.

α. Πρβλ. Στράβωνος, Γεωγραφικὰ VI 1,9. Κλήμ. Ἀλεξ., Προτρ. Α' 1,2. ΒΕΠΕΣ 7,17,10. β. Ἰλιάδ. Ι, 496.

177
ΤΩ ΑΥΤΩ

Πῶς σοι τὰ τῆς ἀρετῆς ἔχει; καὶ εἰ κατὰ Θεόν τι προεληλύθαμεν; ὃ παντός σοι μᾶλλον ἁρμόζειν **[289]** ὑπολαμβάνομεν. Ταῦτα γὰρ ἡμῖν φίλον καὶ ἀνερωτᾶν καὶ ἀκούειν. Τὰ δὲ ἄλλα χαίρειν ἐάσωμεν, ὅπως ἂν ἔχῃ. Καίτοι κἂν εἰ βουλοίμεθα καὶ ταῦτα δεξιῶς ἔχειν, δι' ἓν τοῦτο βουλοίμεθ' ἄν, ἵνα ἔχῃς ὧν ὑπερεῖδες καὶ πλείω φιλοσοφῇς ἐπὶ μείζοσι. Ταῦτα καὶ προσείρησο παρ' ἡμῶν, καὶ τῷ καλῷ Νικοβούλῳ γενοῦ τοιοῦτος οἷον ἐλπίζομεν. Ἐὰν δὲ καὶ πλέον αἰτῶμεν, τὴν ἁπλη-στίαν ἡμῶν, ὡς φιλότιμος, κόρεσον.

178
ΤΩ ΑΥΤΩ

128 Νόμος ἦν Ἀθήνησι παλαιός, ὡς δ' ἐγώ φημι, καὶ κάλλιστα ἔχων, ἐπειδὰν φθάσαιεν εἰς ἥβην οἱ νέοι, πρὸς τέχνας ἄγεσθαι, ἄγεσθαι δὲ τοῦτον τὸν τρόπον· προτίθεσθαι δημοσίᾳ τέχνης ἑκάστης ὄργανα καὶ προσάγεσθαι τούτοις τοὺς νέους· ὅτῳ δὲ τύχοι χαίρων ἕκαστος καὶ προστρέχων, τούτου καὶ τὴν τέχνην διδάσκεσθαι· ὡς τοῦ μὲν κατὰ φύσιν ἐπιτυγχάνοντος ὡς τὰ πολλά, τοῦ δὲ παρὰ φύσιν διαμαρτάνοντος. Τί μοι βούλεται τὸ διήγημα; Καί σέ φημι χρῆναι, πρὸς φιλοσοφίαν γὰρ ἔχεις ἐπιτηδείως, ταύτης μὴ ἀμελεῖν μηδὲ πρὸς ἄλλο τι μᾶλλον ὠθίζεσθαι τῶν οὐκ οἰκείων ἢ ταύτης περιέχεσθαι πρὸς ἣν νένευκας, οὐχ ὅτι ἀρίστη μόνον ἐστίν, ἀλλ' ὅτι καὶ προσφυεστέρα. Τὸ δὲ μὴ βιάζεσθαι ῥοῦν ποταμοῦ[1], καὶ ἡ παροιμία κελεύει, καὶ ἱπποσύνην δεδαῶτα μὴ ἄδεινα[α] ἐθέλει ἡ ποίησις· μή τι γένηται; μὴ καὶ τῆς ἱπποσύνης διαμάρτῃς καὶ τῆς ᾠδῆς.

[292] Ἀλλὰ τίς ἡ ἐπιτηδειότης; Ὡς γοῦν ἐμοὶ θεωρήσαντι κατεφάνη, πρῶτον μὲν ὁ τρόπος καὶ τὸ τοῦ ἤθους γαληνόν τε καὶ ἄτεχνον καὶ πρὸς τὰς τοῦ βίου στροφὰς ταύτας ἀνεπιτήδειον· ἔπειτα τὸ τῆς ψυχῆς εὐφυὲς καὶ ὑψίνουν καὶ πρὸς θεωρίαν εὐκίνητον· τρίτον ἡ νοσοκομία καὶ τὸ τοῦ σώματος ἀσθενές, ἐπειδὴ καὶ τοῦτο οὐ μικρὸν εἰς φιλοσοφίαν εἶναι δοκεῖ τῷ Πλάτωνιβ. Καὶ μὴν καὶ ἡλικίας οὕτως ἔχεις ὡς ἤδη τὰ πάθη κλίνεσθαι· καὶ τῇ πενίᾳ οὐ κάμπτεσθαί μοι δοκεῖς μᾶλλον ἢ καλλωπίζεσθαι· τό τε αἰσχύνεσθαι εἰδέναι, οὐ κατὰ ῥήτορας. Ἀλλ' οὐδὲ φωνὴ μιαρά σοι, οὐδὲ γέγονας κακός, οὐδὲ ἀγοραῖος εἶ, οὐδέ τι τῶν τοιούτων ἔχεις, ἵν' εἴπω συντόμως, οἷς πλάττει

---

1. Πρβλ. Σ. Σειρ. 4,26.
α. Anth. Palatinata IX, 537. β. Πρβλ. Πλάτωνος, Φαίδων 66b-68b.

τὸν Ἀγοράκριτον[α] εἰς δημαγωγίαν Ἀριστοφάνης· ἀλλὰ ῥήτωρ καλούμενος, πάντα πρότερον ἢ κατὰ τὸ ἦθος τελεῖς εἰς ῥήτορας. Μὴ τοίνυν θελήσῃς προέσθαι τῆς φιλοσοφίας ὅσον προείληφας, μηδὲ τὰ **129** δεύτερα ἔχειν ἐν τοῖς δευτέροις μᾶλλον ἢ τὰ πρῶτα ἐν τοῖς μεγίστοις· εἰ δὲ καὶ τὰ πρῶτα τῶν ἐνταῦθα δοίημεν, μὴ ἀνάσχῃ ἀριστεύειν ἐν κολοιοῖς, ἀετὸς εἶναι δυνάμενος.

Μέχρι τίνος φυσώμεθα τοῖς μικροῖς καὶ χαμαὶ ἐρχομένοις, καὶ παίζομεν ἐν μειρακίσκοις καὶ πλάσμασι καὶ ὑπὸ τῶν κρότων αἱρόμεθα; Μεταβῶμεν ἐντεῦθεν, ἄνδρες γενώμεθα, ῥίψωμεν τὰ ὀνείρατα, παραδράμωμεν τὰς σκιάς[β], ἄλλοις παρῶμεν τὰ τερπνὰ τοῦ βίου καὶ πλέον ὀδυνηρά. Ἄλλους πεττευέτω καὶ μεταρριπτείτω καὶ παιζέτω φθόνος καὶ χρόνος καὶ τύχη, ὃ δή φασι τῶν ἀνθρωπίνων τὸ ἄστατον καὶ ἀνώμαλον, ἐρρέτωσαν θρόνοι, δυναστεῖαι, πλοῦτοι, λαμπρότητες, ἐπάρματα, πτώματα, τὸ εὐτελὲς τοῦτο δοξάριον καὶ ἀπόπτυστον ᾧ **[293]** μᾶλλον ἀδοξήσειεν ἄν τις αἱρόμενος ἢ γελώμενος τὰ τῆς μεγάλης ταύτης σκηνῆς παίγνιά τε καὶ θεατρίσματα. Ἡμεῖς δὲ τοῦ λόγου περιδραξώμεθα καὶ Θεὸν ἀντὶ πάντων ἔχειν ἑλώμεθα, τὸ μόνον διαρκὲς ἀγαθὸν καὶ ἡμέτερον, ἵν' ἡμῖν καὶ τὸ ἐνταῦθα εὐδοκιμεῖν γένηται, τοῖς ἔτι μικροῖς καὶ τοῦτο ζητοῦσιν, ἢ τὸ ἐκεῖθεν πάντως, ἐπειδὴ τῆς ἀρετῆς ἆθλον Θεὸν γενέσθαι[1] καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι τῷ ἐν τῇ τρισσῇ μονάδι θεωρουμένῳ, ἧς νῦν μετρίως ἔχομεν τὰς αὐγάς. Πρὸς ταῦτα ἴθι, πρόβαινε, πτεροῦ τῇ διανοίᾳ, λαβοῦ τῆς αἰωνίου ζωῆς, μηδαμοῦ στῇς τῶν ἐλπίδων, ἕως οὗ ἔλθῃς ἐπὶ τὸ ἄκρονγ ἐφετὸν καὶ μακάριον· καὶ ἡμᾶς ἐπαινέσεις, εὖ οἶδα, νῦν μὲν ὀλίγα, μικρῷ δὲ ὕστερον ἀφθονώτερα, ἐπειδὰν ἴδῃς σεαυτὸν ἐν οἷς ὑπισχνούμεθα καὶ μὴ κενὴν μακαρίαν ταῦτα εὑρίσκῃς μηδὲ διανοίας ἀναπλασμούς, ἀλλὰ πραγμάτων ἀλήθειαν.

179
ΤΩ ΑΥΤΩ

Τί φῄς; πείθομέν σε τοῖς λόγοις τούτοις καὶ μεταθήσῃ τὴν παίδευσιν καὶ μεθ' ἡμῶν ταχθήσῃ τῶν ποτε κατὰ σέ, νῦν δέ, εἰ δίδως εἰπεῖν, ὑπὲρ σέ; ἢ δεῖ σοῦ κατεπάδειν μακρότερα; Μηδαμῶς, ὦ θαυμάσιε, μὴ τοῦτ' ἀναμείνῃς. Αἰσχρὸν **130** γὰρ τὸ πλεῖον ἔχοντα, τὸ πᾶν ἐλλείπειν. Εἰ γὰρ ἡ ἀρχὴ τὸ ἥμισυ τοῦ παντὸς[δ] γίνεται, τοῦ ἡμίσεος τὸ πλέον τί ἄλλο γε ἢ τὸ πᾶν; Εἰ μὲν οὖν ἀρκοῦντες ἡμεῖς εἰς παραίνεσιν, ἔχει ταῦτα καλῶς καὶ μηδὲν πλέον ἐπιζητείσθω. Εἰ δὲ

---

1. Πρβλ. Ἰω. 10,34.

α. Πρβλ. Ἀριστοφ., Ἵππης V 140-229. β. Πρβλ. Πλάτωνος, Πολιτ. Z 515a. γ. Πρβλ. Πλάτωνος, Φαιδρ. 247a. δ. Πρβλ. Leutsch — Schneidwin, Paroemiographi graeci I, p. 213. Diogenianus II, 97.

δεῖ σοι καὶ κρείττονος συμβούλου, μετὰ βουλῆς μὲν οἰνοποτεῖν Σολομών σοι διακελεύεται[1], ἵνα μή τῇ βίου μέθῃ καὶ δίνῃ περιτραπῇς, ἐγὼ δέ τί φημι μικρὸν τῆς συμβουλῆς παρατρέψας· μετὰ Θεοῦ βουλεύου καὶ οὐ διαμαρτήσεις τοῦ δέοντος.

180
ΤΩ ΑΥΤΩ

[296] Πατρὸς εἶς ἀγαθοῖο, φίλον τέκος[α], οἷα πυνθάνομαι περὶ σοῦ. Μόνον ἐπαίρου καὶ «κατευοδοῦ καὶ βασίλευε»[2]· καὶ ἡμεῖς εὐθυμήσομεν, κἂν μήπω τὴν φιλοσοφίαν ὁμολογῇς. Οὐ γὰρ οἷς λέγεις προσέχομεν μᾶλλον ἢ οἷς ποιεῖς· ἐπειδὴ καὶ αὐτὸ τὸ μὴ ὁμολογεῖν τὴν φιλοσοφίαν σφόδρα φιλόσοφον. Ὅ περὶ τοῦ Λυσίου τοῦ ῥήτορός φησιν ὁ κριτικὸς Διονύσιος[β], ὅτι τὸ ἄτεχνον αὐτοῦ λίαν ἔντεχνον ἦν.

181
ΣΑΤΟΥΡΝΙΝΩ

Εἰ καὶ τὸ τῆς ἀρχῆς ὕψος ἀπρόσιτον, ἀλλὰ φιλάνθρωπον ἡ φιλία, δι' ἣν ἐθαρρήσαμεν ταύτην σοι προσαγαγεῖν τὴν παράκλησιν. Πᾶσιν οἷς εὖ πεποίηκας **131** ἡμᾶς καὶ τοῦτο πρόσθες· τὸν λογιώτατον υἱὸν ἡμῶν Εὐδόξιον, ἄνδρα καὶ βίῳ καὶ λόγῳ τῆς σῆς ἀρετῆς ἄξιον καὶ τἄλλα ἡδέως ἰδεῖν καταξίωσον καὶ τῆς παρὰ σεαυτοῦ προστασίας ἀξιῶσαι περὶ ὧν δέηται τῆς σῆς καλοκἀγαθίας. Ἡμεῖς δὲ ἀντιδώσομεν τὰς εὐχάς, ᾧ μόνῳ δυνατὸν ἡμῖν τοὺς εὐεργέτας ἀμείβεσθαι.

182
ΓΡΗΓΟΡΙΩ

«Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη»[3]· καὶ τὸ κεφάλαιον τῶν κακῶν ἐν πολέμῳ καὶ στάσει τὰ ἡμέτερα καὶ ἣν παρελάβομεν παρὰ τῶν ἁγίων Πατέρων εἰρήνην οὐκ ἐτηρήσαμεν. Ταύτην μὲν οὖν οἶδ' ὅτι αὐτὸς ἀποκαταστήσεις ἐν τῇ δυνάμει τοῦ σέ τε καὶ τὰ σὰ φέροντος Πνεύματος. Ἡμῶν δὲ μηδεὶς καταψευδέσθω, παρακαλῶ, μηδὲ τῶν κυρίων τῶν ἐπισκόπων, ὅτι ἀκόντων ἡμῶν ἄλλον ἐπεκήρυξαν ἡμῖν ἐπίσκοπον· οὐ γὰρ τοσοῦτον αὐτοῖς ἀπερρίμ-**[297]**

---

1. Πρβλ. Σ. Σειρ. 31,27. 2. Ψαλ. 44,5. 3. Ψαλ. 119,5.
α. Ἰλιάδ. Φ 109. Ὀδυσσ. φ 335. β. Διονυσίου Ἁλικαρνασέως, Λυσίας 8.

μεθα, οὐδὲ οὕτως ἔχουσι πρὸς ἡμᾶς ἀπεχθῶς. Ἀλλὰ πολλὰ δεηθεὶς διὰ τὴν ἐμαυτοῦ νέκρωσιν, καὶ ἅμα τὸ βάρος φοβηθεὶς τῆς Ἐκκλησίας ἀμελουμένης, ταύτην ἤτησα παρ' αὐτῶν χάριν, οὔτε κανόσιν ἐναντιουμένην καὶ ἡμᾶς ἀναψύχουσαν, δοθῆναι τῇ Ἐκκλησίᾳ ποιμένα, ὃς καὶ δέδοται ταῖς σαῖς εὐχαῖς, ἄξιος τῆς ὑμετέρας θεοσεβείας· ὃν καὶ εἰς χεῖράς σου τίθημι, τὸν αἰδεσιμώτατον Εὐλάλιον λέγω, τὸν θεοφιλέστατον ἐπίσκοπον, οὗ καὶ ταῖς χερσὶν ἐναποψύξαιμι. Εἰ δέ τις οἴεται μὴ χρῆναι ζῶντος ἐπισκόπου ἄλλον χειροτονεῖν, ἴστω μηδ' ἐνταῦθα κρατῶν ἡμῶν· πᾶσι γὰρ δῆλον ὅτι μὴ Ναζιανζοῦ, Σασίμων δὲ προεβλήθημεν, εἰ καὶ πρὸς ὀλίγον, αἰδοῖ τοῦ πατρὸς καὶ τῶν ἱκετευσάντων, ὡς ξένοι τὴν προστασίαν κατεδεξάμεθα.

183
ΘΕΟΔΩΡΩ

132 Ἔσχε τι καὶ παρ' ἡμῖν ὁ φθόνος, ὃν οὐδεὶς ῥᾳδίως διέφυγεν. Ἰδοὺ καὶ Καππαδόκαι στασιάζομεν, ἵν' οὕτως εἴπω, — τὸ μὴ πρότερον ἀκουσθὲν μηδὲ πιστευθὲν κακόν, «ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ»[1]· — ἀλλ' εἰδῶμεν, ἅπαντες ὄντες ἄνθρωποι καὶ μὴ προχείρως ἑτέρων καταγινώσκωμεν. Ἀλλ' ἐμοί τι κέρδος καὶ παρὰ τῆς συμφορᾶς (εἰ δεῖ παραδόξως εἰπεῖν) καὶ ὄντως ῥόδα ἐξ ἀκανθῶν, ὡς ἡ παροιμία, συλλέγομεν. Ἐγὼ γοῦν οὔπω πρότερον οὔτε κατ' ὄψιν συντετυχηκὼς τῇ σῇ εὐλαβείᾳ, οὔτε διὰ γραμμάτων ὡμιληκώς, ἀλλὰ τῇ περὶ σοῦ φήμῃ μόνῃ καταυγαζόμενος νῦν καὶ εἰς ἀνάγκην ἦλθον τῆς διὰ τῶν γραμμάτων **[300]** ἐντεύξεως καὶ χάρις πολλὴ τῷ τοῦτο χαρισαμένῳ. Τὸ μὲν οὖν τοῖς ἄλλοις ἐπισκόποις περὶ ὧν ἐπέστειλας γράφειν, οὔπω γὰρ τούτου καιρός, παραλείψομεν καὶ ἅμα ἡ ἀρρωστία ὀκνηροτέρους ἡμᾶς πρὸς τοῦτο καθίστησιν· ἃ δέ σοι γράφομεν, κἀκείνοις διὰ σοῦ γράφομεν. Παυσάσθω περιεργαζόμενος τὰ παρ' ἡμῖν ὁ κύριός μου καὶ θεοφιλέστατος Ἑλλάδιος ὁ ἐπίσκοπος· οὐ πνευματικῇ γάρ, ἀλλὰ ἐριστικῇ ταῦτα ζητεῖ περιόδῳ οὐδὲ ἀκριβείᾳ κανόνων, ἀλλ' ὀργῆς ἐκπληρώσει, ὡς δῆλόν ἐστιν ἐκ τοῦ καιροῦ καὶ πολλῶν τῶν σὺν τούτῳ κεκινημένων ἔξω τοῦ λόγου· χρὴ γὰρ οὕτω λέγειν καὶ μὴ λυπεῖν. Ἐγὼ γὰρ εἰ μὲν τοῦ σώματος οὕτως εἶχον ὡς Ἐκκλησίας δύνασθαι προστατεῖν Ναζιανζοῦ, ἦ τὴν ἀρχὴν ἐπεκηρύχθην ἀλλὰ μὴ Σασίμοις, ὥς τινες ὑμᾶς πείθουσιν οὐκ ὀρθῶς, οὐχ οὕτως ἤμην ἄθλιος οὐδὲ τῶν θείων διατάξεων ἀμαθὴς ὡς ἢ τῆς Ἐκκλησίας ὑπεριδεῖν ἢ τὴν τοῦ βίου ῥᾳστώνην μεταδιώκειν, πρὸ τῶν ἀποκειμένων μισθῶν τοῖς κάμνουσι κατὰ Θεὸν καὶ τὸ πιστευθὲν τάλαντον[2] ἀπεργαζομένοις. Τί

---

1. Α' Κορ. 1,29. 2. Πρβλ. Ματθ. 25,15.

γάρ μοι τῶν πολλῶν πόνων ὄφελος καὶ τῶν μεγάλων ἐλπίδων, περὶ τῶν μεγίστων βουλευσαμένῳ κακῶς; Ἐπειδὴ δὲ καὶ τὸ σῶμα κακῶς ἔχει μοι, ὃ πᾶσι δῆλόν ἐστι, καὶ βάρος οὐδὲν ἐκ τῆς ὑποχωρήσεως ἔδεισα ταύτης δι' ἣν εἶπον αἰτίαν· καὶ τὴν Ἐκκλησίαν ἐώρων ἐχομένην ἡμῶν, βλαπτομένην δὲ περὶ τὰ καίρια καὶ λελυμένην σχεδὸν ἐκ τῆς ἐμῆς λύσεως, ἐδεήθην καὶ πρότερον καὶ νῦν τῶν κυρίων **133** μου καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων, τῶν πατριωτῶν λέγω, δοῦναι τῇ Ἐκκλησίᾳ κεφαλήν, ἣν σὺν Θεῷ δεδώκασιν, ἀξίαν καὶ τῆς ἐμῆς ἐπιθυμίας καὶ τῶν ὑμετέρων εὐχῶν. Ταῦτ' οὖν αὐτὸς γίνωσκε, κύριε τιμιώτατε, καὶ τοὺς λοιποὺς ἐπισκόπους ἀναδίδαξον καὶ ἀποδέχεσθαι καὶ συνεπιψηφίζειν καὶ μὴ βαρεῖν τὸ ἡμέτερον γῆρας ταῖς διαβολαῖς πειθομένους.

Προσκείσθω δὲ κἀκεῖνο τοῖς **[301]** γράμμασι· τὸν κύριόν μου τὸν θεοφιλέστατον συλλειτουργὸν Βοσπόριον, εἰ μὲν ἡ παρ' ὑμῶν ἐξέτασις εὑρίσκει περὶ τὴν πίστιν κακόν, ὃ μηδὲ λέγειν ἐστὶ θεμιτὸν (ἐῶ γὰρ τὸν μακρὸν χρόνον καὶ τὴν μαρτυρίαν τὴν ἡμετέραν), αὐτοὶ τοῦτο κρίνατε. Εἰ δὲ ἡ τῶν παροικιῶν ζήτησις τὴν κακοδοξίαν δημιουργεῖ καὶ νέον τὸ ἔγκλημα, μὴ ταῖς διαβολαῖς παρασύρεσθε, μηδὲ ἰσχυροτέρας τῆς ἀληθείας ποιεῖσθε, παρακαλῶ, μὴ πολλοὺς εἰς ἀθυμίαν καταστήσητε τῶν εὖ πράττειν προῃρημένων.

Ἐρρωμένος, εὔθυμος, προκόπτων κατὰ Θεὸν χαρισθείης ἡμῖν καὶ τῇ Ἐκκλησίᾳ, τὸ κοινὸν σεμνολόγημα.

184
ΑΜΦΙΛΟΧΙΩ

«Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου»[1] καὶ μὴ ἀπαξιώσῃς πατρὸς εὐχήν· ἱκανῶς γὰρ τὸ γῆρας ἡμῶν ἀνέπαυσας καὶ γενόμενος μέχρι Παρνασσοῦ, καθὼς προεκλήθης καὶ τὴν ἐπενεχθεῖσαν τῷ τιμιωτάτῳ καὶ θεοφιλεστάτῳ ἐπισκόπῳ συκοφαντίαν ἐλέγξας· ἐπειδὴ φιλοῦσιν οἱ πονηροὶ τὰς ἑαυτῶν αἰτίας περιτρέπειν εἰς τοὺς ἐλέγχοντας. Ἰσχυρότερος μὲν γὰρ πάσης κατηγορίας ὁ χρόνος τοῦ ἀνδρὸς καὶ ὁ βίος καὶ ἡμεῖς οἱ πολλάκις τὰ αὐτὰ καὶ ἀκούσαντες παρ' αὐτοῦ καὶ διδάξαντες, οἵ τε ἐκ τῆς πλάνης ἐπαναχθέντες καὶ προστεθέντες τῷ κοινῷ σώματι τῆς Ἐκκλησίας· ἐδεῖτο δὲ ὅμως πονηρὸς ὁ καιρὸς ὢν καὶ ἀκριβεστέρας ἀποδείξεως διὰ τοὺς ἐπηρεαστὰς καὶ κακοήθεις, ἣν αὐτὸς ἡμῖν ἐχαρίσω, μᾶλλον δὲ καὶ τοῖς κουφοτέροις καὶ ῥᾳδίως ὑπὸ τῶν τοιούτων ἀπατωμένοις. Ταῦτα δὲ εἰ θελήσειας καὶ μακροτέραν ὁδὸν ὑποστὰς διὰ σεαυτοῦ μαρτυρῆσαι καὶ διαιτήσεις τοῖς ἀμφισβητουμένοις μετὰ τῶν λοιπῶν

1. Ψαλ. 19,6.

ἐπισκόπων, ἔργον ποιήσεις πνευματικὸν καὶ τῆς σῆς τελειότητος ἄξιον. Τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πάντες προσαγορεύομεν.

185

ΝΕΚΤΑΡΙΩ

134 Ὅταν ἄλλος ἄλλο τι τῶν σῶν ἐπαινῇ καὶ πάντες ὡς ἐν ἀγορᾷ προβάλλωνται **[304]** τὴν σὴν εὐφημίαν, ἐγὼ τὰ κατ' ἐμαυτὸν συνεισφέρω, καὶ οὐδενὸς ἔλαττον, ὅτι καὶ τιμᾶν ἡμᾶς ἀξιοῖς καὶ ὡς τέκνον ἀγαπητὸν πατρὸς γῆρας παραμυθεῖσθαι. Διὰ τοῦτο καὶ νῦν ἐθάρρησα ταύτην προσαγαγεῖν τὴν παράκλησιν ὑπὲρ τοῦ αἰδεσιμωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Βοσπορίου, αἰσχυνόμενος μὲν εἴ γε τοσοῦτος ἀνὴρ τῶν ἡμετέρων δεῖται γραμμάτων, ᾧ καὶ πολιτεία καὶ χρόνος βεβαιοῖ τὸ αἰδέσιμον, αἰσχυνόμενος δὲ οὐχ ἧττον τὸ σιωπᾶν καὶ τὸ μή τινα περὶ αὐτοῦ ποιήσασθαι λόγον, φωνὴν ἔχων καὶ πίστιν τιμῶν καὶ πάντων μάλιστα τὸν ἄνδρα γινώσκων. Τὴν μὲν οὖν περὶ τῶν παροικιῶν ἀμφισβήτησιν δηλαδὴ αὐτὸς διαλύσεις κατὰ τὴν ἐν σοὶ τοῦ Πνεύματος χάριν καὶ τὴν τῶν κανόνων ἀκολουθίαν. Ἐκεῖνο δὲ μὴ ἀνεκτὸν φανήτω τῇ σῇ εὐλαβείᾳ τὸ δημοσίοις δικαστηρίοις στηλιτεύεσθαι τὰ ἡμέτερα. Κἂν γὰρ ὦσι χριστιανοί, ὥσπερ οὖν εἰσι τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ, οἱ τῶν τοιούτων κριταί, τί κοινὸν ξίφει καὶ Πνεύματι; Ἂν δὲ καὶ τοῦτο συγχωρήσωμεν, πῶς ἢ ποῦ δίκαιον τὸν περὶ πίστεως λόγον συμπλέκεσθαι τοῖς ἄλλοις ἀμφισβητήμασι; Σήμερον ἡμῖν κακόδοξος ὁ θεοφιλέστατος ἐπίσκοπος Βοσπόριος; Σήμερον πολιὰ ταλαντεύεται τοῦ τοσούτους μὲν ἐκ τῆς πλάνης ἐπαναγαγόντος, τοσαύτην δὲ ἀπόδειξιν δεδωκότος ὀρθοδοξίας, διδασκάλου δὲ πάντων ἡμῶν; Μή, παρακαλῶ, μὴ δῷς χώραν ταῖς τοιαύταις συκοφαντίαις· ἀλλ' εἰ μὲν δυνατόν, εἰρήνευσον τὰ διεστῶτα καὶ προστεθήτω τοῦτο τοῖς σοῖς ἐπαίνοις· εἰ δὲ μή, τοῦτό γε μὴ δέξῃ καθυβρίζεσθαι πάντας ἡμᾶς διὰ τῆς τοιαύτης ἐπηρείας, οἷς καὶ συνεβίωσε καὶ συνεγήρασεν, οὓς οἶδας ἀκριβεῖς τῆς Θεότητος κήρυκας καὶ μετὰ **[305]** κινδύνων καὶ ἀκινδύνως καὶ μηδὲν ὑφαιρεῖν ἀνεχομένους τῆς μιᾶς καὶ ἀπροσίτου Θεότητος. Καὶ ὑπὲρ ἡμῶν προσεύχου, παρακαλῶ, σφόδρα καμνόντων τῇ ἀρρωστίᾳ. Τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πάντες προσαγορεύουσιν. Ἐρρωμένος, εὔθυμος, εὐδόκιμος ἐν Κυρίῳ χαρισθείης ἡμῖν καὶ ταῖς Ἐκκλησίαις τὸ κοινὸν στήριγμα.

186
ΤΩ ΑΥΤΩ

135 Τί ἂν ἐποίησας, εἰ παρὼν αὐτὸς εἶχον πράγματα; ἢ δῆλον ὅτι πᾶσαν ἂν ἔθου σπουδὴν ἐλευθερῶσαί με τῆς ἐπηρείας, εἴπερ τι δεῖ τοῖς προλαβοῦσι τεκμαίρεσθαι. Τοῦτο καὶ νῦν ἡμῖν χάρισαι διὰ τῆς κοσμιωτάτης ἀνεψιᾶς ἡμῶν αὐτῆς προσπιπτούσης σοι δι' ἡμῶν, αἰδεσθεὶς μὲν τὴν ἡλικίαν τῆς ἱκέτιδος, αἰδεσθεὶς δὲ τὸν τρόπον καὶ τὴν εὐλάβειαν οὐ κατὰ πολλὰς οὖσαν γυναῖκας, αἰδεσθεὶς δὲ πρὸς τοῖς ἄλλοις καὶ τὴν ἀπραγμοσύνην τῆς γυναικὸς καὶ τὸ παρὰ τῶν οἰκείων νῦν ἔχειν πράγματα, πρὸ πάντων δὲ τὴν ἡμετέραν παράκλησιν. Ἡ μείζων δὲ χάρις, τὸ τάχος τῆς εὐεργεσίας ἣν ἀπαιτοῦμεν. Τὸ μὲν γὰρ φιλάνθρωπον τῇ χήρᾳ καὶ ὁ ἄδικος ἐν τῷ Εὐαγγελίῳ κριτὴς ἐχαρίσατο[1], ἀλλὰ μετὰ πολλὴν ἱκεσίαν καὶ προσεδρείαν. Παρ' ὑμῶν δὲ ὑπαρχέτω τὸ τάχος, ἵνα μὴ κάμνῃ μακρὰ ταῖς φροντίσι καὶ ταῖς ἐπὶ τῆς ἀλλοδαπῆς κακοπαθείαις εἰ καὶ τὰ μάλιστα οἶδα σαφῶς, ὅτι οἰκείαν αὐτῇ ποιήσει καὶ τὴν ἀλλοτρίαν ἡ σὴ θεοσέβεια.

187
ΕΥΔΟΞΙΩ

Αἰτιᾷ τὸ μὴ γράφειν, οὐδὲ αὐτὸς ὤν, οἶμαι, τῶν πλεῖστα ἐπεσταλκότων, εἰ μή με ἡ νόσος λῆρον ποιεῖ καὶ ὧν εὖ πέπονθα ἐπιλήσμονα. Καίτοι γε, εἰ μή τι ἄλλο, ὡς ἀποθανοῦσιν ἡμῖν ὁ παρὰ τῶν **[308]** σῶν λόγων ὠφείλετο ἐπιτάφιος, ᾧ τέχνη τὸ λέγειν καὶ γράφειν. Ὁ μὲν οὖν ἔλεγχος τοσοῦτος· οὐδὲ γὰρ δεῖ φιλικῶς ἐγκαλοῦντας ἔξω τῶν τῆς φιλίας ὅρων τοῦτο ποιεῖν. Ἃ δὲ περὶ τοῦ γλυκυτάτου υἱοῦ Νικοβούλου γράφεις, μεγάλα μὲν σφόδρα καὶ θαυμαστὰ καὶ ἱκανὰ **136** συναρπάσαι πατρὸς εὐκολίαν ῥᾳδίως οἷς βούλεται καὶ πιστεύουσαν. Τότε δὲ ἀληθῆ εἶναι δεξόμεθα, ὅταν πεῖραν διδοὺς ἡμῖν ὁ νέος μὴ ἀνάξιος φαίνηται ἢ τῶν σῶν ὑποσχέσεων ἢ τῶν ἡμετέρων ἐλπίδων.

188
ΣΤΑΓΕΙΡΙΩ

Ἀττικὸς σὺ τὴν παίδευσιν; Ἀττικοὶ καὶ ἡμεῖς. Νέων προκαθέζῃ; Πάσης ἡλικίας ἡμεῖς. Τυποῖς πρὸς λόγον; Ἡμεῖς πρὸς ἦθος. Πολλὰ κοινὰ πρὸς ἀλλήλους ἡμῖν· ἓν δὲ ἀντὶ πάντων καὶ πρὸ πάντων,

1. Πρβλ. Λουκ. 18,1-7.

ὁ γλυκύτατος υἱὸς ἡμῶν Νικόβουλος ἐν μέσῳ κείμενος. Ὦ σὺ καλῶς ποιῶν ἐνεπιδείξῃ καὶ τὴν παίδευσιν καὶ τὴν ἡμετέραν φιλίαν, εἴπερ σοι μέλει ταύτης. Οἶμαι δέ· καὶ γὰρ ἀθληταὶ παλαιοὶ νέοις τιμῶνται· καὶ τοσοῦτον ὥστε καὶ τὰ τῆς νίκης ἆθλα προσφέροντες τούτοις εὐγνώμονες εἶναι νομίζονται περὶ νόμους ἀθλήσεως.

189
ΕΥΣΤΟΧΙΩ

Μίμησαί μοι τὸν Ἀλέξανδρον, ὦ θαυμάσιε· καὶ ὥσπερ ἐκεῖνος, ἵν' Ἀθηναίοις ἀρέσῃ[α], φιλοτιμότερος ἦν, διὰ ταῦτά τοι καὶ θέατρον ἀεὶ τῆς ἑαυτοῦ βασιλείας τὰς Ἀθήνας ὠνόμαζεν, οὕτω καὶ σὺ τὸ καθ' ἡμᾶς εἶναί τι νομίσας, εἰ καὶ μηδαμῇ, ἀλλ' ἢ τῶν γε λόγων εἵνεκα καὶ τῶν Ἀθηνῶν αὐτῶν, πρὸς δὲ καὶ τοὺς κοινοὺς πατέρας τῶν λόγων αἰδούμενος, διπλασιάσαι προθυμήθητι τῷ καλῷ Προνοίῳ τὴν περὶ λόγους σπουδήν. Πάντως ὅ τι ἂν εἰσενέγκῃς τῷ νέῳ, ἡμῖν τοῦτο εἰσοίσεις, οἳ καὶ παθεῖν εὖ ἐπιτήδειοι καὶ λόγων ἐπαινέται ἴσως οὐ φαῦλοι· εἰ καὶ κατωτέρω σοφιστικῶν θρόνων καθήμεθα, σ ι ω π ῆ ς **[309]** ἀ κ ί ν δ υ ν ο ν γ έ ρ α ς[β] ἡμῖν αὐτοῖς ἐπιτάξαντες.

190
ΤΩ ΑΥΤΩ

137 Ὦ Ὀ δ υ σ ε ῦ, μ ά λ α π ώ ς μ ε κ α θ ί κ ε ο[γ], σταγειρισμὸν[δ] ὀνειδίζων καὶ κατασοφιστεύων ἡμῶν ἐπιμελέστατα. Καὶ σοῦ τὴν παρρησίαν ἐπαινῶν ἐφ' οἷς γράφεις ἃ γράφεις (κρεῖσσον γὰρ ἐκλαλεῖν τὸ λυποῦν ἢ ἐρήμην αἱρεῖν ἀγνοοῦντας), ἔχω τι καὶ ἐγκαλεῖν. Ὅμως δέ, ἵνα νόμον φυλάξω δικαστικόν, ἀπολογήσομαι πρότερον, εἶτα κατηγορήσω, καὶ ἀμφότερα μετὰ τῆς ἴσης εὐνοίας.

Τῷ καλῷ Σταγειρίῳ προσῆλθεν Νικόβουλος ὁ ἐμός, οὔ τι κ α θ' ἡ μ έ τ ε ρ ό ν γ ε ν ό ο ν[ε], μὴ τοῦθ' ὑπολάβῃς· οὐχ οὕτως ἢ τῶν Ἀθηνῶν ἐπιλήσμων ἐγὼ ἢ τῆς σῆς φιλίας καὶ ἑταιρείας. Ἀλλ' ὥρμησε μὲν παρ' ἑαυτοῦ καὶ τοῦ πατρὸς οὕτω θελήσαντος· παρ' ἐμοῦ δὲ διὰ τῶν γραμμάτων ἐνεχειρίσθη. Τί τοῦτο ἄφιλον ἢ ἀπάνθρωπον;

Ἐπεὶ δὲ τὴν ἀπολογίαν ἔχεις, δέξαι καὶ τὴν κατηγορίαν. Οὐκ ἐπαινῶ σοῦ τοὺς κοροπλάθους καὶ τοὺς Τελχῖνας οἷς βάλλεις τὸν ἀντίτεχνον, **[312]** ἐπειδὴ νενίκηκε τοὺς ὁμοτέχνους ἀντιτέχνους καλεῖν. Μέχρι τίνος γὰρ ταῦτα; Καὶ ποῦ στησόμεθα τῆς σοφιστικῆς

α. Πλουτάρχου, Ἀλεξ. LX, 6. β. Σιμωνίδου, fr. 66 (Bergk.). γ. Ἰλιάδ. Ξ 104. δ. Δημοσθ., Περὶ τοῦ στεφάνου XVIII, 294. ε. Ἰλιάδ. Ι 108.

ἐπηρείας; ἕως ἂν τί γένηται; ἕως ἂν θάνατος ἡμᾶς διακόψῃ τῆς πονηρίας; Ταῦτα γὰρ νέον μὲν ὄντα, φιλοτιμίας ἡττώμενον, κέρδους μεταποιούμενον καὶ τότε μετρίως ποιεῖν, ἔχει τινὰ συγγνώμηνα (μικρὸν γάρ τι δημοσθενίσω σὴν χάριν)· ἐν τούτῳ δὲ τῆς ἡλικίας καὶ οὕτω πράττοντα κυρίττειν τε καὶ κυρίττεσθαι, παντελῶς ἄωρον καὶ φιλόνεικον, οὐ μόνον ὅτι ἀπρεπὲς καὶ παντάπασιν ἀνελεύθερον, ἀλλ' ὅτι καὶ ῥᾳστώνη πολλὴ τοῦ πράγματος. Ὅπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαιςβ, καθάπερ ῥεύματος ἀντιστρέφοντοςγ (πάλιν γὰρ Ὁμήρῳ συγχρήσομαι)· τὸν ξύοντα δ' ἀντιξύεινδ, παντελῶς ἀνεπίφθονον.

138 Τίς οὖν ἡ σοφία, ἐξὸν ἀρετῇ πρωτεύειν, ἡττᾶσθαι κακίᾳ ἢ καὶ νικᾶν, ὃ πολλῷ χεῖρόν ἐστι; ἀλλ' ἐγώ γε καὶ τῶν δικαστῶν τοῦτο μέμφομαι (εἰρήσεται γὰρ τἀληθές)ε, ὅτι ἃ κολάζουσι κρίνοντες, ταῦτα ἐπαινοῦσιν ἀκροώμενοι. Οὐ μόνον δέ, ἀλλὰ καὶ πολλοὺς ἔχουσι τοὺς συνεπαινέτας καὶ τὴν κακίαν ἀνάπτοντας καὶ ταῖς σπουδαῖς ἄχρι τούτου μεμερισμένους· δέον, εἰ μὲν ἀπιστεῖται, μὴ ἐπαινεῖσθαι· εἰ δὲ πιστεύεται, δημοσίᾳ κρίνεσθαι· ἢ οὕτως, εἰ μὲν ψευδῆ, τοὺς κατηγόρους κολάζεσθαι· εἰ δὲ ἀληθῆ, τοὺς καθ' ὧν ὁ λόγος· καὶ μὴ οὕτω μέγιστον πρᾶγμα, τὴν τῶν εὖ γεγονότων ὑπόληψιν οὕτω ῥᾳδίως παίζεσθαι.

Εἴ τι οὖν ἐμοὶ πείθεσθε (πρὸς γὰρ ἀμφοτέρους ὁ λόγος), τοὺς μὲν τοιούτους λόγους καὶ ψόγους χαίρειν ἐάσατε, εἰ μή τι ἄλλο, τὴν πολιὰν αἰδούμενοι ἢ καὶ ἀποκάμνοντες ἐν τοῖς αἰσχίστοις. Αὐτοὶ δὲ βουλεύσασθε τὴν παλαιὰν τιμῆσαι παραίνεσιν τήν, ὅταν τῳ ὁ βίος ἱκανὸς ᾖ, ἀρετὴν ἀσκεῖσθαι κελεύουσανς. Καὶ οὐκ ἐπιβουλεύσετε μὲν ὑμῖν αὐτοῖς, ἐπιβουλεύσετε δὲ ταῖς τῶν νέων ἐλπίσιν, **[313]** οἳ πάντως ἂν τὰ δεινότατα πάθοιεν, εἰ λόγους ἀσκούμενοι κακίαν μάθοιεν, καὶ ταύτην οὐκ ἄμισθον, ὥσπερ οὐκ ἀρετῆς ἀλλὰ ταύτης ἔχοντες ὑμᾶς διδασκάλους.

Εἰ δέ σοι φορτικὸς εἶναι δοκῶ ταῦτα γράφων, ἄμυνέ με τοῖς ἴσοις καὶ αὐτὸς παραινέσας τι τῶν χρησίμων, ἵν' ἢ πειθόμενον ὠφελῇς ἢ ἐγκαλῇς ἀντιτείνοντι.

ΤΩ ΑΥΤΩ

Οἷον ἠγνόησα· ὡς λίαν σκαιὸν καὶ ἀπαίδευτον· ἄνδρα σοφιστὴν ἐνουθέτησα· ὢ τῆς ἀπονοίας· καὶ οὐδὲ ὑπὸ τῆς παροιμίας τῆς ἰδιωτικῆς ἐπαιδεύθην, φαλακρὸς ὢν κατὰ κριοῦ μὴ νυστάζειν ἀντὶ προ-

---

α. Δημοσθ., Κατὰ Μειδίου XXI, 66. β. Ἰλιάδ. Υ, 250. γ. Πρβλ. Ὀδυσσ. ε, 327, 420-421. δ. Σωφρ. V 149. ε. Δημοσθ., Πρὸς τὴν ἐπιστ. XI, 17. Ἰσοκρ. Ἀρεοπαγ. VII, 76. ς. Φωκυλίδου fr. 10. Πλάτωνος, Πολιτ. Γ 407a.

σώπου, μηδὲ σφηκίαν ἐγείρειν κατ' ἐμαυτοῦ, **139** γλῶσσαν πρὸς τὸ κακῶς λέγειν ἑτοιμοτέραν. Τούτῳ μὲν οὖν οὐ πάνυ τι δυσχεραίνω (μετὰ γὰρ πολλῶν προσετέθην, ὥς γε πυνθάνομαι, εἰ δὲ ζώοις, καὶ πρὸ πολλῶν)· ἐκείνῳ δὲ μᾶλλον, ὅτι μὴ ἐπιστεύθην φιλικῶς τοῦτο ποιεῖν. Πλὴν ὑγιαίνοις καὶ σῶμα καὶ ψυχὴν καὶ τὴν γλῶσσαν κατέχοις, εἰ δυνατόν· ἀλλὰ νῦν τό γε ἡμέτερον στέρξομεν.

192
ΣΤΑΓΕΙΡΙΩ

Παρρησιάσομαί τι πρὸς σέ· καὶ γὰρ πέφυκα οὕτω καὶ βούλομαι. Εἰ μὴ μεταδοίης ἡμῖν τὸν Νικό**[316]**βουλον, ἀδικήσεις· φίλῳ τε γὰρ ἐσόμεθα προσκεκρουκότες καὶ παρὰ σοῦ μηδὲν ἔχοντες πλέον. Εἰ δὲ δοίης ὅσον ἐλπίζομεν, εὐγνωμονήσεις καὶ ἀμφότερα ἡμῖν ὡς κάλλιστα ἕξει. Ἐκείνῳ μὲν γὰρ ἀπολογησόμεθα, σὲ δὲ ἐπαινεσόμεθα. Εἰ δὲ δίδως ἡμῖν καὶ παραινέσαι σοι πατρικῶς, ἀλλὰ μὴ τῇ συνηθείᾳ τοῦ ἄρχειν τὴν συμβουλὴν διαπτύσῃς· δέξαι λόγον ἀνδρὸς τὰ τοιαῦτα οὐκ ἀμαθοῦς. Κατάθεσθέ ποτε τὰ ὅπλα καὶ τὰς σφενδόνας καὶ τὰς δεινοτέρας μελίας, τὰς γλώσσας, αἷς ἀλλήλους βάλλετέ τε καὶ τιτρώσκετε καὶ ταῦτα ἐν ἐπαινέταις τοῖς σπουδασταῖς. Καὶ κατάθεσθε τοσούτῳ μᾶλλον, ὅσον προχειρότερον τοῦτο τῶν ὅπλων ἐστίν· ἵνα μὴ κακίας μᾶλλον ἢ ἀρετῆς ἐξηγῆσθε τοῖς νέοις καὶ εἰ μὴ τοῖς λόγοις ἀλλὰ τοῖς πράγμασιν· οἷς γάρ τις χαίρει γινομένοις, ταῦτα καὶ σιωπῶν συμβουλεύει. Ἂν οὕτω ποιῆτε, ὑμᾶς τε αὐτοὺς ὀνήσετε καὶ ἡμᾶς φίλους ἕξετε καὶ οὐ ψεύσεσθε τὰς τῶν πεπιστευκότων ἐλπίδας. Οὗτός σοι τῶν ἐπὶ Νικοβούλῳ πόνων μισθός. Εἰ δὲ πεῖραν τελεωτέραν λάβοιμεν, τελεωτέραν καὶ τούτων ἀντιδώσομεν τὴν εὐφημίαν.

193
ΒΙΤΑΛΙΑΝΩ

140 Αἰσθάνομαί σου τῶν ἐγκλημάτων καὶ σιωπῶντος. «Γάμους εἱστιῶμεν», ἴσως ἐρεῖς, «καὶ ταῦτα τῆς χρυσῆς Ὀλυμπιάδος καὶ σῆς καὶ παρῆν ἐπισκόπων ὅμιλος· σὺ δὲ ἀπῆς ἡμῖν, ὁ γεννάδας, ἢ ἀπαξιώσας ἢ κατοκνήσας». Οὐδέτερον, ὦ θαυμάσιε. Ἀλλ' οὐκ ἦν, οἶμαι, πράττοντα τραγικῶς, πανηγυρίζειν κωμικῶς καὶ ἅμα παντελῶς ἄωρον καὶ οὐ γαμικόν, δύο ποδαλγοὶ περιφερόμενοι καὶ γελώμενοι, μέσοι πηδώντων, — ἵνα τί σοι καὶ προσπαίξωμεν γαμικῶς. Ἐπεὶ τῷ γε βούλεσθαι καὶ πάρειμι καὶ συνεορτάζω καὶ τῶν νέων τὰς δεξιὰς ἀλλήλαις τε ἐμβάλλω καὶ ἀμφοτέρας τῇ τοῦ Θεοῦ. Πρέπει

γάρ, ὥσπερ ἄλλο σοι πᾶν ἀγαθόν, οὕτω δὴ καὶ τὴν συζυγίαν ἐπὶ **[317]** παντὶ βελτίστῳ γενέσθαι καὶ κατὰ τὰς κοινὰς ἡμῶν εὐχάς.

194
ΤΩ ΑΥΤΩ

Ἰδοὺ καὶ δεύτερός σοι γαμβρός· καὶ τὸ γλυκὺ φορτίον ἀποσκευάζῃ, καλῶς γε ποιῶν. Ἀργοὶ δὲ ἡμεῖς, ὡς ἂν αὐτὸς εἴποις· ὡς δὲ ὁ ἀληθὴς λόγος, ἀσθενεῖς οὐκ ἀργοί. Πλὴν καλῶς ἡμῖν ἔχει τὰ ἐκ Θεοῦ. Τῶν μὲν γὰρ θορύβων ἄλλοις παρεχωρήσαμεν, τῆς φιλοσοφίας δὲ ἡμεῖς ἀπολαύσομεν, ἐπειδὰν Θεῷ συσταλῇς καὶ ὅλως τῶν ἄνω γένῃ, μηδενὶ δεσμῷ κατεχόμενος. Καὶ νῦν δὲ τοῖς γάμοις συνεισφέρομεν τὰς εὐχάς, εἰ δεῖ δωροφορεῖν ὑμῖν τὸ κάλλιστον.

195
ΓΡΗΓΟΡΙΩ ΑΡΧΟΝΤΙ

141 Οὐκ ἐπαινῶ τὸν Ἡσίοδον ὅτι τοὺς ὁμοτέχνους ἀντιτέχνους ὠνόμασεν· καὶ κεραμεὺς κεραμεῖ κοτέει (λέγων) καὶ τέκτονι τέκτων[α]. Οὐ γὰρ φθονεῖ μᾶλλον ἢ προστρέχει τε καὶ ἀσπάζεται, ὡς ὁ ἐμὸς λόγος, καὶ ὡς οἰκείου περιέχεται. Ἀοιδὸς δὲ ἀοιδῷ[β] τοσούτῳ πλέον ὅσῳ καὶ λόγος ἐστὶ τούτοις τὸ σπουδαζόμενον. Τοῦτο δὲ καὶ αὐτὸς πεπονθὼς πρὸς τὴν σὴν λογιότητα, εἰ μὲν οὕτως εἶχον τοῦ σώματος, ὥστε ταῖς τῆς ψυχῆς ὁρμαῖς ὑπουργεῖν δύνασθαι, οὐκ ἂν μέν τις ἔφθη καὶ προσδραμὼν καὶ περιπτυξάμενος καὶ τὰ ἐπιβατήρια προσφθεγξάμενος. Ἀλλ' ἡλίῳ μὲν ἐπισκοτεῖ νέφος, ἐμοὶ δὲ καὶ ἡ ἀρρωστία καὶ τὸ φθονερὸν τοῦτο σαρκίον καὶ δεσμωτήριον[γ]. Ἆρα δέξῃ μου τὴν ἐπιστολὴν ἀντὶ τῆς παρουσίας; Ναί, δέξῃ, λόγιός τε ὢν καὶ συγγνώμων, εὖ οἶδα τοῦτο καὶ οὐκ εἰκάζειν ἔχω. **[320]** Καὶ ἵν' εἰδῇς ὅσον θαρρῶ τῇ σῇ καλοκἀγαθίᾳ, ἰδοὺ καὶ πρεσβείαν προσάγω σοι σφόδρα ἡμῖν ἀναγκαίαν καὶ πρὸς τῆς σῆς φιλίας αἰτῶ τὰ τῶν φίλων. Τὸν ἐμὸν Νικόβουλον ἀπὸ τῆς ἐμῆς δεξιᾶς ἐγχειρίζω σοι σὺν τοῖς ἀδελφοῖς οὐ δώσοντα δίκην, ἀλλὰ ληψόμενον, καὶ χήραν ἄωρον τὴν τούτων μητέρα καὶ οἰκίαν ἣν ὅτε λαμπρὰν οὖσαν καὶ ἀπόβλεπτον, ἕως περιῆν ὁ πολὺς ἡμῖν Νικόβουλος, νῦν δὲ οὐδὲ πενθῆσαι συγχωρηθεῖσαν ἐκ τῶν ἤδη ἀναφυέντων κακῶν καὶ προσδοκωμένων, εἰ μή σοί τε παράσταίη καὶ τῇ σῇ δίκῃ στῆναι πρὸς τὸν πονηρὸν δαίμονα καὶ ἡμᾶς τιμῆσαι καὶ τὸ ἀνθρώ-

---

α. Ἡσιόδου, Ἔργα καὶ ἡμέραι 25. β. Ἔνθ' ἀν. 26. γ. Πλάτωνος, Φαίδων 66b-68b.

πινον αἰδεσθῆναι καὶ λαμπρὰν σεαυτῷ ποιῆσαι τὴν ἀρχὴν διὰ τῆς εἰς ἡμᾶς εὐποιΐας.

196

ΕΚΗΒΟΛΙΩ

Βοήσομαί τι κατ' ἐμαυτοῦ· καὶ συγγνώμῃ τῷ ἀλγοῦντι τὰ τοῦ ἀλγοῦντος καὶ φθέγξασθαι. Ὦ σαρκίον πονηρὸν καὶ κακόηθες, οἷά με κακὰ δρᾷς, οἷα ἐργάζῃ· **142** ἐγγὺς ἀνὴρ ὃν καὶ πόρρῳ τυγχάνοντα μεταδιώκειν τῶν ἀναγκαίων, τῆς τε ἀρχικῆς ἀρετῆς εἵνεκα καὶ τῆς ἄλλης ἡμερότητος. Σὺ δὲ πονηρῶς ἔχεις καὶ σχεδὸν ἀκινήτως καὶ περιορᾷς ἄλλους τοῦ ἀγαθοῦ μεταλαμβάνοντας, ἡμᾶς δὲ ζημιουμένους. Τὰ μὲν οὖν τῆς κατηγορίας τοιαῦτα. Ἐπεὶ δὲ οὐκ ἐξαρκεῖ τὸ ἀποδύρασθαι μόνον ἃ πάσχομεν, ἀλλὰ δεῖ καί τινος φαρμάκου πρὸς τὴν πληγήν, τοῦτο ἐξεύρομεν, τὸ θαρρῆσαι τῇ ἐπιστολῇ ταύτῃ καὶ τοῖς γράμμασι σκιαγραφῆσαι τὴν παρουσίαν. Εἰ δὲ καὶ τὸ εὖ ποιεῖν ἡμᾶς ἐπιζητεῖς, βρύων τὸ ἀγαθόν, προσάγομεν θαρροῦντες οἰκίαν ἐλεεινὴν καὶ φιλανθρωπίας ἀξίαν, χήραν μετ' ὀρφανῶν ἔτι θερμῶν ἐν τοῖς δάκρυσι, τήν τε ἀδελφιδῆν τὴν ἐμὴν λέγω καὶ τοὺς ταύτης παῖδας, οἵ, πατρὸς ἀγαθοῦ γεγονότες καὶ πολλὰ μὲν βασιλεῦσι καμόντος ἐν ὅπλοις οὐκ ἀνωνύμως, ἀλλὰ καὶ λίαν λαμπρῶς, πολλὰ δὲ τοῖς ἄρχουσιν ὑμῖν ὑπουργήσαντος (εἴ τινα Νικόβουλον ἀκούεις), κινδυνεύουσι νῦν πάσχειν τὰ χαλεπώτατα. Μετὰ γὰρ τὴν τῶν **[321]** φίλων ἔκδοσιν καὶ τοὺς ὅρκους ἐκείνους, οὓς ἐπὶ τῇ ἐξετάσει ὑπέστησαν, νῦν πάλιν ἐπηρεάζειν ἐπιχειροῦσι τοῖς ὀρφανοῖς.

197

⟨ΓΡΗΓΟΡΙΩ ΝΥΣΣΗΣ⟩

Ὡρμημένον με πρὸς ὑμᾶς κατὰ πᾶσαν σπουδὴν καὶ μέχρις Εὐφημιάδος γενόμενον ἐπέσχεν ἡ σύνοδος, ἣν αὐτόθι τελεῖτε τοῖς ἁγίοις μάρτυσι καὶ τὸ μὴ μετασχεῖν ταύτης οἷόν τε εἶναι διὰ τὴν ἀρρωστίαν, καὶ ἄλλως βαρὺν ἂν γενέσθαι τῇ ἀκαιρίᾳ. Ὥρμησα δὲ ὁμοῦ μὲν ἐπισκεψόμενος ὑμᾶς οὕτω διὰ μακροῦ, ὁμοῦ δὲ θαυμασόμενός σε τῆς καρτερίας καὶ τῆς φιλοσοφίας, ἣν φιλοσοφεῖς (πυνθάνομαι γὰρ) ἐπὶ τῇ μεταστάσει τῆς ἁγίας ἀδελφῆς ἡμῶν καὶ μακαρίας, ὡς ἀνὴρ ἀγαθός τε καὶ τέλειος καὶ Θεῷ παριστάμενος καὶ πάντων μᾶλλον εἰδὼς τά τε θεῖα καὶ τὰ ἀνθρώπινα, καὶ ὅ τοῖς ἄλλοις βαρύτατόν ἐστιν ἐν τοῖς τοιούτοις, τοῦτο κουφότατον κρίνων, τὸ τοιαύτῃ μὲν συζῆσαι, τοιαύτην δὲ παρα**143**πέμψαι καὶ εἰς τὰς ἀσφαλεῖς ἀποθέσαι μονάς, «ὥ σ π ε ρ θ η μ ω ν ι ὰ ν ἄ λ ω ν ο ς κ α τ ὰ κ α ι ρ ὸ ν σ υ γ κ ο-

μισθεῖσαν»[1], ἵν' εἴπω τὸ τῆς θείας Γραφῆς, καὶ τῶν μὲν τερπνῶν τοῦ βίου μεταςχοῦσαν, τὰ δὲ λυπηρὰ διαφυγοῦσαν τῷ μέτρῳ τῆς ἡλικίας, καὶ πρὶν ἐπὶ σοὶ πενθῆσαι παρὰ σοῦ τιμηθεῖσαν τῇ καλῇ κηδείᾳ καὶ τοῖς τοιούτοις ὀφειλομένῃ. Ποθῶ δὲ καὶ αὐτός, εὖ ἴσθι, τὴν μετάστασιν, εἰ καὶ μὴ καθ' ὑμᾶς (πολὺ γὰρ τοῦτο εἰπεῖν), ἀλλ' εὐθὺς μεθ' ὑμᾶς. Ἀλλὰ τί χρὴ παθεῖν πρὸς Θεοῦ νόμον πάλαι κεκρατηκότα, ὃς ἔχει Θεοσεβίαν τὴν ἐμὴν (ἐμὴν γὰρ ὀνομάζω τὴν κατὰ Θεὸν ζήσασαν, ἐπειδὴ κρείττων ἡ πνευματικὴ συγγένεια τῆς σωματικῆς)· Θεοσεβίαν, τὸ τῆς Ἐκκλησίας καύχημα, τὸ τοῦ Χριστοῦ καλλώπισμα, τὸ τῆς καθ' ἡμᾶς γενεᾶς ὄφελος, τὴν γυναικῶν παρρησίαν· Θεοσεβίαν, τὴν ἐν τοσού**[324]**τῳ κάλλει τῶν ἀδελφῶν εὐπρεπεστάτην τε καὶ διαφανεστάτην· Θεοσεβίαν, τὴν ὄντως ἱερὰν καὶ ἱερέως σύζυγον καὶ ὁμότιμον καὶ τῶν μεγάλων μυστηρίων ἀξίαν· Θεοσεβίαν, ἣν καὶ ὁ μέλλων ὑπολήψεται χρόνος ἐν στήλαις ἀθανάτοις κειμένην, ταῖς ἁπάντων ψυχαῖς τῶν τε νῦν ἐγνωκότων καὶ τῶν ὕστερον εἰσομένων; Καὶ μὴ θαυμάσῃς εἰ πολλάκις ταύτην ἀνακαλῶ· ἐντρυφῶ γὰρ καὶ τῇ μνήμῃ τῆς μακαρίας. Οὗτος ἐκείνῃ τε παρ' ἡμῶν ἐπιτάφιος ἐν βραχεῖ πολὺς καὶ σοὶ παρακλητικὸς λόγος, καίπερ ἄλλους τὰ τοιαῦτα παρακαλεῖν δυναμένῳ διὰ τὴν ἐν πᾶσι φιλοσοφίαν. Τὴν δὲ συντυχίαν (ἐπεὶ καὶ ταύτην ποθοῦμεν) νῦν μὲν ἀφῃρήμεθα δι' ἣν εἶπον αἰτίαν, συνευχόμεθα δὲ ἡμῖν αὐτοῖς, ἂν ἔτι ὑπὲρ γῆς ὦμεν καὶ μὴ τὸ κοινὸν ἡμᾶς διαζεύξῃ τέλος ᾧ πλησιάζομεν. Διὸ καὶ πάντα φέρειν ἀναγκαῖον ἡμῖν, ὡς οὔτε ἡσθησομένοις οὔτε ἀνιασομένοις μακρότερα.

198
ΝΕΜΕΣΙΩ

Ἐπαινοῦσί τινες Πυθαγόραν τὸν Σάμιον ὅτι, θῦσαι δεῆσαν αὐτῷ (ἐπειδή γε ἄλλως οὐκ ἐπῄνει τὸ θύειν), πηλίνῳ βοὶ τὴν θυσίαν ἀφωσιώσατο· μηδὲ γὰρ **144** χρῆναι νεκρὰ νεκροῖς καθαίρειν, οὕτω λέγων τὰ σώματα. Τοῦτόν μοι καὶ αὐτὸς μιμήσασθαι καλῶς ἔχεις, ὦ θαυμάσιε — ἐπειδή γε τὸ προστιμᾶν ἀπηγόρευταί σοι καὶ μόνος ἀρχόντων ἢ κομιδῇ σὺν ὀλίγοις ἀζήμιον ἐνίδρυσας τοῖς ἀρχομένοις τὸν φόβον, μηδὲ Οὐαλεντινιανὸν ζημιῶσαι τὸν σὸν καὶ ἡμέτερον (ὑπὲρ συγγενοῦς γὰρ πρεσβεύομεν), ἀλλ' **[325]** ὅσον φθέγξασθαι πλάσαντα τὴν προστίμησιν, ἐπισχεῖν τὴν ζημίαν. Καὶ γὰρ οὐδὲ οἰκείας ῥᾳθυμίας ὑπέχει δίκην, εἰ δεῖ θαρρήσαντας τοῦτο εἰπεῖν. Εἰ μὲν οὖν ὡς δικαστὴν πείθομεν, τοῦτο ἄριστον· εἰ δὲ μή, πρὸς τὸν φίλον καταφευξόμεθα καὶ τοῦτο φθεγξόμεθα πρὸς τὴν σὴν λογιότητα ὅπερ λέγεται

1. Ἰὼβ 5,26.

πρὸς ἑαυτοῦ φίλον γεγραφέναι τις ὅτι· «Τὸν δεῖνα, εἰ μὲν οὐδὲν ἀδικεῖ, διὰ τὸ δίκαιον ἄφες· εἰ δὲ ἀδικεῖ, ἡμῖν ἄφες». Πάντως δὲ ἄφες, ἐκεῖνο πρὸς τοῖς ἄλλοις ἐνθυμηθείς, ὅτι τὸ μὲν κοινὸν οὐδὲν ἂν μέγα ὀνήσαιεν ἵππῳ δύο προστίμησις, ἡμῖν δὲ ἡ χάρις ἀνάγραπτος. Καὶ τοῦτο δὲ προσκείσθω· τῇ συμφορᾷ τοῦ ἀνδρὸς βοήθησον σφόδρα συντριβέντος ἀπὸ συμπτώματος.

199
ΤΩ ΑΥΤΩ

Εἴ σοι δοκῶ φορτικὸς συχνὰ ἐπιστέλλων, μηδὲν θαυμάσῃς, ἢ κατερῶ σου πρὸς σὲ τὸν δίκαιον δικαστήν, καὶ οἶδ' ὅτι ἀφήσεις με τῆς αἰτίας. Αὐτός μοι τοῦ θαρρεῖν αἴτιος γέγονας τῷ προθύμως παρέχειν τὸ αἰτεῖν προκαλούμενος· καὶ θαυμαστὸν οὐδέν. Πολλὰ γάρ ἐστιν οἷς προθύμως ἂν δοίης τὴν χάριν, τὸ γῆρας, ἡ ἀρρωστία, ἡ κοινωνία τῶν λόγων (εἴπερ τι καὶ τὸ ἡμέτερον ἐν λόγοις), αὐτὸ τὸ ποθεῖν με τὴν συντυχίαν, ὑπὸ δὲ τῆς ἀσθενείας κωλύεσθαι καὶ διαμαρτάνειν τοσούτου πράγματος. Ἀλλὰ τίς ἡ πρεσβεία; καὶ εἰ μὲν ἄδικος, αἰσχνοίμην ἂν ἄνδρα τοσοῦτον· εἰ δὲ δικαία, προθύμως ἐπίνευσον. Πάλιν ὁ αἰδεσιμώτατος υἱὸς ἡμῶν Θεοδόσιος ἥκει πρὸς τὴν σὴν λογιότητα, ὁ ἐμὸς καὶ σός, σκοπὸς μὲν ἐμός, σὸς δὲ ἱκέτης. Καὶ ἥκει πρεσβεύων ὑπὲρ ἐλεεινοῦ πράγματος ὀρφανοὶ κινδυ**145**νεύουσι καὶ τὸ ἀνθρώπινον ἐν μέσῳ ἄδηλον ὂν εἰς ὃ περιστήσεται καὶ μετάστασιν αἰδούμεθα πατρὸς πολλοῖς ὀρφανίαν ἐπικουφίσαντος. Μίαν τοῖς πᾶσι κατάθου χάριν· **[328]** δὸς χεῖρα τῇ συμφορᾷ, ἣν αὐτὸς δοκιμάσεις. Δεῖται μὲν γὰρ οὐδεμιᾶς προσθήκης εἰς εὐδοξίαν ἡ σὴ ἀρχή, οὐδὲ γὰρ λαμπρότητος Ἑωσφόρος· εἰ δέ τινα καὶ προσθήκην ζητεῖς, οὐκ ἂν μείζων ταύτης, εὖ ἴσθι, οὐδὲ λαμπροτέρα γένοιτο, ὡς πολλοὶ τἀληθῆ βουλόμενοι λέγειν τὴν σὴν καλοκἀγαθίαν διδάξουσιν.

200
ΤΩ ΑΥΤΩ

Ἐποίεις μὲν ἡμῖν καὶ τὴν ἀρχὴν φιλοσοφίαν, καὶ οἶδ' ὅτι ποιήσεις, εἴ γε τῷ Θεῷ μέλει τῶν ἡμετέρων. Ὅμως δὲ κράτιστον ἦν νῦν συγγενέσθαι σοι, ἡνίκα σχολὴν ἄγεις, ὅπερ ἐπόθεις, ἀπὸ τῶν δημοσίων καὶ καθ' ἡσυχίαν ἔξεστι τῆς σῆς ἀπολαύειν συνέσεως, ἧς ὀλίγα μετασχόντες καὶ ὅσα γε ἀστραπῆς τῆς ὄψει μὴ κρατουμένης, τοῦ πλείονος διημάρτομεν. Ἀλλὰ τοῦτο εὔξασθαι μὲν μέγα, λαβεῖν δὲ οὐ ῥᾴστον, οὕτως ἔχοντος ἡμῖν, ὥσπερ ἔχει, τοῦ σώματος. Εἰ μὲν οὖν καὶ τούτου τύχοιμεν, τὸ πᾶν ἔξομεν (καὶ γάρ τινα καὶ χρεωστεῖς

ἡμῖν συνουσίαν ἐξ ὑποσχέσεως περὶ τοῦ λόγου τοῦ καθ' ἡμᾶς, ἥν πως ἀτελῆ κατέλιπες)· εἰ δὲ μή, αὐτοὶ μὲν τὴν ζημίαν οἴσομεν ἄκοντες. Σὺ δὲ ἴσθι μεθ' ἡμῶν ὢν, ὅπουπερ ἂν ᾖς, καὶ ὁδηγοῖο ταῖς ἡμετέραις εὐχαῖς. Καὶ αὐτὸς δὲ ἴσθι παρ' ἡμῖν μένων, ἕως ἂν ἐμπνέωμεν, οἷς σαὐτὸν ἐνέγραψας, οὐδεμιᾶς στήλης ἀτιμοτέροις, καὶ ἔτι μᾶλλον ἐγγράψεις, ἐπειδὰν γένῃ Θεοῦ καὶ σαφῶς ἡμέτερος, ἢ σοί γε ἡμεῖς, εἰ τοῦτο λέγεσθαι ἥδιον.

201

ΤΩ ΑΥΤΩ

146 Τί τοῦτο; παρέδραμες ἡμᾶς ἀγνοήσαντας καὶ λαβέσθαι οὐκ ἦν, οὐ μᾶλλόν γε ἢ τῆς ἠχοῦς τοὺς πλησίον ἔχειν αὐτὴν νομίζοντας καὶ ἀπατωμένους ταῖς ἀντιρρήσεσιν· ἢ τοῦτο μόνον ἂν τῶν πάντων ἐτυραν**[329]**νήσαμεν. Ἀλλ' ἐπιστέλλοις γε ἡμῖν, ὦ θαυμάσιε, καὶ τοῦτο ἔξομεν ἀντὶ σοῦ, σκιάν, ὃ δὴ λέγεται, ἀντὶ σώματος.

202

ΠΡΟΣ ΝΕΚΤΑΡΙΟΝ
ΕΠΙΣΚΟΠΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ*

86 Ἔοικε τὴν παροῦσαν ζωὴν ἐπιλελοιπέναι καθόλου ἡ τοῦ Θεοῦ κηδεμονία, ἡ ἐν τοῖς πρὸ ἡμῶν χρόνοις τὰς Ἐκκλησίας φυλάττουσα. Καί μοι τοσοῦτον βεβάπτισται ὑπὸ συμφορῶν **88** ἡ ψυχή, ὥστε τὰ μὲν ἴδια τῆς ἐμῆς ζωῆς ἀλγεινὰ μηδὲ ἐν κακοῖς εἶναι λογίζεσθαι (τοσαῦτα καὶ τηλικαῦτα ὄντα, ὡς μὴ ἂν ἑτέρῳ τινὶ συμβάντα φορητὰ εἶναι νομισθῆναι), πρὸς μόνα δὲ βλέπειν τὰ κοινὰ τῶν Ἐκκλησιῶν πάθη, ὧν εἰ μὴ γένοιτό τις ἐν τῷ παρόντι καιρῷ σπουδὴ πρὸς διόρθωσιν, εἰς παντελῆ ἀνελπιστίαν κατὰ μικρὸν προελεύσεται.

Οἱ τῆς Ἀρείου ἤτοι Εὐδοξίου αἱρέσεως, οὐκ οἶδα τίνος αὐτοὺς παρακινήσαντος εἰς ἀπόνοιαν, ὥσπερ τινὸς παρρησίας ἐπειλημμένοι, τῇ νόσῳ ἑαυ**[332]**τῶν ἐκπομπεύουσιν, ἐκκλησίας συνάγοντες, ὡς ἐξ ἐπιτροπῆς τοῦτο ποιοῦντες. Οἱ δὲ κατὰ Μακεδόνιον ἐρίζοντες εἰς τοσοῦτον προεληλύθασιν ἀπονοίας, ὡς καὶ ὄνομα ἐπισκόπων ἑαυτοῖς ἐπιφημίζοντες τοῖς καθ' ἡμᾶς τόποις ἐπιπολάζειν, τὸν Ἐλεύσιον ταῖς χειροτονίαις αὐτῶν ἐπιθρυλοῦντες. Τὸ δὲ ἐγκόλπιον ἡμῶν κακόν, ὁ Εὐνόμιος, οὐκέτι ἀγαπᾷ τὸ ὁπωσοῦν εἶναι· **90** ἀλλ' εἰ μὴ πάντας

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Paul Gallay, Grégoire de Nazianze, Lettres Théologiques, Sources Chrétiennes No 208, Paris 1974 σσ. 86-94.
α. Leutsch, Paroemiographi graeci II σ. 642.

τῇ ἑαυτοῦ ἀπωλείᾳ συνεφελκύσαιτο, ζημίαν κρίνει. Καὶ ταῦτα μὲν φορητά· τὸ δὲ πάντων χαλεπώτατον ἐν ταῖς ἐκκλησιαστικαῖς συμφοραῖς, ἡ τῶν Ἀπολλιναριστῶν ἐστι παρρησία, οὓς οὐκ οἶδα πῶς παρεῖδέ σου ἡ ὁσιότης πορισαμένους ἑαυτοῖς τοῦ συνάγειν ὁμοτίμως ἡμῖν ἐξουσίαν.

Πάντως μὲν οὖν διὰ πάντων κατὰ Θεοῦ χάριν τὰ θεῖα πεπαιδευμένος μυστήρια, οὐ μόνον τὴν τοῦ ὀρθοῦ λόγου συνηγορίαν ἐπίστασαι, ἀλλὰ κἀκεῖνα ὅσα παρὰ τῶν αἱρετικῶν κατὰ τῆς ὑγιαινούσης ἐπινενόηται πίστεως· πλὴν καὶ παρὰ τῆς βραχύτητος ἡμῶν οὐκ ἄκαιρον ἴσως ἀκοῦσαί σου τὴν σεμνοπρέπειαν ὅτι μοι πτυκτίον γέγονεν ἐν χερσὶ τοῦ Ἀπολλιναρίου, ἐν ᾧ τὰ κατασκευαζόμενα πᾶσαν αἱρετικὴν κακίαν παρέρχεται. Διαβεβαιοῦται γὰρ μὴ ἐπίκτητον εἶναι τὴν σάρκα κατ' οἰκονομίαν[1] ὑπὸ τοῦ μονογενοῦς Υἱοῦ[2] προσληφθεῖσαν ἐπὶ μεταστοιχειώσει τῆς φύσεως ἡμῶν, ἀλλ' ἐξ ἀρχῆς[3] ἐν τῷ Υἱῷ τὴν σαρκώδη ἐκείνην φύσιν εἶναι. **92** Καὶ κακῶς ἐκλαβὼν εὐαγγελικήν τινα ῥῆσιν εἰς μαρτυρίαν τῆς τοιαύτης ἀτοπίας προβάλλεται λέγων ὅτι «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου»[4], ὡς καὶ πρὶν τοῦ κατελθεῖν αὐτὸν υἱὸν ἀνθρώπου εἶναι, καὶ κατελθεῖν ἰδίαν ἐπαγόμενον σάρκα ἐκείνην, ἣν ἐν τοῖς οὐρανοῖς ἔχων ἐτύγχανε, προαιώνιόν τινα καὶ συνουσιωμένην. Λέγει γὰρ πάλιν ἀποστολικήν τινα ῥῆσιν, τοῦ ὅλου σώματος τῆς συμφράσεως ἀποκνίσας, ὅτι «ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ»[5]. Εἶτα κατασκευάζει τὸν ἄνθρωπον ἐκεῖ**[333]**νον τὸν ἄνωθεν ἥκοντα τὸν νοῦν μὴ ἔχειν, ἀλλὰ τὴν θεότητα τοῦ Μονογενοῦς[6] τὴν τοῦ νοῦ φύσιν ἀναπληρώσασαν, μέρος γενέσθαι τοῦ ἀνθρωπείου συγκράματος τὸ τριτημόριον, ψυχῆς τε καὶ σώματος κατὰ τὸ ἀνθρώπινον περὶ αὐτὸν ὄντων, νοῦ δὲ μὴ ὄντος, ἀλλὰ τὸν ἐκείνου τόπον τοῦ Θεοῦ Λόγου ἀναπληροῦντος. Καὶ οὔπω τοῦτο δεινόν· ἀλλὰ τὸ πάντων χαλεπώτατον, ὅτι αὐτὸν τὸν μονογενῆ Θεόν[7], τὸν κριτὴν τῶν πάντων[8], τὸν ἀρχηγὸν τῆς ζωῆς[9], τὸν καθαιρέτην τοῦ θανάτου[10], θνητὸν εἶναι κατασκευάζει καὶ τῇ ἰδίᾳ αὐτοῦ θεότητι πάθος δέξασθαι καὶ ἐν τῇ τριημέρῳ ἐκείνῃ νεκρώσει τοῦ σώματος καὶ τὴν θεότητα συναπονεκρωθῆναι τῷ σώματι καὶ οὕτω παρὰ τοῦ Πατρὸς πάλιν ἀπὸ τοῦ θανάτου διαναστῆναι. Τὰ δ' ἄλλα ὅσα προστίθησι ταῖς τοιαύταις ἀτοπίαις μακρὸν ἂν εἴη διεξιέναι.

Εἰ τοίνυν οἱ τὰ τοιαῦτα φρονοῦντες ἐν ἐξουσίᾳ τοῦ συνάγειν γίνονται, σκοπείτω σου ἡ ἐν Χριστῷ εὐδόκιμος φρόνησις ὅτι, μὴ συμβαινόντων ἡμῶν οἷς ἐκεῖνοι φρονοῦσι, **94** τὸ λαβεῖν αὐτοὺς ἐξουσίαν

---

1. Πρβλ. Ἐφ. 3,9. 2. Πρβλ. Ἰω. 1,18. 3,16,18. Α' Ἰω. 4,9. 3. Πρβλ. Α' Ἰω. 1,1. 2,13. Πρβλ. Ἰω. 1,1. 4. Ἰω. 3,13. 5. Α' Κορ. 15,47. 6. Πρβλ. Ἰω. 1,14. 7. Πρβλ. Ἰω. 1,18. 3,16,18. Α' Ἰω. 4,9. 8. Πρβλ. Πράξ. 10,42. 9. Πράξ. 3,15. 10. Πρβλ. Α' Κορ. 15,26.

συνάξεως οὐδὲν ἕτερόν ἐστιν ἢ ἀληθεστέρους τοῦ καθ' ἡμᾶς δόγματος νομισθῆναι.

Εἰ γὰρ ὡς εὐσεβοῦντες ἐκεῖνοι διδάσκειν ὡς φρονοῦσι καὶ κηρύττειν ἐν παρρησίᾳ τὸ καθ' ἑαυτοὺς ἐπιτρέπονται, δῆλον ὅτι κατέγνωσται ὁ τῆς Ἐκκλησίας λόγος, ὡς τῆς ἀληθείας παρ' αὐτοῖς οὔσης. Δύο γὰρ ἐναντίους λόγους περὶ τοῦ αὐτοῦ πράγματος ἀληθεῖς εἶναι φύσιν οὐκ ἔχει. Πῶς οὖν ὑπέμεινέ σου ἡ μεγαλοφυὴς καὶ ὑψηλὴ διάνοια μὴ χρήσασθαι τῇ συνήθει παρρησίᾳ εἰς διόρθωσιν τοῦ τοσούτου κακοῦ; Ἀλλ' εἰ καὶ μὴ πρότερον τοῦτο γέγονε, νῦν γοῦν διαναστήτω ἡ ἀμίμητός σου ἐπ' ἀρετῇ τελειότης καὶ διδαξάτω τὸν εὐσεβέστατον βασιλέα ὅτι οὐδὲν κέρδος ἔσται τῆς λοιπῆς αὐτοῦ περὶ τὰς Ἐκκλησίας σπουδῆς, εἰ τὸ τοιοῦτο κακὸν ἐπὶ καθαιρέσει τῆς ὑγιαινούσης πίστεως διὰ τῆς παρρησίας αὐτῶν κατισχύσει.

203

ΟΥΑΛΕΝΤΙΝΙΑΝΩ

[336] Ἐξελαυνόμεθα Καρβάλης ἀ ν ο σ ι ώ τ α τ α[α], συγχρήσομαι γὰρ τῷ τῆς τραγῳδίας, μικρὸν ἐναλλάξας. Ἐξελαυνόμεθα δὲ λόγῳ μὲν οὐδαμῶς, ἔργῳ δὲ καὶ πάνυ σφοδρῶς[β].

Πολλῷ γὰρ βέλτιον ἦν προγράμματι κηρύξαι τὴν ὑποχώρησιν ἢ γυναιξίν, ἃς ἀντιπροσώπους ἡμῶν συνῴκισας, τὸ σεμνὸν τοῦ βίου περικόπτων καὶ καθημερινὴν ἀσχημοσύνην καὶ βλασφημίαν παραζευγνὺς παρὰ τῶν ῥᾳδίως ἐπηρεαζόντων τοῖς οὕτω ζῆν ἑλομένοις, ὥσπερ ἡμεῖς. Εἰ δὲ μὴ τολμηρὸν εἰπεῖν καὶ ἡμᾶς τοῦ παραδείσου διὰ τῆς Εὔας ἐκβέβληκας. Ῥᾴδιον μὲν γὰρ εὑρεῖν εὐπρεπές τι καὶ ἀφοσιώσασθαι καὶ δόξαι δίκαια λέγειν, ὡς οὔτε ἐξωθούμεθα παρὰ σοῦ καὶ τιμώμεθα γειτνιᾶν ἡμῖν θέλοντος· προσθήσεις δὲ ἴσως, ὅτι καὶ δεξιοῦσθαι φιλικῶς τε καὶ συγγενικῶς καί τι παραπολαύειν τῆς φιλίας τῆς ἡμετέρας. Τὸ δὲ λόγος, οὐκ ἔργον ἐστίν. Ὑμᾶς μὲν γὰρ ἐπιδημοῦντας τῷ τόπῳ καὶ δεχόμεθα καὶ ἀσπαζόμεθα· οἰκαρχίαις δὲ γυναικῶν οὕτως ὑποχωρήσομεν ὥσπερ ἐχιδναίοις **147** ἐπιδρομαῖς. Τὸ μὲν οὖν ἡμέτερον ἔχει πέρας. Κατεσοφίσθημεν, συνεστάλημεν, ἡμᾶς αὐτοὺς τετιμήκαμεν, ἀφέντες καὶ πόνους χειρῶν ἡμῶν καὶ ἐλπίδας καὶ πολλὰ τοῖς ἁγίοις ἀπολογησάμενοι μάρτυσι. Πάντως εἰ καὶ βαρέα ταῦτα καὶ δύσφορα, ἀλλὰ καθ' ὁδόν γε τοῦ καθ' ἡμᾶς βίου φιλοσοφούμενα καὶ οὔπω τοῦ πόλεις ἐκ πόλεων[1] ἀμείβειν (ὃ φέρειν ἐκελεύσθημεν) φορτικώτερα. Σὺ δὲ τὸν τόπον οἰκοίης μακρότερα μὲν ἢ κατὰ τοὺς προενοικήσαντας, σωφρονέστερον δὲ ἢ ἐλπίζομεν, ὡς ἂν μήτε

---

1. Πρβλ. Ματθ. 10,23.

α. Εὐριπίδου, Ὀρέστης 34. β. Εὐριπίδου, Φοίνισσαι 389.

τοὺς ἁγίους ὑβρίζοιτε μάρτυρας, μήτε αὐτοὶ πλήσσοισθε τῇ παροικίᾳ. Ἐκεῖνο δὲ πρὸ πάντων ἀσφαλίσασθε, τῶν καθιερωμένων τοῖς μάρτυσι φείσασθε, ἵνα μὴ κακῶς περί τε ὑμῶν αὐτῶν καὶ τῶν ὑμετέρων βου**[337]**λεύσησθε, πονηρῷ τῷ ἐπεισοδίῳ τὰ ὄντα φθείροντες.

ΑΔΕΛΦΙΩ

Εἶεν· τὰ μὲν δὴ πρῶτα ἡμῖν ἔχει καὶ πάνυ καλῶς. Ἀρετὴν ἐπαινοῦμεν, ἄμφω πρὸς Θεὸν νεύομεν, οὐ δεδέμεθα πρὸς τὰ κάτω, ὅτι μὴ πᾶσα ἀνάγκη, τὴν κρείττω καὶ θειοτέραν φιλίαν ἀσπαζόμεθα, χεῖρας ἀλλήλων εἰλήφαμεν καὶ ἐπιστωσάμεθα. Φέρε δὲ ἤδη καὶ περὶ τῆς δευτέρας οἰκειότητος πρεσβεύσωμεν πρὸς ὑμᾶς, Θεὸν προστησάμενοι τοῦ λόγου καὶ σὺν τούτῳ κινούμενοι, ὅνπερ δὴ παντὸς ποιούμεθα καὶ ἔργου καὶ λόγου προστάτην. Εἰ δὲ γράμμασι πρᾶγμα τοσοῦτον πιστεύομεν, μὴ θαυμάσῃς. Μάλιστα μὲν γὰρ ἡ σὴ δεξιότης καὶ τὸ τῶν σῶν ἠθῶν ἁπλοῦν τε καὶ ἐλευθέριον (ὅπερ ὀλίγον καὶ παρ' ὀλίγοις εὕροι τις ἄν), ἐπῆρεν ἡμᾶς καὶ τὰ τοιαῦτα θαρρεῖν. Ἔπειτα οὐδὲ γράμμασι τὸ πᾶν ἐπιτρέπομεν (οὐχ οὕτως ἐσμὲν ἀρχαῖοι καὶ μικρῶς τὰ μεγάλα πράττοντες, οὐδὲ τὰ σπουδαῖα παρέργως), ἀλλὰ νῦν μέν, ὡς φησι Πίνδαρος, οἷον χρυσέας ὑφίσταμεν εὐτειχεῖ θαλάμῳ κίονας[α], μικρὸν δὲ ὕστερον δι' ἡμῶν αὐτῶν, ἡνίκα ἂν διδῷ Θεὸς καὶ **148** θεητὸν μέγαρον πήξομεν[β], ἔργον λόγῳ, ὅ φασι, συνάπτοντες. Πολλοὶ προσίασι τῶν ἐν ὑμῖν εὐπατρίδαι (καὶ γὰρ πείθομαι προσιέναι πολλούς· τίς δὲ οὐχ ὑμῶν ἐρᾷ καὶ τῆς συναφείας τῆς ὑμετέρας;), πολλοὶ τῶν τῆς μεγάλης ὀφρύος, χρήματα, συγγένειαν, φίλους, δυναστείαν ἐν πόλεσι, δυναστείαν ἐν βασιλείοις, πάντα προτείνοντες ὅσα ἐστὶ περιφορᾶς ἀλόγου καὶ καιροῦ παίγνια, νῦν μὲν τοῖς προσπίπτοντα, νῦν δὲ τοῖς καὶ ὥσπερ ἐν πεττῶν θέσει ἄλλοτε εἰς ἄλλους μεταρριπτούμενα καὶ μεταποιούμενα. **[340]** Ἡμεῖς δὲ ἓν ἀντὶ πάντων προσάγομεν ὑμῖν, ἡμᾶς αὐτούς καὶ μέντοι καὶ ζητοῦμεν ἓν ἀντὶ πάντων, ὑμᾶς. Εἰ τοίνυν καὶ βελτίους καὶ ἐκ βελτιόνων (ὁμολογοῦμεν γάρ, ἐπεὶ καὶ τοῦτο ἡμέτερον γίνεται), ἀλλ' ἐνί γε οὐχ ὑπερέξοντας ἡμῶν (ἐν Θεῷ δὲ εἰρήσεται), τῷ πιστῷ καὶ γνησίῳ περὶ τὴν οἰκειότητα· οὗπερ δεῖ μᾶλλον ποιεῖσθαι λόγον ἢ πάντων ὁμοῦ, τούς γε νοῦν ἔχοντας. Ἀρκεῖ τοσαῦτα πρὸς τὴν σὴν τελειότητα καὶ ταῦτα πέρα ἴσως ἢ κατὰ μέτρον ἐπιστολῆς. Λοιπόν τι καὶ ἐμαυτῷ καὶ ὑμῖν ἐπεύξομαι· Θεὸς ἐπὶ νοῦν ὑμῖν ἀγάγοι, παρ' οὗ καὶ ταῦτα καὶ τἄλλα οἰκονομεῖται τοῖς ἀγαπῶσιν αὐτόν, ὅ τι ἂν ᾖ βέλτιστον καὶ συμφέρον ἡμῖν τε καὶ ὑμῖν ἐπίσης, ἄλλως τε καὶ περὶ τηλικούτων βουλευομένοις.

α. Πινδάρου, Ὀλυμπ. Δ' 1-2. β. Πινδάρου, Ὀλυμπ. Δ' 2-3.

205
ΤΩ ΑΥΤΩ

Υἱὸς οὐκ ἀτιμάζεται, ἀλλ' οὐδὲ ἀπιστεῖται πατήρ. Διὰ τοῦτο μὴ ἀπιστήσῃς ἡμῖν ἀπολογουμένοις, ὅτι ἀρρωστία καὶ ἀσχολία πνευματικὴ τὸ κωλῦσαν ἦν ἡμᾶς γενέσθαι μέχρι Ναυΐλων καὶ τῆς συνόδου μετασχεῖν, ἄλλως τε καὶ τοσαύτῃ σπουδῇ κεκλημένους, ἀλλ' οὐκ ὄκνος τις οὐδὲ περιφρόνησις, ὅπερ ἴσως ὑπέλαβες. Νῦν μὲν οὖν ἔτι τῇ ἀσθενείᾳ κρατούμεθα. Εἰ δὲ δοίη τὸ ὑγιαίνειν Θεός, **149** καὶ τὴν διὰ τῶν ἔργων ἀπολογίαν προσθήσομεν καὶ δραμόντες μέχρι τῆς σῆς εὐγενείας καὶ πλήρεις τὰς εὐλογίας τῷ οἴκῳ ἡμῶν ἀποδώσοντες. Ἡμέτερα γὰρ εἶναι τὰ σὰ καὶ βουλόμεθα καὶ εὐχόμεθα.

206
ΤΩ ΑΥΤΩ

Ἔτι σε καλῶ τίμιον, καίπερ οὐ τίμια βουλευόμενον. Καί μου δέξαι τὴν παρρησίαν σπλάγχνοις πατρικοῖς κινουμένου καὶ καρτερεῖν οὐ δυναμένου διὰ τὴν εὔνοιαν. Πολλῷ γὰρ βέλτιον βραχέα λυπήσαντα[1] μέγιστα ὠφελῆσαι ἢ τὸ πρὸς ἡδονὴν διώκοντα ζημιῶσαι τῷ κεφαλαίῳ. Ἱερεὺς ἦν ὁ Ἠλὶ καὶ τοῖς παισὶν ἀσεβοῦσιν ἐπέπληττε μέν, «Οὐκ ἀγαθὴ ἡ ἀκοή», λέγων, ὦ «τέκνα, ἣν ἐγὼ ἀκούω»[2] περὶ ὑμῶν· ὅτι δὲ μὴ σφοδρῶς ἐπέπληττε, **[341]** σφοδρῶς ἐνεκλήθη καὶ δίκην ὑπέσχε πατὴρ εὐσεβὴς παίδων παρανομίας. Τοῦτο φοβούμενος τὸ ὑπόδειγμα καὶ αὐτός, ἐπὶ ταύτην ἦλθον τὴν παραίνεσιν. Τί ἐστιν ὃ πέπονθας, ἀγνοῶ. Τίς ἡ τοσαύτη περὶ σὲ σκοτομήνη; Πῶς αἰσχύνεις μὲν σεαυτοῦ τὸ γένος; αἰσχύνεις δὲ τὴν ἡμετέραν πολιὰν καὶ τὰς ἐλπίδας ἃς εἴχομεν ἐπὶ σοί, ἡνίκα ἐπέστημεν Ναυΐλοις, πᾶν ἀγαθὸν καὶ διαλεχθέντες καὶ πείσαντες, ὡς ᾠόμεθα; Πῶς οὐκ ἀκούεις λεγούσης τῆς Γραφῆς· «Μὴ δῷς γυναιξὶ τὸν σὸν πλοῦτον»[3] καὶ τὰ σὰ χρήματα «εἰς ὑστεροβουλίαν»[4]; Εὖ γὰρ ἴσθι, μεταμελήσει σοι τούτων μικρὸν ὕστερον, «ἡνίκα ἂν κατατριβῶσι σάρκες σώματός σου»[5], κατὰ τὸ γεγραμμένον καὶ δυνηθῇ διασχὼν ὥσπερ ἐκ νέφους ὁ νοῦς πρὸς Θεὸν ἰδεῖν καὶ λογίσασθαι καθαρῶς τὰ συμφέροντα. Φύλαξαι τὴν παγίδα, μὴ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς[6] καί, εἰ ἠγρεύθης, ἔκνηψον. Μὴ καὶ τὸ θρυλλούμενον βεβαιώσῃς, ὅτι φαρμάκοις τὸν νοῦν **150** ἐκλάπης, ἐπειδὴ δεινὸν εἰς κακῶν ἐπίνοιαν ἡ ἀσέλγεια. Ἀλγεινὸν μὲν

---

1. Πρβλ. Β' Κορ. 7,8-9. 2. Α' Βασ. 2,24. 3. Παρμ. 31,3.
4. Ἕνθ' ἀν. 5. Παρμ. 5,11. 6. Πρβλ. Ἰουδ. 9,13.

γὰρ τὸ καὶ οἶκον τοσοῦτον καὶ τοσούτοις πόνοις συνειλεγμένον οὕτως ἐν βραχεῖ διασπεῖραι καὶ καταλῦσαι καὶ μάλιστα ἐν ἀρχαῖς βίου, ἡνίκα ἢ τὴν καλὴν ἢ τὴν πονηρὰν δόξαν ἕκαστος ἑαυτῷ καταβάλλεται. Πολλῷ δὲ δεινότερον τὸ καὶ γυναῖκας παρθένους οὔσας, ἃς καὶ οἱ σοὶ γονεῖς καὶ αὐτός, ὡς ἡμᾶς ἔπειθες, καθιέρωσας τῷ Θεῷ, ταύτας ἱεροσυλεῖν καὶ ἁρπάζειν· καὶ τὰς μὲν ἔχειν ἤδη, τὰς δὲ πτοεῖν ὡς τὰ αὐτὰ πεισομένας. Τὸν οὖν Θεὸν φοβηθείς, ᾧ λατρεύεις, καὶ ἡμᾶς αἰδεσθείς, ἐπίσχες σεαυτὸν τοῦ λοιποῦ πάσης πονηρᾶς προαιρέσεως. Εἰ γὰρ οἷόν τε παρακύψαντά σε γνῶναι τὴν ἀδοξίαν ἣν πάντων ἡμῶν κατέχεας, τάχα ἂν οὐκ ἐδεήθης ἄλλης παραινέσεως, ἀλλ' αὐτὴν τὴν αἰσχύνην σύμβουλον ἐποιήσω τῶν σῶν πρακτέων. Τούτων ἡδίω μὲν εἶχον γράφειν, λυσιτελέστερα δὲ οὐδαμῶς. Καὶ τὰ πλείω παρήσω γράφειν, ἐκεῖνο εἰδὼς ὡ ς εἰ μή σε ὁ τοῦ Θεοῦ φόβος παιδαγωγήσειε, μικρὸν ἢ οὐδὲν οἱ λόγοι δυνήσονται· ἐπεὶ καὶ σιδήρῳ κηρὸς μὲν εὐκόλως χαράσσεται, σίδηρος δὲ ἐργωδέστερον, ἀδάμας δὲ οὐδὲ τῷ στερροτάτῳ διὰ σκληρότητα φύσεως.

207
ΙΑΚΩΒΩ

[344] Εἰ μὲν οὕτως εἶχον τοῦ σώματος ὡς ἐξαρκεῖν πρὸς τοὺς πόνους, αὐτὸς ἂν ἀφικόμενος πρὸς ὑμᾶς τόν τε τῆς συντυχίας πόθον ἐπλήρωσα καὶ διελέχθην περὶ ὧν ἐβουλόμην· οὐ γὰρ περὶ μικρῶν ἡμῖν ὁ λόγος. Ἐπεὶ δὲ τῇ ἀρρωστίᾳ κατέχομαι, ἀναγκαίως ἦλθον ἐπὶ τὰ γράμματα. Τὴν κοσμιωτάτην θυγατέρα ἡμῶν Σιμπλικίαν, τὴν τοῦ καλοῦ καὶ ἀγαθοῦ Ἀλυπίου ποτὲ γυναῖκα, τοῦ κόσμου πάσης ἡμῶν τῆς πατρίδος, προσάγω τῇ σῇ εὐγενείᾳ, μετὰ τῶν οἰκτρῶν ὀνομάτων χηρείας καὶ ὀρφανίας, τῶν δικαίων παρὰ σοῦ τευξομένην περὶ ὧν σοῦ δεήσεται. Καὶ σκόπει τῆς συμφορᾶς τὸ μέγεθος· οὔπω τῶν θρήνων πέπαυται καὶ ἀγωνιᾷ περὶ τῶν ὀρφανῶν καὶ ὁδοὺς ἐκδημεῖ μακρὰς ἐν οὕτω ἀσθενεῖ τῷ σώματι καὶ ἀπειρίᾳ πραγμάτων ἡ μηδὲ προκύπτειν τῆς οἰκίας εἰθισμένη. Τούτου τί ἐλεεινότερον; μηδὲ θρήνοις γενέσθαι χώραν καὶ τὴν τῆς εὐγενείας αἰδῶ λυθῆναι τῷ **151** πάθει. Ταῦτα οὖν πάντα ἐνθυμηθεὶς καὶ πρός γε τὴν ἡμετέραν παράκλησιν αἰδεσθείς, μὴ ἀναμείνῃς ἄλλον γενέσθαι σοι δικαστὴν τῷ μεγάλῳ καὶ χρηστῷ Ἰακώβῳ· μηδὲ εἰς ἀνάγκην αὐτὴν καταστῆσαι μακροτέρας ἀποδημίας σφόδρα θαρροῦσαν τοῖς ἑαυτῆς δικαίοις, ὡς πείθει πολλοὺς καὶ ἡμᾶς· ἀλλὰ ταῖς ἐπιστολαῖς ἐντυχὼν καὶ μετὰ πάσης ὀρθότητος τὰ δίκαια βασανίσας, εὐθυμοτέραν ἡμῖν ἀπόπεμψον, ἐκεῖνο πρὸ πάντων ἐνθυμηθεὶς ὡς ἔστι πολλὴ σοι παρὰ Θεοῦ δυναστεία, χρήματα, δόξα, μείζονος εὐπραξίας ὁδός. Ταῦτα φύλαξον σεαυτῷ διὰ τῆς παρούσης φιλανθρωπίας καὶ ὡς τέκνων πατήρ καὶ τῶν μὲν ἐξαιρεθεὶς κινδύνων,

τοῖς δὲ ἐμβεβηκώς, οὕτω διανοήθητι καὶ δεξιὰς σεαυτῷ ποίησον ἐκ τῆς παρούσης ὑποθέσεως τὰς κατὰ Θεὸν ἐλπίδας.

208
ΤΩ ΑΥΤΩ

[345] Ἀκοῇ μὲν γινώσκω τὴν σὴν τιμιότητα. Θαυμάζω δὲ ὅσον ὀλίγοι τῶν ἐπὶ πλεῖστον ὡμιληκότων· τοσοῦτος παρὰ πᾶσι τῆς σῆς καλοκἀγαθίας ὁ λόγος. Διὰ τοῦτο καὶ αὐτὸς ταύτην ἐθάρρησα τὴν πρεσβείαν. Ἀπέλιπεν ἡμᾶς ὁ θαυμαστὸς Ἀλύπιος, ὁ κοινὸς τῶν φίλων προστάτης καὶ τῶν ὀρφανῶν κηδεμών. Οὐ μικρὸν τοῦτο ἡμῖν εἰς συμφοράν. Δεύτερον προσεγένετο τὸ καὶ τὴν κοσμιωτάτην ἐλευθέραν αὐτοῦ φροντίζειν ὑπὲρ τῶν ὀρφανῶν. Ταύτην παραμύθησαι τῇ νῦν φιλανθρωπίᾳ καὶ τὸ ἀσφαλὲς τοῖς σοῖς τέκνοις χάρισαι διὰ τῆς εἰς τοὺς ὀρφανοὺς εὐποιίας καὶ δεῖξον πλέον ἔχουσαν τῶν ξένων τὴν οἰκειότητα. Προσέσται δὲ καὶ τὸ ἡμῖν χαρίσασθαι, οὓς ὅτι ἂν τιμήσῃς, Θεὸν ἔσῃ τετιμηκώς, οὕπερ ἡμεῖς ἠξιώμεθα εἶναι παραστάται καὶ λειτουργοὶ καὶ εἰ τῆς ἀξίας ἐλάττονες.

209
ΚΑΣΤΟΡΙ

152 Ὡς τυραννικὸς εἶ καὶ βίαιος· γράμμα σὸν ὤφθη μόνον καὶ ἡμεῖς ὑπερώφθημεν. Ἀλλ' ἰδού σοι καὶ ὁ πολύτλας Σακερδώς, ὁ σὸς μὲν ἀδελφός, υἱὸς δὲ ἐμὸς καὶ τῶν παθῶν κοινωνός. Ἵνα δὲ μὴ παντελῶς ἡττηθῶμεν, τάχιστα ἡμῖν ἀπόδος τὴν τοῦ βίου παραμυθίαν, φιλοσοφεῖν καὶ διδαχθησόμενον καὶ διδάξοντα. Μέγιστον γὰρ εἰς μὲν ὁμόνοιαν τὸ συμπάσχειν, εἰς δὲ συμβουλὴν ἡ ὁμόνοια.

210
ΤΩ ΑΥΤΩ

[348] Ἐμοὶ τῆς πατρίδος, ὡς ἔοικεν, ἡ ἀλλοδαπὴ χρηστοτέρα· ἡ μὲν γὰρ ἐδίδου τῆς σῆς ἀπολαύειν φιλίας, ἡ δὲ οὐδὲν τοιοῦτον ἡμῖν ἐχαρίσατο. Καὶ τοῦτό μοι παρὰ τῆς ἀρρωστίας, ἥ με κατέχει πεδήσασα καὶ πρὸς πολλὰ ποιεῖ δυσκίνητον ἢ ἀκίνητον, εἰ χρὴ λέγειν τὸ ἀληθέστερον. Ταύτην μὲν οὖν τὴν ζημίαν λυπούμενοι μὲν οἴσομεν· τί δὲ οὐ φέρει τῶν ἀνιαρῶν ἄνθρωπος; Μόνον ὑγιαίνοις καὶ πράττοις τὰ κατὰ νοῦν καὶ ἐν χειρὶ Θεοῦ εἴη τὰ σά· ἔσται δέ, εἰ γνησίως αὐτοῦ λαμβάνοιο. Τὴν δὲ κυρίαν, τὴν κοινὴν ἡμῶν ἀδελφὴν τάχιστα ἡμῖν

ἀποπέμψασθαι θέλησον, ὡς κοινὸν ἔρεισμα καὶ τῶν εὐλαβῶν καὶ τῆς ἀσθενείας τῆς ἡμετέρας· ἢ πολλά σου τῆς Σακερδώτιδος καταβοησόμεθα, δι' ἣν ζημιούμεθα καὶ καλέσομεν αὐτὴν τῇ οἰκείᾳ προσηγορίᾳ. Γνώσῃ δὲ ἥ τις, παρ' αὐτῆς πυθόμενος.

211
ΚΥΡΙΑΚΩ

153 Τιμᾷς τοὺς εὐλαβεῖς, εὖ οἶδα, καὶ πτωχοὺς εὖ ποιεῖς. Τούτων ἀμφοτέρων σοι νῦν καιρός. Ἔχει γὰρ οὕτως· ὁ τιμιώτατος καὶ θεοφιλέστατος υἱὸς ἡμῶν Σακερδώς, ὁ συμπρεσβύτερος, πτωχείου προέστηκε τῶν ἐπισήμων πολυανθρώπου, εὐσεβείας τε ἕνεκα καὶ τῆς εἰς τὸ πρᾶγμα σπουδῆς. Ἔστι δὲ τῶν ὑπηρετουμένων τῷ πτωχείῳ κτήματα Λυριάνδος καὶ Καβερίνα ὁμοροῦντα τόποις τοῖς τῆς οἰκίας, ἐξ ἐπιδόσεως τοῦ τιμιωτάτου Κάστορος, τῷ πτωχείῳ τι συνεισφέροντα. Ταῦτα πάσης ἐπηρείας ἐλευθερώσας, μέρος οὐκ ἐλάχιστον συνεισοίσεις καὶ τοῖς πτωχοῖς τῆς θεραπείας καὶ σεαυτῷ τῆς ἀντιδόσεως ἣν οἶδας ὀφειλομένην τοῖς εὐσεβέσι. Δῆλον δὲ ὅτι ἅπαξ ὁρμήσας εἰς τὴν εὐεργεσίαν καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας ποιήσῃ πρόνοιαν, ὡς μηδὲ βουλομένῳ τινὶ ἐξεῖναι κακὸν γενέσθαι περὶ τοὺς τόπους, τρόπον ὃν ἂν ἐπινοήσειεν ἡ σὴ σύνεσις.

212
ΣΑΚΕΡΔΩΤΙ

[349] Προσαγορεύω σε τὴν νέαν ἡμῶν ἐλπίδα, τὸν πολιὸν ἐν νεότητι· καὶ πᾶν ὅ τι σοι κάλλιστον βούλομαί τε καὶ εὔχομαι. Τῶν δὲ καλῶν τὸ πρῶτον οὐκ ἀγνοεῖς· ὅπερ ἐστὶν ἀεὶ Θεὸν κτᾶσθαι καὶ γίνεσθαι κτῆμα Θεοῦ διὰ τῆς πρὸς αὐτὸν οἰκειώσεώς τε καὶ ἀναβάσεως· ὃ καὶ σεαυτὸν οἶδ' ὅτι νουθετήσεις τε καὶ νενουθέτηκας.

213
ΤΩ ΑΥΤΩ

154 Εἴ σοι μηδὲν ἠλπίζετο δυσχερές, ἡνίκα φιλοσοφίᾳ προσέβαινες, φιλόσοφος ἡ ἀρχὴ καὶ τοὺς πλάστας μέμφομαι. Εἰ δὲ ἠλπίζετο, εἰ μὲν οὐκ ἀπήντησε, τῷ Θεῷ χάρις· εἰ δὲ ἀπήντησεν, ἢ καρτέρει πάσχων ἢ ἴσθι ψευδόμενος τὴν ὑπόσχεσιν.

214
ΤΩ ΑΥΤΩ

Οὐ δόκιμον τὸ ἀπείραστον· τὸ δὲ βασανισθὲν ἐν τοῖς πράγμασι δοκιμώτερον, ὡς ἐν καμίνῳ χρυσός. Εἰ μὲν ἱκανῶς σοι τοῦτο πεφιλοσόφηται, τῷ Θεῷ χάρις, εἰ δὲ οὔπω τελείως, ἐμαυτὸν προτίθημί σοι καὶ τὰ ἐμά· ὑβρίσμεθα, μεμισήμεθα· τί γὰρ οὐ πεπόνθαμεν τῶν δεινῶν, ὅσον ἐπὶ τοῖς βουληθεῖσι; Εἶτα τί; τῶν λυπούντων ἡμᾶς ἀπηλλάγμεθα. Τούτων τί ἂν μεῖζον εὐεργετηθείημεν; Ταῦτ' οὖν ἐννοῶν καὶ αὐτὸς χάριν ὁμολόγει τῷ Θεῷ τῆς ἐπηρείας, εἰ καὶ μὴ τοῖς δράσασιν.

215
ΤΩ ΑΥΤΩ

[352] Τί δεινὸν ἡμῖν; Οὐδέν, ὅτι μὴ Θεοῦ καὶ τῶν θείων διαμαρτάνειν. Τἄλλα δέ, ὡς ἂν φέρῃ Θεός, οὕτως ἐχέτω, εἴτε διὰ τῶν δεξιῶν ὅπλων[1] καὶ χρηστοτέρων **155** οἰκονομεῖ τῆς δικαιοσύνης ἡμᾶς, εἴτε διὰ τῶν ἀριστερῶν τε καὶ σκαιοτέρων. Οἶδε τοὺς λόγους τούτων ὁ τῆς ζωῆς ἡμῶν οἰκονόμος. Ἓν φοβηθῶμεν μόνον, τὸ μήτι παθεῖν ἀφιλόσοφον. Ἐπτωχοτροφήσαμεν, ἐφιλαδελφήσαμεν, ψαλμῳδίαις ἐνετρυφήσαμεν, ἕως ἐξῆν. Οὐ συγχωρούμεθα τοῦτο· ἄλλο τι φιλοσοφήσωμεν, οὐ πενιχρὰ ἡ χάρις· ἰδιάσωμεν, θεωρήσωμεν, τὸν νοῦν καθάρωμεν ταῖς θείαις ἐμφάσεσιν, ὃ τάχα καὶ τῶν προειρημένων ὑψηλότερον. Ἡμεῖς δὲ οὐχ οὕτως ἔχομεν, ἀλλ' ὅτι τοῦ ἑνὸς διημάρτομεν, τοῦ παντὸς ἐκπεπτωκέναι νομίζομεν; Μὴ οὕτως, ἀλλ' ἔτι κρατῶμεν τῆς χρηστῆς ἐλπίδος· ἴδωμεν εἴ τι ἡμῖν ὑπολειπόμενον καὶ μὴ ταὐτὸν πάσχωμεν τοῖς πώλοις, οἳ τῷ μὴ συνειθίσθαι ταῖς πτόαις πρὸς τοὺς ψόφους ἐξαγριαίνοντες τοὺς ἐπιβάτας ἑαυτῶν καταβάλλουσιν.

216
ΕΥΔΟΚΙΩ

Ὁ σύμπνους, καὶ συμπαθής· τὸ δὲ συμπαθές, καὶ γνήσιον· τὸ γνήσιον δέ, καὶ εἰς συμβουλὴν ἀξιόπιστον. Ἐπειδὴ τοίνυν ἡμεῖς μὲν ἀρχαιότεροι τὴν **[353]** εὐσέβειαν καὶ πολλῶν καὶ ἀνδρῶν καὶ ἠθῶν ἐν πείρᾳ γεγόναμεν (πεῖρα δὲ μήτηρ συνέσεως), ὑμεῖς δὲ οἷον πῶλοι νεοζυγεῖς καὶ ἄρτι τῶν κατὰ Θεὸν ἀγώνων ἀρχόμενοι (τὸ δὲ ἀρχόμενον ἅπαν θερμότερον καὶ δυνατώτερον, δυναμούμενον τῇ ζέσει τοῦ πνεύματος

1. Πρβλ. Β' Κορ. 6,7.

πολλὰ μὲν κατορθῶσαι τῶν δεόντων, πολλὰ δὲ διαμαρτεῖν ἐξ ἀγνοίας), θέλησον, γενόμενος μέχρις ἡμῶν, καὶ ὡς γέροντας τιμῆσαι καὶ ὡς πατέρας αἰδεσθῆναι καὶ μεσίταις χρήσασθαι τῆς πρὸς τὸν αἰδεσιμώτατον ἀδελφὸν καὶ συμπρεσβύτερον ἡμῶν Σακερδῶτα διαφορᾶς, πάρεστι γὰρ καὶ αὐτός· ἵνα τὰ πρὸς ἀλλήλους εὖ θέμενοι καὶ τὸν ἐπίσκοπον θεραπεύσητε καὶ τὸ σκάνδαλον τῶν πολλῶν λύσητε καί, τὸ μέγιστον ἁπάντων, τὸν Θεὸν ἱλεώσησθε, μὴ πρᾶγμα τοσοῦτον καὶ οὕτως ἔνδοξον (λέγω δὲ τὴν σύμπνοιαν ὑμῶν καὶ τὰς κατὰ Θεὸν τοῦ βίου συνθήκας) οὕτως ἐν βραχεῖ καταλύσητε.

217
ΤΩ ΑΥΤΩ

156 Μετὰ τὸν πόλεμον ἡ συμμαχία· καὶ δέον βουλεύσασθαι πρότερον, εἶτα πρᾶξαι, τὴν τάξιν ἀντεστρέψαμεν· μετὰ τὴν πρᾶξιν βουλευόμεθα. Εἰ μὲν οὖν κολακεύειν ἔδει καὶ χείρω ποιεῖν, πολλὰς ἂν εὗρον κολακείας ὁδούς, ὅσῳ καὶ ῥᾷον τὸ πρᾶγμα καὶ πολλοῖς νῦν κατορθούμενον. Ἐπεὶ δὲ τὸ βλάπτειν οὐ πρὸς ἡμῶν καὶ μάλιστα ψυχὴν ἔτι νεοτελῆ καὶ ἄρτι τῷ καλῷ προσβαίνουσαν, ἄκουε τἀληθῆ. Ἀφιλόσοφος ἡ ἀρχὴ καὶ κακῶς ἠγάπησάν σε οἱ θεραπεύσαντες καὶ ὑπ' ἄλλῳ προσωπείῳ τὰ ἑαυτῶν παίξαντες. Εἰ μὲν οὖν ἀλλὰ νῦν μεταβάλοις καὶ θεραπεύσοις τὴν ἁμαρτίαν, τάχα ἄν τις ὑμῖν ἔλθοι συνούλωσις, εἰ καὶ μόγις· εἰ δ' ἐπὶ **[356]** τῶν αὐτῶν μένοις καὶ τῇ κακῇ νίκῃ μέγα φρονοίης, «Ἀλγηρὰ ἡ πληγή μου»[1], φησὶν ἡ θεία Γραφή, πόθεν ἰαθήσομαι; ποιοῦμαι γὰρ ἐμαυτοῦ τὰ ὑμέτερα. Καίπερ δὲ οὕτως ἔχων καὶ γράφων, εἰ τὴν συντυχίαν ποθεῖς, οὐκ ἀρνήσομαι.

218
ΤΩ ΑΥΤΩ

Ἐμοὶ φίλος μέν ἐστιν, ὁμολογῶ, καὶ εἴη ὁ καλός τε καὶ ἀγαθὸς Σακερδὼς ὁ συμπρεσβύτερος καὶ ταύτῃ μᾶλλον ὅτι σου περιέχεται. Οὐδὲ γὰρ ἐν οἷς ἠτιᾶτο τὸ φίλτρον ἀπέλειπεν, ἀλλ' ἀδελφικὴν μᾶλλον ἐποιεῖτο μέμψιν ἢ κατηγορίαν φιλαπεχθήμονα. Οὐ μέντοι τοσοῦτον ἀμαθῶς ἔχω καὶ προπετῶς, ὥστε δίκην δικάζειν πρὶν ἀμφοτέρων ἀκοῦσαι (μὴ τοῦθ' ὑπολάβῃς), ὅς γε καὶ δι' αὐτῆς τῆς ἐπιστολῆς, ἧς κατέγνωκας ὡς θρασείας (εἰ μὴ παρέργως ταύτην ἀνέγνως), οὐ τοσοῦτόν σου καθηψάμην ὅσον τῶν ἀναπτόντων ὑμᾶς καὶ παρακερ-

1. Ἱερ. 10,19.

δαινόντων ἐκ τῆς ὑμετέρας μικροψυχίας ἰδίαν ἀπόλαυσιν. Τί οὖν ἐστιν ὃ **157** πέπονθα; Γνοίης ἂν οὕτως. Οἱ πωλοδάμναι τοὺς πώλους γυμνάζουσι πρὸς τὰ χρώματα καὶ τοὺς ψόφους, καὶ τῶν χωρίων τὰ πρανῆ τε καὶ τὰ ὕπτια, οὐχ ἵνα πτοήσωσιν, ἀλλ' ἵνα μὴ πτοεῖσθαι διδάξωσι· τοῦτο κἀγὼ διανοηθείς, τραχυτέραν πως καὶ τὴν ἐπιστολὴν ἐποιησάμην. Πολλὰ γὰρ τὰ φιλοσοφίας γυμνάσματα· καὶ τῷ Θεῷ χάρις, ὅτι σε μὴ ἀφιλόσοφον εὗρον μηδὲ τῆς ὕλης, ἀλλ' ἥμερον ἱκανῶς καὶ τῆς ἡμετέρας αὐλῆς, ὑφ' ἧς καὶ γράφεις ἐπιεικῶς καὶ τὴν συντυχίαν ποθεῖς. Εἰ μὲν οὖν καὶ ταύτην ἡμῖν χαρίζοιο, κρεῖττον ποιεῖς καί σε δεξόμεθα, εὖ ἴσθι, πατρικοῖς ὄμμασιν· εἰ δ' ἄρα τι ὁ χειμὼν ἐμποδίζει, τῇ παραινέσει τέως σε δεξιούμεθα. Μηδὲν προτιμήσῃς ἔτι καὶ νῦν τῆς πρὸς τὸν ἀδελφὸν Σακερδῶτα φιλίας καὶ ὁμονοίας (ἐμοὶ πείσθητι), μηδ' ἄλλο τι νομίσῃς ἢ πεῖραν εἶναι τοῦ πονηροῦ τὸ γενόμενον τῇ σῇ φι**[357]**λοσοφίᾳ βασκαίνοντος. Ἀλλὰ πρὸς τὴν πρώτην πεῖραν ἀγώνισαι γενναίως καὶ ἀνδρικῶς, ἵνα μὴ δευτέραν ποιήσηται καὶ τρίτην πάλην καὶ ἄλλας ἑξῆς, ἀλλ' ἡττημένος ἀπέλθῃ καὶ ἡσχυμένος. Ἴσμεν γὰρ αὐτοῦ τὰ παλαίσματα, τῷ μακρῷ χρόνῳ τοῦτο μαθόντες, καὶ τοῖς πρὸς αὐτὸν ἀγωνίσμασι.

ΕΛΛΑΔΙΩ 20

Οὓς ποιήσομαι πρὸς σὲ λόγους ὑπ' εὐνοίας ποιήσομαι, ὥστε δίκαιος ἂν εἴην μάλιστα μὲν ἀκουσθῆναι παρακαλῶν· εἰ δ' οὖν, ἀλλὰ συγγνωσθῆναι τῆς παραινέσεως. Οὐ πολλοὶ τὴν πρᾶξιν ὑμῶν ἀποδέχονται, τὴν περὶ τὸν τιμιώτατον ἡμῶν ἀδελφὸν καὶ συμπρεσβύτερον Σακερδῶτα, ὡς ἐκ διαβολῆς τινων μᾶλλον ἢ κρίσεως οἰκείας γεγενημένην, οἳ τὴν μὲν ἀκολουθίαν τῶν πραγμάτων τυχὸν ἀγνοοῦσι, τὸ δὲ τέλος αὐτὸ καθ' αὑτὸ θεωροῦντες οὐκ ἐπαινοῦσι. Ταῦτα μὲν οὖν αὐτὸς ἂν εἰδείης. Οὐ γὰρ ἡμῶν τὰ σὰ πολυπραγμονεῖν, ὃς καὶ τοῖς ἄλλοις τὰ πρακτέα νομοθετεῖς. Ἡμεῖς δὲ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, τὸ μὲν πρῶτον συγχωρῆσαι τῷ ἀνδρὶ πᾶσαν τὴν ἐπιμέλειαν ὧν ἐφρόντιζεν· οὐδὲ γὰρ οὕτω ῥᾴδιόν τινι φιλοσοφῆσαι, κἂν ὁ καρτερικώτατος ᾖ καὶ φιλοσοφώτατος, **158** ὥστε πόνων τοσούτων καὶ συνηθείας τοσαύτης ἀποστερούμενον φέρειν. Εἰ δὲ μή, τό γε δεύτερον, τὴν μὲν τῶν πτωχῶν ἐπιμέλειαν, ὡς βούλει, διαθέσθαι δι' ὧν ἂν αὐτὸς δοκιμάσῃς, τὴν δὲ τῆς μονῆς φροντίδα καὶ τῶν ἀδελφῶν ἐπ' αὐτῷ ποιήσασθαι· καὶ μὴ λυπῆσαι μὲν αὐτὸν τῇ καινοτομίᾳ, λυπῆσαι δὲ πλέον ἐκείνους τῆς συνηθείας ἀντεχομένους καὶ ὥσπερ σώματος ἑνὸς διασπασμὸν μελῶν οὐ φέροντας. Τοῦτο γὰρ καὶ πρὸς ἡμᾶς ἐλθόντες τινὲς αὐτῶν ἀπωδύραντο. Εἰ μὲν οὖν τί σοι καὶ ἀφ' ἑαυτοῦ ὁ ἀνὴρ αἰδέσιμον ἔχειν φαίνεται, ὥσπερ οὖν ἄξιον αὐτὸν δι' αὐτὸν αἰδέσθητι

καὶ τὴν πολιὰν καὶ τοὺς καμάτους, τούς τε ἄλλους, **[360]** οὓς κατὰ Θεὸν ὑπέστη πρεσβυτέραν τῆς ἡλικίας τὴν εὐλάβειαν ἐπιδεικνύμενος, καὶ τοὺς ἐπὶ τῇ πτωχοτροφίᾳ καὶ προστασίᾳ τῶν ἀδελφῶν. Εἰ δὲ τοῦτο μικρόν σοι δοκεῖ, ἀλλ' ἡμᾶς γε καὶ τὴν ἡμετέραν πρεσβείαν πάντως μὴ ἀτιμάσῃς· καὶ πρὸ πάντων τῶν ἄλλων ἄνες αὐτῷ τὴν ὀργὴν καὶ τὴν λύπην, ναὶ παρακαλῶ, καὶ ὡς πατὴρ τέκνον οἰκείωσαι· εἴ τι καὶ λελύπηκεν, ὅπερ οὐκ οἶομαι, τοῦτο ἡμῖν συγχωρήσας καὶ μηδὲν ἀνάξιον μὲν αὐτοῦ, ἀνάξιον δὲ τῆς σῆς ἡμερότητος ἢ εἰπὼν ἢ γράψας περὶ αὐτοῦ· εἰ δέ τι καὶ γέγραπται, λύσας. Μηδὲ τὴν λύπην δημοσιεύσῃς, ἣν κρύπτεσθαι βέλτιον ἢ γνωρίζειν τοῖς ἔξωθεν, ὡς ἂν τά τε ἄλλα καὶ αὐτὸν μακροθυμεῖν διδάξῃς τῷ ὑποδείγματι.

220
ΤΩ ΑΥΤΩ

Ὧν ἐπέστειλας τὰ μὲν λίαν ἥμερα καὶ φιλάνθρωπα, τὰ δὲ οὐκ ἔχω τί λέγω, πλὴν ἡμῖν λυπηρά, καὶ μάλα εἰκότως, ὡς ἐμαυτὸν πείθω. Εἴτε γὰρ δικαίως ἐγκαλεῖται ὁ ἀδελφὸς καὶ συμπρεσβύτερος ἡμῶν Σακερδώς, ὅπερ οὐκ οἶομαι, λυπηρόν. Πῶς γὰρ οὔ; τοσαύτην εὐλάβειαν καὶ τοσούτους πόνους οὕτως ἐν βραχεῖ καταλυθῆναι; Εἴτε διαβολὴ ταῦτά ἐστι παρὰ τῶν φθονούντων αὐτῷ κατα**159**σκευασθεῖσα, καὶ τοῦτο ἀνιαρόν, οὗ ἡ πολιτεία συνῆπταί σοι, τοῦτον ἀλλοτριοῦσθαι ταῖς ἐπηρείαις. Ἦν οὖν ἐν τοῖς παροῦσιν ἀρίστην γνώμην καὶ λυσιτελεστάτην ἔγνων, ταύτην ἀπόδεξαι· αὐτὸν ἔπεμψά σοι τὸν ἀδελφόν, μᾶλλον δὲ ὡρμημένον προέπεμψα δι' ἑαυτοῦ καὶ τὸ λυποῦν θεραπεύσοντα καὶ πάντα μετὰ ἀληθείας ἀναδιδάξοντα. Περὶ μὲν γὰρ τῶν ἀπολογήσασθαί φησιν ἕτοιμος εἶναι, τὰ δὲ ὡς ψεύδη κατεσκεύασται δεῖξαι. Τοῦτο γὰρ καὶ ἡμᾶς ἔπεισεν, ὡς φόβῳ Θεοῦ τοὺς λόγους ποιούμενος.

221
ΟΜΟΦΡΟΝΙΩ

[361] Ἐπὶ τὴν σύνοδον ἡμᾶς καλεῖς· ἐγὼ δὲ ηὐχόμην οὕτως ἔχειν τοῦ σώματος, ὥστε παρεῖναι ὑμῖν καὶ αὐτόκλητος, ἵνα ἴδω τὸν ἱερὸν οἶκον ὑμῶν, τὸ Χριστοῦ καταγώγιον, τὴν τῶν ἁγίων κλάδων ῥίζαν, τὴν ὡς ἀληθῶς «μητέρα τέκνων εὐφραινομένην τε»[1] καὶ εὐφραινομένων. Οἶδα τοῦτο καὶ πέπεισμαι ἐν Κυρίῳ καὶ διὰ τοῦτο λέγω θαρρῶν· καὶ εἴ τι λυπηρὸν νῦν ὑμῖν ἀπήντηκεν, οὐ

1. Ψαλ. 112,9.

μὴ γὰρ ἀποσβεσθῇ ὁ λύχνος τοῦ Ἰσραήλ[1], κἂν ταῖς αὔραις τοῦ πονηροῦ ῥιπίζηται, οὐδὲ ἡ τοῦ Θεοῦ χρηστότης ἐπὶ πλεῖον κρυφθήσεται, ἣν κρύπτει τοῖς φοβουμένοις αὐτὸν[2] λόγοις ἀρρήτοις οἰκονομίας, ἀλλ' ἐνδοξασθήσεται μᾶλλον καὶ θαυμασθήσεται διὰ τῆς ὑμετέρας ὑπομονῆς καὶ τῆς μὴ καταισχυνούσης ἐλπίδος[3]. Τοῦτο δὲ παραίνει καὶ τῷ τιμιωτάτῳ υἱῷ ἡμῶν Σακερδῶτι, μηδὲν ἀθυμεῖν μηδὲ ἀνάξιον ἑαυτοῦ τι πάσχειν, ἀλλ' οὕτω τὸν καιρὸν διαθέσθαι ὡς φιλοσοφίας ὕλην τὰ λυπηρὰ λαβεῖν. Ἔτι θεραπευσάτω τὸν τιμιώτατον ἡμῶν ἐπίσκοπον· ἔτι ῥωννύτω τοὺς ἀδελφούς, ἵνα μάλιστα μὲν μὴ καταλυθῇ τὸ ἔργον ἡμῶν ὃ προεθέμεθα ἐν Κυρίῳ, τοσοῦτόν τε ὂν καὶ οὕτω περιβόητον. Εἰ δὲ μή, τὸ γοῦν ἐπιεικὲς δείξομεν καὶ τὸν φθόνον νικήσομεν, ὡς μηδεμίαν δεδωκότες καθ' ἑαυτῶν λαβὴν τοῖς πονηροῖς ματαίως ἡμῖν ἐχθραίνουσιν[4].

222

⟨ΘΕΚΛΗ⟩

160 Ὥρμησα μὲν καὶ αὐτὸς πρὸς τὴν σὴν εὐλάβειαν, καίπερ ἀσθενοῦντος ἡμῖν τοῦ σώματος, ἐπισκεψόμενός τε ὁμοῦ καὶ τῆς καρτερίας ἐπαινεσόμενος, ἣν ἐπὶ τῷ μακαριωτάτῳ ἀδελφῷ σου φιλοσοφεῖς· τοῦτο γὰρ οὐκ ἀμφίβολον. Ἐπειδὴ δὲ ὑπό τινος περιστάσεως ἐκωλύθην, ἀναγκαίως ἦλθον ἐπὶ τὰ γράμματα καὶ συμφιλοσοφήσω σοι διὰ βραχέων τὰ σά. Πόθεν ὁ καλὸς Σακερδὼς ἡμῖν, ὁ γνήσιος τοῦ Θεοῦ παραστάτης καὶ νῦν καὶ πρότερον; Ἐκ Θεοῦ. Ποῦ δὲ Σακερδὼς νῦν; Πρὸς Θεόν, οὐκ ἀηδῶς ὑποχωρήσας, εὖ οἶδα, τῷ φθόνῳ καὶ τοῖς τοῦ πονηροῦ παλαίσμασι. Πόθεν δὲ ἡμεῖς; Οὐκ ἐκεῖθεν; Ποῦ δὲ ἡμεῖς ἀναλύσομεν; Οὐ πρὸς τὸν αὐτὸν Δεσπότην; Καὶ εἴθε μετ' ἴσης τῆς παρρησίας. Τοῦ αὐτοῦ προσκυνηταὶ **[364]** καὶ παρήχθημεν καὶ μεταχθησόμεθα, ὀλίγα ἐνταῦθα κακοπαθήσαντες ὥς γε πρὸς τὴν ἐκεῖθεν ἐλπίδα καὶ ἴσως ἵνα γνῶμεν τὴν χάριν, ἐξ ὧν ἐνταῦθα πεπόνθαμεν. Πατήρ, μήτηρ, ἀδελφός, οἱ προειληφότες, τί τοῦτό ἐστιν; Ἀριθμὸς ἐπαινετῶν ὁδοιπόρων. Τούτοις ἀκολουθήσει καὶ Θέκλα μετὰ μικρόν, ἡ τοῦ Θεοῦ δούλη καὶ ἀπαρχὴ τῶν καλῶν, ὀλίγον ὑπομείνασα, ὅσον ἐκείνους τε τιμῆσαι τῇ καρτερίᾳ καὶ πολλοῖς ὑπόδειγμα γενέσθαι τῆς περὶ ταῦτα φιλοσοφίας. Ἐπαινῶμεν οὖν τὴν αὐτὴν δεσποτείαν καὶ δεχώμεθα τὴν οἰκονομίαν τῶν πολλῶν ὑψηλότερον. Ταῦτα ἔχε νῦν ἀνθ' ἡμῶν καὶ τούτοις σύνεσο τοῖς λογισμοῖς, εἰ καὶ κρείττονας παρὰ σεαυτῇ ἀνευρίσκεις. Εἰ δέ σε καὶ κατ' ὄψιν ἰδεῖν καταξιωθείημεν μετὰ παντὸς τοῦ σοῦ καὶ περὶ σὲ πληρώματος, πλείων ἡ χάρις τῷ εὐεργέτῃ.

---

1. Πρβλ. Β' Βασ. 21,17. 2. Πρβλ. Ψαλ. 30,20. 3. Πρβλ. Ρωμ. 5,5. 4. Πρβλ. Ψαλ. 3,7. 34,19.

223
ΤΗ ΑΥΤΗ

Ἀλγεῖς ἀπολειφθέντων ἡμῶν, ὡς εἰκός· ἡμεῖς δὲ πλέον ἐπὶ τῷ χωρισμῷ τῆς σῆς εὐλαβείας. Πλὴν εὐχαριστοῦμεν τῷ Θεῷ μέχρι σοῦ φθάσαντες καὶ οὐκ ἐμεμψάμεθα τῷ κόπῳ. Εἴδομεν γάρ σου τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως **161** καὶ τὴν ἐπαινετὴν ἐρημίαν καὶ τὸν φιλόσοφον ἰδιασμόν, ὅτι πάντων χωρισθεῖσα τῶν τοῦ κόσμου τερπνῶν Θεῷ μόνῳ συνέκλεισας ἑαυτὴν καὶ τοῖς ἁγίοις μάρτυσιν, οἷς παροικεῖς, καὶ προσήγαγες τῷ Θεῷ καὶ προσάγεις μετὰ τῶν ἀγαπητῶν σου τέκνων «θυσίαν ζῶσαν, εὐάρεστον»[1]. Ταῦτα οὖν ἔστω σοι καὶ παραμυθία τῶν λυπηρῶν, ἐπεὶ καὶ Δαυὶδ ὁ μέγας ἐγκρύπτει τοῖς ἐκεῖθεν ἀγαθοῖς, εἰς ἃ πέμπει τοὺς **[365]** λογισμούς, τὰ ἐντεῦθεν ὀδυνηρά, ὅταν λέγῃ· «Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν»[2]· καὶ οὐκ ἀποτίθεται μόνον τὸ ἀλγεινόν, ὅταν μνησθῇ τοῦ Θεοῦ, ἀλλὰ καὶ εὐφραίνεται· «Ἐμνήσθην» γάρ, φησί, «τοῦ Θεοῦ καὶ εὐφράνθην»[3]. Ἀλγοῦσι καὶ οἱ τῷ κόσμῳ προστετηκότες καὶ πολὺ πλείονα τῶν τῷ Θεῷ δουλευόντων· ἀλλ' ἄμισθον αὐτοῖς τὸ ἀλγεῖν· ἡμῖν δὲ καὶ τὸ πάσχειν ἔμμισθον, ὅταν διὰ τὸν Θεὸν καρτερῶμεν.

Φέρε γὰρ ἀντισταθμήσωμεν τὰ λυπηρὰ τοῖς ἡδέσι καὶ τὰ παρόντα τοῖς μέλλουσι, καὶ οὐδὲ πολλοστὸν μέρος εὑρήσομεν ταῦτα ἐκείνων· τοσοῦτον ὑπερβάλλει τὰ χρηστότερα. Καλὸν οὖν φάρμακον ἡμῖν, ὅταν ὀδυνώμεθα, τότε μεμνῆσθαι Θεοῦ καὶ τῶν ἐκεῖθεν ἐλπίδων καὶ τὸ τοῦ Δαυὶδ πάσχειν, ἐν θλίψει πλατύνεσθαι[4], ἀλλὰ μὴ στενοχωρεῖσθαι τοῖς λογισμοῖς μηδὲ ὥσπερ νέφει τῇ λύπῃ καλύπτεσθαι, ἀλλὰ τότε μάλιστα τῆς ἐλπίδος ἔχεσθαι καὶ πρὸς τὴν ἐκεῖθεν διαβλέπειν μακαριότητα τὴν ἀποκειμένην τοῖς ὑπομένουσι. Μάλιστα δ' ἂν οὕτω πεισθείημεν ἐγκαρτερεῖν τοῖς δεινοῖς καὶ ὑπὲρ τοὺς πολλοὺς εἶναι ὅταν ἀλγῶμεν, εἰ ἐνθυμηθείημεν τί ἐπηγγειλάμεθα τῷ Θεῷ καὶ τί ἠλπίσαμεν, ὅτε τῇ φιλοσοφίᾳ προσέβημεν· πλουτεῖν; εὐθυμεῖν; εὐημερεῖν κατὰ τὸν βίον τοῦτον; ἢ ἐκ τῶν ἐναντίων θλίβεσθαι; κακοπαθεῖν; στενοχωρεῖσθαι; πάντα στέγειν, πάντα ὑπομένειν[5] διὰ τὴν τῶν μελλόντων ἐλπίδα; Ταῦτα, οἶδα, οὐκ ἐκεῖνα προσεδοκήσαμεν. Φοβοῦμαι οὖν μὴ καὶ τὰς συνθήκας τὰς πρὸς Θεὸν ψευδώμεθα, ὅταν καὶ ταῦτα ζητῶμεν ἔχειν κἀκεῖνα ἐλπίζωμεν. Μὴ καταλύσωμεν τὴν πραγματείαν, ἀλλ' ἐνέγκωμεν ταῦτα ὑπὲρ τοῦ τυχεῖν ἐκείνων. Ἔθλιψαν ἡμᾶς οἱ θλίψαντες, ἠνίασαν οἱ μεταχωρήσαντες· ἀλλ' ἡμεῖς ἀδούλωτον τοῖς πάθεσι τὴν ψυχὴν φυλάξωμεν. Οὕτω τῶν λυπούντων κρατήσομεν.

---

1. Ρωμ. 12,1. 2. Ψαλ. 26,5. 3. Ψαλ. 76,4. 4. Πρβλ. Ψαλ. 4,2. 5. Πρβλ. Α' Κορ. 13,7.

162 Κἀκεῖνο σκόπει διὰ τίνα θλιβόμεθα· οὐ διὰ τοὺς μεταστάντας; Τί δ' ἂν ποιοῦντες ἐκείνοις χαρισαίμεθα; Οὐ καρτεροῦντες; Τοῦτο **[368]** οὖν αὐτοῖς χαρισώμεθα· καὶ γὰρ πείθομαι τὰς τῶν ἁγίων ψυχὰς τῶν ἡμετέρων αἰσθάνεσθαι. Ἐπὶ πᾶσι καὶ πρὸ πάντων ἐκεῖνο λογιζώμεθα, ὅτι τῶν ἀτόπων ἐστὶν ἔξω μὲν τῆς ἀνάγκης φιλοσοφεῖν, ἐν δὲ τοῖς πάθεσιν ἀφιλοσόφους φαίνεσθαι, ἀλλὰ μὴ τοῖς πολλοῖς τύπον γενέσθαι, ὥσπερ τῆς ἐν τοῖς εὐθύμοις εὐχαριστίας, οὕτω καὶ τῆς ἐν τοῖς δεινοῖς καρτερίας. Καὶ ταῦτα γράφω, οὐχ ὡς ἀγνοῦσαν διδάσκων, ἀλλ' ὡς ἐπισταμένην ὑπομιμνήσκων. Ὁ δὲ Θεὸς τῆς παρακλήσεως[1] σέ τε ἄτρωτον φυλάξειε τοῖς πάθεσι καὶ ἡμῖν γε χαρίσαιτο πάλιν ἰδεῖν σου τὴν εὐλάβειαν καὶ διὰ τῶν ἔργων πεισθῆναι ὅτι ὁ κόπος ἡμῶν οὐκ εἰς κενὸν ἐγένετο[2], ἀλλ' ἐσμέν τι παρὰ σοὶ πλέον τῶν ἄλλων, ὡς τῆς θλίψεως ἐκοινωνήσαμεν οὕτω καὶ τῆς φιλοσοφίας κοινωνὸν λαβόντες, ὃ τάχα τῇ πολιᾷ ἡμῶν ταύτῃ καὶ τοῖς κατὰ Θεὸν καμάτοις ὀφείλεται.

224

ΑΦΡΙΚΑΝΩ

Τίσιν ἵπποι μάλιστα χαίρουσι; Δῆλον ὡς ἵπποις. Ἀετοὶ δὲ τίσιν; Οὐκ ἄλλοις ἢ ἀετοῖς. Κολοιὸν δὲ ποτὶ κολοιὸν ἰζάνειν[α] καὶ τῆς παροιμίας ἀκούεις. Οὕτω δὴ καὶ Ἀττικὸν Ἀττικοῖς οἷόν χαίρειν καὶ τὸν καλοκἀγαθίας μεταποιούμενον τῷ ταύτης ἐραστῇ καὶ προστάτῃ. Τοῦτο γὰρ ὁ ἄρχων εἶναί μοι φαίνεται, βοηθὸς ἀρετῆς καὶ ἀνταγωνιστὴς κακίας, κἂν τὴν ἀναίμακτον ἀρχὴν ἄρχῃ καθάπερ ἡμεῖς, κἂν τὴν μετὰ ξίφους καὶ τελαμῶνος. Αἷμα γὰρ οὐδέ σοι προσθήσομεν, ἀρετῇ κρατοῦντα γινώσκοντες, οὐ βίᾳ καθείργοντα καὶ φόβῳ μᾶλλον ἢ ἔργῳ κολάζοντα **163** τοὺς κακούς, ὅπερ τῆς ἀρίστης ὅρος ἀρχῆς. Διὰ δὴ ταῦτα σφόδρα μὲν τὸ τῆς συντυχίας ἐσπουδάζετό μοι καὶ νῦν ἔτι σπουδάζεται· οὐκ ἔχων δὲ ὅπως τούτου τύχοιμι διὰ τὴν ἀρρωστίαν, ἀναγκαίως ἦλθον ἐπὶ τὰ γράμματα καὶ τὸ κάλλιστον, ὅτι προσφθέγγομαί σε δι' ἀνδρὸς οἰκείου καὶ φίλου καὶ συγγενοῦς, τοῦ τιμιωτάτου τὰ πάντα ἐμοὶ Νικοβούλου, ὃς καὶ ἀπολογήσεταί σοι περὶ ἡμῶν (ἀξιόπιστος δὲ ὁ ἀνήρ, εἴπερ ἄλλος τις, ὅσα δὴ ἐμὲ γινώσκειν) καὶ δι' ἡμῶν ἑαυτὸν γνωρίσει τῇ σῇ τελειότητι.

---

1. Πρβλ. Β' Κορ. 1,3. 2. Πρβλ. Α' Θεσ. 3,5.
α. Ἀριστοτ., Ἠθικὰ μεγάλα Β, 11.

225
ΕΛΛΕΒΙΧΩ

[369] Οἷα ζημιούμεθα παρὰ τῆς ἀρρωστίας· προσδραμεῖν ἔδει καὶ περιπτύξασθαι καὶ τῆς παλαιᾶς ἀναμνῆσαι φιλίας καὶ συνηθείας. Ἔχει δὲ οὐχ οὕτως ἡμῖν τὰ τοῦ σώματος. Διὰ τοῦτό σοι πρόσιμεν διὰ τῶν γραμμάτων καὶ τῇ προσηγορίᾳ δεξιούμεθα. Ἐπεὶ δὲ καὶ δωροφορεῖν ἔδει τι, τοῦτο προσφέρομεν, Μάμαντα τὸν ἀναγνώστην, ὄντα μὲν ἀπὸ στρατιώτου πατρός, καθιερωθέντα δὲ τῷ Θεῷ διὰ τὸν τρόπον. Ἄφες τῷ Θεῷ καὶ ἡμῖν, ἀλλὰ μὴ συναριθμήσῃς τοῖς πλάνησι καὶ δὸς ἔγγραφον τὴν ἐλευθερίαν, ἵνα μηδὲ ὑπ' ἄλλων ἐπηρεάζηται. Δώσεις γὰρ σεαυτῷ δεξιὰς τὰς τοῦ πολέμου καὶ τῆς στρατηγίας ἐλπίδας. Ναί, παρακαλῶ, τούτου φρόντισον. Οἷς γὰρ τὰ μέγιστα ἐν χερσὶ καὶ ἐν οἷς τὸ πᾶν ταλαντεύεται, τούτοις μάλιστα φροντιστέον Θεοῦ καὶ τῆς ἐκεῖθεν ἐπικουρίας.

226
ΑΝΥΣΙΩ

Ἦκεν ἡμῖν παρὰ σοῦ γράμματα τήν τε ὑγίειαν δηλοῦντα καὶ ὅτι σοι κατὰ νοῦν ἐξέβη τὰ τῆς ἐκδημίας. Καὶ πᾶσα τῷ Θεῷ χάρις. Εἰ δὲ καὶ ἡμεῖς ἔχοιμέν τι τοιοῦτον περὶ ἡμῶν αὐτῶν ἐπιστέλλειν, πλείων ἡ χάρις.

227
ΟΥΡΣΩ

164 Ἡδὺ μὲν τὸ προσαγορεύειν τοὺς φίλους· τὸ δὲ καὶ διὰ φίλων, ἥδιον. Ὧν ἐστιν ὁ τιμιώτατος υἱὸς ἡμῶν Ἀνύσιος, ὃς καὶ τὴν ὑγίειαν ὑμᾶς εὐαγγελίσεται τὴν ἡμετέραν· εἴπερ ὑγίεια τοῦτό ἐστιν ἡ βραχεῖα πρὸς τὸ κρεῖττον ῥοπή καὶ περὶ ὧν ἠξιώθη κοινώσεται. Ὡς τό γε μέχρις ὑμῶν γενέσθαι, ὅπερ ἐπιζητεῖτε φιλικῶς καὶ γνησίως καὶ τῆς ἀγάπης ἀπολαῦσαι τῆς ὑμετέρας, ἐμοὶ μὲν ἥδιστον, εὖ ἴσθι, καὶ οἷον οὐκ ἄλλο τι τῶν σπουδαζομένων, ὡς ἴσασιν οἷς βοῶμεν τὴν ὑμετέραν δεξίωσιν. Εἰ δὲ καὶ δυνατόν, ἢ καὶ ἄλλως εὐπρεπές, ἡ σὴ δοκιμάσει σύνεσις, μήπως ἀκαιρίαν καταγνωσθῶμεν καὶ φορτικοί τισι δόξωμεν, ὡς ἄνευ λόγου παραφανέντες καὶ **[372]** προδήλου τινὸς αἰτίας. Ἐπειδὴ μὴ πείθομεν τοὺς πολλούς, ὡς ἀδόλως φιλοσοφοῦμεν καὶ πάντα δίδομεν Θεῷ τὰ ἡμέτερα.

228

ΠΑΝΣΟΦΙΩ

Τίς οὐκ ἐπαινεῖ φυτὸν ἄρτι βρύονα τοῖς ἄνθεσι; Τίνα οὐκ εὐφραίνει λήιον ἄρτι δεσμούμενον καὶ στάχυν ὥριμον ὑπισχνούμενον; Τίνα δὲ οὐ νεοτελὴς ψυχή, ἄρτι Θεῷ κοσμουμένη καὶ τὰς χοϊκὰς ἀποσείεσθαι πέδας ἀρχομένη, ἵνα μετὰ Θεοῦ γένηται καὶ ἴδῃ τὴν ἀλήθειαν, ὧν νῦν τὰς σκιὰςβ ὁρῶμεν[1]; Χαίρω μὲν οὖν διὰ ταῦτα διαφερόντως τῷ ἀγαπητῷ ἀδελφῷ καὶ συνδιακόνῳ ἡμῶν Εὐαγρίῳ, οὐκ ἀγεννῶς αὐτὸν ὁρῶν φιλοσοφίᾳ προσβαίνοντα· ἐπειδὴ φιλοσοφία καὶ τὸ σοφίας ἐρᾶν. Χαίρω δὲ ὅτι μοι καὶ τὴν σὴν προξενεῖ φιλίαν καὶ ἔτι χαρήσομαι, ἐὰν ἐπιστέλλῃς πλείονα καὶ πλείοσιν ἡμᾶς ἀμείβοιο τοῖς τῆς φιλίας γνωρίσμασιν.

229

ΤΩ ΑΥΤΩ

165 Ὅσον Ἰβήρων καὶ ἡμῶν τὸ μέσον, ἡμερῶν οὐκ ὀλίγων ὁδός· ἀλλ' ἡ φιλία καὶ τὰ διεστῶτα ποιεῖ πλησίον. Τὰ δὲ σύμβολα τῆς ἑορτῆς, ὡς ἡδέα· τὸ δὲ τῆς κλήσεως, ὅσον καὶ τὸ ποθεῖν τὴν συντυχίαν τὴν ἡμετέραν. Τί οὖν ἀντὶ τούτων ἐπεύξομαί σοι τοσοῦτον ἀγαθόν; Εἴης τοιοῦτος· εἰ δὲ δεῖ τι καὶ μεῖζον εἰπεῖν, σαὐτὸν ὑπερβάλλοις.

230

ΘΕΟΔΟΣΙΩ

Μιμούμεθα τοὺς ζωγράφους, οἳ ταῖς σκιαῖς τὰ σώματα προχαράσσοντες δευτέρᾳ καὶ τρίτῃ χειρὶ ταύτας ἀπακριβοῦσι καὶ τελειοῦσι τοῖς χρώμασι. **[373]** Πρὸς τί βλέπει μοι τὸ παράδειγμα; Ἦν ἡμῖν πρὸς ἀλλήλους φιλία καθαρά τε καὶ ἄδολος — πρᾶγμα τῶν σπανίων νῦν μάλιστα καὶ παρ' ὀλίγοις εὑρισκόμενον — καὶ ταύτην ἡμῖν ἐποίει οὔτε συγγένεια τοσοῦτον οὔτε κοινωνία πατρίδος οὔτε, ὅ φησιν Ὅμηρος, ὁ μ η λ ί κ η ἐ ρ α τ ε ι ν ή[γ], ὅσον ὁμοτροπία καὶ τὸ τοῖς αὐτοῖς χαίρειν, ὃ μάλιστα πήγνυσι τὰς φιλίας καὶ βεβαιοτέρας ἐργάζεται. Νῦν καὶ τὰ γένη συνάπτεται (σὺν Θεῷ δὲ ὁ λόγος), ἵνα τῇ φιλίᾳ προσθήκη γένηται καὶ μᾶλλον ὦμεν ἀλλήλων καὶ τοῦτο πραγματεύεται φίλτρῳ δικαίῳ βοηθῶν ὁ Θεός. Ἔχε οὖν καὶ ἡμᾶς διὰ τοῦ γλυ-

---

1. Πρβλ. Α' Κορ. 13,12.
α. Ἰλιάδ. Ρ 56. β. Πλάτωνος, Πολιτ. Ζ, 515a. γ. Ἰλιάδ. Γ 175.

κυτάτου υἱοῦ ἡμῶν Εὐφημίου καὶ ἔχομεν ὑμᾶς διὰ τῆς γλυκυτάτης ὑμῶν θυγατρός. Τὸ δ' ἑξῆς, οὐκ οἶδα ὑπὲρ τίνος μᾶλλον ἢ τίνι διαλεχθῶ, ὑπὲρ τοῦ νέου τῇ ὑμετέρᾳ τιμιότητι ἢ τῷ νέῳ περὶ ὑμῶν. Εὔνοια γὰρ πατρὸς τέκνοις ὁμότιμον. Πλὴν ἐπεύχομαι ὑμῖν ἐπὶ παντὶ βελτίστῳ γενέσθαι τὴν συζυγίαν καὶ οἵαν εἰκός, Θεοῦ συναρμόζοντος.

231
ΕΥΣΕΒΙΩ

166 Εὐώπιον ἡ φιλτάτη καὶ γάμου καιρὸς καὶ βίου κρηπὶς καὶ πατέρων εὐχαὶ πληρούμεναι. Ἡμεῖς δὲ ἄπεσμεν, οὓς μάλιστα παρεῖναι καὶ συνεύχεσθαι δίκαιον ἦν. Καίτοι καὶ ὑπεσχόμην, τὸ γὰρ ἐλπίζειν ὑπῆν τῷ ποθεῖν· ἱκανὸν δὲ εἰς ἀπάτην τὸ βούλεσθαι. Καὶ πολλάκις μὲν ὁρμήσας, πολλάκις δὲ κατοκνήσας, τέλος ἡττήθην τῆς ἀρρωστίας. Ἄλλοι μὲν οὖν καλείτωσαν ἔρωτας — ἐπειδὴ γαμικὸν καὶ τὸ παίζειν — καὶ παρθένου κάλλος γραφέτωσαν καὶ νυμφίου χάριν ἀντεγειρέτωσαν καὶ βαλλέτωσαν λόγοις μετὰ τῶν ἀνθέων τὰς παστάδας. Ἐγὼ δὲ ὑμῖν προσάσω τὸν ἐμὸν ἐπιθαλάμιον· «Εὐλογήσαι Κύριος ὑμᾶς ἐκ Σιών»[1], καὶ αὐτὸς ἁρμόσαι τὴν συζυγίαν, «καὶ ἴδοις υἱοὺς τῶν υἱέων»[2], οὐ πολὺ δ' εἰπεῖν ὅτι καὶ κρείσσονος. Τοῦτο καὶ παρὼν ἐπηυξάμην ἂν ὑμῖν καὶ νῦν ἐπεύχομαι, Τἄλλα δὲ ὑμῖν μελέτω καὶ στεφανούτω πατήρ, ὡς ηὔξατο. Τοῦτο γὰρ καὶ εἴ που γάμοις παραγεγόναμεν, ἐτυπώσαμεν· ἐκείνων μὲν εἶναι τοὺς στεφάνους, ἡμῶν δὲ τὰς εὐχάς, ἃς οἶδα μὴ τόποις ὁριζομένας.

232
ΔΙΟΚΛΕΙ

[376] Οὔτε κεκλήμεθα πρὸς τοὺς γάμους τῆς θυγατρὸς ἡμῶν καὶ πάρεσμεν καὶ συνεορτάζοντες καὶ συμπροθυμούμενοι καὶ ἐπευχόμενοι πᾶν ὑμῖν ὃ κάλλιστον. Ἓν δὲ τῶν καλῶν, παρεῖναι Χριστὸν τοῖς γάμοις (οὗ δὲ Χριστός, εὐκοσμία) καὶ τὸ γενέσθαι οἶνον τὸ ὕδωρ[3] (τὸ δέ ἐστι πάντα μεταποιεῖσθαι πρὸς τὸ βέλτιον), οὕτως, ὡς μὴ τὰ ἄμικτα μίγνυσθαι μηδὲ εἰς ταὐτὸν ἄγειν ἐπισκόπους καὶ γελωτοποιούς, εὐχὰς καὶ κρότους, ψαλμῳδίας καὶ συναυλίας. Δεῖ γάρ, ὥσπερ τἄλλα πάντα, **167** οὕτω καὶ τοὺς γάμους Χριστιανῶν ἔχειν τὸ εὔκοσμον· κόσμος δέ, ἡ σεμνότης. Ταῦτα δωροφοροῦμεν τῷ γάμῳ· σὺ δὲ ἡμῖν ἀντιδοίης τὴν εὐπείθειαν. Τὸν δὲ γαμβρόν, εἰ μὲν ἕπεται τούτοις, ἔχεις υἱόν· εἰ δὲ μή, στρατιώτην.

1. Ψαλ. 127,5. 2. Ψαλ. 127,6. 3. Πρβλ. Ἰω. 2,9.

233
ΑΒΛΑΒΙΩ

Πυνθάνομαί σε σοφιστικῆς ἐρᾶν, καὶ τὸ σχῆμα εἶναι θαυμάσιον, οἷον σοβαρὸν φθέγγεσθαι, μέγα βλέπειν, βαδίζειν ὑψηλὸν καὶ μετέωρον, τὸ λῆμά σοι φέρειν ἐκεῖσε εἰς Μαραθῶνα καὶ Σαλαμῖνα, ταῦτα δὴ τὰ ὑμέτερα καλλωπίσματα καὶ μηδὲν ἐννοεῖν ὅτι μὴ Μιλτιάδας καὶ Κυναιγείρους, Καλλιμάχους τε καὶ Λαμάχους καὶ πάντα ἐσκευάσθαι σοφιστικῶς καὶ ὅτι ἐγγύτατα τῆς ἐγχειρήσεως. Εἰ μὲν οὖν μετὰ τούτου καὶ ἀρετῆς ποιῇ τινα λόγον, ἡμέτερος εἶ καὶ καθ' ὁδόν σοι προΐοι τὰ τῆς εὐδοκιμήσεως· εἰ δὲ τὸ ὅλον εἶ σοφιστὴς καὶ τῆς ἡμετέρας ἐπιλανθάνῃ φιλίας, ὧν τε πρὸς ἀλλήλους πολλάκις περὶ τοῦ καλοῦ διελέχθημεν, ἄλλο μὲν οὐδὲν ἐρῶ δυσχερές, ἐκεῖνο δὲ εἰπεῖν ἴσως μέτριον· ἴσθι βραχέα μὲν παίζων ἐν τοῖς μειρακίοις, πλεῖστα δὲ ὑπὸ σεαυτοῦ παισθησόμενος, ἡνίκα ἂν ἔλθῃ σοι τὸ φρονεῖν, — ἀλλ' εἰς ὕστερον.

234
ΟΛΥΜΠΙΑΝΩ

[377] Τὸ πυκτίον ὅπερ εἴληφας παρ' ἡμῶν, τὰς Ἀριστοτέλους Ἐπιστολάς, ἠδυνάμην μὲν μὴ ἀνακομίσασθαι, ἀλλὰ παρὰ σοὶ μένειν ἐᾶσαι, λογίῳ τε δῶρον οἰκεῖον καὶ φιλίας ὑπόμνημα δεξιόν. Ὡς ἂν δὲ μὴ γραφὴν ἀπενέγκῃς καθ' ἡμῶν τῆς **168** εἰς ἀρχὴν παρανομίας καὶ ὕβρεως, ὡς καὶ ῥήτωρ δεινότατος καὶ δικαστὴς ἄριστος, ὅτι διαφθείρειν ἐπιχειροῦμεν δικαστὴν οὕτως ἀνάλωτον καὶ παντὸς ὑψηλότερον λήμματος, ἥκετω πάλιν ὃ δεδώκαμεν. Μισθὸν δὲ ζητοῦμεν παρὰ τῆς σῆς λογιότητος ἄλλο μὲν οὐδὲν (τί γὰρ ἂν καὶ δοίης ἡμῖν τὸ μηδὲν ἔχειν φιλοσοφοῦσιν;), αὐτὸ δὲ τὸ ἐπιστέλλειν, ἵνα σοι καὶ πρὸς λόγον ᾖ τὸ τῆς ἀντιδόσεως, τὴν ἐπὶ ταῖς Ἐπιστολαῖς χάριν δι' ἐπιστολῶν διαλύοντι.

235
ΑΔΑΜΑΝΤΙΩ

Αἰτεῖς πυκτία παρ' ἡμῶν εἰς ῥητορικὴν ἀνηβάσκων, ἣν ἡμεῖς κατελύσαμεν, ἐκ Θεοῦ τε καὶ διὰ Θεὸν ἄνω νεύσαντες, ἐπειδὴ ἐχρῆν ποτε παύσασθαι παίζοντας ἡμᾶς καὶ τὰ μειρακίων ψελλιζομένους καὶ πρὸς τὴν ἀληθινὴν ἀνακύψαι παίδευσιν καὶ δοῦναι τῷ Λόγῳ τοὺς λόγους μετὰ τῶν ἄλλων ἅ ποτε εἴχομεν. Κάλλιον μὲν εἰ θεϊκὰς ᾔτεις βίβλους, ἀλλὰ μὴ ταύτας· ἐπεὶ καὶ λυσιτελεστέρας σοι καὶ οἰκειο-

τέρας ἐκείνας οἴδαμεν. Ἐπειδὴ δὲ τὰ χείρω νικᾷ καὶ μεταπείθειν οὐκ ἔστιν, ἰδού σοι καὶ τὰ πυκτία παρ' ἡμῶν ἅπερ αἰτεῖς, ὅσα τοὺς σῆτας διέφυγε καὶ τὸν καπνὸν ὑπὲρ οὗ κατέκειτο, καθάπερ τοῖς ναυτικοῖς τὰ πηδάλια[α] μετὰ τὸν πλοῦν καὶ τὴν ὥραν. Σὺ δέ μοι προεισένεγκε τῆς σοφιστικῆς μὴ μικρολόγως μηδὲ ἀνάνδρως, ἀλλὰ λίαν ἐπιδεικτικῶς καὶ γενναίως, ἐπειδὴ καὶ πολλοῦ ἄξιον ὑμῖν οἱ Κυναίγειροι καὶ Καλλίμαχοι καὶ τὰ τρόπαια, Μαραθών τε καὶ Σαλαμίς, ὑφ' ὧν αὐτοί τε εὐδαίμονες εἶναι νομίζετε καὶ ποιεῖν τοὺς νέους. Ταῦτα μὲν οὖν εἰς τοσοῦτον ἡμῖν παιζέσθω, εἰ καὶ ἔξω τοῦ καιροῦ καὶ τῆς ἡμετέρας προαιρέσεως· ἀλλ' οὖν ἐκ τῆς παλαιᾶς συνηθείας. Σὲ δὲ εἴη καὶ κτήσασθαι ταῦτα καὶ **169** χρήσασθαι εἰς καλὸν τοῖς κτηθεῖσι. Χρήσῃ δὲ οὕτω, τοῦ θείου φόβου νικῶντος τὴν ματαιότητα (ὃν πᾶσι καὶ πανταχοῦ τιμητέον), ὅσον **[380]** ἐνδέχεται, εἰ καὶ μὴ παντελῶς αὐτὴν ἀποσκευαζόμεθα. Εἰ δέ σοι ταῦτα μὲν ὀρθῶς δοκεῖ λέγεσθαι, οὐ φιλόσοφον δὲ εἶναι τὸ τιμὴν τῶν πυκτίων αἰτεῖν, σύ μοι τὰ χρήματα, λύσουσι δὲ οἱ πένητες τὴν ἀντίθεσιν.

236

ΛΙΒΑΝΙΩ ΣΟΦΙΣΤΗ

Μήτηρ πατρὶ πέπομφα παῖδας, ἡ κατὰ φύσιν τῷ κατὰ λόγους· ὅπως οὖν ἐμοὶ μελήσῃ, σοὶ μελήσει.

237

ΜΑΚΕΔΟΝΙΩ

Οὐκ ἄπληστοι περὶ τὸ πάσχειν εὖ παρὰ τῶν φίλων ἡμεῖς, εἰ καὶ σὺ πρὸς τὸ ποιεῖν ἄφθονος· διὰ τοῦτό σοι τὸν ψάλτην ἀπεπεμψάμην κατὰ τὰ συγκείμενα, βέλτιστόν τε ἄλλως ὄντα (ὅσον ἐν βραχεῖ χρόνῳ καταμαθεῖν) καί σοι κεχαρισμένον ἴσως διὰ τὴν ψαλμῳδίαν ὑπόμνησιν ἔχουσαν ἀεὶ Θεοῦ καὶ τῆς σωτηρίας. Εἰ δὲ καὶ πάλιν εὐεργετήσεις ἡμᾶς, ἡνίκα ἂν ᾖ τοῦτό σοι φίλον καὶ καιρὸς φαίνηται, ποιήσεις ἄμεινον καὶ μᾶλλόν τι τῆς σῆς τοῦτο φιλίας.

α. Πρβλ. Ἡσιόδου, Ἔργα καὶ ἡμέραι 45,629.

238

ΤΗ ΕΥΛΑΒΕΣΤΑΤΗ ΚΑΙ ΔΙΑ ΠΑΝΤΑ ΚΕΚΟΣΜΗΜΕΝΗ ΕΝ ΧΡΙΣΤΩ ΑΔΕΛΦΟΤΗΤΙ ΤΗ ΚΑΤΑ ΣΑΝΝΑΒΟΔΑΗΝ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΛΕΥΚΑΔΙΟΥ ΕΝ ΜΟΝΑΖΟΥΣΙ ΚΑΙ ΠΑΡΘΕΝΟΙΣ ΗΓΙΑΣΜΕΝΟΙΣ ΕΝ ΧΡΙΣΤΩ ΙΗΣΟΥ, ΓΡΗΓΟΡΙΟΣ ΕΝ ΚΥΡΙΩ ΧΑΙΡΕΙΝ

170 Τὸ μὲν γενόμενον κατ' οἰκονομίαν Θεοῦ εὐχαριστίας οὐ δακρύων ὑπόθεσίς ἐστι τοῖς γε νοῦν ἔχουσι, τὸ ἔξωθεν τοῦ σταδίου γενέσθαι τὸν ἀθλητὴν μετὰ τῆς καλῆς ἀγωνίας, ἧς ἠγωνίσατο καὶ παραληφθῆναι παρὰ τοῦ ἀγωνοθέτου[1], ὥστε ἀπολαβεῖν τὸν τῆς δικαιοσύνης στέφανον[2] καὶ πλεονάσαι **[381]** δι' ἑαυτοῦ τὸν τῶν ἀγγέλων χορόν. Πάντα ταῦτα καὶ τὰ τοιαῦτα χαρᾶς καὶ εὐφροσύνης ἀφορμὴ τοῖς πρὸς τὴν ἀλήθειαν βλέπουσι κατὰ τὸ Εὐαγγέλιον γίνεται. Ἐπειδὴ δὲ συνήθειά τις ἐκράτησεν, ὥστε καὶ σκυθρωπάζειν ἐπὶ τῇ μεταστάσει τῶν ἁγίων καὶ τῆς παρὰ τῶν ἀγαπητῶν παρακλήσεως ἀξιοῦσθαι, τούτου ἕνεκεν σκυθρωπὸν μέν τι καὶ κατηφὲς οὔτε λαλῆσαι καταδεχόμεθα, οὔτε ὑμῖν συμβουλεύομεν ὑποσχεῖν τὰς ἀκοὰς τοῖς τοιούτοις τῶν λόγων, τὴν δὲ χρεωστουμένην παράκλησιν ἀποπληροῦμεν ἐν τῷ συμβουλεῦσαι τῇ κοσμιότητι ὑμῶν ἀεὶ πρὸς ἐκεῖνον βλέπειν διὰ τοῦ πρὸς ἀλλήλους ὁρᾶν· τοῦτο γὰρ εὐχόμεθα ἕκαστον καὶ ἑκάστην τῷ βίῳ τοῦ μακαρίου μορφωθῆναι, ὥστε ὅταν ἀλλήλους ὁρᾶτε πληροφορεῖσθαι ὑμᾶς, ὅτι τῷ ἐκείνου χαρακτῆρι ἐνατενίζετε. Μορφούτω τὴν ζωὴν ὑμῶν τὸ ἐκείνου καθαρόν, τὸ ἀόργητον, ἡ ταπεινοφροσύνη, ἡ ἐνεργὴς φιλοσοφία, τὸ ἀεὶ πρὸς τὸν Θεὸν συντεταμένην τὴν ψυχὴν ἔχειν, τὸ μὴ πρὸς τὰς ἀπάτας τοῦ βίου τούτου ἐμμετεωρίζεσθαι, ἵνα ταῦτα ἐν ἀλλήλοις βλέποντες τὸ ἐκείνου μνημόσυνον ἐν ἑαυτοῖς ζωγραφήσητε, καὶ οὔτε ἐκεῖνος οὔτε ὑμεῖς ἐν θανάτῳ γενήσεσθε. Ἐν γὰρ τῷ ὑμετέρῳ βίῳ κἀκεῖνος ζῶν διαπαντὸς ἐπιδειχθήσεται καὶ ὑμεῖς διὰ τῆς ἀγαθῆς πολιτείας τῆς **171** τοῦ θανάτου κοινωνίας ἀλλοτρίους ἑαυτοὺς καταστήσετε. Ἐρρωμένους ὑμᾶς, ψυχῇ καὶ σώματι προκόπτοντας, ἐν τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος ὁ Κύριος σκεπάζοι μεμνημένους ἡμῶν ἐν ταῖς προσευχαῖς.

239

ΕΠΙΦΑΝΙΩ

Νόμῳ προκαλοῦμαι νόμον, τὸν κελεύοντα τιμᾶσθαι πατέρας τῷ κελεύοντι διδάσκεσθαι παῖδας. Νῦν μὲν οὖν ἐξηγοῦμαί σοι πρὸς τὰ κάλλιστα καὶ οἷον δεξιὰν φιλίας δέχου τὰ γράμματα. Εἰ δὲ ἀντεπι-

1. Πρβλ. Α' Κορ. 9,24-27. 2. Πρβλ. Β' Τιμ. 4,8.

θείης καὶ πολλάκις τοῦτο ποιεῖν βουληθείης, ἴσως ποιήσεις καὶ γέροντα αἰχμητήν, οὐδὲν τοῦ Νέστορος ἀγεννέστερον.

240
ΜΕΛΕΤΙΩ

Οὔτε ἐδεξάμην σου γράμματα πώποτε, τοσοῦτος ἐξ οὗ χρόνος ἤδη, πῶς οἴει ποθῶν· οὔτε **[384]** ἐπέσταλκα, πείθομαι δὲ ὅτι καὶ αὐτῷ ποθοῦντι. Ὢ τῆς ἀργίας, ἵνα μὴ λέγω τῆς ἀναλγησίας· μικρὸν καὶ ὁ Ἀργανθώνιος[α] ἡμῖν εἰς ὕπνου λόγον, οὕτως ἐκαθευδήσαμεν. Ποῦ μὲν ὁ θίασος ἡμῖν ἐκεῖνος; Ποῦ δὲ οἱ κοινοὶ λόγοι καὶ σύλλογοι καὶ ἡ γλυκεῖα πηγὴ καὶ ἄφθονος, ἀφ' ἧς ἠρυόμεθα; Ἐγὼ μὲν οὖν καὶ διανίσταμαι καὶ τὴν κόνιν ἀποσείομαι, κατὰ τοὺς Ἀχιλλέως ἵππουςβ, ὀψὲ γοῦν (ὀκνῶ γὰρ εἰπεῖν) καὶ τὴν χαίτην ἀνασείομαι. Μή με κωμῳδεῖν ὑπολάβῃς. Σοὶ δὲ εἴ τι μέλει τῆς ἡμετέρας φιλίας, ἐξ ὧν ἐπιστέλλεις δηλωθήσεται.

241
ΑΒΟΥΡΓΙΩ*

172 Διάττειν σε ὡς τοὺς ἀστέραςγ, ἄλλοτε κατ' ἄλλο μέρος τῆς βαρβαρικῆς ἀνίσχοντα, νῦν μὲν σιτηρέσια τῷ στρατιωτικῷ παρέχοντα, νῦν δὲ βασιλεῖ φαινόμενον μετὰ λαμπροῦ τοῦ σχήματος, ἢ τῶν ἀγαθῶν ἄγγελος φήμη ἀγγέλλουσα ἡμῖν οὐ διαλείπει. Εὐχόμεθα δὲ τῷ Θεῷ κατὰ λόγον μέν σοι προϊοῦσαν τὴν ἐπιχείρησιν, ἐπὶ μέγα σε προελθεῖν ἀξίωμα καὶ φανῆναί ποτε τῇ πατρίδι σου, ἕως ἐσμὲν ὑπὲρ γῆς καὶ τὸν ἀέρα τοῦτον ἀνέλκομεν[1]. Τοσοῦτον γὰρ μέτεστιν ἡμῖν τοῦ βίου, ὅσον ἀναπνεῖν μόνον.

242
ΠΕΤΡΩ

Πλεῖστον ἐμακρύναμεν ἀπ' ἀλλήλων, μήτε κατ' ὄψιν πλησιάσαντες μήτε δι' ἐπιστολῶν ὁμιλήσαντες. Θαρρῶ δὲ ὅτι σωμάτων ἐστὶν ἡ διάστασις, ἀλλ' οὐ πνεύματος. Ἀλλὰ νῦν ὅτε καιρὸς καὶ προσαγορεύω σου τὴν εὐλάβειαν καὶ προσεύχεσθαι περὶ ἡμῶν ἀξιῶ καὶ γήρᾳ καὶ νόσῳ καμνόντων καὶ ἀγωνίᾳ τῆς πολιτείας καὶ τῆς ἐκδημίας.

---

* Ἡ ἐπιστολὴ αὕτη ἀνήκει εἰς τὸν Μέγαν Βασίλειον· (ἰδὲ ΒΕΠ 55,219).

1. Πρβλ. Ψαλ. 118,131.

α. Πρβλ. Ἡροδ. Κλειὼ I 163. β. Ἰλιάδ. Ρ 457. γ. Πλάτωνος, Πολιτ. I, 621b.

243
ΠΡΟΣ ΕΥΑΓΡΙΟΝ ΜΟΝΑΧΟΝ ΠΕΡΙ ΘΕΟΤΗΤΟΣ *

244
ΒΑΣΙΛΙΣΣΗ

173 [385] Εἰ μὴ περιττὸν τὴν πονοῦσαν ἐγεῖραι πρὸς πόνους, οὐκ ὀκνήσω, τῆς κοινῆς ἕνεκεν ἀσφαλείας, ὅπως ἂν δύνωμαι, τὴν σὴν ἐπιρρῶσαι προθυμίαν οὐ κατὰ προσθήκην ἑτέρων τινῶν ἢ ξένων παραγγελμάτων, ἀλλὰ πρὸς ὑπόμνησιν τῶν ἡμῖν τε πολλάκις εἰρημένων καὶ σοὶ συνήθως ἐκπονουμένων. Ταῦτα δέ ἐστιν· ἄγειν τὴν ψυχὴν τῶν λυπηρῶν ἀνωτέραν τῇ περὶ τὰ κράτιστα διατριβῇ, ἀποκρίνειν τῆς διανοίας πᾶν ὅσον ἀρετῆς ἀλλότριον καὶ τῆς σῆς ἀνάξιον γνώμης, συντείνειν ἑαυτὴν πρὸς εὐσέβειαν καὶ πᾶσαν εὐκοσμίαν, λεπτύνειν τὸν νοῦν εἰς τὸ μηδὲν μήτε δέχεσθαι μήτε φρονεῖν ἀνεξέταστον, κρατύνειν τὴν φρόνησιν κατὰ πάντα καιρὸν καὶ πάντα τρόπον τῷ προσομιλεῖν ἀεὶ ταῖς τῶν προλαβόντων ὑποθήκαις ὁσίων, προτάττειν πάσης ἀπεχθείας καὶ φιλίας τὴν πρὸς τοὺς οἰκείους καὶ ξένους δικαιοσύνην, σύνοικον ἔχειν καὶ συνόμιλον πάντοτε τὴν σωφροσύνην ἐρριζωμένην εἰλικρινῶς τῇ ψυχῇ καὶ παγίως ἱδρυμένην, μὴ συμμεταβάλλειν τὸν τρόπον ταῖς ἀνωμαλίαις τοῦ βίου καὶ μεταβολαῖς· οὔτε γὰρ ἐν πενίᾳ τὸ φρόνημα τοῦ βίου συστέλλειν εὐπρεπὲς οὔτε ἐν περιουσίᾳ μέγα φρονεῖν ἀσφαλές, διὸ δὴ κράτιστον ἀσκεῖν ἐν μὲν τοῖς τέρπουσι τὴν ἐγκράτειαν, ἐν δὲ τοῖς λυπηροῖς τὴν καρτερίαν· ἀμνημονεῖν τῆς παλαιᾶς περιουσίας, αἰτεῖν τὴν αὐτάρκειαν, στέργειν τὸ διδόμενον, ἐλπίζειν τὸ βέλτιον καὶ φέρειν πράως τὴν τοῦ σώματος ἀρρωστίαν, ἐπὶ μηδενὶ μεμψιμοιρεῖν, μηδὲ σχετλιάζειν, ἀλλ᾽ εὐχάριστον εἶναι περὶ τὴν Πρόνοιαν, ὅση τις εἴη, καὶ κρύπτειν πολλάκις τὰς αἰτίας τῶν γινομένων, ἀλλ᾽ οὐκ ἀμελεῖν τοῦ πρὸς ἀξίαν, πρὸς ἣν ἀποδιδοῦσα λογίζου πρὶν ἐξειπεῖν τὸ λεκτέον **[388]** καὶ πρὸ τοῦ πρᾶξαι τὸ πρακτέον· οὕτω γὰρ δὴ ἔσται σοι πᾶν τὸ ῥηθὲν ἢ πραχθὲν ἀμεταμέλητον. Εὐσχημονεῖν ἡγοῦ μὴ τοῖς ἔξωθεν προκαλύμμασιν, ἀλλὰ τοῖς τῆς ψυχῆς πλεονεκτήμασιν. Πλοῦτον νόμιζε γνήσιον καὶ βέβαιον τὴν ὀλιγόδειαν· οὐ γὰρ ἐν τῷ πολλὰ κεκτῆσθαι τὸ πλουτεῖν ἐστι βεβαίως, ἀλλὰ τῷ μὴ πολλῶν δεῖσθαι· τὸ μὲν γὰρ ἐπὶ σοί, τὸ δὲ τῶν ἔξωθεν. Ῥύθμιζε τὸν μὲν τρόπον ἐπιεικείᾳ, τὸ δὲ ἦθος ἀταραξίᾳ, τὴν δὲ γλῶσσαν βραχυλογίᾳ. Διὰ δὲ τούτων κόσμει τὴν μὲν κεφαλὴν τῷ σκέπειν, τὰς δὲ ὀφρῦς τῷ κατεσταλμένας ἔχειν, τοὺς δὲ ὀφθαλμοὺς τῷ συννεύειν καὶ κοσμίως βλέπειν, τὸ δὲ στόμα τῷ μηδὲν ἀπρεπῶς λαλεῖν, τὰ δὲ ὦτα τῷ **174** μόνον τοῖς σπουδαίοις ὑπέχειν, σύμπαν δὲ τὸ πρόσωπον τὸ ἐξ αἰδοῦς χρώματι. Ἐν πᾶσι δὲ καὶ διὰ πάντων φύλασσε σεαυτὴν

* Ἡ ἐπιστολὴ αὕτη ἀνήκει εἰς τὸν Γρηγόριον Νύσσης.

ἀμόλυντον, ὥσπερ τι κειμήλιον ἄψαυστον. Κόσμος γὰρ οἰκεῖος καὶ πρέπων γυναιξὶ σεμνότης, εὐστάθεια, σωφροσύνη. Τρυφὴν νόμιζε καλλίστην ὁμοῦ καὶ ῥᾴστην τὴν χρειώδη τροφήν· αὕτη γὰρ καὶ καθ' ἑαυτὴν ἐπαινετὴ καὶ πρὸς τὸν ἐν σωφροσύνῃ βίον αἱρετὴ καὶ πρὸς ὑγίειαν ἀρίστη, καὶ συμμετρίαν καὶ τὴν ἄλλην εὐκοσμίαν καὶ παιδείαν οὐκ ἀνόνητος.

245

ΒΑΣΙΛΕΙΩ

Ὁ παρ' ὑμῖν μῖμος, παρ' ἡμῖν δὲ εὐλαβής, ἤττησέ με γράψαι πρὸς ὑμᾶς λαμπρῶς ἀκουσθῆναι.

246

⟨ΒΑΣΙΛΕΙΩ⟩

Πρᾶγμα μὲν ὑπέστης ἐπιεικῶς ἥμερον καὶ φιλάνθρωπον τὴν τοῦ καταφρονητοῦ Γλυκερίου (τέως γὰρ οὕτω γράφομεν) αἰχμαλωσίαν συναγαγὼν καὶ τὴν κοινὴν ἀσχημοσύνην ἡμῶν, ὡς οἷόν τε ἦν, συγκαλύψας. Δεῖ δὲ ὅμως τὴν σὴν **175** εὐλάβειαν, μαθοῦσαν τὰ κατ' αὐτόν, οὕτω λῦσαι τὴν ἀτιμίαν. Οὗτος ὁ νῦν σοβαρὸς καὶ σεμνὸς ὑμῖν Γλυκέριος ἐχειροτονήθη μὲν παρ' ἡμῶν τῆς κατὰ Οὐήνασαν Ἐκκλησίας διάκονος, ὡς καὶ τῷ πρεσβυτέρῳ διακονήσων καὶ τοῦ ἔργου τῆς Ἐκκλησίας ἐπιμελησόμενος. Καὶ γάρ ἐστιν, εἰ καὶ τὰ ἄλλα δύστροπος ὁ ἀνήρ, ἀλλὰ τὰ ἐπίχειρα οὐκ ἀφυής. Ἐπεὶ δὲ κατέστη, τοῦ μὲν ἔργου τοσοῦτον ἠμέλησεν ὅσον οὐδὲ τὴν ἀρχὴν γεγονότος. Παρθένους δὲ ἀθλίας συναγαγὼν κατ' ἰδίαν ἐξουσίαν καὶ αὐθεντίαν, τὰς μὲν ἑκούσας προσδραμούσας αὐτῷ (οἶσθα δὲ τὸ τῶν νέων περὶ τὰ τοιαῦτα πρόχειρον), τὰς δὲ ἀκούσας ἀγελαρχεῖν ἐπεχείρησε καὶ πατριαρχίας ὄνομα καὶ σχῆμα ἑαυτῷ περιθεὶς ἐξαίφνης ἐσοβαρεύσατο, οὐκ ἔκ τινος ἀκολουθίας δικαίας ἢ εὐσεβείας ἐπὶ τοῦτο ἐλθών, ἀλλ' ἀφορμὴν βίου ταύτην ὥσπερ ἄλλος ἄλλην τινὰ προστησάμενος καὶ μικροῦ τὴν Ἐκκλησίαν πᾶσαν ἀνάστατον πεποίηκε, περιφρονῶν μὲν τὸν ἑαυτοῦ πρεσβύτερον, ἄνδρα καὶ πολιτείᾳ καὶ ἡλικίᾳ αἰδέσιμον, περιφρονῶν δὲ τὸν χωρεπίσκοπον καὶ ἡμᾶς, ὡς οὐδενὸς ἀξίους, θορύβων δὲ ἀεὶ καὶ ταραχῶν πληρῶν τὴν πόλιν καὶ σύμπαν τὸ ἱερατεῖον. Καὶ τέλος, ἵνα τι λόγῳ μικρὸν ἐπιτιμηθῇ παρ' ἡμῶν καὶ τοῦ χωρεπισκόπου πρὸς τὸ μὴ καταφρονεῖν αὐτὸν (καὶ γὰρ καὶ τοὺς νέους ἐγύμναζεν εἰς τὴν αὐτὴν ἀπόνοιαν), πρᾶγμα διανοεῖται λίαν τολμηρὸν καὶ ἀπάνθρωπον. Συλήσας τῶν παρθένων ὅσας ἠδύνατο καὶ νύκτα τηρήσας δραπέτης γίνεται. Πάνυ σοι δεινὰ ταῦτα φανεῖται. Σκόπει καὶ τὸν καιρόν. Ἡ-

γετο μὲν ἡ ἐκεῖσε σύνοδος καὶ πολὺ πανταχόθεν, ὡς εἰκός, ἐπέρρει τὸ πλῆθος. Ὁ δὲ ἀντεξῆγε τὸν ἑαυτοῦ χορὸν νέοις ἑπόμενον καὶ περιχορεύοντα καὶ πολλὴν μὲν κατήφειαν κινοῦντα τοῖς εὐλαβέσι, πολὺν δὲ γέλωτα τοῖς ἀκρατέσι καὶ τὴν γλῶσσαν ἑτοιμοτέροις. Καὶ οὐκ ἀρκεῖ ταῦτα, καίπερ τηλικαῦτα ὄντα τὸ μέγεθος, ἀλλ' ἔτι καὶ τοὺς γονεῖς, ὡς πυνθάνομαι, τῶν παρθένων τὴν ἀτεκνίαν οὐ φέροντας καὶ τὴν διασπορὰν ἐπαναγαγεῖν βουλομένους καί μετ' ὀδυρμῶν προσπίπτοντας, ὡς τὸ εἰκός, ταῖς ἑαυτῶν θυγατράσι περιυβρίζει καὶ ἀτιμοῖ ὁ θαυμαστὸς νεανίσκος μετὰ τοῦ ληστρικοῦ συντάγματος. Ταῦτα μὴ **176** ἀνεκτὰ φανήτω τῇ σῇ εὐλαβείᾳ· καὶ γὰρ κοινὸς πάντων ἡμῶν ὁ γέλως· ἀλλὰ μάλιστα μὲν αὐτὸν κέλευσον μετὰ τῶν παρθένων ἐπανελθεῖν. Τύχοι γὰρ ἄν τινος φιλανθρωπίας, εἰ μετὰ σῶν ἐπανήκοι γραμμάτων· εἰ δὲ μή, τὰς γε παρθένους ἀπόπεμψον τῇ μητρὶ αὐτῶν τῇ Ἐκκλησίᾳ. Εἰ δὲ μὴ τοῦτο, τάς γε βουλομένας τυραννεῖσθαι μὴ συγχωρήσῃς, ἀλλ' ἐπανελθεῖν τύπωσον πρὸς ἡμᾶς, ἢ μαρτυρόμεθα καὶ Θεὸν καὶ ἀνθρώπους, ὅτι μὴ καλῶς ταῦτα γίνεται μηδὲ θεσμοῖς Ἐκκλησίας. Γλυκέριος δὲ εἰ μὲν ἐπανέλθοι μετ' ἐπιστήμης καὶ τῆς πρεπούσης εὐσταθείας, τοῦτο ἄριστον· εἰ δὲ μή, ἵστω πεπαυμένος τῆς ὑπηρεσίας.

247

ΓΛΥΚΕΡΙΩ

Μέχρι τίνος ἀπονοῇ καὶ κακῶς βουλεύῃ περὶ σεαυτοῦ, κινεῖς μὲν ἡμᾶς, αἰσχύνεις δὲ τὸ κοινὸν τάγμα τῶν μοναστῶν; Ἐπάνελθε οὖν τῷ Θεῷ θαρρῶν καὶ ἡμῖν, οὗ τὴν φιλανθρωπίαν μιμούμεθα. Καὶ γὰρ εἰ πατρικῶς ἐπετιμήσαμεν, ἀλλὰ καὶ συγγνωσόμεθα πατρικῶς. Ταῦτά σοι παρ' ἡμῶν, ἐπειδὴ πολλοί τε ἱκετεύουσιν ἄλλοι καὶ πρὸ τῶν ἄλλων ὁ σὸς πρεσβύτερος, οὗ τὴν πολιὰν αἰδούμεθα καὶ τὴν εὐσπλαγχνίαν. Εἰ δὲ μακρύνεις ἀφ' ἡμῶν, τοῦ βαθμοῦ μὲν πάντως ἐκπέπτωκας, ἐκπεσῇ δὲ καὶ τοῦ Θεοῦ μετὰ τῶν μελῶν σου καὶ τῆς στολῆς, οἷς ἄγεις τὰς νέας οὐ πρὸς Θεόν, ἀλλ' εἰς βάραθρον.

248

⟨ΒΑΣΙΛΕΙΩ⟩

177 Ἐπέσταλκά σοι καὶ πρώην περὶ Γλυκερίου καὶ τῶν παρθένων. Οἱ δὲ οὐδέπω καὶ τήμερον ἐπανήκασιν, οὐκ οἶδα ὅθεν καὶ ὅπως. Οὐ γὰρ ἂν ἐκεῖνό σου καταγνοίην ὡς ἐφ' ἡμετέρᾳ διαβολῇ τοῦτο ποιεῖς ἢ αὐτὸς πάσχων τι πρὸς ἡμᾶς ἢ ἄλλοις χαριζόμενος. Ἠκέτωσαν οὖν μηδὲν δεδοικότες· σὺ γενοῦ τούτου ἐγγυητής. Καὶ

γὰρ ἀλγοῦμεν τεμνομένων τῶν μελῶν, εἰ καὶ καλῶς ἐτμήθησαν. Εἰ δὲ ἀντιτείνοιεν, ἐπ' ἄλλους τὸ βάρος, ἡμεῖς δὲ ἀποπλυνόμεθα.

249

ΦΛΑΒΙΑΝΩ ΕΠΙΣΚΟΠΩ

Οὐκ ἐν καλοῖς, ὦ ἄνθρωπε τοῦ Θεοῦ, τὰ ἡμέτερα· προϊόντα γὰρ τὰ κακὰ ἐν τοῖς τὸ ἄδικόν τε καὶ ἀπροφάσιστον καθ' ἡμῶν κινήσασι μῖσος οὐκέτι διὰ στοχασμῶν τινων ὑπονοεῖται, ἀλλ' ἐν παρρησίᾳ σπουδάζεται, καθάπερ τι τῶν ἀγαθῶν κατορθωμάτων. Ὑμεῖς δὲ οἱ τέως ἔξω ὄντες τοῦ τοιούτου κακοῦ καταρρᾳθυμεῖτε τοῦ παῦσαι νεμομένην ἐν τῇ γειτονίᾳ τὴν φλόγα, ὥσπερ οὐκ **178** εἰδότες ὅτι οἱ καλῶς περὶ τῶν ἰδίων βουλευσάμενοι τὸν τῶν γειτόνων ἐμπρησμὸν ἐν πολλῇ τῇ σπουδῇ καταστέλλουσι, δι' ὧν τοῖς πλησίον βοηθοῦσι τὸ μὴ δεηθῆναι τῆς ἐπὶ τοῖς ὁμοίοις βοηθείας πραγματευόμενοι. Τί οὖν ἐστιν ὃ λέγω; Ἐπιλέλοιπεν τὸν βίον ἡ ὁσιότης, πέφευγεν ἀφ' ἡμῶν ἡ ἀλήθεια· τῆς δὲ εἰρήνης πρότερον μὲν τὸ γοῦν ὄνομα εἴχομεν περιφερόμενον ἐν τοῖς στόμασιν, νῦν δὲ οὐ μόνον ἐκείνη οὐκ ἔστιν, ἀλλ' οὐδὲ τὸ ὄνομα αὐτῆς ἡμῖν ὑπολέλειπται. Ὡς δ' ἂν εἰδείης σαφέστερον ὑπὲρ ὧν σχετλιάζω, δι' ὀλίγων σοι τὴν τραγῳδίαν ἐκθήσομαι.

Ἦσάν τινες οἱ τὸν αἰδεσιμώτατον Ἑλλάδιον δυσμενῶς πρὸς ἡμᾶς ἔχειν καταμηνύοντες καὶ πρὸς πάντας διεξιέναι ὡς τῶν μεγίστων αὐτῷ κακῶν αἴτιος εἴην ἐγώ. Οὐκ ἐπειθόμην τοῖς λεγομένοις, πρὸς ἐμαυτὸν καὶ τὴν ἐν τοῖς πράγμασιν ἀλήθειαν βλέπων· ὡς δὲ παρὰ πάντων ὁμοφώνως τὰ αὐτὰ πρὸς ἡμᾶς ἀπηγγέλλετο καὶ συνέβαινεν ταῖς φήμαις τὰ πράγματα, πρέπειν ᾠήθην μὴ περιιδεῖν ἀθεράπευτον τὴν ἄρριζόν τε καὶ ἀφύτευτον ταύτην δυσμένειαν. Διὸ καὶ πρὸς τὴν σὴν ἐπέστειλα θεοσέβειαν καὶ πολλοὺς ἄλλους τοὺς δυναμένους συμβαλέσθαι τι πρὸς τὸ προκείμενον ἐπὶ τὴν σπουδὴν ταύτην παρώρμησα· καὶ τέλος, τὴν μνήμην τοῦ μακαριωτάτου Πέτρου παρὰ Σεβαστηνοῖς πρώτως ἀγομένην ἐπιτελέσας καὶ τὰς συνήθως παρ' αὐτῶν ἐπιτελουμένας τῶν ἁγίων μαρτύρων μνήμας κατὰ τὸν αὐτὸν χρόνον συνδιαγαγὼν ἐκείνοις, ἐπὶ τὴν ἐμαυτοῦ πάλιν ἐκκλησίαν ὑπέστρεφον. Καί τινος μηνύσαντος κατὰ τὴν ὀρεινὴν αὐτὸν ἐνορίαν διάγειν μαρτύρων ἐπιτελοῦντα μνήμας, τὰ μὲν πρῶτα τῆς ὁδοῦ εἰχόμην, εὐπρεπέστερον εἶναι κρίνων ἐπὶ τῆς μητροπόλεως γενέσθαι τὴν συντυχίαν· ὡς δέ τις τῶν γνησίων κατὰ σπουδήν μοι συντετυχηκὼς ἀρρωστεῖν αὐτὸν διεβεβαιώσατο, καταλιπὼν ἐν τῷ τόπῳ τὸ ὄχημα, ἐν ᾧ παρὰ τῆς τοιαύτης κατελήφθην φήμης, ἵππῳ τὸ μεταξὺ διῆλθον διάστημα, κρημνώδες καὶ ὀλίγου ἀπόρευτον ταῖς τραχυτάταις ἀνόδοις. Ἦν δὲ πεντεκαίδεκα σημεῖα, ὡς παρὰ τῶν ἐγχωρίων ἠκούσαμεν, οἷς τὸ ἐν τῷ μέσῳ διεμετρεῖτο διάστημα. Τούτων τὰ μὲν ἐκ ποδός, τὰ δὲ διὰ

τοῦ ἵππου μόλις διελθών, ὄρθριος, μέρει τινὶ καὶ τῆς νυκτὸς συγχρησάμενος, κατὰ τὴν πρώτην τῆς ἡμέρας ὥραν ἐφίσταμαι τοῖς Ἀνδημονοῖς· οὕτω γὰρ ὀνομάζεται τὸ χωρίον ἐν ᾧ ἦν ἐκκλησιάζων ἐκεῖνος μ ε τ ὰ ἄλλων ἐπισκόπων δύο. **179** Ἄποθεν δὲ κατιδόντες ἐξ αὐχένος τινὸς ὑπερκειμένου τῆς κώμης τὴν ἐν τῷ ὑπαίθρῳ τῆς ἐκκλησίας συνδρομήν, βάδην τὸν μεταξὺ διήλθομεν τόπον, ἐκ ποδός τε προϊόντες αὐτός τε καὶ ἡ μετ' ἐμοῦ συνοδία καὶ τοὺς ἵππους διὰ χειρὸς ἑφελκόμενοι· ὥστε φθάσαι ὁμοῦ τὰ δύο γενέσθαι, ἐκεῖνόν τε ἐκ τῆς ἐκκλησίας ἐπὶ τὴν οἰκίαν ὑποστρέψαι καὶ ἡμᾶς πλησιάσαι τῷ μαρτυρίῳ. Μηδεμιᾶς δὲ γενομένης ἀναβολῆς ἐπέμφθη παρ' ἡμῶν ὁ μηνύσων αὐτῷ τὴν παρουσίαν· καὶ μικροῦ διαγεγονότος διαστήματος ὁ ὑπηρετούμενος αὐτῷ διάκονος συνέτυχεν ἡμῖν, ὃν παρεκαλέσαμεν διὰ τάχους μηνῦσαι, ὥστε ἐπὶ πλεῖον αὐτῷ συνδιαγαγεῖν, ἐφ' ᾧ τε καιρὸν εὑρεῖν πρὸς τὸ μηδὲν περιοφθῆναι τῶν ἐν ἡμῖν ἀθεράπευτον. Μετὰ τοῦτο ἐγὼ μὲν ἐκαθήμην κατὰ τὸ ὕπαιθρον ἀναμένων τὸν εἰσκαλοῦντα καὶ προεκείμην ἄκαιρον θέαμα τοῖς ἐπιδημοῦσι κατὰ τὴν σύνοδον. Καὶ χρόνος διεγένετο οὐκ ὀλίγος, καὶ νυσταγμὸς ἐπὶ τούτοις καὶ ἀκηδία καὶ ὁ ἐκ τῆς ὁδοῦ κόπος ἐπιτείνων τὴν ἀκηδίαν[1] καὶ τὸ θάλπος ἰσχυρὸν καὶ οἱ πρὸς ἡμᾶς ἀποβλέποντες καὶ ἀλλήλοις διὰ τῶν δακτύλων ὑποδεικνύοντες — καὶ ἅπαντα τὰ τοιαῦτα οὕτω μοι βαρέα ἦν, ὡς ἀληθεύειν ἐπ' ἐμοῦ τὸ τοῦ προφήτου ὅτι «Ἠ κ η δ ί α σ ε ν ἐ π' ἐ μ ὲ τ ὸ π ν ε ῦ μ ά μ ο υ»[2]. Καὶ πρὸς μεσημβρίαν ἤδη προελθούσης τῆς ὥρας εἰσηνέχθην, πολλὰ μεταμεληθεὶς καὶ πρὸ τῆς συντυχίας ὡς ἐμαυτῷ τῆς ἀτιμίας ἐκείνης παρασχὼν τὴν αἰτίαν· καὶ χαλεπώτερον τῆς παρὰ τῶν ἐχθρῶν μοι γινομένης ὕβρεως ὁ ἐμός με λογισμὸς ἠνία, μαχόμενος τρόπον τινὰ πρὸς ἑαυτὸν καὶ μεταγινώσκων ἐν ὑστεροβουλίᾳ ὑπὲρ ὧν προέθετο.

Ὡς δ' οὖν μόλις ἠνοίγη ἡμῖν τὰ ἀνάκτορα καὶ τῶν ἀδύτων ἐντὸς ἐγενόμεθα, οἱ μὲν πολλοὶ ἀπεκλείσθησαν τῆς εἰσόδου, ὁ δὲ ἐμὸς συνεισῆλθε διάκονος, ὃς τῇ χειρὶ τὸ σῶμα ὑπήρειδεν πεπονηκὸς ἐκ τοῦ κόπου. Ἐγὼ δὲ προσειπὼν αὐτὸν καὶ ἐπ' ὀλίγον σταθείς, ὥστε μοι γενέσθαι προτροπὴν εἰς καθέδραν, ὡς οὐδὲν τούτων ἐγίνετο, ἐπί τινος τῶν πόρρωθεν βάθρων διατραπεὶς ἀνεπαυσάμην, ἀναμένων εἰ ἄρα τι φθέγξαιτο πρὸς ἡμᾶς εὐμενὲς ἢ τι φιλάνθρωπον ταῖς γοῦν ὀφρύσιν ἡμῖν ἐπινεύσειεν. Ἀλλ' ἀπ' ἐναντίας τῇ ἐλπίδι τὰ πάντα· σιωπὴ γὰρ ἦν τὸ ἀπὸ τούτου νυκτερινὴ καὶ κατήφεια τραγικὴ καὶ θάμβος καὶ ἔκπληξις καὶ παντελὴς ἀφωνία **180** καὶ χρόνος οὐκ ἐν μικρῷ διαστήματι καθάπερ ἐν μελαίνῃ νυκτὶ δι' ἡσυχίας παρατεινόμενος. Ἐγὼ δὲ τούτοις ἐναποπαγεὶς τὴν διάνοιαν διὰ τὸ μηδὲ τῆς κοινῆς αὐτὸν θελῆσαι μεταδοῦναι φωνῆς διὰ τῶν κατημαξευμένων τούτων τὴν συντυχίαν ἀφοσιούμενον, οἷον τοῦ «Εὖ ἥκεις;» ἢ τοῦ «Πόθεν ἥκεις;» ἢ

---

1. Πρβλ. Ψαλ. 118,28. 2. Ψαλ. 142,4.

«Ὑπὲρ τίνος; αὐτόματος ἢ τίς ἡ τῆς παρουσίας σπουδή;» τὴν ἡσυχίαν ἐκείνην τῆς ἐν ᾅδου διαγωγῆς ἐποιούμην εἰκόνα. Μᾶλλον δὲ καταγινώσκω τοῦ ὑποδείγματος· ἐν ᾅδου γὰρ ἰσονομία πολλή, μηδενὸς τῶν ὑπὲρ γῆς τὴν περὶ τὸν βίον τραγῳδίαν ἐργαζομένων κἀκείνην τὴν διαγωγὴν διοχλοῦντος· οὐ γὰρ σ υ γ κ α τ α β α ί ν ε ι, καθά φησιν ὁ προφήτης, τ ο ῖ ς ἀ ν θ ρ ώ π ο ι ς ἡ δ ό ξ α[1], ἀλλὰ καταλιποῦσα ἡ ἑκάστου ψυχὴ τὰ νῦν σπουδαζόμενα τοῖς πολλοῖς, ὕβριν λέγω καὶ ὑπερηφανίαν καὶ τῦφον, λιτή τις καὶ ἀκατάσκευος ἐπιχωριάζει τοῖς κάτω, ὡς μηδὲν τῶν τῇδε μοχθηρῶν καὶ παρ' ἐκείνοις εἶναι. Πλὴν ἀλλ' ἐμοὶ ᾅδης ἢ δεσμωτήριον ἀφεγγὲς ἢ ἄλλο τι σκυθρωπὸν κολαστήριον ἐδόκει τὰ παρόντα εἶναι, λογιζομένῳ ὅσων ἀγαθῶν ἐγενόμεθα παρὰ τῶν πατέρων ἡμῶν διάδοχοι καὶ οἷα διηγήματα τοῖς μεθ' ἡμᾶς καταλείψομεν. Τί δὲ λέγω τῶν πατέρων τὴν πρὸς ἀλλήλους ἀγαπητικὴν σχέσιν; Θαυμαστὸν γὰρ οὐδὲν ἀνθρώπους ὄντας ἐν ὁμοτίμῳ τῇ φύσει μηδὲν ἐθέλειν πλέον ἀλλήλων ἔχειν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγεῖσθαι ἑαυτῶν ὑπερέχειν· ἀλλ' ἐκεῖνο μάλιστά μου τῆς διανοίας καθήπτετο, ὅτι ὁ π ά σ η ς κ τ ί σ ε ω ς δ ε σ π ό τ η ς[2], ὁ μ ο ν ο γ ε ν ὴ ς υ ἱ ὸ ς ὁ ὢ ν ἐ ν τ ο ῖ ς κ ό λ π ο ι ς τ ο ῦ π α τ ρ ό ς[3], ὁ ἐ ν ἀ ρ χ ῇ ὤ ν[4], ὁ ἐ ν μ ο ρ φ ῇ Θ ε ο ῦ ὑ π ά ρ χ ω ν[5], ὁ τ ὰ σ ύ μ π α ν τ α φ έ ρ ω ν τ ῷ ῥ ή μ α τ ι τ ῆ ς δ υ ν ά μ ε ω ς α ὐ τ ο ῦ[6], οὐκ ἐν τούτῳ μόνον ἐταπείνωσεν ἑαυτόν[7], ἐν τῷ διὰ σαρκὸς ἐπιδημῆσαι τῇ ἀνθρωπίνῃ φύσει, ἀλλὰ καὶ τὸν προδότην ἑαυτοῦ Ἰούδαν τῷ ἰδίῳ στόματι διὰ φιλήματος προσεγγίζοντα δέχεται[8] καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν Σίμωνος τοῦ λεπροῦ[9] τὸ μὴ φιληθῆναι παρ' αὐτοῦ ὡς ἀφιλάνθρωπον ὀνειδίζει[10]· ἐγὼ δὲ οὐδὲ ἀντὶ λεπροῦ ἐλογίσθην. Τῷ τίνι ὁ τίς; τὴν διαφορὰν **181** εὑρεῖν οὐκ ἔχω· τῷ πόθεν καταβεβηκότι ὁ ποῦ κείμενος; εἴ γε τὰ τοῦ κόσμου βλέπει τις τούτου. Εἰ μὲν γὰρ τὰ τῆς σαρκὸς ἐξετάζοι τις, τοσοῦτον ἴσως ἀνεπαχθές ἐστι λέγειν, ὅτι ὁμότιμον ἐπ' ἀμφοτέρων τὸ εὐγενὲς καὶ ἐλεύθερον· εἰ δὲ τὴν ἀληθῆ τις ἐπιζητοίη τῆς ψυχῆς ἐλευθερίαν τε καὶ εὐγένειαν, ἐπ' ἴσης δοῦλοι τῆς ἁμαρτίας[11] ἀμφότεροι, ἐπ' ἴσης τοῦ αἴροντος τὰς ἁμαρτίας[12] δεόμεθα. Ἄλλος ἐστὶν ὁ τῷ ἰδίῳ αἵματι τοῦ θανάτου καὶ τῶν ἁμαρτιῶν ἡμᾶς λυτρωσάμενος[13], ὃς καὶ ἐξηγόρασεν ἡμᾶς[14] καὶ ὑπερηφανίαν τινὰ κατὰ τῶν ἐξαγορασθέντων οὐκ ἐπεδείξατο, ὁ νεκροὺς εἰς ζωὴν ἀνακαλούμενος, ὁ πᾶσαν ἐξιώμενος ἀρρωστίαν καὶ ψυχῶν καὶ σωμάτων.

Ἐπεὶ οὖν ὁ καθ' ἡμῶν τῦφος καὶ ὁ τῆς ὑπερηφανίας ὄγκος μικροῦ

---

1. Πρβλ. Ψαλ. 48,18. 2. Πρβλ. Γ' Μακκ. 2,2. 3. Πρβλ. Ἰω. 1,18. 4. Πρβλ. Ἰω. 1,1,2. 5. Πρβλ. Φιλιπ. 2,6. 6. Πρβλ. Ἑβρ. 1,3. 7. Πρβλ. Φιλιπ. 2,8. 8. Πρβλ. Λουκ. 22,47,48. 9. Πρβλ. Ματθ. 26,6. Μάρκ. 14,3. Λουκ. 7,36. 10. Πρβλ. Λουκ. 7,45. 11. Πρβλ. Ἰω. 8,34. Ρωμ. 6,17-20. 12. Πρβλ. Ἰω. 1,29. Α' Ἰω. 3,5. 13. Πρβλ. Α' Πέτρ. 1,18,19. 14. Πρβλ. Γαλ. 4,5.

δεῖν τῷ οὐρανίῳ ὕψει στενοχωρούμενος ἦν, ὕλην δέ τινα καὶ ἀφορμὴν πρὸς τὴν νόσον οὐδεμίαν ἑώρων, ὅθεν συγγνωστὸν γίνεται τὸ τοιοῦτον πάθος ἐπὶ τῶν ἐκ περιστάσεώς τινος ταύτην ἀναλαμβανόντων τὴν νόσον, ὅταν ἢ γένος ἢ παίδευσις ἢ ἀξιώματος ὑπεροχὴ τὰ χαυνότερα ἤθη διαφυσήσῃ, οὐκ εἶχον ὅπως ἐμαυτὸν ἀτρεμεῖν νουθετήσω, διοι- 5
δούσης μοι πρὸς τὴν ἀλογίαν τῶν γινομένων ἔνδοθεν τῆς καρδίας καὶ τοὺς ὑπὲρ τῆς ὑπομονῆς λογισμοὺς διαπτυούσης. Ὅτε καὶ μάλιστα τὸν θεῖον ἠγάσθην ἀπόστολον οὕτως ἐναργῶς τὸν ἐμφύλιον ἡμῖν διαγράφοντα πόλεμον, λέγοντα εἶναί τινα ἐν τοῖς μέλεσι νόμον ἁμαρτίας τὸν ἀντιστρατευόμενον τῷ νόμῳ 10
τοῦ νοὸς καὶ ποιοῦντα πολλάκις ἑαυτῷ τὸν νοῦν αἰχμάλωτόν τε[1] καὶ ὑποχείριον, ταύτην ἐν ἐμαυτῷ βλέπων τῶν δύο λογισμῶν τὴν ἐξ ἐναντίου παράταξιν, τοῦ τε χαλεπαίνοντος πρὸς τὴν ἐξ ὑπερηφανίας ὕβριν καὶ τοῦ τὸ διοιδοῦν καταστέλλοντος. Ἐπεὶ δὲ κατὰ Θεοῦ χάριν ἐπεκράτησεν ἡ κρείττων ῥοπή, τότε πρὸς αὐτὸν εἶπον ἐγώ· 15
«Μὴ ἄρα τί σοι τῶν περὶ τὴν θεραπείαν τοῦ σώματος σπουδαζομένων τῇ παρουσίᾳ μου βλάπτεται καὶ ὑπεξελθεῖν ἐστιν εὔκαιρον;» Τοῦ δὲ εἰπόντος μὴ χρῄζειν τοῦ θεραπευθῆναι τὸ σῶμα, εἶπόν τινας λόγους πρὸς αὐτὸν θεραπευτικούς, ὡς οἷόν τε ἦν· κἀκείνου δι' ὀλίγων τὸ ἐπὶ πολλοῖς ἀδικήμασιν τὴν **182** καθ' ἡμῶν ἔχειν λύπην ἐνδειξαμένου, 20
ταῦτα πρὸς αὐτὸν ἀπεκρινάμην ἐγώ, ὅτι «Ἐν ἀνθρώποις πολλὴν ἔχει δύναμιν πρὸς ἀπάτην τὸ ψεῦδος, τὸ δὲ θεῖον κριτήριον τὸν ἐξ ἀπάτης παραλογισμὸν οὐ προσδέχεται. Ἐμοὶ δὲ τοσοῦτον πέποιθεν ἐν τοῖς πρὸς σὲ πράγμασιν ἡ συνείδησις, ὡς εὔχεσθαι τῶν μὲν ἄλλων ἁμαρτιῶν γενέσθαι μοι τὴν συγχώρησιν, εἰ δέ τι κατά σου πέπρακταί μοι, 25
τοῦτο μεῖναι εἰς τὸ διηνεκὲς ἀσυγχώρητον». Σχετλιάσας δὲ τῷ λόγῳ, οὐκέτι προστεθῆναι τὰς ἀποδείξεις τοῖς εἰρημένοις ἐδέξατο.

Ὥρα ἦν πλείων ἢ κατὰ τὴν ἕκτην, καὶ τὸ λουτρὸν εὐτρεπὲς καὶ ἐν παρασκευῇ ἡ ἑστίασις καὶ σάββατον ἡ ἡμέρα καὶ μαρτύρων τιμή· καὶ πάλιν ὁ μαθητὴς τοῦ εὐαγγελίου πῶς μιμεῖται τὸν τοῦ εὐαγγελίου 30
δεσπότην; Ὁ μὲν μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίων καὶ πίνων ἀπελογεῖτο τοῖς ὀνειδίζουσιν ὡς κατὰ φιλανθρωπίαν τοῦτο ποιῶν[2], ὁ δὲ ἅγος κρίνει καὶ μίασμα τὴν ἐπὶ τραπέζης κοινωνίαν. Μετὰ τὸν κόπον ἐκεῖνον, ὃν ἐκ τῆς ὁδοιπορίας ὑπέστημεν, μετὰ τὸ θάλπος τὸ τοσοῦτον ἐν ᾧ ὑπαίθριοι ταῖς θύραις αὐτοῦ προσκαθήμενοι κατεφρύ- 35
γημεν, μετὰ τὴν σκυθρωπὴν ἐκείνην κατήφειαν, ἣν ἐν ὀφθαλμοῖς αὐτοῦ γεγονότες ἀνέτλημεν, ἀποπέμπεται ἡμᾶς πάλιν ἐπὶ τὸ αὐτὸ διάστημα διὰ τῆς αὐτῆς ὁδοῦ ταλαιπωροῦντας ἐν ἐκλελοιπότι ἤδη καὶ καταπεπονημένῳ τῷ σώματι· ὥστε μόλις ἡμᾶς περὶ δείλην ὀψίαν, πολλὰ διὰ μέσου κακοπαθήσαντας, καταλαβεῖν τὴν συνοδίαν· καὶ γάρ τι καὶ 40
νέφος ἐκ λαίλαπος κατὰ τὸ ἀθρόον ἐν τῷ ἀέρι γενόμενον αὐτῶν τῶν

1. Πρβλ. Ρωμ. 7,23. 2. Πρβλ. Ματθ. 9,11-13. Μάρκ. 2,15-17. Λουκ. 5,29-32.

μυελῶν ἡμῶν λάβρῳ τῷ ὄμβρῳ καθίκετο· ἀπαράσκευοι γὰρ ἦμεν διὰ τὸ ὑπερβάλλον θάλπος ὡς πρὸς ὑετοῦ φυλακήν. Πλὴν ἀλλὰ κατὰ Θεοῦ χάριν, ὡς οἱ ἀπὸ κλύδωνος ἢ ναυαγίου περισωθέντες, ἄσμενοι τὴν συνοδίαν ἡμῶν κατελάβομεν καὶ ἀναπαυσάμενοι τὴν νύκτα μετ' ἀλλήλων, ζῶντες μέχρι τῶν ἡμετέρων διεσώθημεν τόπων, τοῦτο προσλαβόντες ἐκ τῆς συντυχίας, ὅτι πάντων τῶν πρότερον γεγονότων ἡ ἔναγχος γενομένη καθ' ἡμῶν ὕβρις τὴν μνήμην ἀνενεώσατο.

Καί τι ἀναγκαζόμεθα λοιπὸν καὶ ὑπὲρ ἡμῶν βουλεύσασθαι, μᾶλλον δὲ ὑπὲρ αὐτοῦ ἐκείνου· τὸ γὰρ μὴ ἀνακοπῆναι αὐτοῦ τὴν προαίρεσιν ἐν τοῖς πρότερον γεγενημένοις, εἰς ταύτην αὐτὸν ἤγαγε τὴν τύφουσαν ἀμετρίαν· οὐκοῦν ὡς ἂν κἀκεῖνος ἑαυτοῦ γένοιτο κρείττων, τάχα τι προσήκει καὶ παρ' ἡμῶν γενέσθαι, ὡς ἂν μάθοι ἄνθρωπος ὢν καὶ οὐδεμίαν κατὰ τῶν ὁμοφρόνων τε καὶ ὁμοτίμων ὕβρεως **183** καὶ ἀτιμίας τὴν αὐθεντίαν ἔχων. Ἰδοὺ γὰρ ἀληθὲς εἶναι δεδόσθω (λέγω δὲ καθ' ὑπόθεσιν) γεγενῆσθαι παρ' ἐμοῦ τι λυπηρὸν κατ' ἐκείνου· ποῖον συνέστη καθ' ἡμῶν ἐπὶ τοῖς γενομένοις ἢ ὑπονοουμένοις κριτήριον; Τίς ἀπόδειξις τὴν ἀδικίαν ἀπήλεγξεν; Τίνες κανόνες καθ' ἡμῶν ἀνεγνώσθησαν; Ποία ἔννομος ἐπισκόπου ἀπόφασις τὴν καθ' ἡμῶν κρίσιν ἐκύρωσεν; Εἰ δέ τι καὶ ἐγεγόνει τούτων ἐννόμως, πάντως ἂν περὶ τὸν βαθμὸν ὁ κίνδυνος ἦν· ὕβριν δὲ κατὰ ἐλευθερίας καὶ ἀτιμίαν κατὰ τῶν ὁμοτίμων ποῖοι κανόνες ἐνομοθέτησαν; «Κ ρ ῖ μ α δ ί κ α ι ο ν κ ρ ί ν α τ ε»[1] οἱ πρὸς Θεὸν ὁρῶντες, ἐν τίνι συγγνωστὴν ἡγεῖσθε τὴν καθ' ἡμῶν ἀτιμίαν; Εἰ κατὰ τὴν ἱερωσύνην τὸ ἀξίωμα κρίνοιτο, ἴση παρὰ τῆς συνόδου καὶ μία γέγονεν ἀμφοτέροις ἡ προνομία, μᾶλλον δὲ ἡ φροντὶς τῆς τῶν κοινῶν διορθώσεως, ⟨ὡς⟩ ἐν τούτῳ τὸ ἴσον ἔχειν. Εἰ δέ τινες ἡμᾶς γυμνοὺς τοῦ κατὰ τὴν ἱερωσύνην ἀξιώματος ἐφ' ἑαυτῶν βλέποιεν, τί τοῦ ἑτέρου πλέον ἔχει ὁ ἕτερος; γένος; παίδευσιν; ἐλευθερίαν πρὸς τοὺς ἀρίστους τε καὶ εὐδοκιμωτάτους; γνῶσιν; Ταῦτα ἢ ἐν τῷ ἴσῳ καὶ παρ' ἡμῖν ἔστιν εὑρεῖν ἢ πάντως οὐκ ἐν ἐλάσσονι. Ἀλλὰ πλοῦτον λέγει; Μὴ γένοιτο εἰς ἀνάγκην ἐλθεῖν ταῦτα περὶ αὐτοῦ διηγήσασθαι. Ἢ τοσοῦτον ἀρκεῖ μόνον εἰπεῖν, ὅσος ἦν τὸ κατ' ἀρχὰς καὶ νῦν ὅσος ἐγένετο καὶ καταλιπεῖν ἄλλοις ἀναζητῆσαι τῆς αὐξήσεως τοῦ πλούτου τὰς ἀφορμὰς τοῦ μέχρι τοῦ παρόντος καθ' ἑκάστην μικροῦ δεῖν ἡμέραν διὰ τῶν καλῶν ἐπιτηδευμάτων αὐξομένου τε καὶ τρεφομένου. Τίς οὖν τῆς καθ' ἡμῶν ὕβρεως ἡ ἐξουσία, εἰ μήτε γένους ὑπεροχὴ μήτε ἀξιώματος περιφάνεια μήτε δύναμις ὑπερβάλλουσα λόγων, μηδὲ ἔστιν εὐεργεσία τις προϋπάρξασα; Ὁπότε καὶ εἰ ταῦτα ἦν καὶ οὕτως ἂν ἦν τὸ κατὰ τὴν ὕβριν ἐπὶ τῶν ἐλευθέρων ἀσύγγνωστον· μηδενὸς δὲ τούτων ὄντος οὐκ οἶμαι καλῶς ἔχειν τὴν τοσαύτην τοῦ τύφου νόσον περιιδεῖν ἀθεράπευτον. Θεραπεία δέ ἐστιν τὸ ἐπικλῖναι τὴν ὑπερηφανίαν καὶ διαστεῖλαι τὸν διάκενον ὄγκον, μικρὸν διαπνευσθέντος τοῦ κατὰ τὸν τῦφον φυσήματος· ὅπως δ' ἂν γένοιτο τοῦτο, Θεῷ μελήσει.

---

1. Ζαχ. 7,9.

ΙΣΟΝ ΤΗΣ ΔΙΑΘΗΚΗΣ*

Μεταγραφὲν ἐκ τοῦ ἀρχετύπου δικαιώματος, ἐν ᾧ καὶ ἰδιόχειροι ὑπογραφαὶ σῴζονται ὑπ᾽ αὐτοῦ τε καὶ ὑπογραψάντων μαρτύρων.

ΥΠΑΤΕΙΑ ΦΛΑΒΙΟΥ ΕΥΧΕΡΙΟΥ ΚΑΙ ΦΛΑΒΙΟΥ ΕΥΑΓΡΙΟΥ, ΤΩΝ ΛΑΜΠΡΟΤΑΤΩΝ, ΠΡΟ ΜΙΑΣ ΚΑΛΑΝΔΩΝ ΙΑΝΟΥΑΡΙΩΝ

Γρηγόριος ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Κωνσταντίνου πόλει, ζῶν καὶ φρονῶν, καὶ ὑγιεῖ γνώσει καὶ ἐρρωμένοις τοῖς λογισμοῖς, διεθέμην τὴν Διαθήκην μου ταύτην, ἣν κελεύω καὶ βούλομαι εἶναι κυρίαν καὶ βεβαίαν ἐπὶ παντὸς δικαστηρίου καὶ πάσης ἐξουσίας. Ἤδη μὲν γὰρ τὴν ἐμαυτοῦ γνώμην κατέστησα φανεράν, καὶ πᾶσάν μου τὴν οὐσίαν καθιέρωσα τῇ καθολικῇ Ἐκκλησίᾳ τῇ κατὰ Ναζιανζόν, εἰς τὴν τῶν πτωχῶν διακονίαν, τῶν ὑπὸ τὴν προειρημένην Ἐκκλησίαν. Διόπερ καὶ τρεῖς προεστησάμην πτωχοτρόφους εἶναι κατὰ ταύτην μου τὴν προαίρεσιν· Μάρκελλον τὸν διάκονον καὶ μονάζοντα καὶ Γρηγόριον τὸν διάκονον, τὸν ἐκ τῆς οἰκίας μου γενόμενον, καὶ Εὐστάθιον τὸν μονάζοντα, τὸν καὶ αὐτὸν ἐκ τῆς οἰκίας μου γενόμενον. Καὶ νῦν δὲ τὴν αὐτὴν συνείδησιν τῇ ἁγίᾳ Ἐκκλησίᾳ τῇ κατὰ Ναζιανζὸν φυλάττων, ἔχομαι τῆς αὐτῆς προαιρέσεως. Ἐὰν οὖν συμβῇ με τέλει τοῦ βίου χρήσασθαι, ἔστω μου κληρονόμος ὁ προειρημένος Γρηγόριος ὁ διάκονος καὶ μονάζων, ὁ γενόμενος ἐκ τῆς οἰκίας μου, ὃν πάλαι ἠλευθέρωσα, ἐξ ὁλοκλήρου πάσης μου τῆς οὐσίας, κινητῆς τε καὶ ἀκινήτου, τῆς πανταχοῦ μοι ὑπαρχούσης· οἱ δὲ λοιποὶ πάντες ἔστωσάν μου ἀποκληρονόμοι. Οὕτω μέντοι, ὥστε αὐτὸν πᾶσάν μου τὴν οὐσίαν, κινητήν τε καὶ ἀκίνητον, ἀποκαταστῆσαι τῇ ἁγίᾳ καθολικῇ Ἐκκλησίᾳ τῇ ἐν Ναζιανζῷ, μηδὲν τὸ παράπαν ἐπεξελόμενον, πλὴν ὧν ἂν ἐν ταύτῃ τῇ Διαθήκῃ μου τισὶν ἰδικῶς καταλίπω, λεγάτου ἢ φιδεκομμίσσου χάριν· ἀλλὰ πάντα, ὡς προεῖπον, ἀκριβῶς ἀποσῶσαι τῇ Ἐκκλησίᾳ, ἔχοντα τὸν τοῦ Θεοῦ φόβον πρὸ ὀφθαλμῶν καὶ εἰδότα, ὅτι εἰς διακονίαν τῶν πτωχῶν τῆς αὐτῆς Ἐκκλησίας προσέταξα πᾶσαν μου τὴν οὐσίαν προσχωρῆσαι καὶ ἐπὶ αὐτοῦ τῇ Ἐκκλησίᾳ πάντα ἀπαραλείπτως ἀποσωθῆναι.

[392] Τοὺς οὖν οἰκέτας, οὓς ἠλευθέρωσα, εἴτε ἐξ ἐμῆς προαιρέσεως, εἴτε ἐξ ἐντολῶν τῶν μακαριωτάτων γονέων μου, τούτους

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 37 στ. 389-396.

πάντας βούλομαι καὶ νῦν ἐπ' ἐλευθερίας μένειν καὶ τὰ πεκούλια αὐτοῖς πάντα μένειν βεβαίως καὶ ἀνενόχλητα. Ἔτι βούλομαι κατασχεῖν τὸν κληρονόμον μου Γρηγόριον τὸν διάκονον, ἅμα τῷ μονάζοντι Εὐσταθίῳ, τοὺς γενομένους ἐκ τῆς οἰκίας μού ποτε, κτῆμα ἐν 'Αριανζοῖς, τὸ ἐκ τῶν 'Ρηγίνου κατελθὸν εἰς ἡμᾶς. Τὰ δὲ φοράδια, καὶ τὰ πρόβατα, ὅσα ἤδη αὐτοῖς παρὼν ἐκέλευσα δοθῆναι, ὧν καὶ τὴν νομὴν αὐτοῖς καὶ τὴν δεσποτείαν παρέδωκα, ταῦτα μένειν αὐτοῖς ἀνενόχλητα βούλομαι δεσποτείας δικαίῳ. Ἔτι δὲ ἐξαιρέτως Γρηγόριον τὸν διάκονον καὶ κληρονόμον μου, γνησίως ὑπηρετήσαντά μοι, βούλομαι κατασχεῖν ἰδίῳ δεσποτείας δικαίῳ χρυσίνους τὸν ἀριθμὸν πεντήκοντα. Τῇ αἰδεσιμωτάτῃ παρθένῳ 'Ρουσσιανῇ, τῇ συγγενίδι μου, ῥητὰ ἐκέλευσα καθ' ἕκαστον ἔτος δίδοσθαι πρὸς τὸ ἐλευθερίως αὐτὴν διάγειν· ἅπερ βούλομαι καὶ κελεύω πάντα κατὰ τὸν τύπον, ὃν προσέταξα, ἀνυπερθέτως αὐτῇ δίδοσθαι καθ' ἕκαστον ἔτος. Περὶ δὲ οἰκήσεως αὐτῆς, τότε μὲν οὐδὲν διεταξάμην, μὴ εἰδὼς ποῦ μᾶλλον ἀρεστόν ἐστιν αὐτῇ διάγειν· νῦν δὲ καὶ τοῦτο βούλομαι, ὥστε, ἐν οἵῳ ἂν ἐπιλέξηται χωρίῳ, κατασκευασθῆναι αὐτῇ οἰκίαν ἐλευθέρᾳ πρέπουσαν, εὐσχήμονι διαγωγῇ παρθένου· ἥνπερ οἰκίαν ἕξει δηλαδὴ ἀνενοχλήτως εἰς χρῆσιν καὶ καρπίαν μέχρι βίου ζωῆς, μετὰ δὲ ταῦτα ἀποκαταστήσει τῇ 'Εκκλησίᾳ. Προστεθῆναι δὲ αὐτῇ βούλομαι καὶ δύο κόρας, ἃς αὐτή ἐπιλέξηται, οὕτω μέντοι, ὥστε αὐτῇ παραμεῖναι τὰς κόρας μέχρι τοῦ τῆς ζωῆς αὐτῆς χρόνου. Καὶ εἰ μὲν αὐταῖς εὐχαριστήσειεν, ἐξεῖναι αὐτῇ ἐλευθερίᾳ αὐτὰς τιμῆσαι· εἰ δὲ μή, καὶ αὐτὰς διενεγκεῖν τῇ αὐτῇ 'Εκκλησίᾳ. Θεόφιλον τὸν παῖδα τὸν παραμένοντά μοι, ἤδη ἠλευθέρωσα. Βούλομαι οὖν αὐτῷ καὶ νῦν δοθῆναι λεγάτου χάριν, νομίσματα ε'. Εὐπράξιον δὲ τὸν ἀδελφὸν αὐτοῦ βούλομαι ἐλεύθερον εἶναι καὶ δοθῆναι αὐτῷ λεγάτου λόγῳ χρυσᾶ νομίσματα ε'. Ἔτι βούλομαι Θεοδόσιον τὸν νοτάριόν μου ἐλεύθερον εἶναι, δοθῆναι δὲ αὐτῷ καὶ λεγάτου λόγῳ χρυσοῦ νομίσματα ε'. Τὴν γλυκυτάτην μου θυγατέρα 'Αλυπιανὴν (τῶν γὰρ ἄλλων, Εὐγενίας τε καὶ Νόννης, ὀλίγος λόγος, ὧν καὶ ὁ βίος ἐπιλήψιμός ἐστι) βούλομαι συγγνώμην ἔχειν μοι, εἰ μηδὲν αὐτῇ καταλιπεῖν κύριος ἐγενόμην, πάντα προεπαγγειλάμενος τοῖς πτωχοῖς, μᾶλλον δὲ τοῖς μακαριωτάτοις γονεῦσιν ὑποσχομένοις ἀκολουθήσας, ὧν ἀθετῆσαι τὴν γνώμην οὔθ' ὅσιον, οὔτ' ἀσφαλὲς ἡγοῦμαι. Ὅσα μέντοι ἐκ τῶν τοῦ μακαρίου μου ἀδελφοῦ Καισαρίου πραγμάτων, ἐν ἐσθῆτι σηρικῇ ἢ λινῇ ἢ ἐρεᾷ ἢ βουρικαλίοις περι**[393]**λέλειπται, ταῦτα διαφέρειν τοῖς τέκνοις αὐτῆς βούλομαι, καὶ ἐν μηδενί, μήτ' ἐκείνην μήτε τὰς ἀδελφὰς αὐτῆς ἐνοχλεῖν μήτε τῷ κληρονόμῳ μου μήτε τῇ 'Εκκλησίᾳ. Μελέτιος ὁ γαμβρός μου, τὸ κτῆμα τὸ ἐν 'Απηνζινσῷ τὸ ἐκ τῶν Εὐφημίου, ἵστω κακῶς κατέχων. Καὶ ὑπὲρ τούτου καὶ πρότερον ἐπέστειλα πολλάκις τῷ Εὐφημίῳ, ἀνανδρίαν αὐτοῦ καταγινώσκων, εἰ μὴ τὸ ἑαυτοῦ ἀναρρύσαιτο. Καὶ νῦν μαρτύρομαι πάντας καὶ ἄρχοντας καὶ ἀρχομένους,

ὅτι ἀδικεῖται ὁ Εὐφήμιος· χρὴ γὰρ Εὐφημίῳ ἀποκαταστῆναι τὸ κτῆμα. Τὴν ὠνὴν τοῦ χωρίου Κανοτάλων τῷ αἰδεσιμωτάτῳ υἱῷ τῷ ἐπισκόπῳ Ἀμφιλοχίῳ ἀποκαταστῆναι βούλομαι. Ἔστι γὰρ ἐν τοῖς χαρτίοις ἡμῶν, καὶ πάντες ἴσασιν, ὅτι καὶ τὸ συνάλλαγμα ἐλύθη καὶ τὴν τιμὴν ἀπέλαβον καὶ τὴν νομὴν καὶ δεσποτείαν τοῦ κτήματος πάλαι παρέδωκα.

Εὐαγρίῳ τῷ διακόνῳ πολλά μοι συγκαμόντι καὶ συνεκφροντίσαντι, διὰ πλειόνων τε τὴν εὔνοιαν παραστήσαντι χάριν ὁμολογῶ καὶ ἐπὶ Θεοῦ καὶ ἐπὶ ἀνθρώπων. Καὶ τοῖς μείζοσι μὲν αὐτὸν ὁ Θεὸς ἀμείψεται· ἵνα δὲ μηδὲ τὰ μικρὰ τῆς φιλίας σύμβολα παρ' ἡμῶν ἐλλείπῃ, βούλομαι αὐτῷ δοθῆναι κάμασον ἕν, στιχάριον ἕν, πάλλια β', χρυσᾶ νομίσματα λ'. Ὁμοίως καὶ τῷ γλυκυτάτῳ συνδιακόνῳ ἡμῶν Θεοδούλῳ τῷ ἡμῶν ἀδελφῷ δοθῆναι βούλομαι κάμασον ἕν, στιχάρια β', τῶν ἐν τῇ πατρίδι, χρυσᾶ νομίσματα κ' ἐκ τοῦ ἐν τῇ πατρίδι λόγου. Ἐλαφίῳ τῷ νοταρίῳ εὐτρόπῳ ὄντι καὶ καλῶς ἡμᾶς ἀναπαύσαντι ὃν ὑπηρετήσατο χρόνον, βούλομαι δοθῆναι κάμασον ἕν, στιχάρια β', πάλλια γ', σιγιλλιῶνα, ἐν τῇ πατρίδι χρυσᾶ νομίσματα κ'.

Ταύτην μου τὴν διαθήκην κυρίαν καὶ βεβαίαν εἶναι βούλομαι ἐπὶ παντὸς δικαστηρίου καὶ πάσης ἐξουσίας. Εἰ δὲ καὶ ὡς διαθήκη μὴ ἰσχύσειεν, εἰς βούλησιν, εἴτ' οὖν κωδίκελλον, αὐτὴν ἰσχύειν βούλομαι. Ὁ δ' ἐπιχειρῶν αὐτὴν ἀνατρέπειν, δώσει λόγον ἐν ἡμέρᾳ κρίσεως καὶ ἕξει τὸν λόγον.

Πρὸς τοὔνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

Γρηγόριος ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Κωνσταντίνου πόλει, ἀναγνοὺς τὴν Διαθήκην καὶ ἀρεσθεὶς πᾶσι τοῖς γεγραμμένοις, ὑπέγραψα χειρὶ ἐμῇ καὶ ἰσχύειν αὐτὴν κελεύω καὶ βούλομαι.

Ἀμφιλόχιος ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Ἰκονίῳ, παρὼν τῇ Διαθήκῃ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Γρηγορίου, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

Ὄπτιμος ἐπίσκοπος τῆς κατὰ Ἀντιόχειαν καθολικῆς Ἐκκλησίας, παρὼν διατιθεμένῳ τῷ αἰδε**[396]**σιμωτάτῳ Γρηγορίῳ ἐπισκόπῳ κατὰ τὰ προγεγραμμένα, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

Θεοδόσιος ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Ἴδῃ, παρὼν τῇ Διαθήκῃ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Γρηγορίου, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

Θεόδουλος ἐπίσκοπος τῆς ἁγίας καθολικῆς Ἐκκλησίας τῆς κατὰ Ἀπάμειαν, παρών, καὶ τὰ ἑξῆς.

Ἱλάριος ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς κατὰ Ἰσαυρίαν, παρών, καὶ τὰ ἑξῆς.

Θεμίστιος ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς κατὰ Ἀνδριανούπολιν, παρών, καὶ τὰ ἑξῆς.

Κληδόνιος πρεσβύτερος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Ἰκονίῳ, παρών, καὶ τὰ ἑξῆς.

Ἰωάννης ἀναγνώστης καὶ νοτάριος τῆς ἁγιωτάτης ἐκκλησίας Ναζιανζοῦ, πεποιηκὼς τὸ ἴσον τῆς θείας Διαθήκης, τῆς ἀποκειμένης ἐν τῇ κατ' ἐμὲ ἁγιωτάτῃ Ἐκκλησίᾳ τοῦ ἁγίου καὶ ἐνδόξου καὶ Θεολόγου Γρηγορίου, ἐκδέδωκα.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

		Σελ.
Γεν.	1,1	111
	1,26	265
	1,27	55.173.189.265
	2,3	111
	2,7	33.84.189.265
	2,10	204
	2,15	189
	2,24	26
	3,4	56
	3,6	56
	3,8	190
	3,19	33
	3,24	80
	4,15	112
	4,26	173
	5,21	173
	5,24	112
	6,13	173
	8,10	80
	8,21	294
	9,6	265
	11,1	119
	12,1	32.112
	12,6	125
	14,14	125
	17,12	99
	18,1	265
	18,10	174
	19,1	125
	19,24	104.195.259
	21,15–19	96
	26,18	46
	27,28	278
	27,36	294
	28,12	267
	31,19	197
	32,24	174
	37,28	124
	37,36	32
	39,20	266
	41,40	174

		Σελ.
Γεν.	41,56	32
	49,26	277
Ἔξ.	1,13–14	277
	2,3	32
	2,12	249
	2,15	125
	3,2	86.117.176.265
	3,5	196
	3,7	124
	3,8	210
	3,10	32
	3,13	187
	3,14	66
	7,1	175.265
	10,21	64.122
	11,2	197
	12,2	193
	12,3	193.195
	12,5	193
	12,8	194.195
	12,9	194
	12,10	194
	12,11	106.191.196 197.277
	12,18	194
	12,19	194
	12,29	163
	12,37	124
	12,46	195
	13,21	18.64.86.197
	13,23	80
	14,16	18
	15,23	48
	16,12	118
	16,13–14	18
	16,14	22.118
	16,15	154
	16,26	112
	17,6	18.46.204.230
	17,8	233

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο΄.

		Σελ.
Ἔξ.	17,10	18
	19,3	19
	20,7	196
	20,12	56
	20,13	195
	20,15	195
	20,21	54
	21,16	56
	22,28	241
	24,1	19
	25,31	113
	25,40	191
	28,1	19
	29,4	175
	29,30	113
	31,2	159
	31,2–3	216
	31,7	180
	31,19	195
	32,26	40
	33,22	18
	33,23	54
	34,10	76
	34,24	124
	34,33	18
	35,30	118
	35,30–31	216
Ἀριθ.	12,10–15	250
	13,2	277
	κεφ. 16	239
	17,18–23	206
	21,8	198
	25,6–11	249
Λευίτ.	8,33	113
	14,38	113
	16,2	19
	25,4	112
	25,8	112
Δευτ.	4,20	197
	4,24	117
	16,16	183
	22,4	70.201
	32,1	49
	32,21	125
	32,34	125
	32,49	277
	32,49–50	177
	34,4	277
	34,5	265

		Σελ.
Ἰησ. Ν.	1,2	265
	3,15	198
	6,3	113
	7,21	42
	18,1	134
Κριτ.	7,5	125
	13,22	76
Α′ Βασ.	1,1	32
	1,11	92
	2,4	231
	2,5	112
	2,6	123
	2,24	223
	2,30	125
	9,3	32.143
	9,10	123
	12,3	130
	16,7	50.98
	16,11	32
	17,40	108
	19,20	162
Β′ Βασ.	5,6	231
	6,14	71
	12,13	81
	12,16	163
	19,1	117
	21,17	331
Γ′ Βασ.	5,9	175
	8,65	113
	10,1	98
	11,14	163
	12,8	50
	17,9	103
	17,14	154
	17,18	113
	17,21	108
	18,34	108.113
	18,43	113
	18,45	123
	19,18	125
	20,5	44
Δ′ Βασ.	2,1	176
	2,9	118.176
	2,11	32.86
	2,14	32
	4,35	113
	5,2	196
	25,11	29

		Σελ.
Α′Παρλ.	11,3	180
Β′Παρλ.	33,13	81
Α′ Ἔσδρ.	4,35	296
Ἰουδὶθ	5,6	194
	10,6	230
Τωβ.	8,8	265
Β′Μακ.	7,1	346
Γ′ Μακ.	2,2	347
Ψαλ.	2,12	106
	3,7	331
	4,2	332
	4,7	104
	6,1	182
	6,2	67.81
	9,19	124
	10,6	104
	10,7	105
	11,1	122
	11,7	182
	12,4	103
	13,3	106
	15,5–6	241
	15,6	175
	17,12	18
	17,33	196
	18,5	171
	18,6–7	170
	18,11	106
	19,6	278.309
	22,2	35
	22,4	204
	23,7	72.200
	23,8	200
	23,9	72.200
	25,4	268
	26,1	104
	26,5	332
	26,10	253
	26,15	270
	26,39	270
	29,1	182
	30,6	17
	30,16	175
	30,20	331
	30,25	299
	31,1	102

		Σελ.
Ψαλ.	31,2	102
	31,3	276
	32,6	16.118
	32,12	39
	32,15	50
	32,19	155
	33,2	20
	33,6	73.96
	33,9	105
	34,4	270
	34,12	33
	34,19	331
	34,28	302
	35,10	42.103
	36,27	62
	37,6	81
	37,7	81
	37,10	106
	38,2	276
	39,10	20.109.276
	41,2	96.244
	41,8	171
	42,3	104
	44,5	36.257
	44,14	58
	46,2	64
	48,18	346
	49,14	199
	49,21	276
	50,3	302
	50,12	106.180
	50,14	118
	51,4	105
	51,6	119
	54,6	122
	54,10	119
	54,20	262
	56,5	105
	58,7	229
	61,11	31.51
	62,2	261
	64,3	266
	64,12	193
	65,7	124
	65,12	123.244
	67,7	102
	67,10	230
	67,34	78
	68,32	199
	69,3	270
	70,24	302
	72,3	223
	72,9	159

		Σελ.
Ψαλ.	72,20	124
	73,12	262
	75,5	104
	76,4	332
	76,11	183
	76,21	124
	77,25	219.230
	77,52	261
	77,70	285
	78,12	112
	79,13	261
	82,18	270
	83,6	77.103
	84,9	105
	86,7	77.302
	89,2	53
	90,5	91
	90,6	91
	92,1	196
	93,17	122
	93,19	244
	94,1	97
	95,1	64
	95,11	64
	96,3	104
	96,11	104
	98,6	174.175
	102,5	229.231
	102,9	244
	103,1	196
	103,18	15
	103,19	15
	103,30	118
	104,18	266
	105,30–31	249
	105,39	61
	111,5	172
	112,9	330
	117,12	153
	118,28	345
	118,105	86
	118,131	182.340
	118,164	112
	119,5	307
	121,2	197
	126,1	59
	127,5	336
	128,6	123
	131,4	158
	131,15	155
	135,11–12	124
	136,4	180
	136,8–9	194
Ψαλ.	138,11	105
	138,16	142
	140,4	96.298
	140,7	12
	142,4	105.345
	143,12	277
	144,21	266
	146,6	123
	146,9	266
	148,6	15
	149,1	230
	149,6	40
	149,8	230
Παρμ.	1,1	97
	3,24	91
	4,5	75
	4,8–9	92
	4,23	77.87
	4,27	14
	5,11	323
	5,17	57
	5,19	57
	6,9	96
	6,23	86
	8,7	20
	8,30	15
	9,1	112
	9,5	39
	10,1	61
	10,6	242
	10,19	17
	11,26	154
	14,30	158
	15,16	23.241
	15,17	220
	18,3	86
	18,17	30
	19,17	154
	21,1	51
	22,20	22
	27,29	15
	28,6	23
	30,33	56
	31,3	323
Ἐκκλ.	3,1	90.170.276
	7,16	14
	9,11	59
	11,2	112.182
Ἄσμ.	2,13	238

		Σελ.
Ἄσμ.	5,16	58
Ἰώβ	3,8	80
	5,10	230
	5,19	112
	5,26	317
	9,9	266
	29,2	206
	33,4	118
	34,3	16
	34,21	284
	38,3	196
	38,31–32	266
	42,9	302
Σ. Σολ.	1,4	17
	2,24	180
	3,7	86
	3,11	21
	4,8–9	148
	4,9	296
	13,5	141
	18,2	302
Σ. Σειρ.	1,14	75
	3,9	241
	3,10	61
	3,11	56
	4,26	305
	4,29	21
	5,12	21
	7,35	278
	11,25	45
	31,27	307
Ὡσ.	4,6	126
	4,13	200
	6,6	81
	8,11	29
	9,10	123
	10,12	17.105
	11,1	37
	11,8	250
	13,14	198
Ἀμ.	1,1	118
	5,8	123
	7,14	32
	8,11	37
Μιχ.	4,2	97
	6,3	28
	7,1	123
Ἰωὴλ	1,4	123
	1,19	123
	2,28	118
	4,18	99
Ἰων.	1,12	283
	1,15	283
	2,1	176
	κεφ. 3	250
	3,5	81
Ναοὺμ	2,4	186
Ἀββ.	1,2	293
	2,1	186
	3,13	124
Ἀγγ.	2,9	31.197
Ζαχ.	3,3	230
	3,5	230
	3,9	112
	4,7	80
	7,9	348
	8,15	39
	11,2	124
	12,10	263
Μαλ.	1,4	39
	3,6	50
Ἡσ.	1,3	71
	1,16	82
	1,18	82
	5,8	196
	5,20	105
	6,2	188
	6,3	41
	8,3	193
	8,14	115
	9,2	53.64
	9,5	64
	10,22	125
	11,2	112.116.118
	16,10	126
	26,6	126
	27,13	232
	28,1	127
	28,11	119
	30,17	123
	32,20	99
	37,16	117
	38,13	90

		Σελ.
Ἡσ.	40,2	302
	40,12	24
	41,1	180
	42,14	276
	51,6	14
	52,7	121.196
	53,4	25.81.127.193
		267
	53,12	199
	54,2	125
	55,1	99
	57,17	126
	58,6	302
	58,7	101.155
	60,18	39
	60,19	104
	61,1	118
	61,3	230
	61,10	230
	62,4	39
	62,10	126
	63,1	200
	63,10	118
	63,14	119
	63,16	122
	63,19	122
	65,5	82
	65,8	123
	65,17	184
	66,1	125
Ἱερ.	1,5	60
	1,18	153.180
	3,6	61
	4,3	77
	5,7	30
	5,8	196
	10,19	328
	12,1	122
	17,16	106
	22,14	34
	23,24	125
	23,29	153
	25,11	113
	28,31	122
	28,34	122
	31,10	261
	50,1	106
Βαρ.	3,38	265.269
Θρ.	4,7	97
Ἰεζ.	18,31	41
	37,7	124
	37,10	124
Δαν.	(Σωσ.) 5	47
	42	49
Δαν.	2,45	80
	3,50	176
	4,17	197
	5,3	29
	6,16	176
	9,23	106
Δαν.	(Βήλ) 31	118
Ματθ.	1,16	271
	1,23	56
	2,1	78
	2,9	86
	2,13	37
	2,15	37
	3,3	55.64
	3,4	196
	3,10	80
	3,11	80
	3,12	55.80
	3,13	71
	3,14	79.80
	3,15	80
	3,17	80
	4,1	271
	4,2	271
	4,3	88
	4,6	88
	4,10–11	271
	4,18	118
	4,21	118
	4,24	54
	4,25	54.55
	5,1	53
	5,10	294
	5,14	105
	5,15	11.231.239.298
	5,25	288
	5,28	195
	5,34	196
	5,39	195
	5,45	22
	6,12	246.249.250
	6,15	288
	6,19	168.242
	6,20	246
	6,22	228

		Σελ.
Ματθ.	6,26	167
	6,34	111
	7,1	25
	7,2	81
	7,6	195
	7,14	204
	8,8	76
	8,24	253.271
	8,24–26	230
	9,9	118
	9,11–13	347
	10,23	321
	10,34	80
	10,35	80
	11,9	80
	11,11	79.32
	11,12	96
	11,28	97
	11,29	20.25.127
	11,30	195
	12,31	41
	12,36	268.269
	12,42	98
	12,45	76
	13,25	13.103.229
	13,27	25
	13,31	80.126
	13,46	80
	14,19	113
	14,20	113
	14,25	271
	15,22	81.102
	15,34	113
	15,37	113
	16,6	194
	16,9	154
	16,18	19
	16,19	176
	16,37	20
	17,1	19.86
	17,2	263
	18,17	267
	18,20	125
	18,21	250
	18,21–22	112
	18,22	81.250
	18,26	101
	18,32	246
	18,24–34	250
	18,35	151.288
	19,1	53
	19,5	55
	19,9	57
Ματθ.	19,10	57.59
	19,11	58.60
	19,12	60.62
	19,21	55.196.246
	20,1	94
	20,11	60
	20,20	60
	20,22	60
	20,23	60
	21,10	100
	21,23	55
	21,25	55
	21,41	279
	22,17	55
	22,21	39.93
	22,23	55
	22,25	55
	24,12	37
	24,31	232
	24,45	251
	25,1	110
	25,6	168
	25,15	308
	25,18	11
	25,21	251.282
	25,23	282
	25,33	193
	25,35	271
	25,40	288
	25,41	104
	25,43	260
	26,6	346
	26,29	199
	26,49	34
	26,70	81
	27,35	271
	27,43	271
	28,6	271
	28,7	271
	28,19	42.109.129
Μάρκ.	1,8	79
	1,13	271
	2,15–17	347
	3,17	42
	4,1	53
	4,38	53.271
	4,39	53
	5,7	201
	5,9	103
	5,14	201
	6,7	53
	6,48	271

		Σελ.
Μάρκ.	7,32	103
	9,2	263
	10,21	246
	14,3	346
	14,51	34
	14,52	34
	14,65	54
	15,24	271
	15,46	271
	16,4	199
	16,6	84.271
	16,19	271
Λουκ.	1,53	155
	2,7	84
	2,8–14	271
	2,9	79.86
	2,14	186
	2,52	156.263
	3,4	176
	3,21	84
	3,22	80
	3,23	99.113
	4,1	271
	4,2	271
	4,12	271
	4,13	271
	5,8	76
	5,27	70
	5,29–32	347
	5,32	81
	6,6	103
	6,17	53
	6,37	246
	7,28	176
	7,36	346
	7,45	346
	8,23	271
	8,43	102
	9,16	154
	9,29	263
	9,54	34
	9,54–55	250
	10,3	196
	10,19	88.196
	10,42	215
	11,4	246.250
	11,24	103.159
	12,32	28
	12,33	168
	12,42	251
	12,46	40.96
Λουκ.	12,49	13.104.194
	13,6–9	250
	13,8	25.87
	13,11	102
	14,18	110
	14,28	24
	15,4	70
	15,8	200
	15,31	301
	16,9	197
	16,20	52.101
	16,26	117
	17,12	103
	17,29	259
	18,1–7	311
	18,13	81
	18,22	246
	18,35	103
	19,2	76.101
	19,9	76
	19,17	251.282
	20,2	55
	22,12	117
	22,36	299
	22,44	271
	22,47	346
	22,48	346
	22,50–51	250
	23,26	199
	23,33	271
	23,40	199
	23,43	34
	23,50	199
	23,53	271
	24,6	271
	24,34	271
	24,39	263
	24,51	271
Ἰω.	1,1	42.54.346
	1,2	346
	1,3	263
	1,5	73.193
	1,9	73.96
	1,11	79
	1,12	262
	1,14	266.267.320
	1,18	320.346
	1,23	55
	1,29	71.80.346
	2,1	92
	2,9	136
	2,25	269

		Σελ.
Ἰω.	3,5	118.193
	3,8	.42.114
	3,13	263
	3,16	320
	3,18	320
	4,6	.53.271
	4,7	99
	4,9	320
	4,10	230
	5,2	102
	5,7	102
	6,19	271
	6,33	37.88
	6,61	57
	8,12	54.73
	8,34	346
	8,48	.71.201
	8,54	118
	9,4	96
	10,1	261
	10,3	35
	10,10	261
	10,11	35.70.200
	10,12	261
	10,14	35
	10,16	236
	10,22	180
	10,27	35
	10,30	42
	10,31	54
	10,34	306
	11,34	271
	11,35	53
	11,39	271
	11,43	102.271
	12,4–5	201
	12,22	20
	12,35	96
	13,4–5	70
	13,6	20
	13,24	20
	13,25	19
	14,2	26
	14,5	20
	14,8	20
	14,16	118
	14,22	20
	14,23	.42.264
	14,31	97
	15,26	78
	16,2	13.39
	16,11	154
	16,14	118
Ἰω.	16,15	301
	17,2	266
	18,10	34
	19,22	109
	19,23	271
	19,28	271
	19,29	54
	19,33	195
	19,37	263
	19,39	199
	19,41–42	271
	20,3	.97.200
	20,17	199
	20,24	200
	20,27	263
	21,15	82
Πράξ.	1,9	271
	1,13	117
	2,3	117
	2,4	119.132
	2,6	119
	3,13	201
	3,15	320
	5,1	42
	5,4	42
	5,29	.57.252
	7,14–15	266
	7,59	34
	8,3	119
	8,36	97
	9,1	119
	9,3	46
	9,4	76
	9,37	117
	10,42	320
	10,44	42
	17,28	121
	19,2	42
Ρωμ.	1,3	56
	1,6	126
	1,23	75
	1,25	61
	3,20	274
	3,28	274
	4,17	115
	5,5	331
	5,6–8	193
	5,12	61
	5,20	65
	6,4	.88.182
	6,17–20	346

		Σελ.
Ρωμ.	6,18	53
	6,20	53
	6,23	63
	7,23	347
	8,3	265
	8,9	42
	8,15	262
	8,23	262
	8,27	302
	8,29	84
	8,34	302
	9,3	115
	9,16	59
	9,27	125
	9,33	115
	10,2	302.134
	10,6–7	23
	10,8	23
	10,15	121
	10,18	171
	11,4	125
	11,36	42.77
	12,1	332
	12,5	16
	12,8	17
	13,7	39
	13,12	43
	13,13	65.105
	14,3	275
	14,4	25
	14,15	26
	15,19	18.176
Α′ Κορ.	1,27	230
	1,29	308
	2,6	17
	2,7	77.105
	2,10	170
	2,16	269
	3,2	17.190
	3,4	13
	3,5	267
	3,6	206
	3,13	11.259
	3,15	208
	4,7	17
	4,12	34
	5,1	82
	5,7	265
	6,19	41.251
	7,40	268
	8,1	267
	8,3	17
Α′ Κορ.	8,6	42.46.77.125
	8,11	26.183
	9,3	51
	9,20–22	53
	9,22	133.179
	9,24–27	339
	10,1	80
	10,5	125
	12,4	274
	12,8	16
	12,10	263
	12,11	42
	12,23	106
	12,28	16
	12,29	17
	12,30	17
	13,7	332
	13,12	18.300.335
	14,21	119
	14,22	155
	14,29	17
	14,32	16.121
	15,4	271
	15,10	134
	15,14	270
	15,26	320
	15,41	14
	15,45–47	263
	15,47	263.320
	15,48	263
	15,49	269
	15,55	198
	16,22	263
Β′ Κορ.	1,3	333
	2,7	82
	2,11	88
	3,3	171
	3,6	266
	4,16	263
	5,14	264
	5,17	64.183.186
	5,20	302
	5,21	267
	6,2	90
	6,7	327
	6,10	126
	6,16	34
	7,4	261
	7,8–9	323
	9,6	241
	10,5	14

		Σελ.
Β′ Κορ.	11,16	211
	11,17	33
	11,18	211
	11,30	288
	12,2	11.18.22.42
	12,4	18
	12,7	134.179
Γαλ.	1,10	61.107
	2,2	121
	2,9	33
	2,16	274
	2,20	18
	3,13	53.267
	3,27	101
	4,4	54.201
	4,5	262.346
	5,10	268
	5,12	267
	5,22	121
	5,24	269
	6,3	46
Ἐφ.	1,5	262
	2,3	265
	2,14	265
	3,6	269
	3,9	320
	3,13	114
	3,16	223.263
	3,17	264
	4,5	35
	4,5–6	26
	4,8	201
	4,19	263
	4,22	182
	4,24	65
	4,26	195
	4,28	16
	5,5	82
	5,12	45
	5,14	90
	5,27	228
	5,29	56
	5,32	56
	5,33	56
	6,1	56
	6,2	56
	6,14	196
	6,16	88.92
Φιλιπ.	1,23	18
	2,6	346
Φιλιπ.	2,7	54.98.169.190.270
	2,8	346
	2,15	82.230
	3,14	106
	3,20	33
	4,18	43
Κολ.	1,15	79
	1,16	264
	1,18	84
	1,24	228.268
	2,17	191.300
	2,19	106
	3,5	76.196
	6,18	135
Α′ Θεσ.	1,9	75
	2,10	47
	2,19	51.121.230
	2,20	51
	3,5	333
Β′ Θεσ.	2,8	263
Α′ Τιμ.	2,5	251
	3,15	230
	4,15	24
	5,21	293
	6,20	135
	6,26	13
Β′ Τιμ.	1,11	18
	1,14	121
	1,17	107
	2,5	115
	4,2	25.158
	4,7	177.242
	4,8	339
Τίτ.	1,13	267
	2,2	267
	2,14	126.175
	3,14	51
Ἑβρ.	1,2	262
	1,3	346
	1,14	181
	2,18	271
	4,12	13
	4,14	251
	4,15	69.193.269.271
	5,12	114
	5,14	17

		Σελ.
Ἑβρ.	7,3	64
	8,2	175
	8,5	300
	9,7	19
	10,4	89
	11,1	277
	11,13	278
	11,38	30.122
	12,7	225
	12,9	225
	12,15	63
	13,4	57
	13,8	64
Ἰακ.	1,27	278
	2,20	110
	4,6	165
Α' Πέτρ.	1,18	346
Α' Πέτρ.	1,19	346
	2,9	126
	2,19	264
	2,24	25.267
	3,14	294
	3,21	84
Β' Πέτρ.	3,8	53
Α' Ἰω.	1,1	320
	3,5	346
	3,13	320
	4,9	320
Ἰουδ.	9,13	328
Ἀποκ.	1,4	53
	1,7	110

ΠΙΝΑΞ
ΕΞΩΒΙΒΛΙΚΩΝ ΧΩΡΙΩΝ

	Σελ.
Anthologia Palatinata IX 537	305
Ἀριστοτέλους, Ἠθικὰ μεγάλα B, 11	333
» Ἠθικά Νικομάχεια I 6, 1096α 23	235
» » » I 7, 1098α 16-18	223
» » » I 8, 1099b 2-8	223
Ἀριστοφάνους, Ἵππης V 140-229	306
Βεργιλίου, Ἐκλογαὶ 5,77	219
Δημοσθένους, Πρὸς τὴν Ἐπιστολὴν XI,17	224,290,313
» Περὶ τοῦ στεφάνου XVIII, 294	312,334
» Κατὰ Μειδίου XXI,66	318
Διονυσίου Ἁλικαρνασέως, Λυσίας 8	307
Εὐριπίδου, Μήδεια 516-519	217
» Φοίνισσαι 389	321
» » 571-532	214
» » 1446	211
» Ὀρέστης 34	321
» » 450	214
Ἡροδότου Α' 163	340
» Η' 7,31	206
» Η' 33-36	206
Ἡσιόδου, Ἔργα καὶ ἡμέραι 25	315
» » » » 26	315
» » » » 45	211
» » » » 45,629	338
» » » » 293-295	212
» » » » 629	211
» » » » 643-644	212
Θεοκρίτου Δ' 16	219
» ΙΗ' 39	219
Ἰλιάδος Β 763-767	210
» Γ 175	224,335
» Γ 222	210
» Δ 323	212
» Δ 350	231
» Θ 69	210
» Θ 281	231,223,240

Σελ.

» Ι 108 312
» Ι 185-191 247
» Ι 496 304
» Ξ 104 312
» Ξ 219 236
» Π 457 212
» Π 658 210
» Ρ 56 335
» Ρ 456-457 300
» Ρ 457 340
» Τ 223 210
» Υ 250 313
» Φ 109 307
» Χ 209 210
» Ψ 638-641 295

Ἰσοκράτους, Ἀρεοπαγιτικὸς VII 76 . . . . . 224, 290, 313
Καλλιμάχου, Αἴτια I, fr. 1,18 235
Κλεοβούλου, Ἀποφθ., (Κλήμ. Ἀλεξ. Στρωμ. Α′ 14,61) 292
Κλήμεντος Ἀλεξανδρέως, Προτρεπτ. 1,2 ΒΕΠΕΣ 7,17,10 304
Leutsch-Schneidwin, Paraemiographi Graeci I, p. 213 Diogenianus II, 97 306
Leutsch, Paraemiographi graeci II p. 762-763 299
» » » II p. 642 319
Ξενοφῶντος, Ἑλληνικὰ Α′ 1,2 253
Ὀδυσσ. δ 219-229 246
» ε 327 313
» ε 420-421 313
» θ 59-61 205
» θ 492 205
» ι 84 205
» λ 15-19 204
» λ 305 212
» φ 335 307
Πινδάρου, Ὀλυμπ. Α′ 1-2,13,78 210
» » Δ′ 1-2 322
» » Δ′ 2-3 322
» » Ϛ′ 1-3 208
» » Η′ 55 209
» Πύθια Γ′ 55 210
» Νέμεα Α′ 53 210
» » Δ′ 69 302
» fr. 150 (snell) 275

Σελ.

Πλάτωνος, Κρίτων 117b-c 223
» Φαίδων 81α ἑξ. 222
» » 66b-68b 305,315
» » 82c 223
» Κρατύλος 400θ 222
» Θεαίτητος 173α 207
» Φαῖδρος 247α 306
» Πρωταγόρας 616θ 265
» Γοργίας 493α 222
» » 510b 265
» Πολιτεία 499b-d 218
» » 473d 218
» » 407α 313
» » Z 515α 300,306,335
» » I 613b 300
» » I 621b 340
» Ἐπιστολὴ Z′ 326α 218
Πλινίου, πρεσβυτέρου, Φυσικὴ Ἱστορία 9,26 219
Πλουτάρχου, Ἀλέξανδρος LX 6 312
Πυθαγόρου, Ἐπιστολὴ 3 (ἐν Hercher, Epistolog. graec. 603 211
Σιμωνίδου, Fr. 66 (Bergk) 257,312
Στράβωνος, Γεωγραφικὰ VI 1,9 304
Σωζομενοῦ, Ἐκκλησιαστικὴ Ἱστορία V 11 239
Σώφρωνος V 149 313
Ὠριγένους, Κατὰ Κέλσου 7,53 223

Π Ι Ν Α Ξ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Ζακύνθου κ. Παντελεήμονος Μπεζενίτη)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Ἀαρὼν 19,6,14. 124,4. 174,37. 175, 1. Ῥάβδος — 206,34.
Ἄβαρις 203,17.
Ἀββακοὺμ 124,34. 186,4.
Ἀβειρὼν 19,27. 48,25. 239,6.
Ἀβλάβιος. Ἐπιστολὴ πρὸς — 337, 2-15.
Ἀβούργιος. Ἐπιστολὴ πρὸς — 340, 16-24.
Ἀβραὰμ 31,19. 112,35. 117,38. 122, 17. 125,15,19. 174,3. Νέος — 156,2.
Ἀγαθόν. Τὸ ἐκ φύσεως —, ἀδόκιμον· τὸ ἐκ προαιρέσεως, ἐπαινετὸν 60, 29-30.
Ἀγάπη 215,3. 229,33. 277,28. — Θεοῦ 266,38.
Ἀγγελικαί. — δυνάμεις 67,17. — δυνάμεις ἀκίνητοι πρὸς τὸ κακὸν καὶ μόνην ἔχουσαι τὴν τοῦ καλοῦ κίνησιν 67, 22 ἑξ. 188,21 ἑξ.
Ἄγγελοι 200,14. 271,7. 293,18. — λόγος 155,28. Ἄρτος — 219,19. 230,26.
Ἄγγελος 264,35. 265,3,4. Δεύτερον φῶς —, τοῦ πρώτου φωτὸς (δηλ. τοῦ Θεοῦ) ἀπορροή τις ἢ μετουσία 85,32-33.
Ἀγεννησία 11,23. — Πατρὸς 78,6,11.
Ἀγέννητον 128,32. 129,29.
Ἀγέννητος 35,29.
Ἅγια. — ἁγίων 19,16. 67,10. 85,6. 92,1. 126,21. 175,9. 188,14. 199, 19.
Ἀγοράκριτος 306,1.
Ἀγχίθυροι. — αἱ ἀρεταὶ καὶ αἱ κακίαι 169,32.
Ἀδὰμ 32,3,5. 48,19. 56,18. 65,8. 71,30. 73,18,22. σελ. 78. 80,20. 173,28. 193,4. 264,7. 265,37. Ἁμαρτία — 113,2. Νέος — 78, 37. 113,1. Παλαιὸς — 79,30. 186,15.
Ἀδαμάντιος. Ἐπιστολὴ πρὸς — 337, 30 ἑξ.
Ἀδάμας 324,15.
Ἀδέλφιος. Ἐπιστολὴ πρὸς — 322,6 ἑξ. 323,2-11,13 ἑξ.
Ἀδελφότης. Ἐν Χριστῷ — ἡ κατὰ Σανναβοδάην 339,3.
Ἀδέρ. — ὁ ἁλιτήριος 163,36.
Ἅδης 176,17. 204,32. σελ. 346.
Ἀέριος. Ἐπιστολὴ πρὸς — καὶ Ἀλύπιον 241,7 ἑξ.
Ἀετοὶ 333,18,19.
Ἀετὸς 236,7.
Ἀζυγία. Μέγα παρθενία καὶ — 167,30.
Ἄζυμα 195,20.
Ἀθανασία 15,29.
Ἀθῆναι σελ. 143. 145,26,42. 146,5. 148,2. σελ. 149. 203,5. 232,2. 238,36. 275,17. 305,13. σελ. 312. Βλαβεραὶ — τὰ εἰς ψυχὴν 147,26. Ἐκδημία Μ. Βασιλείου ἑξ — 149,23 ἑξ. Παίδευσις Μ. Βασιλείου εἰς — 143,16 ἑξ. Παίδευσις Μ. Βασιλείου καὶ Γρηγορίου Ναζιανζηνοῦ εἰς — 143,38 ἑξ. Παίδευσις νέων εἰς — 144,23 ἑξ. Σοφιστομανοῦσιν εἰς — τῶν νέων οἱ πλεῖστοι καὶ ἀφρονέστεροι 144,6.
Ἀθηναῖοι 223,23. 257,11. 312,9.
Ἆθλος. Εὐρύσθειος — 236,20. Ἡράκλειος — 236,21.
Αἰακίδαι 137,42.
Αἰγύπτιαι 168,25.
Αἰγυπτιακαί. — μάστιγες 23,6.
Αἰγύπτιοι 74,39. 120,2. 194,17. 197, 18,25.
Αἰγύπτιον. — φάρμακον 246,25.
Αἰγύπτιος 57,21. 175,5. 249,36.
Αἴγυπτος 32,18. σελ. 37. 38,23. 46,

27. 64,12. σελ. 72. 106,30. 114, 4. 120,7. 124,7,8. 139,6,7. 155, 21. 157,43. 163,3. 174,29,38. 190,15. 194,3,14. 196,34,36. 197, 14,38. 266,28,30. 277,17. Λόγος ΛΔ′ εἰς τοὺς — ἐπιδημήσαντας 37,2 ἑξ.
Αἰθίοπες. Βασίλισσα τῶν — 98,36.
Αἰθιοψ 98,1.
Αἷμα 197,7. 199,22,23. 202,18. — Θεοῦ 197,5. Ρανίδες — ὀλίγαι κόσμον ὅλον ἀναπλάττουσι καὶ γίνονται καθάπερ ὀπὸς γάλακτι πᾶσιν ἀνθρώποις, εἰς ἓν ἡμᾶς συνδέουσαι καὶ συνάγουσαι 202,23-25. Τίνι τὸ ὑπὲρ ἡμῶν — καὶ περὶ τίνος ἐχύθη 198,17 ἑξ. Τίς ὁ λόγος Μονογενοῦς — τέρπειν Πατέρα, ὃς οὐδὲ τὸν Ἰσαὰκ ἐδέξατο παρὰ τοῦ πατρὸς προσφερόμενον 198,26 ἑξ.
Αἵρεσις. Ἀρειανὴ — 268,24. Ἀρείου — 319,26. Εὐδοξίου — 319,26.
Αἱρετικοί 174,1,24. 216,12. 247,23. 267,34. 320,8. Δυναστεία — 172, 9.
Αἰτία 41,3.
Αἰών 67,1. — οὔτε χρόνος, οὔτε χρόνου τι μέρος· οὐδὲ γὰρ μετρητὸν 66,40. 188,3 ἑξ.
Αἰῶνες 111,28.
Ἀκοὴ 105,25. 182,32.
Ἀκολούθησις 84,35.
Ἀκοσμία. — ἐν τῷ κόσμῳ 15,5.
Ἀκρασία 65,32.
Ἀκταίωνες 139,37.
Ἀκτησία 166,43.
Ἄκτιστον 13,20.
Ἄκτιστος. — φύσις καὶ ὑπέρχρονος 152,26.
Ἀκτορίωνες 295,22.
Ἀλέξανδρος 312,8. Μαθηταὶ — 46,20.
Ἀλκίνοος 205,34.
Ἀλκμαίωνες 137,42.
Ἀλλοτρίωσις 35,28. 77,29,30. 110, 8. 149,29.
Ἀλυπιανὴ 212,10. 350,30. Παρθένος — 296,16.
Ἀλύπιος 324,24. 325,8. Ἐπιστολὴ πρὸς Ἀέριον καὶ — 241,7 ἑξ. Ἐπιστολὴ πρὸς — 254,9-18,20-26,28-34. 255,2-8,10-30.
Ἀλωάδες 212,15.
Ἀμαζονία. — παρθένος 296,29.
Ἀμαζόνιος 226,30. 259,2. Ἐπιστολὴ πρὸς — 258,28 ἑξ.
Ἀμάθεια. βλ. Ἀμαθία.
Ἀμαθία. Θράσος — ἔκγονον 12,19,20.
Ἀμαλὴκ 18,37. 198,2. 233,28.
Ἁμαρτάνειν. Τὸ — ἀνθρώπινον καὶ τῆς κάτω συνθέσεως 86,27-28.
Ἁμαρτία 61,36. 265,13,35. 267,2. 270,8. 298,22. 346,32. Κακὸν — ἀντίδοσις 250,16. Νόμος — 347, 10. Πᾶσα —, θάνατός ἐστι ψυχῆς 63,22.
Ἀμετρία 235,26.
Ἀμήτωρ 64,16,17.
Ἀμμωνῖται 130,3.
Ἀμνός. — πασχάλιος 194,8,24.
Ἄμπελος. — Θεοῦ 44,26. — τοῦ Ναβουθαὶ 44,23.
Ἀμφιλόχιος 217,25. 218,9,23. — ἐπίσκοπος 351,3. — ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Ἰκονίῳ 351,29. Ἐπιστολὴ πρὸς — 208,22 ἑξ. 212,28 ἑξ. 219,1-10, 12-22,24 ἑξ. 220,2-9. 242,13-17, 19 ἑξ. 302,2-13. 309,24 ἑξ.
Ἄμωμον. — τὸ σφάγιον τοῦ Πάσχα 193,14 ἑξ.
Ἀμὼς 32,16. 118,30.
Ἀνάβασις 22,23.
Ἀναγνῶσται. Εὐκοσμία — 127,6.
Ἀναθήματα. Ἱερεὺς τῶν — τὸ ἁγιώτερον 252,12.
Ἀνανίας 42,14.
Ἀνάξαρχος σελ. 223.
Ἀνάπαυμα 29,13.
Ἀνάπλασις 65,17.
Ἀνάπται 132,40
Ἀναρχία 12,41.
Ἄναρχον σελ. 128.
Ἀναστασία 134,1.
Ἀνάστασις 84,16,27. 117,4. 181,39, 182,5. 186,36. 200,2. 263,25. — ἐκ νεκρῶν 263,15.
Ἀναφὴς 64,24.
Ἀνδαημονοὶ 345,2-3.
Ἀνδρέας 20,7. 33,7. 118,34.
Ἀνδριανούπολις. Θεμίστιος ἐπίσκοπος — 352,1.
Ἀνὴρ σελ. 56. Ἰσότης γυναικὸς πρὸς — 56,1 ἑξ.
Ἄνθιμος 233,23. 234,21. 235,2. 280, 24.
Ἄνθρωπος 85,36,37. 181,29,36. 201, 16. 230,27. σελ. 262. σελ. 263.

σελ. 264. 265,4. σελ. 266. σελ. 269. σελ. 270. 274,11. 281,14. 291,34. σελ. 320. — διφυής, ἐκ ψυχῆς καὶ σώματος 87,4 ἐξ. — εἰς πρόσωπον ὁρᾷ, ὁ δὲ Θεὸς εἰς καρδίαν 50,4. — ἐπίγειος καὶ οὐράνιος, πρόσκαιρος καὶ ἀθάνατος, ὁρατὸς καὶ νοούμενος, ὁ αὐτὸς πνεῦμα καὶ σάρκα 68,18-20. — ζῷον τρεπτὸν καὶ ῥευστῆς φύσεως 81,18. — θεοφόρος 270,28. — θεωρούμενος 202,30. Δημιουργία τοῦ — 68,13 ἐξ. 189,13 ἐξ. Διατὶ ὁ — ἐπλάσθη διφυής, ἐξ ὕλης καὶ πνεύματος 68,20 ἐξ. Εἰκὼν τοῦ Θεοῦ ὁ — 25,19 ἐξ. Κόσμος ἕτερος, ἐν μικρῷ μέγας ὁ — 189,15 ἐξ. Λόγος ΛΒ′ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας καὶ ὅτι οὐ παντὸς — οὔτε παντὸς καιροῦ τὸ περὶ Θεοῦ διαλέγεσθαι 11,6 ἐξ. Λύτρωσις — 198,30 ἐξ. Νοῦς — 264,35. Ὁ ἐντὸς — 223,20. 225,3. Ὁ παλαιὸς — 182,19. Τάξις εἰς τὸν — 15,24 ἐξ. Τρίτον φῶς —, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν 85,36-38. Υἱὸς — 266,19. 320,18.
Ἀνιάτρευτος 81,35.
Ἄννα 79,2. 92,23.
Ἀντιθέσεις 23,3.
Ἀντίμαχος 237,9.
Ἀντιμέτρησις 125,9.
Ἀντιόχεια. Ὄπτιμος ἐπίσκοπος — 351,32.
Ἀντίοχος 120,9.
Ἀντιρρητικοί. — λόγοι Μ. Βασιλείου 171,17.
Ἀνύσιος 334,24. Ἐπιστολὴ πρὸς — 257,9-21. 334,16-20.
Ἀξίνη 80,7.
Ἀοιδὸς 315,18.
Ἀόρατος 64,27.
Ἀόργητον 339,23.
Ἀπαιδευσία 141,37.
Ἀπαίδευτος 14,21.
Ἀπάμεια. Θεόδουλος ἐπίσκοπος — 351,40.
Ἀπάτωρ 64,16,17.
Ἀπηνζινσός. Κτῆμα ἐν — 350,40.
Ἄπις. — φάτνη 74,40. Μεμφίτης — 38,25.
Ἀπληστία 154,24.
Ἀπόβλεπτος 30,36-37.
Ἀπόβλητον 23,28.
Ἀπόθετον. — κάλλος 18,15.
Ἀποκάλυψις 11,19.
Ἀποκλήρωσις 60,14-15.
Ἀπολλιναριανοί 293,27.
Ἀπολλινάριος 262,10. 267,23. 320, 11.
Ἀπολλιναρισταί 279,4.
Ἀπολλὼς 13,12. 206,31.
Ἀπόμοιρα 140,13.
Ἀπόνοια 19,28. 41,20-21.
Ἀπόπτυστον 23,28.
Ἀπρόσληπτον. Τὸ — καὶ ἀθεράπευτον 264,5.
Ἄραβες 120,3.
Ἀργανθώνιος 340,8.
Ἀργεῖος. — Πήγασος 147,24.
Ἀρειανή. — αἵρεσις 268,24. — ἀσέβεια 63,9.
Ἀρειανοί 264,11. Λόγος ΛΓ′ πρὸς — καὶ εἰς ἑαυτὸν 28,2 ἐξ. Λόγος ΛΕ′ εἰς τοὺς μάρτυρας καὶ κατὰ — 43, 2 ἐξ.
Ἄρειος 35,27,28. 152,16. Αἵρεσις — 319,26. Διαίρεσις τῆς θεότητος ὑπὸ — 77,31.
Ἀρεταί. Παραπεπήγασι ταῖς — αἱ κακίαι καὶ εἰσί πως ἀγχίθυροι 169,32.
Ἀρετὴ 137,3,8. 140,10,27. σελ. 147. 148,12. σελ. 156, 157,22,28. 168, 8. 169,34. 191,38. 210,32. 212, 12. 217,18. 223,2. 226,19. 227,1. 242,22. 244,11. 247,16. 258,10. 282,6. 290,32-33. 294,15,18. 296,11. 302,32. 303,31. 305,3. 306,20. 307,19. 313,11,28. 314, 20. 316,8. 322,7. 333,24. 337,9. — Μ. Βασιλείου 170,11 ἐξ. 177, 9 ἐξ. Ἄμισθος ἡ — ἵνα καὶ — μείνῃ, πρὸς τὸ καλὸν μόνον βλέπουσα 127,29. Ἄρχων τῆς — 246,28. Κάλλος τῆς — 142,24. Μόνον ἡδὺ ἡ — 300,5. Παράκλησις εἰς — 136,22. Τέκνων — δόξα πατέρων 204,1.
Ἀριανζοί 278,12. Κτῆμα ἐν — 350,5.
Ἀριθμοί 148,34.
Ἀριθμός. — ἑπτὰ σελ. 112.
Ἀριστοτέλης 23,4. 223,1. Ἐπιστολαί — 337,18,27.
Ἀριστοφάνης 306,1.
Ἀρκτοῦρος 266,35.
Ἀρμαθαΐμ 32,8.
Ἀρμένιοι 145,14.

'Αρμένιος 242,15.
"Αρρεν. — τὸ σφάγιον τοῦ Πάσχα 193,4 ἑξ.
"Αρτος 219,18. — ἀγγέλων 219,18. 230,26. — ζωῆς 81,2.
'Αρχή. — τὸ ἥμισυ τοῦ παντὸς 306, 34.
'Αρχιερεῖς. Βλ. καὶ 'Επίσκοποι. 134, 15. Δυτικοὶ — 151,32.
'Αρχιερεὺς 301,2. Μέγας — 251,34.
"Ασαρκος 64,23.
'Ασία 247,8.
'Ασκητήρια 168,10.
'Ασσύριος 57,21.
'Αστάρτη 108,1.
'Αστέριος. 'Επιστολὴ πρὸς — 291, 2-22, 24 ἑξ. 292,17-31. 295,2-14, 16-33.
'Αστρονομία 148,33.
'Ασύνθετος. — φύσις 86,25.
'Ασωματότης 54,20.
'Ασωφρόνιστος 81,32.
'Αταξία. — ἐν τῷ κόσμῳ σελ. 15.
"Ατρεπτον. — (Θεοῦ) 78,27.
'Αττικὴ 144,21.
'Αττικιστὴς 238,11.
'Αττικοὶ 333,20.
'Αττικὸς 333,20. — νόμος 144,24.
Αὐγείας. Κόπρος — 206,6.
Αὐρήλιος 286,19.
Αὐτεξούσιον 68,29,34. 189,29. 202,7.
Αὐτοαμαρτία 53,14-15.
Αὐτοκάθαρσις. — ἐστὶ ὁ Χριστὸς 99, 40.
Αὐτοκατάρα 53,15.
'Αφαίρεμα 107,5.
'Αφὴ 105,35. 182,30.
'Αφρικανός. 'Επιστολὴ πρὸς — 333, 17-33.
'Αφροδίτη 74,19.
'Αχαὰβ 28,29. 44,24.
'Αχατα 33,7.
'Αχιλλεὺς 304,20. "Ιπποι — 300,14. 340,11.
"Αχρονος 64,25.

Βάαλ 125,24.
Βαβυλὼν 47,37. 120,7. 180,14.
Βαβυλώνια. Νήπια — 194,16. Τείχη — 168,25.
Βακτηρία 197,1.
Βαλτάσαρ 29,7.
Βάπτισμα. Βλ. καὶ Φώτισμα. 42, 21. 80,32. σελ. 82. σελ. 84. 85,17. σελ. 87. σελ. 88. 91,33. 93,41· 94,9. σελ. 95. σελ. 96. 97,24. 98,23. σελ. 100. 101,2,3. 102, 1,2. 103,30. 108,15,37. 109,7. 129,10. 263,14. — διὰ μαρτυρίου καὶ αἵματος 81,8. — εἰς τὸ ὄνομα τῆς 'Αγίας Τριάδος 36,1 ἑξ. — εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ 'Αγ. Πνεύματος 109, 21 ἑξ. — ἐν Πνεύματι 81,5. — 'Ιησοῦ 81,5. — 'Ιωάννου 55,28. 81,3 ἑξ. — νηπίων 92,19 ἑξ. 99,22 ἑξ. — πνευματικὸν 81,5. — τῶν δακρύων 81,10. — Χριστοῦ 73,9. 82,30. 99,39. 100,2. 'Αεὶ τὴν σωτηρίαν ἐργάζου καὶ πᾶς ἔστω σοι καιρὸς τοῦ — ὅρος 90,31-32. 'Αναβολὴ — 97,17 ἑξ. 'Αναβολὴ — ψέγεται 89,4 ἑξ. 90,24 ἑξ. 96,9 ἑξ. Δύναμις — 87,13. 'Η τοῦ — χάρις καὶ δύναμις 87,1 ἑξ. Λόγος Μ' εἰς τὸ ἅγιον — 84,2 ἑξ. 'Ο τοῦ — φωτισμὸς 86,21. 'Ονομασίαι ἕτεραι τοῦ — 85,14 ἑξ. Πειρασμὸς μετὰ τὸ — 88,6 ἑξ. Περὶ τῆς γεννήσεως ἐκ τοῦ — 84, 29 ἑξ. Προετοιμασία διὰ τὸ — 79,14 ἑξ. Συμβολισμοὶ εἰς τὸ τελετουργικὸν τοῦ — 110,14 ἑξ.
Βαπτίσματα. Διαφορὰ — 80,34 ἑξ.
Βαπτιστὴς 98,5,22. 109,9.
Βαρνάβας 153,19.
Βασίλειος. — Μέγας 145,4. 151,1. 164,11. 169,12. 179,21. 214,27. 219,8. 236,35. σελ. 239. 253,23. — Μέγας ἐπίσκοπος Καισαρείας Καππαδοκίας 136,6. — πρεσβύτερος 228,30. 230,7. "Αγιος — 276,7. 'Ανάδειξις Μ. — εἰς πρεσβύτερον 150,10 ἑξ. 'Ανάρρησις Μ. — εἰς τὸν τῆς ἐπισκοπῆς θρόνον 255,37 ἑξ. 'Αρετὴ Μ. — 177,9 ἑξ. 'Επιστολὴ πρὸς Μ. — 203,3 ἑξ. 14 ἑξ. 204,13 ἑξ. 205,26 ἑξ. 206,16 ἑξ. 208,10 ἑξ. 215,32 ἑξ. 227,8-33. 231,16-29,31 ἑξ. 232,17-30,32 ἑξ. 234,2-10,13 ἑξ. 238,13 ἑξ. 240,14-29,31 ἑξ. 342,8-10,12 ἑξ. 343,32 ἑξ. Θάνατος Μ. — 248, 22. Λόγος ἐπιτάφιος εἰς τὸν Μ. —, ἐπίσκοπον Καισαρείας τῆς Καππαδοκίας 136,2 ἑξ. Τελευτὴ Μ. — 177,41 ἑξ.

Βασίλειος (πατὴρ Μεγάλου Βασιλείου) 140,29.
Βασιλεῖς 51,20.
Βασιλεὺς 132,34. σελ. 162. σελ. 163. Θεραπεία παιδὸς — ὑπὸ Μ. Βασιλείου 163,4 ἑξ.
Βασιλικὴ 129,8.
Βασιλὶς 49,22.
Βασίλισσα. Ἐπιστολὴ πρὸς — 341,4 ἑξ.
Βεσελεὴλ 118,4. 158,39. 180,21. 216,15.
Βηθανία 25,34.
Βηθλεὲμ 32,28. 71,35. 86,13.
Βίκτωρ. Ἐπιστολὴ πρὸς — 282,25 ἑξ. 283,6-13.
Βίος. Ἐρημικός — 168,4.
Βιταλιανός. Ἐπιστολὴ πρὸς — 248, 15-19. 314,27 ἑξ. 315,4-11.
Βλασφημία 41,13.
Βοσπόριος 309,14. Ἐπίσκοπος — 310,11,23. Ἐπιστολὴ πρὸς — 257, 2-7. 284,27 ἑξ. 294,2-11.
Βούτυρος 56,34.
Βροῦχος 123,8.
Βυζάντιον. Παίδευσις Μ. Βασιλείου εἰς — 143,13 ἑξ.
Βυθὸς 35,21.

Γαβαωνῖται 49,16.
Γάδειρα 149,9. 303,8.
Γάλα 56,34.
Γαλιλαία 53,23,24.
Γάμοι σελ. 336. — Χριστιανῶν 336,33.
Γάμος 56,24 ἑξ. σελ. 57. 58,2,3. σελ. 92. 164,7. 336,34. — πρῶτος νόμος, δεύτερος συγχώρησις, τρίτος παρανομία 56,39 ἑξ. Ἐγκράτεια ἐν τῷ — 93,1 ἑξ. Ζυγὸς — 57,7. Οὐκ, ἐπεὶ ἡ παρθενία τιμιωτέρα, ἐν τοῖς ἀτίμοις ὁ — 92,38.
Γενέθλια 64,32. — (Χριστοῦ) 65,3. Λόγος ΛΗ′ εἰς τὰ Θεοφάνια, εἴτουν — τοῦ Σωτῆρος 64,2 ἑξ. Πῶς δεῖ ἑορτάζειν τὰ — τοῦ Χριστοῦ 65,14 ἑξ.
Γενεθλιαλογία 74,32.
Γεννάδαι 139,3.
Γέννησις. — Θεοῦ 262,35. — (Χριστοῦ) 64,33. Περὶ τῆς — ἐκ τοῦ Βαπτίσματος 84,29 ἑξ.
Γεννητὸν 129,29.
Γεωμετρία 148,34.
Γεώργιος 298,18. — διάκονος 292, 28. 293,6. — ὁ Πασπασινὸς 298, 7. Ἐπιστολὴ πρὸς — 292,6-15.
Γῆ. — τῆς ἐπαγγελίας 197,35. 277, 19.
Γίγαντες 150,34.
Γιγάντιος. Ἐπιστολὴ πρὸς — 260, 27 ἑξ.
Γλαῦκος 220,4,7.
Γλυκέριος. — διάκονος 342,17. σελ. 343. Ἀνάρμοστος συμπεριφορὰ — 342,14 ἑξ. Ἐπιστολὴ πρὸς — 343,21-30.
Γλῶσσα 105,25. — πορνεύουσα τῷ πονηρῷ μίγνυται 58,16.
Γλῶσσαι. — πύρινα 117,20.
Γνῶσις. — ἀνθρώπου ἀτελὴς 24,2 ἑξ. — Θεοῦ σελ. 192. Ξύλον τῆς — 68,36. 75,16. 181,34. 189,36. 202,9. Φῶς — 170,21.
Γοητεύματα 23,5.
Γολιὰθ 92,9.
Γραμματικὴ 148,27.
Γραμματισταὶ 51,35.
Γραφαὶ 88,21. 130,8. 158,25. 220,8.
Γραφὴ 19,24. 29,9. 30,21. 34,39. 41,8. 42,37. 50,5. 100,16. 122, 35. 130,15. 155,5. 191,17. 194, 15. 196,11. 204,30. 266,17,19. 269,14. 277,1,30. 284,34. 293,14. 317,1. 323,27. 328,23. Θεία — 153,18.
Γρηγόριος 215,10. — (Ναζιανζηνὸς) 178,34. 232,5,6. 239,4. 243,40. 258,25,30. 260,1. 261,21. 291,25. 294,8,23. 301,23. 339,6. — διάκονος 349,15,20. 350,3,8. — (Ναζιανζηνὸς) ἐπίσκοπος σελ. 351. — ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει 349,6. 351,25. — Νύσσης 341, ὑποσμ. — ὁ Θεολόγος, Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως 11,2. — τοῦ Θεολόγου λόγος ΛΒ′ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας καὶ ὅτι οὐ παντὸς ἀνθρώπου οὔτε παντὸς καιροῦ τὸ περὶ Θεοῦ διαλέγεσθαι 11,2 ἑξ. Διαθήκη — (Ναζιανζηνοῦ) 349,1 ἑξ. Ἐκκλησία τοῦ ἁγίου καὶ ἐνδόξου καὶ Θεολόγου — 352,9. Ἐπιστολὴ πρὸς — 211,2 ἑξ. 307,24 ἑξ. Ἐπιστολὴ πρὸς — ἄρχοντα 315,13 ἑξ. Ἐπιστολὴ πρὸς — Νύσσης 247,21-27,29 ἑξ. 248,2-13,21 ἑξ. 253,33 ἑξ. 316,25.

Γύγης 147,20.
Γυναῖκες 321,20,30. — παρθένοι 324, 4.
Γυνὴ σελ. 56. 164,5. 190,2. Ἰσότης — πρὸς ἄνδρα 56,1 ἑξ.

Δαβὶδ 32,14. 41,41. 56,23. 71,32. 72,8. 77,4. 81,36. 91,11. 96, 14. 97,8. 104,16. 105,3. 106, 22. 112,20. 118,7,30. 119,36. 142,2. 158,18. 159,29. 163,14. 170,32. 171,1. 172,7. 175,27. σελ. 180. 182,14. 183,37. 196,18. 223,33. 224,28. 231,28. 244,6. 253,26. 257,28. 268,9. 285,18. 332,11,24.
Δαθὰν 19,27. 48,24. 239,6.
Δαίμονες 71,8,22. 73,32. 75,13. 201, 32.
Δάμασος. — ἐπίσκοπος Ρώμης 269,7. 270,18.
Δανιὴλ 47,36. 79,25. 118,32.
Δαυίδ. Βλ. Δαβίδ.
Δέλτοι 51,33.
Δέλτος 148,6.
Δελφικός. — τρίπους 74,29.
Δεσποτεία 40,7-8.
Δημαγωγίαι 137,38.
Δημηγόρος 29,14.
Δήμητρα 74,11.
Δημιουργὸς 35,21.
Δῆμος 132,34.
Διαθῆκαι 22,19. — (Γρηγορίου Ναζιανζηνοῦ) σελ. 349. σελ. 351. 352,7.
Διαίρεσις 13,6. 77,31.
Διάκαμψις 113,13.
Διάκονοι. Εὐταξία — 127,6.
Διάκονος 260,11, 280,23. 292,12. 345,12,30. σελ. 349. Εὐθάλιος — 208,29,32.
Διαλεκτικὴ 148,31.
Διαλέξεις. Λόγος ΛΒ′ περὶ τῆς ἐν — εὐταξίας 11,5 ἑξ.
Διαλύσεις 23,4.
Διαστάσιον 289,6.
Διάστασις 289,27.
Διγαμία 56,36 ἑξ.
Διδάσκαλοι 147,13.
Διογένης 222,25. — ὁ Σινωπεὺς 260,5.
Διοκαισαρεῖς. Πόλις τῶν — 286,37.
Διοκλῆς. Ἐπιστολὴ πρὸς — 336,25 ἑξ.
Διονύσιος (ὁ Ἀλικαρνασεὺς) 307,12.
Διόνυσος 74,15.
Διχόνοια 11,31.
Διωγμός. — Μαξιμίνου 138,14 ἑξ.
Δόγμα 34,5.
Δουλεία 40,8.
Δυσγενής. — ἅπας, ὁ τῇ κακίᾳ συγχέας καὶ μορφὴν ἑτέραν ἐπιβαλὼν ἑαυτῷ, τὴν τοῦ ὄφεως 33,20 ἑξ.
Δωδωναία. — δρῦς 74,29.

Ἔαρ 184,15 ἑξ. σελ. 185.
Ἑβραῖοι 111,25. 113,28. 190,13. 193,21. Σοφοὶ τῶν — 26,16.
Ἐγκαίνια σελ. 180. σελ. 182. Ἡμέρα τῶν — 182,15. 183,31.
Ἐγκαίνιον 182,1.
Ἐγκράτεια 341,22. Θαυμαστὸν ἡ — καὶ ὀλιγάρκεια 167,13 ἑξ.
Ἐγκύκλιος. — παίδευσις 142,10.
Ἐδὲμ 204,33.
Ἐδὼμ 200,22.
Εἴδωλα 75,5.
Εἰδωλολάτραι 108,3.
Εἰδωλολατρία 192,16.
Εἰδωλολατρίαι 69,18. 190,20.
Εἰκών. — Θεοῦ 41,21.
Εἰρήνη 11,29. 344,15.
Εἰωθὸς 23,32.
Ἑκάτη 74,27.
Ἐκδημία. — Μ. Βασιλείου 178,3 ἑξ.
Ἐκηβόλιος. Ἐπιστολὴ πρὸς — 316, 4-23.
Ἐκκλησία 16,25. 23,6. 28,4. 44,15,26. 49,20. 51,16. σελ. 56. 79,27. 94, 11. 98,12. 122,10. 126,16. 130,4, 28. 132,21. 150,9. σελ. 151. 152, 6,17. 153,8,37. 160,34. 162,2. 172,14,32. 174,9. 215,26,27. 216, 12. σελ. 228. 229,9,21. 231,8,20. 234,9,28. σελ. 239. 242,10. 248, 12,29. 252,12. 256,14. 259,23. 261,22,30. 267,38. 277,22,23. 279,8. 282,35. 283,1. σελ. 285. 286,1. 292,29. σελ. 293. 296,10. 301,7. σελ. 308. σελ. 309. 317, 9. 321,5,11. σελ. 342. 343,14,16. σελ. 349. σελ. 350. — Καισαρέων 230,33. — Ναζιανζοῦ 308,33. — τοῦ ἁγίου καὶ ἐνδόξου καὶ Θεολόγου Γρηγορίου 352,8. Γρηγόριος ἐπίσκοπος τῆς καθολικῆς — τῆς ἐν Κωνσταντινουπόλει 349, 6. 351,25. Ἐπιστολὴ τῇ — Καισαρέων 227,35 ἑξ. Ἔριδες ἐν τῇ

— 131,36 ἑξ. Ἔφοροι τῆς — 134, 39. Ἐχθροὶ τῆς — 154,3. Ἡ ἁγία — ἡ κατὰ Ναζιανζὸν 349,17. Ἡ καθολικὴ — ἡ κατὰ Ναζιανζὸν 349,11,25. Ἡ κατὰ Οὐήνασαν — 342,18. Θεμέλιοι τῆς — 19,33. Καθολικὴ — 268,32. σελ. 351. Κηδεμονία καὶ προστασία τῆς — ὑπὸ Μ. Βασιλείου 154,6 ἑξ. Λύχνος τῆς — ἐπίσκοπος 228,11. Μία — 13,11. Προστάτης τῆς — 160,15. Στάσις εἰς — Καισαρείας 166,14 ἑξ. Σῶμα τῆς — 48,34. 151,25, 36. 268,6. 309,33. Τὰ τῆς — ἀποίμαντα 253,28.
Ἐκκλησίαι 34,3. 152,33. σελ. 229. 282,15. 298,3. 303,15. 310,35. 319,19,23. — τοῦ Θεοῦ 229,17. Αἱ ἀπὸ τῶν ἐθνῶν — 180,9. Κακοὶ τῶν — ἡγεμόνες 152,32. Μήτηρ— 160,11. 228,17. 234,29.
Ἐκκλησιαστὴς 276,28.
Ἐκνίκημα 108,23.
Ἐκπορευτὸν 129,29.
Ἐκφράγισμα 98,20-21.
Ἐλαμῖται 120,2.
Ἐλάφιος. — νοτάριος 351,15.
Ἐλεάζαρ 19,7.
Ἐλεύσιος 319,31.
Ἐλευσὶς 74,14.
Ἐλισσαῖος 31,23. 113,12. 118,6. 176,2. Μηλωτὴ — 32,23.
Ἑλλάδιος 214,3. 344,19. — ὁ ἐπίσκοπος 308,29. Ἐπιστολὴ πρὸς — 277,10-25. 280,9-18. 300, 27 ἑξ. 302,15-22. 329,20 ἑξ. 330,13-27.
Ἕλλαμψις 16,28. 22,23-24. 67,24-25. 104,20. 116,36.
Ἑλλὰς 144,21. 147,29,42. 159,17.
Ἐλλέβιχος. Ἐπιστολὴ πρὸς — 334, 2-14.
Ἕλλην 111,9. 210,22.
Ἕλληνες 64,27. 65,36. 73,31. 74, 5,36. 132,15. 149,4. 178,22. 255,13. 263,15. Παῖδες — 75,13.
Ἑλλήσποντος 206,11.
Ἐμμελία 140,32.
Ἐμπόρευμα 11,10.
Ἐμφύσημα 33,16-17. 117,7.
Ἐμφύσησις 113,7.
Ἐμφώτειος. — ἐσθὴς 97,24.
Ἐνανθρώπησις 265,16. 269,14,33. — Θεοῦ 69,25. 78,27 ἑξ. Θεία — 268,33. Τίς ὁ λόγος τῆς — 265, 29 ἑξ.
Ἐνέργημα 16,9.
Ἐνιαύσιον. — τὸ σφάγιον τοῦ Πάσχα 193,9 ἑξ.
Ἐννόημα 67,17-18.
Ἐνστάσεις 23,3.
Ἑνὼς 173,32.
Ἑνὼχ 112,34. 173,34.
Ἑξαήμερος. — Μ. Βασιλείου 171,14.
Ἕξαλμα 85,32.
Ἐξουσία 150,43.
Ἐξουσίαι. — (κοσμικαὶ) 51,28.
Ἔξωθεν 48,2. — παιδευταὶ 142,13-14.
Ἑορτή. Κεφάλαιον — μνήμη Θεοῦ 77, 13.
Ἐπαίρεσθαι. Μὴ — μέγα, ἵνα μὴ μεῖζον κατενεχθῇς 183,24.
Ἐπερώτημα 84,33.
Ἐπικλύσεις 15,6-7.
Ἐπίκτητος 223,15.
Ἐπισκοπή. Ἀνάρρησις Μ. Βασιλείου εἰς τὸν τῆς — θρόνον 155,37 ἑξ.
Ἐπίσκοποι. Βλ. καὶ Ἀρχιερεῖς. 132, 27. 151,5. 165,20. σελ. 229. 234, 17,21. 256,8. 281,19. 284,12. 285,22. 297,19. 307,30. 308,25. 309,7,10. 310,1. 319,30. 336,31. 345,4. Ἐπιστολὴ τοῖς — 229,32 ἑξ. Καθηρημένοι — 279,16. Λόγος ΜΒ' συνταικτήριος εἰς τὴν τῶν ΡΝ' — παρουσίαν 121,3 ἑξ. Ὅμιλος — 314,30. Πλείονες — εἰς Ἐκκλησίαν Καισαρείας Καππαδοκίας 166,15 ἑξ. Σύνοδος — 282,17. 303,13.
Ἐπίσκοπος 62,32. 98,3. 160,40. 161, 28. 207,21. 279,19. 289,30. 293, 35. 307,31. 309,28. 331,9. 348, 18. σελ. 351. — Ἀμφιλόχιος 351,3. — Βοσπόριος 310,11,23. Γρηγόριος (Ναζιανζηνὸς) — σελ. 351. Γρηγόριος — τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει 349,6. 351,25. Δάμασος — Ρώμης 269,8. Ἑλλάδιος ὁ — 308,29. Ἐπιστολὴ πρὸς Εὐσέβιον — Σαμοσάτων 229,2-30. 230,17 ἑξ. 243,20 ἑξ. Ἐπιστολὴ πρὸς Νεκτάριον — Κωνσταντινουπόλεως 319,16 ἑξ. Ἐπιστολὴ πρὸς Φλαβιανὸν — 344,4 ἑξ. Εὐλάλιος ὁ — 308,7. Εὐσέβιος — Σαμοσάτων

229,8. Λύχνος τῆς Ἐκκλησίας — 228,11. Μέγας Βασίλειος, — Καισαρείας τῆς Καππαδοκίας 136, 3 ἑξ. Οὐ χρῆ ζῶντος — ἄλλον χειροτονεῖν 308,8. Υἱὸς — 207,15.
Ἐπιστολαί σελ. 235. σελ. 236. — Ἀριστοτέλους 337,19,27. — Γρηγορίου Ναζιανζηνοῦ 203,1 ἑξ. Αὕτη τῶν — ἀρίστη καὶ κάλλιστα ἔχουσα, ἢ ἂν καὶ τὸν ἰδιώτην πείθῃ καὶ τὸν πεπαιδευμένον 235,30. Μέτρον τῶν — ἐστὶν ἡ χρεία 235, 19. Τοῦτο ταῖς — μάλιστα τηρητέον τὸ ἀκαλλώπιστον καὶ ὅτι ἐγγυτάτω τοῦ κατὰ φύσιν 236, 10-11.
Ἐπιτάφιος. Λόγος ΜΓ′ εἰς τὸν Μέγαν Βασίλειον, ἐπίσκοπον Καισαρείας Καππαδοκίας — 136,4 ἑξ.
Ἐπιτηδειότης 59,15.
Ἐπιφάνια. Ἡμέρα τῶν — 162,13.
Ἐπιφάνιος. Ἐπιστολὴ πρὸς — 339, 33 ἑξ.
Ἐπιφυλλὶς 123,26.
Ἐπόπται 19,38.
Ἕπτὰ σελ. 113. — Πνεύματα 112, 18. 118,2. — τῆς κακίας πνεύματα 76,34. Ἀριθμὸς — σελ. 112. Ἱερότης τοῦ ἀριθμοῦ — ἐν τῇ Παλαιᾷ Διαθήκῃ 113,4 ἑξ.
Ἐρημία 32,33.
Ἑρπετὰ 38,30. 75,1.
Ἐρρικνωμένα 49,4.
Ἔρωτες. Σωμάτων — 146,16.
Ἔσδρας 120,15. 296,15.
Ἔσθημα 32,27. 49,11.
Ἐσθής. Ἐμφώτειος — 97,24.
Ἕσπερος 266,35.
Ἐσταυρωμένος. Εἴ τις οὐ προσκυνεῖ τὸν —, ἀνάθεμα ἔστω 263,13.
Ἐτήσια 84,6.
Εὖα 78,13. 182,26. 200,2. 321,24.
Εὐαγγέλια 22,20. 159,8.
Εὐαγγέλιον 18,26. 33,2. 82,10. 100, 17. 106,15. 119,10. 121,17. 176, 38. 192,32. 195,32. 196,31. 211, 6. 243,34. 270,41. 311,12. 339,13. Λόγος ΛΓ′ εἰς τὸ ῥητὸν τοῦ — «ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους» καὶ τὰ ἑξῆς 53,2 ἑξ.
Εὐάγριος 203,27. — διάκονος 335,8. 351,7. Ἐπιστολὴ — 203,26 ἑξ. Ἐπιστολὴ πρὸς — περὶ θεότητος 341,2. Φλάβιος — 349,4.
Εὐγενὴς. Πᾶς — ὁ φυλάξας τὴν ἄνωθεν εὐγένειαν ἐξ ἀρετῆς καὶ τῆς πρὸς τὸ ἀρχέτυπον νεύσεως 33, 19 ἑξ.
Εὐγενία 297,4. 350,30.
Εὐγένιος 281,6. Ἐπιστολὴ πρὸς — 274,14-18. 276,26 ἑξ.
Εὐγλωττία 275,32.
Εὐδαιμονία 223,1,9.
Εὐδόκιος. Ἐπιστολὴ πρὸς — 327,28 ἑξ. 328,11-25. 27 ἑξ.
Εὐδοξία 20,30-31.
Εὐδόξιος 225,31. σελ. 226. 307, 19. Αἵρεσις — 319,26. Ἐπιστολὴ πρὸς — 303,22-38. 304,2-11,13-31. 305,2-10,12 ἑξ. 306, 29 ἑξ. 307,6-13. 311,18-29.
Εὔζωνοι. — Συρίας 196,15.
Εὐθάλιος. — διάκονος 208,29. 292, 8.
Εὐλαβέστατοι 120,1.
Εὐλάλιος 214,4. — ἐπίσκοπος 308,6-7. — ὁ χωρεπίσκοπος 293,29. Ἐπιστολὴ πρὸς — 276,12-18,20-24. 296,14-24.
Εὐμήλειοι. — ἵπποι 210,3.
Εὐνόμιος 319,33.
Εὔνομος 304,8.
Εὐνουχισμὸς 62,26,37.
Εὐνοῦχοι σελ. 60. 61,35. σελ. 62. — διὰ τὴν βασιλεία τῶν οὐρανῶν 62,12 ἑξ.
Εὐνοῦχος 62,5.
Εὐπράξιος 244,4. 350,26.
Εὐριπίδης 211,10.
Εὐρύσθειος. — ἆθλος 236,20.
Εὐσέβιος. — ἐπίσκοπος (Σαμοσάτων) 229,8. — Καισαρείας 216,3. Ἐπιστολὴ πρὸς — 336,7-23. Ἐπιστολὴ πρὸς — ἐπίσκοπον Σαμοσάτων 229,2-30. 230,17 ἑξ. 243, 20 ἑξ. 244,2-26,28 ἑξ. Ἐπιστολὴ πρὸς — Καισαρείας 214,15 ἑξ. 215,7-17,19-30.
Εὐστάθιος. — διάκονος 229,18. — μονάζων 349,16. 350,4. Ἐπιστολὴ πρὸς — 312,7-17,19 ἑξ. 313,33 ἑξ.
Εὐστράτιος 273,30.
Εὐταξία 20, 39. Λόγος ΛΒ′ περὶ τῆς ἐν διαλέξεσιν — 11,5 ἑξ.
Εὐτεχνία 140,17,22.
Εὐτρόπιος 246,16. Ἐπιστολὴ πρὸς — 246,15-29. 247,2-19.
Εὐφημιὰς 316,26.

Εὐφήμιος 272,9. 336,1. 350,40,42. 351,1. 254,25.
Εὐχέριος. Φλάβιος — 349,4.
Εὐψύχιος 239,8.
Ἐφέξεις 23,3.
Ἔφεσος 33,8.
Ἐφραΐμ 127,4. 250,4.
Ἑωσφόρος 48,18. 67,26. 188,30. 318,25.

Ζακχαῖος 76,23. 101,18.
Ζεβεδαῖος. Μήτηρ τῶν υἱῶν — 60,1. Υἱοί — 176,35.
Ζεύξιππος 31,28.
Ζεὺς 74,4.
Ζέφυρος 275,23.
Ζοροβάβελ 112,29.
Ζωγράφοι 335,23.
Ζωή.— ξύλον 69,3. Ἄρτος — 81,2. Ξύλον τῆς — 75,16. 181,33. 190,5.
Ζώνη σελ. 196. — Ἰωάννου προδρόμου 196,12.

Ἡδοναί. Ὡς ἔστιν αἰσχρόν, τῶν μὲν πόλεων κρατεῖν , τῶν δὲ — ἡττᾶσθαι 52,8-9.
Ἡλί. — ὁ ἱερεὺς 323,18.
Ἠλίας 32,23. 44,17. 86,10. 103,10. 113,7. 118,5. 151,42. 154,39. 176,1,3. 260,22. Νέος — 80,13.
Ἥλιος 170,32. σελ. 181. 184,19,21. 186,26. 188,5. 264,40. 265,8. 267,26. 315,22. Δικαιοσύνης — 195,5.
Ἡλύσια. — πεδία 149,4.
Ἡμεροφανεῖς 43,29.
Ἡμιμόχθηροι 95,13.
Ἥπαρ 107,1.
Ἤπειρος 33,7.
Ἡρακλειανὸς 259,30. Ἐπιστολὴ πρὸς — 259,29 ἑξ.
Ἡρακλεῖδαι 137,42.
Ἡράκλειος. — ἄθλος 236,21.
Ἡρακλῆς 295,17.
Ἡρῴδης 48,29. 72,20. 80,2. Μανία — 176,18. Παιδοκτονία — 72, 10-11. Παιδοφονία — 37,8. 114,3.
Ἡρωδιανοί 55,20.
Ἡσαΐας 71,38. 90,22. 99,4. 112,20. 180,8. 193,9. 200,22.
Ἠσαῦ 160,7.
Ἡσίοδος 315,14.

Θάλασσα 140,3.
Θάνατος 181,35,39. σελ. 182. 186, 15. 190,9. 253,30. 286,33. 313, 1. 320,30,33. 339,27,29. 346,33. — ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακὸν 69,7. Μελέτη — 222,7.
Θαῦμα. — κατὰ τὴν ἐκδημίαν τοῦ Μ. Βασιλείου 178,11 ἑξ.
Θεῖον 252,10. 257,19. 272,5. 273,19. Ἄπειρον τὸ — καὶ δυσθεώρητον καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία 66,29-30. 187, 33 ἑξ. Φιλάνθρωπον τὸ — 95,4.
Θέκλα 331,31.Ἐπιστολὴ πρὸς — 237,18-27,29 ἑξ. 331,15-38. 332, 2 ἑξ.
Θεμίστιος 226,11. — ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς κατὰ Ἀνδριανούπολιν 352,1. Ἐπιστολὴ πρὸς — 226,9 ἑξ.
Θέογνις 212,29.
Θεοειδεῖς 77,8. 87,10.
Θεοδόσιος 318,18. — ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Ἴδῃ 351,36. — νοτάριος 350,28. Ἐπιστολὴ πρὸς — 335,22 ἑξ.
Θεόδουλος. — διάκονος 351,12. — ἐπίσκοπος τῆς ἁγίας καθολικῆς Ἐκκλησίας τῆς κατὰ Ἀπάμειαν 351,39.
Θεόδωρος 284,23. Ἐπιστολὴ πρὸς — 249,7. 276,2-10. 277,27 ἑξ. 278, 9-16,18-24,26,31. 285,17 ἑξ. 293, 13-37. 296,2-12,26-32. 297,2-8, 10-16,18-36. 298,2-27. 308,13 ἑξ.
Θεοκάπηλοι 72,18.
Θεολογία 41,14. σελ. 173. 188,8. — Μ. Βασιλείου 171,21,34. 173, 10,14. Ἡ τοῦ Πνεύματος — 240, 7.
Θεὸς 11,18. σελ. 13. 14,6. 15,34,38. 16,25. σελ. 17. σελ. 18. σελ. 19. 21,19,39. σελ. 22. 23,27,31. σελ. 26. 27,9. 28,16. 29,1. 30,21. 31, 12. σελ. 32. σελ. 34. σελ. 35. 36,18,22. σελ. 39. σελ. 40. σελ. 41. σελ. 42. 46,9. 47,4. 48,19. 49,40. σελ. 50. σελ. 54. 56,6. 57,34,39. σελ. 58. σελ. 59. σελ. 61. 63,16. σελ. 66. σελ. 67. σελ. 68. σελ. 69. σελ. 70. σελ. 71. σελ. 72. 73,22. 74,6,17. σελ. 75. 76,12. σελ. 77. σελ. 78. 80,24. 81,6. 82,36. 84,33. σελ. 85.

σελ. 86. σελ. 87. 88,7. 89,27. 90, 34,35. 91,38. σελ. 92. 93,20. 95,7,11. 97,30,31. 98,10. 99,39. 100,30. 103,26. σελ. 104. 105, 26. 106,32,39. σελ. 107. 108, 3,31. σελ. 109. σελ. 110. 111, 12,31. 112,9,30. 113,1. 114,25. 115,14. σελ. 116. σελ. 117. 119, 7. 120,24. σελ. 123. 124,9,16. σελ. 125. σελ. 127. σελ. 128. σελ. 129. σελ. 130. 133,14,34. σελ. 134. 135,1. 137,13,24. 139,11, 17. 140,13,36. σελ. 141. σελ. 143. 146,19,34. 147,25. 150,6. σελ. 151. σελ. 154. 155,29. 158,5. σελ. 161. 162,21,34. 163,3. σελ. 164. 165,12,19. 166,10,30. 167, 41. 168,7. 169,1,23. σελ. 170. 171,20. 172,12. 173,17,28. σελ. 174. σελ. 175. 176,27. 179,25,27. σελ. 180. σελ. 181. σελ. 182. σελ. 183. 184,1. σελ. 185. 186,19. σελ. 187. σελ. 188. σελ. 189. σελ. 190. σελ. 191. 193,35. 195,3. σελ. 196. σελ. 197. σελ. 198. σελ. 199. 200,31. σελ. 201. σελ. 202. 206,22,32. 207,27. 208,26,28. 210,34, σελ. 211, 212,6,19. σελ. 216. 218,19. 220,18. 222,31. 223,29. 224,20. σελ. 228. 229, 27. 231,26. 233,38. 239,34. 240, 26. σελ. 241. 242,6. 243,32. 244, 10,19. σελ. 245. 247,26. σελ. 248. σελ. 250. σελ. 251. σελ. 252. 253, 4,9. 254,2. 255,7,29. σελ. 257. 258,24. 259,9. 260,23. 261,29. σελ. 262. 263,17. 264,1. σελ. 265. σελ. 266. 267,29,37. σελ. 268. 269, 1,31. σελ. 270. 272,22,36. 274, 17. 281,10,13. σελ. 282. 284,19, 33. σελ. 285. 286,25. 287,27. 288,7,28. 289,15,37. 290,14. σελ. 291. 292,25. σελ. 293. 294,8,31. 296,24,27. 297,35. 298,3,21. 299,4,29. σελ. 301. 303,11. 305, 3. 306,17,20. 307,3. 308,17,38. 309,8,21. 314,36. 315,7,9. 316,33. 317,8. 318,31. 319,6,18. σελ. 322. 323,8,32. σελ. 324. σελ. 325. σελ. 326. σελ. 327. 328,7,8. 329, 6. 330,2. σελ. 331. σελ. 332. 333, 9,15. σελ. 334. σελ. 335. 336,5. 337,32. 338,27. 339,7,24. 340, 21. σελ. 343. 344,5. 346,20. 247, 14. σελ. 348. 351,9. — ἄνθρωπος γίνεται 78,23. — ἀνθρωποφόρος 270,36. — δικαιώματα 50,24. — ἐνανθρωπήσας 263,5. — ἐστι φῶς τὸ ἀκρότατον καὶ ἀπρόσιτον καὶ ἄρρητον, οὔτε νῷ καταληπτόν, οὔτε λόγῳ ῥητόν, πάσης φωτιστικὸν λογικῆς φύσεως 85,25-26. — ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται 66,12. 187,16 ἑξ. — καὶ Πατὴρ 262,37. — Λόγος 42,5. 320,27. — νῷ μόνον σκιαγραφούμενος καὶ τούτῳ λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν 187,22 ἑξ. — ὁ μονογενὴς 320,29. — Πατὴρ 192, 18. — Πατὴρ ἄναρχος καὶ ἀγέννητος 13,21. — πόλις 52,13. — σαρκοφόρος 270,28. — σταυρούμενος 169,23. 202,16. — τριαδικὸς 77,22 ἑξ. 107,19 ἑξ. Ἀγάπη — 266,37. Αἱ περὶ — φαντασίαι 66,38. 188,1. Αἷμα — 197,5. 198, 18. Ἀλλοτρίωσις ἀπὸ — 157,24. Ἄμπελος — 44,26. Ἀναγκαία ἡ παρὰ — βοήθεια πρὸς τελείωσιν 59, 26 ἑξ. Ἄνθρωπος εἰς πρόσωπον ὁρᾷ, ὁ δὲ — εἰς καρδίαν 50,5. Βίος κατὰ — 72,25. 195,28. Γέννησις — 262,35. Γνωρίσματα δικαιοσύνης — 22,14. Γνῶσις — 18,23. σελ. 192. Δικαιοδότης — 243,36. Δούλη — 331,31. Δῶρα — 85,5. Δῶρον — 156,34. 230,22. Εἰκὼν — 24, 7. 41,21. 68,15. 75,23. 88,31. 189,14. Εἰκὼν τοῦ — ὁ ἄνθρωπος 25,19 ἑξ. Εἷς — 26,29. 128, 31. Εἷς — ἐν τρισὶ καὶ τὰ τρία ἓν 78,14. Ἐκκλησίαι τοῦ — 229,17. Ἐνανθρώπησις — 78,27 ἑξ. Ἐπιδημία — πρὸς ἀνθρώπους, ἵνα πρὸς — ἐνδημήσωμεν ἢ ἐπανέλθωμεν 65,5 ἑξ. Ἐφάνη — ἀνθρώποις διὰ γεννήσεως 64,33. Ἡ κατὰ — παρρησία 231,3. Θρόνος — 117,27. Ἱερεῖς — 43,8,20. Κάμνουσα ψυχὴ ἐγγίζει — 216, 22. Κεφάλαιον ἑορτῆς μνήμη — 77,13. Κοινωνία — πρὸς ἀνθρώπους 117,34. Κρίματα — 122,37. Λαὸς — 39,18. Λόγος ΛΒ' περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας καὶ ὅτι οὐ παντὸς ἀνθρώπου οὔτε παντὸς καιροῦ τὸ περὶ — διαλέγεσθαι

11,7 ἑξ. Λόγος τοῦ — 69,21. 190,23. 202,27. Μέγα τὸ περὶ — λαλεῖν 17,7. Μέγας τοῦ — κλῆρος 157,41. Μία ἡ φύσις τοῦ — ἐν τρισὶν ἰδιότησι, νοεραῖς, τελείαις, καθ' ἑαυτὰς ὑφεστώσαις, ἀριθμῷ διαιρεταῖς καὶ οὐ διαιρεταῖς θεότητι 35,33-34. Μίμησις — 75,27. Ναὸς — 171,30. 182,17. Νόμος — 164,30. 317,6. Οἱ κατὰ — ζῶντες 211,6. Οἰκείωσις πρὸς — 300, 6. Ὁμιλεῖν περὶ — σελ. 20. Οὐ — τὸ κτιζόμενον 35,38. Πλάσμα — 62,41. Πνεῦμα — 103,16. 172,33. 268,11. Πῦρ ὁ — ἡμῶν καὶ πῦρ καταναλίσκον 117,23. Σοφία — 17,20. 77,5. 105,29. Τὸ τοῦ — πολίμνιον 293,19. Τρεῖς αἱ ὑποστάσεις τοῦ — μία ἡ οὐσία αὐτοῦ 77,21 ἑξ. Υἱὸς τοῦ — 64,25. 78, 26. 109,31. 268,35. Φάρμακον ὅταν ὀδυνώμεθα, τότε μεμνῆσθαι — 332,23. Φιλανθρωπία — 150,7. 248,4. 250,15. 286,18. 310,20. Φόβος — 204,5. 330,27. 349,28. Φωνὴ — 170,16. Φῶς — 104,18. Φῶς ἦν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ — 181,1 ἑξ. Φῶς ὁ — καὶ φῶς τὸ ἀκρότατον 18,10 ἑξ Χάρις — 320,6. Χρηστότης — 331,2.

Θεοσέβεια σελ. 317.

Θεότεκνος 260,9. Ἐπιστολὴ πρὸς — 251,2-28.

Θεότης σελ. 77. 190,38. 193,2,3. 194,36. 200,26,28. σελ. 201. 262, 22,31. σελ. 264. 265,18,27. σελ. 267. 269,18. 271,9. 310,30,32. σελ. 320. — καθ' ἑαυτὴν ἀόρατος 263,26. — μία κατὰ τὴν οὐσίαν, τριπλῇ κατὰ τὰς ὑποστάσεις 129, 12 ἑξ. — τοῦ Μονογενοῦς 320,24. — τριαδικὴ 40,23 ἑξ. 67,6. 188,10. Ἓν ἐν τρισὶν ἡ — καὶ τὰ τρία ἓν 77, 27 ἑξ. Ἓν τὰ τρία καὶ ταὐτὸν τῇ — 263,9. Ἐπιστολὴ πρὸς Εὐάγριον περὶ — 341,2. Μία — 35,31. 42,35. 51,13. 83,2. 115,13. Μία τῆς — φύσις καὶ οὐσία καὶ δύναμις 267,32. Οἰκεῖον — αἱ νοεραὶ φύσεις 189,2.

Θεοτόκος. Εἴ τις οὐ — τὴν ἁγίαν Μαρίαν ὑπολαμβάνει, χωρὶς ἐστι τῆς θεότητος 262,30.

Θεοφάνια 64,31. 65,3. Λόγος ΛΗ' εἰς τὰ —, εἴτουν Γενέθλια τοῦ Σωτῆρος 64,2 ἑξ.

Θεόφιλος. — ὁ παῖς 350,24.

Θερμότης 12,18. — ἀπαίδευτος 14,1.

Θετταλικόν. — ἄντρον 142,4-5.

Θῆβαι. Ἑπτάπυλοι — 168,25.

Θηβαῖοι 74,18.

Θηβαῖος. Κράτης — 167,8.

Θηρία. Νυκτονόμα — 43,32-33.

Θλῖψις 332,24. 333,13.

Θράκες 74,34.

Θράκη 275,18.

Θράσος 13,39. — ἀμαθίας ἔκγονον 12,20.

Θρόνοι. Οὐ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν δυνατωτέρων οἱ — 150,27.

Θυμὸς 251,4,5.

Θυοφόρος. — χεὶρ καὶ ἀναίμακτος 286,23.

Θυσία. — Χριστοῦ καὶ διατὶ αὕτη 198,26 ἑξ.

Θωμᾶς 20,4. 33,8. 105,37. 200,7.

Ἰακὼβ 160,6. Κλίμαξ — 174,14.

Ἰάκωβος 19,38. 324,34. Ἐπιστολὴ πρὸς — 324,18 ἑξ. 325,4-16.

Ἰατρικὴ 148,37.

Ἰατρὸς 70,28.

Ἴβηρες 335,15.

Ἴδη. Θεοδόσιος ἐπίσκοπος — 351,36.

Ἰεβοῦς 134,6.

Ἰεζάβελ 44,18,21.

Ἱερεῖα. — ἔμψυχα 34,33.

Ἱερεῖον. Μέγα καὶ ἄθυτον — 192,39.

Ἱερεῖς 133,21. 134,15. — Θεοῦ 43, 8,20. Σύλλογος τῶν — 288,29.

Ἱερεμίας 60,15. 77,4. 122,20.

Ἱερεὺς 260,13. 302,4. — ἀναθημάτων τὸ ἁγιώτερον 252,11-12. Σύζυγος — 317,13.

Ἱεροβοὰμ 48,35. 150,29.

Ἱεροσόλυμα 180,24.

Ἱεροσολυμίτης 98,3.

Ἱερουσαλὴμ 120,1. 134,6. 176,37. 180,15. 231,29. Ἄνω — 33,15. 126,20. 166,10. Αὐλαὶ — 197,11. Κάτω — 199,13. Νέα — 31,28.

Ἱερωσύνη 257,28. 286,22. 348,23. Ἄξίωμα — 348,26.

Ἰησοῦς 19,34. 25,33. 27,10. 42,34. 53,2,4. 60,5. 64,26. 71,15. 72,31. 73,3. 76,13,22. 77,34. σελ. 79. σελ. 80. σελ. 81. 83,3. 113,1. 114,4. 117,30. 120,24. 135,6

164,27. 175,13. 176,16. 177,1. 179,37. 180,24. 185,24. 195,8. 199,31,38. 230,27. 250,7,8. 339, 6. — τοῦ Ναυῆ 113,4. Βάπτισμα — 81,5.
Ἰθάμαρ 19,7.
Ἰθύφαλλοι 74,20.
Ἰκόνιον. Ἀμφιλόχιος ἐπίσκοπος — 351,29. Κληδόνιος πρεσβύτερος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν — 352,3.
Ἱλάριος. — ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς κατὰ Ἰσαυρίαν 351,41.
Ἰλιὰς 222,16.
Ἰλλυρικὸν 176,37.
Ἰνδικὴ 33,8.
Ἰνδοὶ 245,12.
Ἰόλαος 295,19.
Ἰορδάνης 53,24. 71,16. 79,31.
Ἰουδαία 33,6. 53,23,25. 158,30.
Ἰουδαῖοι 53,7,8. 64,27. 71,7,9. 120, 2,5. 178,22. 201,20,33. Ἔθνος — 172,29.
Ἰουδαῖος 53,8,12. 111,8.
Ἰουδαϊσμὸς 35,29. 267,12. 270,4.
Ἰούδας 12,38. 20,4. 48,28. 267,14. Προδότης — 346,23.
Ἰουλιανός. Ἐπιστολὴ πρὸς — 245, 7-25, 245,27. 246,6,8-13.
Ἱπποδρομίαι 61,13.
Ἵπποι 333,18. Ἀχιλλέως — 340,11. Εὐμήλειοι — 210,3.
Ἱππολύτη 305,24,25.
Ἰσαὰκ 46,28. 174,8. 198,27.
Ἰσαυρία. Ἱλάριος ἐπίσκοπος — 351, 41.
Ἶσις 74,39. Τελεταὶ — 38,25.
Ἰσμαὴλ 96,28.
Ἰσραὴλ 12,37. 18,14. 22,22. 26,6. 28,16. 32,16. 41,8. 47,37. 48,30. 64,12. 76,9. 86,9. 91,7. 106,21, 28. 118,29. 122,6,17. 123,28. 124,1. 125,22. 130,31. 139,4. 163,4,36. 195,16. 198,6. 233,29. 249,32. 291,4. 331,1.
Ἰσραηλίτης 197,35. 249,36.
Ἰταλία 33,8.
Ἰταλοὶ 302,27.
Ἴτυς 275,19.
Ἰωάννα 199,37.
Ἰωάννης 19,38. 20,8. 33,7. 42,2. 55,10. 64,22. 71,32. 80,17. 97, 14. 126,17. 151,42. 200,4. — ἀναγνώστης καὶ νοτάριος τῆς ἁγιωτάτης ἐκκλησίας Ναζιανζοῦ 352,5. — Βαπτιστὴς 260,22. — (πρόδρομος) 32,25. σελ. 79. 176, 16. 196,12. Βάπτισμα — 55,28. 81,3 ἑξ. 98,31.
Ἰὼβ 16,13. 196,16. 223,28. — ὁ Αὐσίτης 174,32.
Ἰωβηλαῖον 112,6.
Ἰωὴλ 118,8.
Ἰωνᾶς 158,18. 283,29.
Ἰωσὴφ 32,17. 37,29,32. 124,7. 155, 19. 174,29. 266,29.

Καβερίνα 226,12.
Κάθαρσις. — σώματος 63,7. — ψυχῆς 63,8. Διττὴ ἡ —, δι' ὕδατος καὶ Πνεύματος 87,5 ἑξ.
Κάϊν 48,22. 112,25.
Καῖσαρ 39,27. 76,21. 93,18.
Καισάρεια. Βασίλειος Μέγας, ἐπίσκοπος — Καππαδοκίας 136,3. Ἐπιστολὴ πρὸς Εὐσέβιον — 214, 15 ἑξ. 215,7-17,19-30.
Καισαρεῖς. Ἐκκλησία — 230,33. Ἐπιστολὴ τῇ Ἐκκλησίᾳ — 227,35 ἑξ. Πόλις — 142,29. 149,40. 150, 11.
Καισάριος (ἀδελφὸς Γρηγορίου Ναζιανζηνοῦ) 220,22. σελ. 221. 253, 24. 350,36. Ἐπιστολὴ πρὸς — 207,5 ἑξ. 213,11 ἑξ. 216,19 ἑξ. 218,4 ἑξ. Μήτηρ — 207,32.
Κακία 147,7,10. 156,20. 169,34. Ἑπτὰ τῆς — πνεύματα 76,34. Μόνον λυπηρὸν ἡ — 300,5.
Κακίαι. Παραπεπήγασι ταῖς ἀρεταῖς αἱ — καὶ εἰσί πως ἀγχίθυροι 169, 32.
Καλλιγράφος 108,34.
Καλλίμαχοι 337,7. 338,7.
Κανδάκης 97,38.
Κανδιδιανός. Ἐπιστολὴ πρὸς — 209, 5 ἑξ.
Κανόταλα. Ὠνὴ τοῦ χωρίου — 351,2.
Καππαδόκαι 120,3. 137,36. 140,15. 153,24. 308,15.
Καππαδόκης 203,18.
Καππαδοκία 203,18. Βασίλειος Μέγας, ἐπίσκοπος Καισαρείας τῆς — 136,3.
Καρβάλη 321,16.
Καρικός. Μαυσόλου — τάφος 168,26.

Κάρμηλον. 32,22. Ἠλίας ὁ τοῦ — 260,22.
Καρποδόται 37,16-17.
Καρποδότης 74,42.
Καρτερία 341,22.
Κασταλία 74,30.
Κάστωρ 326,13. Ἐπιστολὴ πρὸς — 325,18-24,26 ἑξ.
Καταβαπτιστὴς 109,9.
Κατάδουποι 205,9.
Κατάκρισις 25,1 ἑξ.
Καταρράκται 205,9.
Κατηχούμενος 91,41.
Κατοικέσια 84,6.
Κάχληκες 28,7,9.
Κεκροπίδαι 137,41.
Κελεοί 74,11.
Κελεύσιος 293,29. Ἐπιστολὴ πρὸς — 274,20-28. 275,2-5,7-34.
Κένταυρος 142,5.
Κένωσις. — ἡ τῆς δόξης ὕφεσίς τε καὶ ἐλάττωσις 54,22-23.
Κεραμεὺς 315,15.
Κεφαλὴ 341,35.
Κηρὸς 324,14.
Κηφᾶς 13,12.
Κιμμέριοι 204,27.
Κλέπται 44,1.
Κληδόνιος 261,21. — πρεσβύτερος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν Ἰκονίῳ 352,3. Ἐπιστολὴ πρὸς — 273,22-26,28-32. 274,2-5. Πρὸς — πρεσβύτερον ἐπιστολὴ πρώτη 261,18 ἑξ. Πρὸς — πρεσβύτερον ἐπιστολὴ δευτέρα 268,27 ἑξ.
Κλῆσις. — συνοδικὴ 234,32.
Κλοπὴ 63,17.
Κνώδαλα 38,30. 75,1.
Κολακεία 328,15.
Κολοιὸς 333,19.
Κολοσσὸς 168,26.
Κόμης 293,9.
Κορίνθιος 17,24.
Κόρινθος 82,3.
Κορνήλιος 42,21.
Κορύβαντες 74,8.
Κορύβας 45,13.
Κόσμος σελ. 188. — νοητὸς 188,34. — ὑλικὸς 67,33. 188,37. Νοητὸς — 67,30.
Κουρῆται 74,5.
Κουρόσυνα 84,6.
Κράτης. — Θηβαῖος 167,7.
Κρῆτες 74,4. 120,3.
Κριταὶ 175,20.
Κτίσις. Καινὴ — 180,28. 181,40. 186,16.
Κτίσμα 13,20. σελ. 129. Εἰ — οὐ Θεός· ἤρξατο γὰρ χρονικῶς 129, 35.
Κύκνοι 275,11,34.
Κυναίγειροι 337,7. 338,6.
Κυριακὴ 182,1,6. Λόγος ΜΔ′, εἰς τὴν καινὴν — 180,2 ἑξ.
Κυριακὸς 262,20. Ἐπιστολὴ πρὸς — 326,6-19.
Κύριος 17,11. 20,35. 27,10. σελ. 39. 40,22. 41,15,16. 42,34. 52,14, 16. 58,1. 59,33,34. 62,31. 64,4. 70,20. 72,31. 77,33. 82,22. 83,3. 97,9,10. 102,8. 104,15,30. 105, 26,39. σελ. 106. 110,41. 113,1. 117,14. 119,16,36. 122,35. 123, 29. 125,14,34. 126,9,23. 127,20. 130,32. 133,35. 135,6. 151,6. 154,26. 173,33. 175,3,25. 179, 37. 180,13. 185,24. 186,22. 200, 18. 201,4. 202,35. 229,24. 230, 27. 248,24. 261,21. 262,21. 267, 3. 276,24. 278,4. 281,11. 294,4, 5. 301,18. 302,5. 309,25. 310, 35. 330,34. 331,11. 336,17. 339, 6,31. Εἷς — 26,28. 35,39. Λόγια — 112,20. Λόγος — 37,26. 106,20. 118,18. Ὁδὸς — 64,23. Παιδεία — 103,13. Πνεῦμα — 118,2,3. Προφῆται — 44,18. Φῶς — 103,15.
Κωδίκελλος 351,20.
Κώνειον 44,21. 223,26.
Κωνσταντινούπολις 259,31. Γρηγόριος ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας τῆς ἐν — 349,6. 351,25. Γρηγόριος ὁ Θεολόγος Ἀρχιεπίσκοπος — 11,3. Ἐπιστολὴ πρὸς Νεκτάριον ἐπίσκοπον — 319,16 ἑξ. Λόγος ΛΣΤ′ εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας ἐπιθυμεῖν αὐτὸν τῆς καθέδρας — καὶ εἰς τὴν τοῦ λαοῦ προθυμίαν ἣν ἐπεδείξαντο εἰς αὐτὸν 46,3 ἑξ.

Λάζαρος 52,5. 101,12. 102,28. 117, 37. 271,9,10.
Λακεδαιμόνιοι 257,11,14.
Λάκων 212,23.
Λακωνικοί. — ἔφηβοι 74,22.
Λάμαχοι 337,7.

Λάμεχ 112,26.
Λαμίς 276,13.
Λεία 197,33.
Λεόντιος. — πρεσβύτερος 288,24. Ἐπιστολὴ πρὸς — 259,6-13.
Λέπρα 169,13.
Λεπροὶ 169,16.
Λευῖται 19,18.
Λευκάδιος. Ἐπιστολὴ τῇ ἐν Χριστῷ ἀδελφότητι τῇ κατὰ Σανναβοδάην τοῦ μακαρίου — 339,4-32.
Λιβάνιος. Ἐπιστολὴ πρὸς — σοφιστὴν 338,18-20.
Λίβυοι 120,2.
Λίμναι 234,24. 235,3.
Λιμὸς σελ. 155. 219,26. — ἐν Καππαδοκίᾳ 154,17 ἑξ.
Λογισμός. — προεδρία 24,23.
Λόγοι. Προπεμπτήριοι — 133,40.
Λόγος 15,1,36. 42,8. 55,9. 64,24,35. 65,40. 67,18. 70,19. 71,2,37. 72,20. 73,28. 74,2. 76,26,29. 77,7,8. 79,34. 80,8. 88,7. 102, 13,30. 103,12,17. 105,36. 106, 18. 111,5. 117,20. 120,24. 126,4. 127,14. 134,6. 176,16. 181,28. 187,8. 188,22. σελ. 195. 199,6,22. 200,1. 201,3,26. σελ. 202. 276, 23. 302,12. 337,34. — Θεοῦ 202,27. — Κυρίου 37,25. 106,20. — ΛΓ′ πρὸς Ἀρειανοὺς καὶ εἰς ἑαυτὸν 28,1 ἑξ. — ΛΔ′ εἰς τοὺς Αἰγύπτου ἐπιδημήσαντας 37,1 ἑξ. — ΛΕ′ εἰς τοὺς μάρτυρας καὶ κατὰ Ἀρειανῶν 43,1 ἑξ. — ΛΣΤ′ εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας ἐπιθυμεῖν αὐτὸν τῆς καθέδρας Κωνσταντινουπόλεως καὶ εἰς τὴν τοῦ λαοῦ προθυμίαν ἣν ἐπεδείξαντο εἰς αὐτὸν 46,1 ἑξ. — ΛΖ′ εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου· «ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους» καὶ τὰ ἑξῆς 53,1 ἑξ. — ΛΗ′ εἰς τὰ Θεοφάνια, εἴτουν Γενέθλια τοῦ Σωτῆρος 64,1 ἑξ. — ΛΘ′ εἰς τὰ ἅγια Φῶτα 73,1 ἑξ. — Μ′ εἰς τὸ ἅγιον Βάπτισμα 84,1 ἑξ. — ΜΑ′ εἰς τὴν Πεντηκοστὴν 111,1 ἑξ. — ΜΒ′ συνταικτήριος εἰς τὴν τῶν ΡΝ′ ἐπισκόπων παρουσίαν 121,1 ἑξ. — ΜΓ′ εἰς τὸν Μέγαν Βασίλειον, ἐπίσκοπον Καισαρείας Καππαδοκίας ἐπιτάφιος 136,1 ἑξ. — ΜΔ′, εἰς τὴν καινὴν Κυριακὴν 180,1 ἑξ. — ΜΕ′, εἰς τὸ ἅγιον Πάσχα 186,1 ἑξ. — νοούμενος 202,29. — ὁ ὑπὲρ λόγον 54,38. — τοῦ Θεοῦ 69,21. 190,23. — τοῦ Θεοῦ, ὁ προαιώνιος, ἀόρατος, ἀπερίληπτος, ἀσώματος, ἐκ τῆς ἀρχῆς ἀρχὴ 190, 23-25. Αἱ τοῦ — προσηγορίαι 41, 10. Ἄρτος Ἀγγέλων — 155,28. Γρηγορίου τοῦ Θεολόγου — ΛΒ′ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας καὶ ὅτι οὐ παντὸς ἀνθρώπου οὔτε παντὸς καιροῦ τὸ περὶ Θεοῦ διαλέγεσθαι 11,4 ἑξ. Δημιουργὸς — 68,7. 189,7. Θεὸς — 42,5. 320,27. Κοινωνία — 84,35. Κόρος — πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα τροφὴ σώμασι 84,10-11. Μονογενὴς — 36,5. Ὁ — σὰρξ ἐγένετο 266,21. 267,1. Ὁ διακοσμήσας τὰ πάντα — 14,21. Ὀρθὸς — 11, 17. Προαιώνιος — 109,31. Τεχνίτης — 68,11. 189,11. Τρισσὴν γέννησιν ἡμῖν οἶδεν ὁ —· τὴν ἐκ σωμάτων, τὴν ἐκ βαπτίσματος, τὴν ἐξ ἀναστάσεως 84,15-16.
Λολλιανὸς 214,8. Ἐπιστολὴ πρὸς — 213,34 ἑξ.
Λουκᾶς 33,7. 42,13. 113,2.
Λουκιανός. — πρεσβύτερος 255,5.
Λύδιον. — ἅρμα 147,39.
Λυδοὶ 147,20.
Λυριάνδος 326,12.
Λυσίας. — ὁ ῥήτωρ 307,12.
Λωποδῦται 44,1.
Λὼτ 125,16. 195,23.
Λωτοφάγοι 205,34.

Μάγοι 72,2. 74,31. 78,41. 86,13.
Μαδιανῖτις 249,31.
Μαδιηναῖοι 125,16.
Μαθητεία 17,14 ἑξ.
Μαινάδες 44,34. Χορὸς τῶν — 45,4.
Μάκαρες. Νῆσοι — 205,13.
Μακεδόνιος 319,29. Ἐπιστολὴ πρὸς — 338,22-29.
Μακκαβαῖοι. Ἑπτὰ — 176,10.
Μάλχος 250,8. Μάχαιρα — 34,22.
Μάμας. — ὁ ἀναγνώστης 334,7. — ὁ μάρτυς 185,15.
Μανασσῆς 81,13. 250,2.
Μάνης 35,24.
Μανιχαῖοι 263,22. 269,11.
Μανωὲ 76,11.

Μαξιμῖνος. Διωγμὸς — 138,15 ἑξ.
Μαραθὼν 337,5. 338,7.
Μαρία 13,17. 35,30. 199,36. Θεοτόκος — 262,30. Παρθένος — 109,33. 268,36.
Μαριὰμ 48,25. 249,37.
Μάρκελλος. — διάκονος 349,14.
Μαρκίων 35,22. 111,28.
Μάρκος 33,8.
Μάρτυρες σελ. 43. — μητέρα 43,14. Ἅγιοι — 322,1. 332,8. 344,30. Λόγος ΛΕ′ εἰς τοὺς — καὶ κατὰ Ἀρειανῶν 43,2 ἑξ. Τιμαὶ — 43,7.
Ματθαῖος 118,36.
Μαύσολος. Καρικὸς τάφος — 168,25.
Μάχαιρα 80,8.
Μελέτιος. — γαμβρὸς (Γρηγορίου Ναζιανζηνοῦ) 350,39. Ἐπιστολὴ πρὸς — 340,4-14.
Μέλισσα 184,37.
Μελχισεδὲκ 64,16.
Μεμφῖται 74,41.
Μεμφίτης. — Ἆπις 38,25.
Μενδήσιοι. Τράγοι — 38,24. 74,40.
Μερρὰν 48,3.
Μέση 129,7.
Μεσοποταμῖται 120,3.
Μετάληψις. — κατὰ τὸ Πάσχα 199, 3 ἑξ.
Μετάνοια 81,4,28. 114,11.
Μέτρον. Πᾶν — ἄριστον 292,25.
Μῆδοι 120,2.
Μήν. — ἑορτασμοῦ τοῦ Πάσχα 193, 20 ἑξ.
Μήτηρ σελ. 58. σελ. 60. 62,31. 225, 28. 262,37. 331,29. — Καισαρίου 207,32. — τῶν Ἐκκλησιῶν 228,16. 234,29. — τῶν υἱῶν Ζεβεδαίου 60,1. Μαρτύρων — 43,14. Οὐδὲν — εὐσπλαγχνότερον 60,4. Πεῖρα — τῆς συνέσεως 327,32.
Μητρόπολις 185,18. 229,9,34. 233, 32. 344,34. Ἄνω — 199,14. Νέα — 234,27.
Μητροπολῖται 235,10.
Μητροπολίτης 98,3. 166,11. 235,10. Νέος — (Καισαρείας) 165,36.
Μιγάδες 27,7.
Μίδας 147,21.
Μίθρας 74,37.
Μιλτιάδαι 337,6.
Μίνως 149,3.
Μιξόθηλυς 45,1.
Μισόχριστοι 114,8.
Μοαβῖται 130,3.
Μοδάριος. Ἐπιστολὴ πρὸς — 284, 2-15,17-25.
Μοιχεία 61,36. 63,17.
Μολιονίδαι 148,5.
Μονάζοντες 339,5.
Μοναστὰι 27,6. 249,9,18. 250,34. Τάγμα — 343,23.
Μοναστήρια 168,11.
Μονογενὴς 116,13. 198,26. — Υἱὸς 320,13. Θεὸς ὁ — 320,29. Θεότης τοῦ — 320,24. Ὁμοτιμία τοῦ — πρὸς τὸν Πατέρα 152,20.
Μονόζωνοι 196,15.
Μοντανὸς 35,23.
Μῶμος 151,17. 209,16.
Μωσαϊκά. — βιβλία 149,5.
Μωυσῆς σελ. 18. σελ. 19. 32,20. 46, 26. 48,25. 54,17. 66,14. 76,10. 86,5,7. 109,17. 111,26. 117,33. 124,4. 125,16. 154,39. 174,37, 38. 175,1. 180,21. 187,18. σελ. 191. 195,16. 196,29. 197,15. 204,36. 249,35. 265,6. Βάπτισμα — 80,35 ἑξ.

Ναβουζαρδάν. — ὁ ἀρχιμάγειρος 29,6. 160,25.
Ναβουθαί. Ἄμπελος τοῦ — 44,24.
Ναβουχοδονόσορ 122,31.
Ναζαραῖοι 134,17.
Ναζιανζὸς 308,9. σελ. 349. Ἐκκλησία — 308,34. Ἡ ἁγία Ἐκκλησία ἡ κατὰ — 349,18. Ἡ καθολικὴ Ἐκκλησία ἡ κατὰ — 349,12,25. Ἡ κατὰ — Ἐκκλησία 285,29. Ἰωάννης ἀναγνώστης καὶ νοτάριος τῆς ἁγιωτάτης ἐκκλησίας — 352,6.
Ναζιραῖοι 151,22.
Ναὸς 180,25. — Θεοῦ 171,30. 182, 17.
Ναυάτος 35,24. 81,24. 82,13,18.
Ναύϊλα 323,5,26.
Νεῖλος 74,41.
Νεκτάριος. Ἐπιστολὴ πρὸς — 256, 22 ἑξ. 257,23 ἑξ. 293,2-11. 310, 5-36. 311,2-16. Ἐπιστολὴ πρὸς — ἐπίσκοπον Κωνσταντινουπόλεως 319,16 ἑξ.
Νεμέσιος. Ἐπιστολὴ πρὸς — 317, 26 ἑξ. 318,8-27,29 ἑξ. 319,9-14.
Νέοι σελ. 144. 305,13,16. Παίδευσις — εἰς Ἀθήνας 144,23 ἑξ.

Σοφιστομανοῦσιν Ἀθήνησι τῶν — οἱ πλεῖστοι καὶ ἀφρονέστεροι 144, 6.
Νέστωρ 236,18. 340,2.
Νεφροὶ 106,26. 107,1.
Νήπια. — Βαβυλώνια 194,16. Βάπτισμα — 99,22 ἑξ.
Νηπιοβαπτισμὸς 92,19 ἑξ. 99,22 ἑξ.
Νήπιον. Βάπτισμα — 92,19 ἑξ.
Νῆσοι. Μακάρων — 205,13.
Νηστεία 274,15. — Χριστοῦ 100, 30 ἑξ.
Νηστεῖαι 100,27.
Νίκαια. Πίστις — 268,23.
Νικόβουλος 213,4. 217,13. 245,11. 279,37. 280,14. 290,16,24. 291, 7,31. 296,7. 300,29. 303,35. 304, 3,26. 305,8. 311,25. 312,1,26. 314,10,24. 315,28,31. 316,20. 333,31. Ἐπιστολὴ πρὸς — 212, 9 ἑξ. 235,13 ἑξ. 236,16-32,34 ἑξ. 237,6-10,12-16.
Νικόδημος 199,35.
Νινευῖται 81,14. 250,1.
Νοεραί. — φύσεις 67,39.
Νόμοι 289,23. — Ῥωμαίων 289,17.
Νόμος 298,17. 339,35. — ἁμαρτίας 347,9. — νοὸς 347,10. — τῶν συνόδων 262,14. — Χριστοῦ 274, 10. Θεοῦ — 317,6. Ὁ γραπτὸς — 86,4. 192,34.
Νόννα 350,31.
Νόσος 222,30. 223,32, σελ. 225. 243,23. 245,22. 257,17. 259,7. 272,35. 286,31. 288,4. 293,20. 311,20. 319,28. 340,31. 347,2,4. 248,40. Ἡ ἔνδον — 225,8.
Νοσφισταὶ 42,15.
Νοῦς 15,26. 189,5. σελ. 264. σελ. 265. 266,13. σελ. 269. 320,27. 341,13. — ἀνθρώπου 264,35. — Χριστοῦ σελ. 269. Νόμος — 347, 11. Φύσις — 320,24.
Νυκτονόμα. — θηρία 43,32-33.
Νύσσα. Γρηγόριος — 341, ὑποσμ. Ἐπιστολὴ πρὸς Γρηγόριον — 247, 21-27,29 ἑξ. 248,2-13 ἑξ. 253, 33 ἑξ. 316,25 ἑξ.
Νῶε 173,38.
Νωθρότης. — ἄπρακτος 13,40.

Ξανξαρὶς 279,13.
Ξενοδοχίαι 140,12.
Ξέρξης 206,30.

Ξύλον. — τῆς γνώσεως 68,36. 75,16. 181,34. 189,36. 202,9. — τῆς ζωῆς 69,3. 75,16. 181,33. 190,5.

Ὀδυσσεὺς 312,20.
Ὀζιζαλεὺς 219,4,25.
Ὀλιγάρκεια. Θαυμαστὸν ἡ ἐγκράτεια καὶ — 167,13 ἑξ.
Ὀλιγόδεια 341,31.
Ὀλυμπιανός. Ἐπιστολὴ πρὸς — 337, 17-28.
Ὀλυμπιὰς 314,29.
Ὀλύμπιος 294,20. Ἐπιστολὴ πρὸς — 272,19-32,34 ἑξ. 237,7-20. 279,2-25,27 ἑξ. 281,32 ἑξ. 286, 7-26,28 ἑξ. 288,2-14,16,32. 289, 2-19. 290,5 ἑξ. 294,13-31.
Ὁμηρική. — δέλτος 148,6.
Ὁμηρικός. — ἵππος 149,32.
Ὅμηρος 205,28. 221,21. 237,9. 246,26. 247,19. 295,22. 300,14. 313,9. 335,28.
Ὁμόγνωμον 119,31.
Ὁμόνοια 228,20. 238,37.
Ὁμοούσια. — καὶ ὁμόδοξα τὰ πρόσωπα τῆς Ἁγίας Τριάδος 129, 10 ἑξ. — τὰ τρία πρόσωπα τῆς Τριάδος 108,13 ἑξ.
Ὁμοφρόνιος. Ἐπιστολὴ πρὸς — 330, 29 ἑξ.
Ὅπτιμος. — ἐπίσκοπος τῆς κατὰ Ἀντιόχειαν καθολικῆς Ἐκκλησίας 351,32.
Ὀρέσται 148,5.
Ὀρέστης. Ἅγιος — 166,3.
Ὄρη. Ποντικὰ — 138,33.
Ὀρθοδοξία 228,19. 239,3. 248,7. 262,17. 270,26. 310,25.
Ὅρκος σελ. 298.
Ὀρφεὺς 74,35.
Ὄσιρις 74,38. Σπαραγμοὶ — 38,26.
Ὀστρακίνη 219,4.
Ὄσφρησις 105,31. 182,30.
Ὀσφῦς 106,26. σελ. 196.
Οὐαλεντινιανὸς 317,33. Ἐπιστολὴ πρὸς — 321,15 ἑξ.
Οὐαλεντῖνος 35,19. 304,17.
Οὐήνασα. Ἡ κατὰ — Ἐκκλησία 342, 18.
Οὐηριανὸς σελ. 289. Ἐπιστολὴ πρὸς — 289,21 ἑξ.
Οὐΐτάλιος 269,7. 270,16.
Οὖρσος. Ἐπιστολὴ πρὸς — 334,22-30.

Ὀφθαλμοὶ 341,36.
Ὀφθαλμὸς 105,20.
Ὄφις 33,21. Χαλκοῦς — 198,34.
Ὀφρὺς 341,36.

Παγκράτιος 257,32.
Πάθος 200,25. Σύμβολα — 200,16.
Παιδαγωγία 125,5.
Παίδευσις 141,34. σελ. 142. 144,34. 146,9. 148,19. — ἐγκύκλιος 142, 10. — Μ. Βασιλείου 142,26 ἑξ. 143,2. ἑξ. 148,26 ἑξ. 149,2 ἑξ. — Μ. Βασιλείου εἰς Ἀθήνας 143,16. — Μ. Βασιλείου καὶ Γρηγορίου Ναζιανζηνοῦ εἰς Ἀθήνας 143,38 ἑξ. — τῶν ἀγαθῶν ἐστι τὸ πρῶτον 141,13 ἑξ.
Παιδευταὶ 148,2-3. Ἔξωθεν — 142, 13-14.
Παιδευτήρια 142,29.
Παιδοκτονία. — Ἡρώδου 72,11.
Παιδοφονία. — Ἡρώδου 37,9.
Παλλάδιος 254,13. Ἐπιστολὴ πρὸς — 271,28 ἑξ. 274,7-12. 277,5-8. 301,25-33.
Παμφυλία 220,3.
Πανδίων 275,17.
Πᾶνες 45,14.
Πανήγυρις 11,9. 120,21.
Πανσόφιος. Ἐπιστολὴ πρὸς — 335, 2-12, 14-20.
Παράδεισος 68,28. 149,5. 189,28. 190,5.
Παράκλητος 42,7. 117,16.
Παρθενία 57,38. 58,22 ἑξ. 92,29. 115,31. σελ. 167. 296,18. Μέγα — καὶ ἄζυγία 167,30. Οὐκ, ἐπεὶ ἡ — τιμιωτέρα, ἐν τοῖς ἀτίμοις ὁ γάμος 92,38. Ὀφθαλμὸς πορνεύων οὐ φυλάσσει τὴν — 58,15.
Παρθένοι 183,16. 249,17. 250,34. 339,5. σελ. 343. Γυναῖκες — 324,4.
Παρθένος σελ. 58. 64,8. 69,28. 190, 30. 262,31. — Μαρία 109,33. 114,1. 268,36. Ἡ — ὅλη Χριστοῦ 58,10.
Πάρθοι 120,2.
Παρνασσὸς 309,27.
Παροιμίαι 91,9.
Πασπασινός. Γεώργιος ὁ — 298,8.
Πάσχα 96,19. 100,26,32. σελ. 186. σελ. 191. 196,12. 202,26. 277,16. Ἁγία τοῦ — ἡμέρα 277,13. Λόγος ΜΕ′, εἰς τὸ ἅγιον — 186,2 ἑξ. Μετάληψις κατὰ τὸ — 199,3 ἑξ. Μυστήριον τοῦ — 198,11. Νομικὸν — 199,4.
Πατέρες 38,32,40. Ἅγιοι — 35,11. 268,23. 307,27.
Πατὴρ σελ. 13. 20,12. 22,25. 35,31. 35,37. σελ. 36. 37,13. 40,14,32. 41,2. σελ. 42. 51,11. 55,8. 60, 23. σελ. 61. 62,32. 63,28. 64,22. 67,5. 69,25. 70,34,38. 77,33,40. σελ. 78. 85,31. σελ. 107. 108,7. 109,21,31. σελ. 116. 118,12. 120, 26. 122,18. 128,39. 129,9. 152, 17,19. 172,40. 185,25. 188,9. 190,26. σελ. 198. 199,7. 201, 18,22. 202,38. 225,1. 239,10. 264,27. 267,27,29. 268,29,35. 307,7. 320,33. 331,29. 351,23. — ἄναρχος 36,4. 78,1. — ἄναρχος καὶ ἀγέννητος 13,21. — πάντων 26,29. Ἄναρχος ὁ — 128, 37. Ἐπ' ἀτιμίᾳ τοῦ Υἱοῦ ὁ — οὐ δοξάζεται 61,24. Ἡ τοῦ Υἱοῦ τιμή, τιμὴ τοῦ — γίνεται 61,26. Θεὸς — 192,18. Θεὸς καὶ — 262, 37. Θεὸς ὁ — 35,32. Πάντα ὅσα ὁ —, τοῦ Υἱοῦ, πλὴν τῆς ἀγεννησίας 116,21-22. Φύσις — 21,20.
Πατριάρχαι 132,28.
Πατρὶς 33,23.
Πάτροκλος 300,15.
Παυλιανὸς 61,7.
Παῦλος 13,12. 16,24. 17,11. 18,24. 22,35. 26,5,10. 33,6. 42,25. 51, 6. 53,11. 56,26. 61,3,7. 75,8. 76,15. 81,1. 82,4,7. 86,16. 90,17. 121,17. 134,12. 153,20. 171,1. 176,33. 250,39. 263,1. 273,2. 275,4.
Πεῖρα. — μήτηρ τῆς συνέσεως 327, 32.
Πελοπίδαι 137,41. 226,10.
Πέλοψ. Κρεουργία — 74,26.
Πένης 22,11. 52,1. 101,10. 183,7,8. 196,3. — ἐν λόγῳ 23,36. — τὴν γλῶσσαν 23,1.
Πένητες 196,5.
Πενία 341,19.
Πεντηκοστὴ 96,20. 112,5,10. 113, 28,32. Λόγος ΜΑ′ εἰς τὴν — 111, 2 ἑξ.
Περιδέξιοι 51,18-19.
Περιστερὰ σελ. 80.

Πέρσαι 122,36. 160,2. 287,5. Βασιλεὺς — 159,16.
Πετριανὸς 61,7.
Πέτρος 19,38. 20,3,8. 33,6. 61,6. 76,13,14. 79,39. 81,37. 94,14. 97,14. 118,33. 176,33. 200,4. 216,23. 250,8. — (ἐπίσκοπος Ἀλεξανδρείας) 37,35. — (Σεβαστείας) 344,28. Ἐπιστολὴ πρὸς — 340,26 ἐξ.
Πήγασος. Ἀργεῖος — 147,24.
Πιλᾶτος 48,30. 80,2. 108,40. 164,27.
Πίνδαρος 146,33. 208,24. 209,17. 275,31. 303,8. 322,19.
Πίστις 110,9,10.
Πλάτων 23,5. 218,31. 222,8. 305,32.
Πλειὰς 266,35.
Πλεονεξία 82,18.
Πλησίον. Οὐχ ἑαυτῷ μόνον ζῇ τις, ἀλλὰ καὶ τῷ — 211,27.
Πλοῦτος 51,37. 167,2. 183,12. 241, 31. 341,31. 348,30,33. — τῆς ἀγαθότητος 189,10.
Πνεῦμα 11,24. σελ. 13. 15,41. σελ. 16. 21,17. 33,36. σελ. 36. 39,5. 40,4. σελ. 41. σελ. 42. 61,12. 62, 17. 67,18. 69,29,31. 70,21. 71, 19. σελ. 78. 79,32. σελ. 80. σελ. 81. 84,22,34. 87,6. 88,10,11. 91,7. 92,21. 96,21. 106,34. σελ. 108. 109,6,7. 111,14. σελ. 113. σελ. 114. σελ. 115. σελ. 116. 117, 6. σελ. 118. σελ. 119. σελ. 121. σελ. 127. 128,2. 132,19. 152,20, 41. 153,3. 154,2. 156,6,12. 158, 24. 166,29. σελ. 170. 171,20,31. σελ. 172. 173,23. 174,13. 175, 26. 177,35. 179,4. 182,33. 186, 5. 188,22. 190,31. 195,14. 198, 13. 201,5. 206,27. 208,17. 224, 34. 228,23,39. 231,17. 237,20. σελ. 239. 251,35. 253,20. 267, 27. σελ. 268. 276,10. 307,29. 310,17,21. — Ἅγιον 22,25. 35, 37. 36,5,16. 40,15,36. 41,16,23. 42,12,36. 43,21,26. 46,11. 49, 17. 51,12. 63,29. 67,5. 77,34. 78,3. 85,31. σελ. 107. 109,21. σελ. 114. 116,3,37. 120,26. 124, 21. 126,5. 128,38. 129,9. 155, 40. 185,25. 188,9. 202,38. 264, 26,28. 267,24,30. 268,27,29. 277,24. 339,31. 351,23. — δόξα καὶ δύναμις 21,20. — ἓν ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, παραχωροῦν Πατρὶ μὲν ἀγεννησίας, Υἱῷ δὲ γεννήσεως 13,22. — ἐπιστήμης 118,3. — εὐθὲς 106,23. — ζωῆς καὶ παλιγγενεσίας 124,27. — ἡγεμονικὸν 118,6. — Θεὸς 172,33. — Θεοῦ 103,16. 268,11. — Κυρίου 118,1,3. — ὁμοούσιον καὶ ὁμότιμον τῷ Πατρὶ καὶ τῷ Υἱῷ 172,40 ἐξ. — παροξυνόμενον 118,4. — πραότητος 119,3. — προϊὸν ἐκ τοῦ Πατρὸς οὐχ υἱικῶς ἀλλ' ἐκπορευτῶς 78,4-5. Ἅγιον — 35,31. Ἅγιον καὶ καινοποιοῦν — 180, 19. Διανομὴ — 22,21. Δύναμις — 116,41. Εἰ ἀτιμάζεις τὸ — τὸ Ἅγιον, οὐ δέχεταί σου τὴν τιμὴν ὁ Υἱὸς 61,28. Ἐνέργειαι τοῦ — 112,19. Ζέσις τοῦ — 13,9. Ζωοποιὸν — 36,23. Ἡ τοῦ — χάρις 39,2. Θεολογία τοῦ — 240, 7. Θεὸς τὸ — τὸ Ἅγιον 35,32. Ἰδιότητες τοῦ Ἁγίου — 116,3 ἐξ. Οὐ κτίσμα τὸ — τὸ Ἅγιον 61,19. Οὐ τόπων ἡ χάρις, ἀλλὰ τοῦ — 98,4. Πάντα ὅσα ὁ Υἱὸς τοῦ —, πλὴν τῆς γεννήσεως 116, 22-23. Τὸ — δημιουργεῖ τὴν πνευματικὴν ἀναγέννησιν 118,22-23. Τὸ — συνδημιουργεῖ Υἱῷ καὶ τὴν κτίσιν καὶ τὴν ἀνάστασιν 118,17. Τὸ — τὸ Ἅγιον ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται 116,3. Ὑπηρέται τοῦ — 227,37.
Πνεύματα. Ἑπτά — 112,18. Λειτουργικὰ — 181,5.
Ποιμαντικὴ 285,18,19.
Ποιμένες 16,3,26. 121,4. 126,26.
Ποιμὴν 11,15. 230,36. — ὁ καλὸς 35,6. 70,9. 200,32. — ὀλίγος καὶ μικροῦ ποιμνίου προεστηκὼς (ὁ Γρηγόριος Ναζιανζηνὸς) 227,36.
Ποίμνη 261,24. 285,19.
Ποίμνιον 16,3. — (Γρηγορίου Ναζιανζηνοῦ) 51,5. Μικρὸν — 35, 2,8.
Πόλεμος. Ἱερὸς — 131,22. Κοσμικὸς — 165,18.
Πολίτευμα 33,15.
Πολιτευόμενοι. Ἐπιστολὴ πρὸς τοὺς — 260,4-18.
Πολυαρχία 12,41.
Ποντικά. — ὄρη 138,33.
Ποντική. — διατριβὴ Μ. Βασιλείου

καὶ Γρηγορίου Ναζιανζηνοῦ 206, 17 ἑξ. — μοῖρα 163,37.
Πόντος 137,33. 140,15. 141,41. 151, 40. 153,6. Διατριβὴ ἐν — Μ. Βασιλείου καὶ Γρηγορίου Ναζιανζηνοῦ 206,17 ἑξ. Περιγραφὴ ἐρημητηρίου Μ. Βασιλείου ἐν — 204, 20 ἑξ.
Πορνεία 58,19. 61,36,39. 82,19.
Πόρνη 57,4,5.
Ποστουμιανός. Ἐπιστολὴ πρὸς — 302,24 ἑξ.
Ποτιστὴς 13,13.
Πράξεις. — τῶν ἀποστόλων 42,13.
Πρᾶξις. Οὐχ ὁ λόγος πείθει τοὺς πολλοὺς ὡς ἡ —, ἡ σιωπῶσα παραίνεσις 249,21.
Πρεσβυτέριον 150,10.
Πρεσβύτεροι 151,5. 165,37. Συνέδριον — 127,5.
Πρεσβύτερος 62,39. 98,6. 342,19, 30. 343,27. Ἀνάδειξις Μ. Βασιλείου εἰς — 150,10 ἑξ. Βαθμὸς — 208,13. Πρὸς Κληδόνιον — ἐπιστολὴ πρώτη 261,18 ἑξ. Πρὸς Κληδόνιον — ἐπιστολὴ δευτέρα 268,17 ἑξ.
Προβλήματα 32,34.
Πρόγραμμα 128,25.
Προεδρία. Λογισμοῦ — 24,23.
Προκόπιος. Ἐπιστολὴ πρὸς — 280, 20-30, 32 ἑξ. 281,17-30.
Πρόνοια 341,26.
Προνοΐος 312,13.
Προπεμπτήριοι. — λόγοι 133,40.
Προστάγματα 132,35.
Πρόσωπα. Ὁμοούσια καὶ ὁμόδοξα τὰ — τῆς Ἁγίας Τριάδος 129,10 ἑξ.
Προφῆται 17,2,6. 22,19.
Πρωτολογία 30,27.
Πτύον 80,5.
Πτωχοτροφία 168,17.
Πτωχοτροφίαι 140,12.
Πτωχοτρόφοι 250,33.
Πυθαγόρας. — ὁ Σάμιος 317,27.
Πυθαγορικοὶ 111,26. 211,32.
Πυκτία 337,31. 338,2,15.
Πυκτίον 337,18.
Πυλάδαι 148,5.
Πῦρ 80,6. σελ. 104. 188,24. 291, 37,38. — καθαρτήριον 104,22. 117,22. — κολαστήριον 104,26. — ὁ Θεὸς ἡμῶν καὶ — κατανάλισκον 117,23. Σοδομιτικὸν — 171,17. 195,26. 250,6. 259,8.
Πυραμίδες 168,26.
Πύρρων 23,3.
Πωλοδάμναι 329,2.

Ῥαάβ. — ἡ πόρνη 93,37.
Ῥαδάμανθυς 149,3.
Ῥαχὴλ 197,33.
Ῥέα 74,9.
Ῥεβέκκα 174,9.
Ῥηγιανὸς 281,8.
Ῥηγῖνος 350,5.
Ῥητορικὴ 148,26.
Ῥοβοὰμ 50,10. 150,29.
Ῥουσσιανή. Παρθένος — 350,11.
Ῥωμαῖοι 120,8. Νόμοι — 251,22. 289,17.
Ῥώμη. Δάμασος ἐπίσκοπος — 269,8.

Σαββατισμὸς 112,14.
Σάββατον 111,34. 112,1. 182,7, 195, 10.
Σαβέλλιος 35,25. Κακοδοξία — 63,9. Συναίρεσις — 152,15. Συναίρεσις τῆς θεότητος ὑπὸ — 77,30.
Σαδδουκαῖοι 55,19.
Σακερδώς. — ὁ πρεσβύτερος σελ. 301. 325,20. 326,9. 328,4,29. 329,12 25. 330,17. σελ. 331. Ἐπιστολὴ πρὸς — 260,20-25. 326,21-26,28 ἑξ. 327,2-10,12-26.
Σακερδῶτις 326,2.
Σαλαμὶς 337,5. 338,7.
Σάλπιγγες. Τυρρηνικαὶ — 209,15.
Σαλώμη 199,37.
Σαμαρείτης 71,7. 103,3. 201,31. 99,12.
Σαμαρεῖτις 99,12.
Σάμιος. Πυθαγόρας ὁ — 317,27.
Σαμόσατα. Ἐπιστολὴ πρὸς Εὐσέβιον ἐπίσκοπον — 229,2-30. 230, 17 ἑξ. 243,20 ἑξ.
Σαμουὴλ 32,8. 92,23. 130,31. 150, 28. 162,19. 175,21.
Σανναβοδάη. Ἐπιστολὴ τῇ εὐλαβεστάτῃ καὶ διὰ πάντα κεκοσμημένῃ ἐν Χριστῷ ἀδελφότητι τῇ κατὰ — τοῦ μακαρίου Λευκαδίου 339,2-32.
Σαοὺλ 32,13. 143,21. 150,28.
Σάπφειρα 42,14.
Σάραπις 38,26.
Σαραφθία 103,9. — χήρα 113,8. Υἱὸς τῆς — 108,26.

Σάρκωσις 84,25. 194,37. 265,15. 268,33. — (Θεοῦ) 65,2. Τίς ὁ λόγος τῆς — 265,30 ἑξ. 34 ἑξ.
Σὰρξ σελ. 58. 263,18,31. 264,20. σελ. 265. σελ. 266. σελ. 269. σελ. 270. 308,17. 320,19. 346,29. — θεοφόρος 270,36. — Χριστοῦ 269, 26. 320,13. Διὰ — ἐπιδημία Χριστοῦ 346,22. Ὁ ὢν, γίνεται· καὶ ὁ ἄκτιστος, κτίζεται καὶ ὁ ἀχώρητος, χωρεῖται... καὶ ὁ σαλπίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν —, ἵνα ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα 190,34 ἑξ.
Σάσιμα 233,31. 234,3,24. 308,9,34.
Σατὰν 134,12.
Σατουρνῖνος. Ἐπιστολὴ πρὸς — 282, 9-23. 307,15,22.
Σεβαστηνοὶ 344,28.
Σεισμοὶ 15,6.
Σεμέλη 74,18.
Σεραφὶμ 188,14.
Σὴθ 78,12.
Σηλώμ. Ἡ νέα — 134,3.
Σιγὴ 35,21.
Σίδηρος 324,14,15.
Σιδώνιοι 108,2.
Σιμπλικία 324,23. Ἐπιστολὴ πρὸς — 251,30 ἑξ.
Σίμων 111,28. — Κυρηναῖος 199,26. — ὁ λεπρὸς 346,24.
Σινωπεύς. Διογένης ὁ — 260,6.
Σιτοκάπηλοι 154,32.
Σιτομέρης 37,29.
Σιὼν 336,17.
Σιωπὴ 273,24,31. σελ. 274. 275-8, 33. 276,13. 277,7. 312,16.
Σκηπτοὶ 15,6.
Σκοτόμαινα 122,5.
Σκύθαι 160,2.
Σόδομα 93,21.
Σοδομῖται 48,24. 125,16.
Σοδομιτικόν. — πῦρ 29,18. 34,24. 171,17. 195,25. 250,6. 259,8.
Σολομὼν 14,3. 23,35. 48,27. 75,38. 77,4. 90,30. 96,10. 98,38. 148, 15. 150,29. 158,15. 175,31,39. 182,11. 238,3. 307,1. Νόμοι — 170,9. Σοφία — 98,38.
Σουναμῖτις. Παῖς τῆς — 113,13.
Σοφία 21,5,30. σελ. 75. 313,11. Θεοῦ — 77,5. Οἶκος — 112,29.
Σοφισταὶ 51,35.
Σοφοὶ 51,34.
Σοφὸς 14,14.
Σπαρτιάται 226,10.
Σπήλυγγες 43,33-34.
Σταγείριος 312,26. Ἐπιστολὴ πρὸς — 299,13 ἑξ. 300,9-25. 311,31 ἑξ. 314,8-25.
Στάσις. — εἰς Ἐκκλησίαν Καισαρείας 166,14 ἑξ.
Σταυρὸς 167,2. 199,23,26. — τοῦ Χριστοῦ 23,29.
Στέφανος 177,3. — (Πρωτομάρτυς) 34,9.
Στηθύνιον 107,5.
Στηλογραφία 128,26.
Στοὰ 223,8.
Στόμα 341,37.
Στρατηγίαι 137,37-38.
Στρατήγιος. Ἐπιστολὴ πρὸς — 301, 15-23.
Στρυμών. — ὁ Ἀμφιπολίτης 205,5.
Συγγράμματα. — Μ. Βασιλείου 171, 6 ἑξ.
Συγγραφὴ 101,25.
Σύγκρασις 54,6.
Συζυγία 336,5,18.
Συλλογισμοὶ 23,4.
Σύλλογος 120,20.
Συμεὼν 79,2.
Συμποιμένες 121,4.
Συμπόσιον 238,31.
Σύμψυχον 28,19.
Συναίρεσις 77,30.
Συνδεσποτεία 117,18.
Συνεκδημία 85,2.
Σύνεσις. — Μ. Βασιλείου 148,14 ἑξ.
Συννέκρωσις 100,29.
Σύννευσις 16,10.
Συνοδικὴ. Κλῆσις — 234,32.
Σύνοδοι. Νόμος τῶν — 262,14.
Σύνοδος 316,27. 323,5. 330,30. 343, 1. 345,16. 348,24. — ἐπισκόπων 282,17. 303,13. Δυτικὴ — 262,8.
Συνούλωσις 87,22.
Συντακτήριος. Λόγος ΜΒ′ — εἰς τὴν τῶν ΡΝ′ ἐπισκόπων παρουσίαν 121,2 ἑξ.
Συρία 196,15.
Σφάγιον. — Πάσχα 193,1.
Σφαιρωτήρ. — τοῦ ὑποδήματος 80,12.
Σωζόμενοι. Τρεῖς αἱ τάξεις τῶν — δουλεία, μισθαρνία, υἱότης 90, 3 ἑξ.
Σωκράτης 223,15,22.
Σῶμα σελ. 63. σελ. 222. 223,21,24.

σελ. 224. σελ. 262. σελ. 263. σελ. 264. 265,5,20. 280,27,33. 281,36. 282,29. 285,6,37. 286,1. 309,2. 314,5. 315,20. 319,14. σελ. 320. 323,30. 324,29. 330,31. 331,17. 334,5. 345,30. σελ. 347. — τῆς Ἐκκλησίας 268,6. 309,33. — Χριστοῦ 228,16. Ἀρρωστία — 341, 24. Ἀσθενὲς τοῦ — 305,31. Κάθαρσις — 63,7. Τριήμερος νέκρωσις τοῦ — τοῦ Χριστοῦ 320, 32. Ψυχὴ τιμιώτερον τοῦ — 63, 6.

Σωτηρία. Ἀεὶ τὴν — ἐργάζου καὶ πᾶς ἔστω σοι καιρὸς τοῦ βαπτίσματος ὅρος 90,31-32.

Σωφρόνιος. Ἐπιστολὴ πρὸς — 217, 5-19,21 ἑξ. 220,11 ἑξ. 225,27 ἑξ. 226,26 ἑξ. 258,17-26, 283,15-31.

Τάνταλος 246,17.

Τάξις 16,37. — εἰς τὰ ζῶα 15,14 ἑξ. — εἰς τὸν ἄνθρωπον 15,24 ἑξ. — ἐκ λογικοῦ τε καὶ ἀλόγου κράματος, τὸν ἄνθρωπον ζῷον λογικὸν συνεστήσατο· καὶ συνέδησε μυστικῶς τε καὶ ἀρρήτως τὸν χοῦν τῷ νοῒ καὶ τὸν νοῦν τῷ πνεύματι 15,24 ἑξ. — ἐν ταῖς Ἐκκλησίαις 16,2 ἑξ. — ἐν τῷ κόσμῳ σελ. 14. σελ. 15. — τῶν ὄντων ἐστὶ μήτηρ καὶ ἀσφάλεια 15,35 ἑξ.

Ταπεινοφροσύνη 20,16 ἑξ. 339,23. 346,15.

Ταπεινόφρων. — οὐχ ὅστις περὶ ἑαυτοῦ μικρὰ διαλέγεται, ἀλλ' ὅστις μετρίως περὶ Θεοῦ φθέγγεται 20, 18 ἑξ.

Ταπείνωσις 53,18. 93,39.

Ταυρικαί. — πρόσοδοι 166,2.

Ταῦροι 74,21.

Τέκτων 315,16.

Τελείωσις 116,36. Ἀναγκαία ἡ παρὰ Θεοῦ βοήθεια πρὸς — 59,26 ἑξ. Οὐκ ἀρκεῖ μόνη ἡ ἐπιτηδειότης πρὸς — 59,17.

Τελχῖναι 312 32.

Τέττιγες 219,22.

Τέχναι 23,4.

Τεχνολογῶ 116,29.

Τηρεύς 275,18.

Τιβερινὴ 203,15.

Τιμόθεος. Ἐπιστολὴ πρὸς — 298,29.

Τοιχωρύχοι 44,1.

Τράγοι. — Μενδήσιοι 38,24.

Τριὰς 28,21. 34,34. 38,19,40. 48,37. 61,21. 72,29. 83,1. 88,28. 92,2, 28. 110,12. 115,13,24. 122,23. 125,5. 128,27,30. 133,28. 135,1. 152,12. 153,25. 164,10. 186,23, 32. 202,2. 263,7. 267,21,26. 299,7. — ἡ θεότης 41,20 ἑξ. 77, 22 ἑξ. 107,19 ἑξ. — ὁμοούσιος 108,11 ἑξ. Ἁγία — 63,19. 171, 40. 175,11. 179,32. Ἀγωνιστὴς τῆς — 46,20. Ὁμοούσια καὶ ὁμόδοξα τὰ πρόσωπα τῆς Ἁγίας — 129,10 ἑξ. Προσκύνησις τῆς — 260,30.

Τριπτόλεμοι 74,12.

Τροφὴ 342,3.

Τροφώνιος 74,28.

Τύανα 245,23.

Τυρρηνικαί. — σάλπιγγες 209,15.

Τῦφος 169,14,28.

Ὕδρα. — (Λερναία) 295,19.

Υἱὸς 13,24. 22,25. σελ. 35. 36,15. 37,14. 40,15,36. 41,3. 42,2. 51, 11. 55,8. 63,28. 67,5. 71,10. σελ. 78. 85,31. 103,16. σελ. 107. 108,14,15. 109,21,30. 115,23. σελ. 116. 117,12. 128,38. 129,9. 152,20. 172,40. 188,9. 198,32. 201,33. 239,10. 262,23. 264,27. 267,27,30. 268,29. σελ. 320. 351, 23. — ἀνθρώπου 78,26. 263,35. 266,19. 320,18. — ἀνθρώπου, ἐκ τῆς Παρθένου Μαρίας προελθών, ἀρρήτως καὶ ἀρυπάρως 109,33 ἑξ. — γεννηθεὶς ἐκ τοῦ Πατρὸς ἀχρόνως καὶ ἀσωμάτως 109,31 ἑξ. — εἷς γεγεννημένος ἐκ τοῦ Πατρὸς 13,22. — Θεοῦ 64,25. 78,26. 109, 30. 268,34. — μονογενοῦς οὐσίωσις 21,20. Γέννησις — 78,7. Εἰ ἀτιμάζεις τὸ Πνεῦμα τὸ Ἅγιον, οὐ δέχεταί σου τὴν τιμὴν ὁ — 61,28-29. Ἐπ' ἀτιμίᾳ τοῦ — ὁ Πατὴρ οὐ δοξάζεται 61,24. Ἡ τοῦ — τιμή, τιμὴ τοῦ Πατρὸς γίνεται 61,26. Θεὸς ὁ — 35,32. Μονογενὴς — 320,13. Οὐ κτίσμα ὁ — 61,18. Πάντα ὅσα ὁ Πατήρ, τοῦ —, πλὴν τῆς ἀγεννησίας 116, 21-22. Πάντα ὅσα ὁ —, τοῦ Πνεύματος, πλὴν τῆς γεννήσεως 116,22-23. Τὸ Πνεῦμα συνδη-

μιουργεῖ — καὶ τὴν κτίσιν καὶ τὴν ἀνάστασιν 118,17.
Υἱότης 41,4.
Ὕπαρχοι 132,34. 133,4.
Ὕπαρχος 132,39. σελ. 161. Διάλογος Μ. Βασιλείου μετὰ — 161, 10 ἑξ.
Ὑπάτιος. Ἐπιστολὴ πρὸς — 259, 15-27.
Ὕπατοι 133,4.
Ὑπερέχιος 283,10.
Ὑποδήματα 196,28.
Ὑποστάσεις 263,8. — τρεῖς τῆς θεότητος σελ. 129. Τρεῖς — σελ. 42.
Ὑπουργία 17,1.
Ὑψαύχενος 184,12.

Φαλλοὶ 74,20.
Φαραὼ 18,32. 194,4. 198,1. 265,7. 266,29.
Φαρισαῖοι 55,15,16. σελ. 57.
Φαρισαῖος 81,16. 169,19. — νέος 81,23. — οὐ τὸ γένος μόνον, ἀλλὰ καὶ ὁ τρόπος ἐργάζεται 57,,20-21.
Φάρμακον. — ὅταν ὀδυνώμεθα, τότε μεμνῆσθαι Θεοῦ 332,22. Αἰγύπτιον — 246,25.
Φάσκα 191,13.
Φάτνη 71,36,38. Ἅπιδος — 74,40.
Φθόνος. — τὸ μόνον τῶν παθῶν ἀδικωτάτόν τε ἅμα καὶ δικαιότατον· τὸ μέν, ὅτι πᾶσι διοχλεῖ τοῖς καλοῖς· τὸ δέ, ὅτι τήκει τοὺς ἔχοντας 48,12 ἑξ.
Φιλάγριος σελ. 221. 222,27. Ἐπιστολὴ πρὸς — 221,13-27,29 ἑξ. 222,20 ἑξ. 224,2-21,23 ἑξ. 225, 12-17,19-25. 253,22-31. 255,32 ἑξ. 258,6-15.
Φιλαδέλφιος 292,9.
Φιλάδελφοι 115,4.
Φιλάδελφον 115,32.
Φιλαθήναιος 145,23.
Φιλανθρωπία 125,4. Καλὸν — καὶ πτωχοτροφία καὶ τὸ τῆς ἀνθρωπίνης ἀσθενείας βοήθημα 168,17 ἑξ.
Φιλάνθρωπον 82,12.
Φίλαυτοι 115,4.
Φιλέορτος 111,7.
Φιλία 214,1. 218,12. 221,32,33. 224, 9. 233,35,38. 256,34. 255,11,15. 258,19. 259,2. 261,11. 274,22. 285,27. 289,26,36. 291,35. 292, 22. 296,32. 300,28. 303,25,29. 304,24. 307,16. 312,28. 315,28. 321,27. 325,28. 329,12. 334,4. σελ. 335. 337,11,20. 338,29. 239, 37. 340,13. 341,16. — Γρηγορίου καὶ Μ. Βασιλείου 145,37 ἑξ. 146, 32 ἑξ. 148,11. Προοίμιον — Γρηγορίου καὶ Μ. Βασιλείου 145, 11 ἑξ.
Φίλιππος 20,3,7. 97,38.
Φιλισταῖοι 46,30.
Φίλοι 226,27. 247,17. 257,18. 258, 29,34. 259,2. 303,5. 314,23. 315, 28. 316,21. 322,25. 334,23. 338, 23. Ἔστι ἀνδρὸς μεγαλόφρονος — ἀποδέχεσθαι μᾶλλον ἐλευθερίαν ἢ ἐχθρῶν κολακείαν 215,16.
Φιλοκαλία. Ὠριγένους — 276,8.
Φιλόκαλοι 111,6.
Φιλόλογοι 111,24.
Φιλόξενον 115,32.
Φιλόπτωχον 115,32.
Φίλος 256,33. 314,10.
Φιλοσοφία 143,10. 148,29. 258,12. 260,8. 299,1. 300,22. 303,33. 305,20,32. 306,3. 307,9,11. 315, 8. 316,31. 317,19. 318,30. 326, 29. 329,6,14. 331,8. 332,30. 333, 14. 335,4. Ἄκαιρος — 279,9. Ἐνεργὴς — 239,23.
Φιλόσοφοι 51,34.
Φιλουμένη 272,24.
Φιλόχριστοι 114,9.
Φινεὲς 249,31.
Φλαβιανός. Ἐπιστολὴ πρὸς — ἐπίσκοπον 344,4 ἑξ.
Φλάβιος. — Εὐάγριος 349,4. — Εὐχέριος 349,4.
Φλυαρία 275,10.
Φόνος 63,16.
Φουρτουνάτος 254,29.
Φρατρία 29,41.
Φρύγες 74,8.
Φρύγιος. — μῦθος 147,22.
Φύσεις. Δύο — (Χριστοῦ) 54,5.
Φύσις. Ἄκτιστος — καὶ ὑπέρχρονος 152,26. Ἀνείδεος — καὶ ἀσώματος 54,10. Μία ἡ θεία — ἐν τρισὶν ἰδιότησι, νοεραῖς, τελείαις, καθ' ἑαυτὰς ὑφεστώσαις, ἀριθμῷ διαιρεταῖς καὶ οὐ διαιρεταῖς θεότητι 35,33-34.
Φυτευτὴς 13,13.
Φῶς σελ. 18. σελ. 85. σελ. 86. σελ.

104. σελ. 105. 176,17. σελ. 181. 186,35. — γνώσεως 105,5. 170, 21. — ἦν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ Θεὸς 181,1 ἑξ. — Θεοῦ 104,18. — ὁ Θεὸς καὶ — τὸ ἀκρότατον 18,10 ἑξ. Ἀληθινὸν — 105, 8. Δεύτερον — ἄγγελος, τοῦ πρώτου — (τοῦ Θεοῦ) ἀπορροή τις ἡ μετουσία 85,32-33. Θεός ἐστι — τὸ ἀκρότατον 85,25 ἑξ. Πρώτου — ἀπαυγάσματα 181,4. Τρίτον — ἄνθρωπος, διὰ τὴν τοῦ ἐν ἡμῖν λόγου δύναμιν 85,36-38.
Φῶτα 96,19. Ἁγία τῶν — ἡμέρα 73,7. Ἡμέρα τῶν — 84,3,31. Λόγος ΛΘ' εἰς τὰ ἅγια — 73,2 ἑξ.
Φωταγωγία 83,1.
Φωτεινὸς 35,29.
Φώτιος. Ἐπιστολὴ πρὸς — 301,4-13.
Φώτισμα 96,13. (=βάπτισμα) σελ. 84. σελ. 85.
Φωτιστικὸν 85,26.

Χαλανή. Πύργον — 19,25.171,18.
Χαλδαϊκόν. — σπέρμα 194,15.
Χαλδαῖοι 74,32.
Χαμὼς 108,2.
Χαναναία 81,16. 102,11. — φυγὴ 191, 15.
Χαναναῖοι 125,15.
Χάρισμα 11,21.
Χειρ. Θυοφόρος — καὶ ἀναίμακτος 286,23.
Χειροτονία. — (Γρηγορίου Ναζιανζηνοῦ) 234,24.
Χελιδόνες 275,11.
Χελιδών. Μία — ἔαρ οὐ ποιεῖ 79,27.
Χερουβίμ. Θεοῦ θρόνος τὰ — 117,27.
Χορός. — τῶν Μαινάδων 45,4. Ὁρμητήριον ἦν τοῦ διαβόλου ὁ — 44, 10 ἑξ.
Χοῦς 15,26.
Χριστέμποροι 89,6.
Χριστιανοί 29,15. 123,1,4. 141,17. 143,5. 147,19. 152,10,11. 164, 19. 207,11. 212,5. 230,22. 310, 19. Γάμοι — 336,33.
Χριστιανὸς 22,28. 28,36. σελ. 61. 91,25. 208,5.
Χριστοκάπηλοι 89,6.
Χριστοκτόνος 48,29.
Χριστὸς 13,14. σελ. 16. 17,19. 18,26. 20,2. σελ. 23. 25,9. σελ. 26. 27, 10. σελ. 29. 36,22. 37,7,9. σελ. 38. 39,8. 42,32,34. 49,10. 52,16. 54,26,28. 55,8,30. σελ. 56. 57,3. σελ. 58. 60,39. σελ. 61. 63,31. σελ. 64. σελ. 65. 70,6. σελ. 72. 76,37. 77,34. σελ. 79. 80,3,17. 81,8. 82,26. 83,3. 84,24. 85,2,9 σελ. 88. 90,21. 91,25. 92,39. 96,20. 97,29. 98,27,29. 99,12, 38. 100,20,29, σελ. 101. σελ. 102. σελ. 103. 104,22. σελ 106. 110,41. 113,1,34. 114,1,15. σελ. 115. σελ. 117. 118,33. 120,24. σελ. 122. 127,38,39. 131,34. 135,6. 138,26. 141,25. 167,31. 168,40. 169,20. 172,30. 173,19. 176,28. 179,37. 183,3,9. 185,24. σελ. 186. 192,35. 198,12,34. 199.24, 25. σελ. 200. 228,7. σελ. 244. 253,29. 263,37. 267,13. σελ. 269. 270,37,40. 271,5. 277,6. 297,28. 317,9. 320,37. 336,28. 339,6. — σάρκα δι' ἡμᾶς ἐπτώχευσεν, ἵνα πλουτισθῶμεν θεότητα 167,22. Βάπτισμα — 73,9. 82,30. 99,39. Γέννα — 72,10. Διακονία — 155, 13. Διωγμοὶ ὑπὲρ — 139,1. Δοῦλος — 107,39. Δύο φύσεις — 54, 5 ἑξ. 70,32 ἑξ. 271,14. Ἐμπτίσματα — 34,15. Ἐν — Ἀδελφότης ἡ κατὰ Σανναβοδάην 339,3. Ἡ παρθένος ὅλη — 58,10. Θυσία — 198,26 ἑξ. Καταγώγιον — 330,32. Μαθηταὶ — 19,32. 20,10. 116,41. 132,18. Μαθητὴς — 21, 28. 25,26. Μάχαιρα — 13,7. Μελισσὼν τοῦ — 185,2. Μίμησις — 161,13. Μυστήρια τοῦ — 71,28. Νηστεία — 100,30 ἑξ. Νόμος — 274,10. Νοῦς — σελ. 269. Νύμφη 58,6. Ὁ κάτω — 35,30. Οἱ πάντες ἓν σῶμά ἐσμεν ἐν — 16,17. Οὗ —, εὐκοσμία 336,29. Πάθη — 22,20, 32,2. 101,14. Παθήματα — 34,27. Πάθος — 194,25. Πίστις εἰς — 332,6. Σὰρξ — 269, 26. Σταυρὸς τοῦ — 23,40. Σύσσωμοι — 269,27. Σῶμα τοῦ — 16,16. 228,16. Τὸ παθεῖν ὑπὲρ — 38,21. Τὸ πάσχειν ὑπὲρ — 39,6.
Χρύσιππος 23,3.
Χρυσὸς σελ. 217. 327,4.
Χωρεπίσκοπος 342,31,33. Εὐλάλιος ὁ — 293,29.

Ψευδόχριστος 123,1.
Ψυχὴ σελ. 63. σελ. 190. 212,12,24. 222,9,31. 223,2,19. 224,16. 258, 8. 262,39. σελ. 264. σελ. 265. σελ. 266. 269,17. 285,38. 314,5. 315,20. 319,20. 320,26. 328,17. 332,38. 339,24,30. σελ. 341. 346, 7. — τιμιώτερον σώματος 63,6. — φιλόσοφος 285,31. Βλαβεραὶ Ἀθῆναι τὰ ἐκ — 147,27. Ἐλευθερία — 346,31. Εὐφυὲς τῆς — 305,30. Κάθαρσις — 63,8. Κάμνουσα — ἐγγίζει Θεῷ 216,22. Νεοτελὴς — 335,5. Πᾶσα ἁμαρτία, θάνατός ἐστι — 63,23.

Ὠριγένης. Φιλοκαλία — 276,7.
Ὡρίωνες 139,37.
Ὦτα 341,38.

Boulenger, F. 136, ὑποσμ.

Gallay, Paul 203, ὑποσμ. 261, ὑποσμ. 268, ὑποσμ. 319, ὑποσμ.

Migne, J.-P. 11, ὑποσμ. 349, ὑποσμ.

ΠΙΝΑΞ

ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ

Σελ.

1. ⟨Βασιλείῳ⟩ 203
2. Τῷ αὐτῷ 203
3. Εὐαγρίῳ 203
4. Βασιλείῳ 204
5. Τῷ αὐτῷ 205
6. Τῷ αὐτῷ 206
7. Καισαρίῳ 207
8. ⟨Βασιλείῳ⟩ 208
9. Ἀμφιλοχίῳ 208
10. Κανδιανῷ 209
11. Γρηγορίῳ 211
12. ⟨Νικοβούλῳ⟩ 212
13. Ἀμφιλοχίῳ 212
14. Καισαρίῳ 213
15. Λολλιανῷ 213
16. Εὐσεβίῳ Καισαρείας 214
17. Τῷ αὐτῷ 215
18. Τῷ αὐτῷ 215
19. ⟨Βασιλείῳ⟩ 215
20. Καισαρίῳ 216
21. Σωφρονίῳ 217
22. Τῷ αὐτῷ 217
23. Καισαρίῳ 218
24. Θεμιστίῳ 218
25. ⟨Ἀμφιλοχίῳ⟩ 219
26. Τῷ αὐτῷ 219
27. Τῷ αὐτῷ 219
28. Τῷ αὐτῷ 220
29. Σωφρονίῳ 220
30. Φιλαγρίῳ 221
31. Τῷ αὐτῷ 221
32. Τῷ αὐτῷ 222
33. Τῷ αὐτῷ 224
34. Τῷ αὐτῷ 224
35. Τῷ αὐτῷ 225
36. Τῷ αὐτῷ 225

Σελ.

37. Σωφρονίῳ 225
38. Θεμιστίῳ 226
39. Σωφρονίῳ 226
40. Βασιλείῳ 227
41. Τῇ Ἐκκλησίᾳ Καισαρέων 227
42. ⟨Εὐσεβίῳ ἐπισκόπῳ Σαμοσάτων⟩ 229
43. Τοῖς ἐπισκόποις 229
44. Εὐσεβίῳ ἐπισκόπῳ Σαμοσάτων 230
45. ⟨Βασιλείῳ⟩ 231
46. Τῷ αὐτῷ 231
47. Τῷ αὐτῷ 232
48. Τῷ αὐτῷ 232
49. Τῷ αὐτῷ 234
50. Τῷ αὐτῷ 234
51. ⟨Νικοβούλῳ⟩ 235
52. Τῷ αὐτῷ 236
53. Τῷ αὐτῷ 236
54. Τῷ αὐτῷ 237
55. Τῷ αὐτῷ 237
56. Θέκλῃ 237
57. ⟨Τῇ αὐτῇ⟩ 237
58. Βασιλείῳ 238
59. Τῷ αὐτῷ 240
60. Τῷ αὐτῷ 240
61. Ἀερίῳ καὶ Ἀλυπίῳ 241
62. ⟨Ἀμφιλοχίῳ⟩ 242
63. Ἀμφιλοχίῳ 242
64. Εὐσεβίῳ ἐπισκόπῳ Σαμοσάτων 243
65. Τῷ αὐτῷ 244
66. Τῷ αὐτῷ 244
67. Ἰουλιανῷ 245
68. Τῷ αὐτῷ 245
69. Τῷ αὐτῷ 246
70. Εὐτροπίῳ 246
71. Τῷ αὐτῷ 247
72. Γρηγορίῳ Νύσσης 247
73. Τῷ αὐτῷ 247
74. Τῷ αὐτῷ 248
75. Βιταλίῳ 248
76. Γρηγορίῳ Νύσσης 248
77. Θεοδώρῳ 249
78. Θεοτέκνῳ 251

Σελ.

79. Σιμπλικίᾳ 251
80. ⟨Φιλαγρίῳ⟩ 253
81. Γρηγορίῳ Νύσσης 253
82. Ἀλυπίῳ 254
83. Τῷ αὐτῷ 254
84. Τῷ αὐτῷ 254
85. Τῷ αὐτῷ 255
86. Τῷ αὐτῷ 255
87. Φιλαγρίῳ 255
88. Νεκταρίῳ 256
89. Βοσπορίῳ 257
90. Ἀνυσίῳ 257
91. Νεκταρίῳ 257
92. Φιλαγρίῳ 258
93. Σωφρονίῳ 258
94. Ἀμαζονίῳ 258
95. Λεοντίῳ 259
96. Ὑπατίῳ 259
97. Ἡρακλειανῷ 259
98. Πρὸς τοὺς πολιτευομένους 260
99. ⟨Σακερδῶτι⟩ 260
100. Γιγαντίῳ 260
101. Πρὸς Κληδόνιον πρεσβύτερον ἐπιστολὴ πρώτη 261
102. Πρὸς Κληδόνιον πρεσβύτερον ἐπιστολὴ δευτέρα 268
103. Παλλαδίῳ 271
104. ⟨Ὀλυμπίῳ⟩ 272
105. Τῷ αὐτῷ 272
106. Τῷ αὐτῷ 273
107. Κληδονίῳ 273
108. Τῷ αὐτῷ 273
109. Τῷ αὐτῷ 274
110. ⟨Παλλαδίῳ⟩ 274
111. ⟨Εὐγενίῳ⟩ 274
112. Κελευσίῳ 274
113. Τῷ αὐτῷ 275
114. Τῷ αὐτῷ 275
115. ⟨Θεοδώρῳ⟩ 276
116. Εὐλαλίῳ 276
117. Τῷ αὐτῷ 276
118. Εὐγενίῳ 276
119. Παλλαδίῳ 277
120. Ἑλλαδίῳ 277

Σελ.

121. Θεοδώρῳ 277
122. Τῷ αὐτῷ 278
123. Τῷ αὐτῷ 278
124. Τῷ αὐτῷ 278
125. Ὀλυμπίῳ 279
126. Τῷ αὐτῷ 279
127. Ἑλλαδίῳ 280
128. Προκοπίῳ 280
129. Τῷ αὐτῷ 280
130. Τῷ αὐτῷ 281
131. ⟨Ὀλυμπίῳ⟩ 281
132. Σατορνίνῳ 282
133. Βίκτορι 282
134. Τῷ αὐτῷ 283
135. Σωφρονίῳ 283
136. Μοδαρίῳ 284
137. Τῷ αὐτῷ 284
138. Βοσπορίῳ 284
139. Θεοδώρῳ 285
140. ⟨Ὀλυμπίῳ⟩ 286
141. Τῷ αὐτῷ 286
142. Τῷ αὐτῷ 288
143. Τῷ αὐτῷ 288
144. Τῷ αὐτῷ 289
145. Ὀδκριανῷ 289
146. ⟨Ὀλυμπίῳ⟩ 290
147. Ἀστερίῳ 291
148. Τῷ αὐτῷ 291
149. Γεωργίῳ 292
150. Ἀστερίῳ 292
151. Νεκταρίῳ 293
152. Θεοδώρῳ 293
153. Βοσπορίῳ 294
154. Ὀλυμπίῳ 294
155. Ἀστερίῳ 295
156. Τῷ αὐτῷ 295
157. ⟨Θεοδώρῳ⟩ 296
158. Εὐλαλίῳ 296
159. ⟨Θεοδώρῳ⟩ 296
160. Τῷ αὐτῷ 297
161. Τῷ αὐτῷ 297
162. Τῷ αὐτῷ 297

Σελ.

163. Τῷ αὐτῷ 296
164. Τιμοθέῳ 296
165. Σταγειρίῳ 296
166. Τῷ αὐτῷ 296
167. Ἑλλαδίῳ 296
168. Φωτίῳ 301
169. Στρατηγίῳ 301
170. Παλλαδίῳ 301
171. Ἀμφιλοχίῳ 302
172. Ἑλλαδίῳ 302
173. Ποστουμιανῷ 302
174. Εὐδοξίῳ 303
175. Τῷ αὐτῷ 304
176. Τῷ αὐτῷ 304
177. Τῷ αὐτῷ 305
178. Τῷ αὐτῷ 305
179. Τῷ αὐτῷ 306
180. Τῷ αὐτῷ 307
181. Σατουρνίνῳ 307
182. Γρηγορίῳ 307
183. Θεοδώρῳ 308
184. Ἀμφιλοχίῳ 309
185. Νεκταρίῳ 310
186. Τῷ αὐτῷ 311
187. Εὐδοξίῳ 311
188. Σταγειρίῳ 311
189. Εὐστοχίῳ 312
190. Τῷ αὐτῷ 312
191. Τῷ αὐτῷ 313
192. Σταγειρίῳ 314
193. Βιταλιανῷ 314
194. Τῷ αὐτῷ 315
195. Γρηγορίῳ ἄρχοντι 315
196. Ἐκηβολίῳ 316
197. ⟨Γρηγορίῳ Νύσσης⟩ 316
198. Νεμεσίῳ 317
199. Τῷ αὐτῷ 318
200. Τῷ αὐτῷ 318
201. Τῷ αὐτῷ 319
202. Πρὸς Νεκτάριον ἐπίσκοπον Κωνσταντινουπόλεως 319
203. Οὐαλεντιανῷ 321
204. Ἀδελφίῳ 322

Σελ.

205. Τῷ αὐτῷ 323
206. Τῷ αὐτῷ 323
207. Ἰακώβῳ 324
208. Τῷ αὐτῷ 325
209. Κάστορι 325
210. Τῷ αὐτῷ 325
211. Κυριακῷ 326
212. Σακερδῶτι 326
213. Τῷ αὐτῷ 326
214. Τῷ αὐτῷ 327
215. Τῷ αὐτῷ 327
216. Εὐδοκίῳ 327
217. Τῷ αὐτῷ 328
218. Τῷ αὐτῷ 328
219. Ἑλλαδίῳ 329
220. Τῷ αὐτῷ 330
221. Ὁμοφρονίῳ 330
222. ⟨Θέκλῃ⟩ 331
223. Τῇ αὐτῇ 332
224. Ἀφρικανῷ 333
225. Ἑλλεβίχῳ 334
226. Ἀνυσίῳ 334
227. Οὔρσῳ 334
228. Πανσοφίῳ 335
229. Τῷ αὐτῷ 335
230. Θεοδοσίῳ 335
231. Εὐσεβίῳ 336
232. Διοκλεῖ 336
233. Ἀβλαβίῳ 337
234. Ὀλυμπιανῷ 337
235. Ἀδαμαντίῳ 337
236. Λιβανίῳ σοφιστῇ 338
237. Μακεδονίῳ 338
238. Τῇ εὐσεβεστάτῃ καὶ διὰ πάντα κεκοσμημένῃ ἐν Χριστῷ ἀδελφότητι τῇ κατὰ Σανναβοδάην τοῦ μακαρίου Λευκαδίου ἐν μοναζούσι καὶ παρθένοις ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, Γρηγόριος ἐν Κυρίῳ χαίρειν 339
239. Ἐπιφανίῳ 339
240. Μελετίῳ 340
241. Ἀβουρίῳ 340
242. Πέτρῳ 340
243. Πρὸς Εὐάγριον μοναχὸν περὶ θεότητος (ἀνήκει εἰς Γρηγ. Νύσσης) . 341

Σελ.

244. Βασιλίσσῃ 341
245. Βασιλείῳ 342
246. ⟨Βασιλείῳ⟩ 342
247. Γλυκερίῳ 343
248. ⟨Βασιλείῳ⟩ 343
249. Φλαβιανῷ ἐπισκόπῳ 244
Ἴσον τῆς διαθήκης 349

Εἰς τὸν καταρτισμὸν τῶν Πινάκων μετὰ τοῦ Σεβ. Μητροπολίτου Ζακύνθου κ. Παντελεήμονος Μπεζενίτη συνειργάσθη καὶ ὁ κ. Παναγιώτης Γ. Νικολόπουλος, Διδάκτωρ Φιλοσοφίας. Εἰς τὰς διορθώσεις ἐβοήθησεν ἡ κ. Πολυτίμη Τζέρπου, Θεολόγος.

Σημειωτέον, ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J.-P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.